τέχνην ὠνόμασε διὰ τὸ ἔνυλον. ἡ γὰρ ἐν ὕλῃ δύναμις ὡς ἐν τῷ δυνάμει 25

2 χαλινοποιητικὴ Ba, omisso ἡ articulo cum libris Aristotelicis praeter unum L^b et Aspasio p. 4,26, χαλινοποιικὴ Arist. vulg. secundum cod. K^b 3 πολεμικὴ a: πολιτικὴ B 4 δὴ, B: δὲ a 5 ἐστιν post πάντα Arist. vulg. (et Eustrat. Vat. 269), εἰσὶν Arist. libri $L^b N^b$ 6 ὑπ' αὐτά Ba et Arist. K^b: ὑφ' ἑαυτά Eustr. Vat. 269: ὑφ' αὑτά libri Arist. praeter K^b 7 ἀνθρώπου B: ἀνθρωπίνης a 9 τινα a: τι.. B 10 ἰδίων B: ἴδια a 12 τούτων a: τούτου B 13 ὑφ' B: ἐφ' a 30 πολεμίους B: πολέμους a 31 ἄλλαι B: ἄλλα a 34 ἐν ὕλῃ B: ὕλῃ a

θεωρουμένη ἥ τε ἁπλῶς καὶ ἡ πῇ, δι' ἣν καὶ αἱ τέχναι δυνάμ
ὑπερέχουσαι καὶ τὸ ὑπερτερεῖσθαι ἔργων περί τε ἀπόκτευξιν καὶ
θωσιν· ἁπλῶς δὲ ὅλην ἐ[ργα]σίαν πᾶσι τοῖς γινομένοις κοινήν,
τὴν προσοχὴν ἑκάστου.

1094a1 Διαφέρει δ' οὐδὲν τὰς ἐνεργείας αὐτὰς εἶναι τὰ
τῶν πράξεων ἢ παρὰ ταύτας ἔργα τινα.

Ἐπειδὴ εἰσὶ διάφορα κατὰ γένος εἶναι τὰ τέλη τῶν τεχνῶν, ἃ
μὲν τινων ἐνεργείας, τῶν δὲ παρὰ τὰς ἐνεργείας ἔργα τινά, καὶ ὅτι
ἔργα εἰσίν. ἐν ταύταις τὰ ἔργα τῶν ἐνεργειῶν αἱρετώτερα, ἵνα μή τι
ὅτι καὶ αἱ τέχναι κρείττους καὶ τελειότεραι αἱ ἔχουσαι ἔργα τῶν μ
τῶν, ὡς εἶναι καὶ τὰ τέλη ἐκείνων ὧν ἔργα τὰ τέλη αἱρετώτε
κινδυνεύειν καὶ τῆς σωτηριμαχῆς, εἰ τύχοι. τὸ ἔργον τελειότερον ἐ
αἱρετώτερον τῆς εὐδαιμονίας. ἐνεργείας οὔσης καὶ οὐκ ἔργου. καὶ
χνην ἢς τέλος τὸ ὑπόδημα ἔργον ὂν τῆς τέχνης ἢς ἡ εὐδαιμονία
ἐνεργεία ὡς εἰρηται καὶ οὐκ ἔργον ὑπαρχουσα, διὰ τοῦτο ταῦτα προ
τοῦτον δύναμαι πρὸς τὸν μετερχόμενον τὰ λεγόμενα, ὅτι ἥ γε μὴ οὖ
ἔργα τινα ὄντα πρὸς τὸ τέλος καὶ τὸ τέλειον τῶν τεχνῶν καὶ τὸ
τέρων ἢ μὴ τῶν τοιῶν. τῷ τῶν μὲν εἶναι ἐνεργείας τὰ τέλη τῶν κ
τέρων πράξεων, τῶν δὲ ἔργα παρὰ τὰς ἐνεργείας τινα. παρ' αὐ
ἔργα τὴν ἕξιν ἢς τέλος ἔργον ἐστὶ παρὰ τὴν ἐνέργειαν, αἱρετώτερον τ
ὅτι γε καὶ ὁ αὐτὸς ἡ ἐνέργεια. οὐ μὴν δὲ καὶ πρὸς τὰς ἄλλας τ
ἐνδέχεται γὰρ τέχνας τέλη ἐνεργείας ἔχουσας κρείττους εἶναι καὶ τελε
πολλῷ τῶν ἔργα ἐχουσῶν παρὰ τὰς ἐνεργείας τὸ τέλος, ὡς ἔστιν ἰδ
τε τῆς χαλινοποιητικῆς καὶ τῶν λοιπῶν, ὅσαι ποιητικαὶ τῶν ἱππικῶ
ων εἰσὶ καὶ αὐτῆς τῆς ἱππικῆς. τὸ μὲν γὰρ αὐτῆς τέλος τὸ ἱππ
λ. ὅτερ ἐνεργεῖν ἐστι, τὸ δὲ ἑκάστων τινῶν τῆς μὲν χαλινο
τικῆς τὸ παρέχειν, τῆς δὲ ἑτέρου, ὧν ἑκάστων ἔργα ἐστὶν π
ενεργοῦσαι· ταῦτα δὲ τὰ ἱππικῆς κρείττων ἁπασῶν ἐκείνων καὶ τὸ τέλο
αἱρετώτερον πάντων. ἡ τοιαύτη ἐστὶ τῶν ὑπ' αὐτὴν τεχνῶν, αἷς αὐτὴ δ
ων ὡς ἀρχιτεκτονικὴ ἐστιν.

p. 1094a18 Εἰ δή τι τέλος ἐστὶ τῶν πρακτῶν, ὃ δι' αὐτὸ β
μεθα, τἆλλα δὲ διὰ τοῦτο, καὶ μὴ πάντα δι' ἕτερον αἱρο
πρόεισι γὰρ οὕτως εἰς ἄπειρον, ὥστ' εἶναι κενὴν καὶ μ
τὴν ὄρεξιν), δῆλον ὡς τοῦτ' ἂν εἴη ταγαθὸν καὶ τὸ ἄρι

Ὅτι μὲν δὴ πᾶσα ἕξις ἀνθρώπου αἱρετὴ καὶ πασα πράξις
ρεῖται καὶ ὅτι τούτων αἱ μὲν εἰσι τελειότεραι, αἱ δὲ ἀτελεστεραι, ε

1 ἑκάστου B: ἑκάστω a 6 ἔργα τινά B: ἄλλο τι, καθάπερ ἐπὶ τῶν λεχθει
Aristotele 12 τύχοι a: τύχοι B 14 ὑπόδημα B: ὑπ
16 ὅτι γε a: ὅτι καὶ B 22 τελειοτέρας a 27 ἕτεον ὧν a: om. B

τὰς μὲν ποιητικὰς, τὰ δὲ ὑπ' ἐκείνας, καὶ ὡς τῶν ποιητικῶν τὰ ἔσχατα τέλη αἱρετώτερά ἐστιν ἐκείνων, ἃ ταῖς ὑπ' αὐτὰς τέλη ἐστίν, δῆλον ἐκ τῶν εἰρημένων. ζητεῖται δὲ ἐνταῦθα, εἰ ἔστι τέλος ἕν, ὑφ' ὃ πάντα τὰ τέλη ἀνάγονται, ὡς εἶναι ἐκεῖνο τοῦ ἀνθρώπου τέλος ἢ ἄνθρωπός ἐστι. τὸ μὲν γὰρ κοινῇ τέλος πάντων τῶν ὄντων ἢ ὄντα ἐστὶ τὸ κοινὸν ἐστιν ἀγαθόν, ὅπερ ἐστὶν ὁ θεός. δεῖ δὲ καὶ ἕκαστον τῶν ὄντων ἔχειν τι ἀγαθὸν ἰδιαίτατον τῆς οἰκείας κατ' εἰδὸς ὀντότητος, οὗ προσεχῶς ἐφίεται, καὶ διὰ τῆς αὐτοῦ ἐπιτεύξεως τῷ ὁλικωτάτῳ οἰκειοῦται καὶ κοινοτάτῳ ἀγαθῷ κατὰ τὸ ἀνάλογον. ὡς γὰρ διὰ τῆς οἰκείας ὀντότητος, ἥτις τὸ εἶδός ἐστιν, εἰς τὸ κοινὸν ὃν ἕκαστον ἀναφέρεται, ἐκπίπτον δ' αὐτῆς καὶ τοῦ ὄντος ἐκπίπτει ἁπλῶς εἰς τὸ μὴ εἶναι χωροῦν, οὕτως καὶ διὰ τοῦ οἰκείου εὖ εἰς τὸ ἁπλῶς εὖ ἀναφέρεται· ἐκπῖπτον δὲ τοῦ οἰκείου ἐκπίπτει καὶ τοῦ ἁπλῶς. ζητεῖ τοίνυν εἰ ἔστι τέλος τοιοῦτον τῶν πρακτῶν ἀγαθῶν, ὃ τῶν λοιπῶν ἐστι τελικώτατόν τε καὶ σκοπιμώτατον, ὃ καθ' αὑτό τέ ἐστιν ἐν ταῖς πράξεσιν αἱρετὸν καὶ δι' ἑαυτό. καὶ τοῦτο δείκνυσι διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. εἰ μὴ ἔστι τέλος τῶν πρακτῶν, ὃ δι' αὐτὸ αἱρετὸν ὡς ἐν πρακτοῖς καὶ μὴ δι' ἕτερον, εἰς ἄπειρον πρόεισιν ἡ ὄρεξις· εἰ εἰς ἄπειρον πρόεισιν ἡ ὄρεξις, οὐκ ἐφικνεῖται τελικωτάτου τινός· εἰ τοῦτο, κενὴ καὶ ματαία ἐστίν. εἰ μὴ ἔστιν ἄρα τῶν πρακτῶν τέλος δι' ἑαυτὸ αἱρετόν, κενὴ ἔσται καὶ ματαία ἡ ἀνθρώπου ὄρεξις· ὅπερ ἄτοπον. τὸ γὰρ ματαίως ὀρεγόμενον οὐδενὸς ἐφικνεῖται ἀγαθοῦ, τὸ δὲ μηδενὸς ἐφικνούμενον ἀγαθοῦ ἐκπτωτόν ἐστι παντὸς ἀγαθοῦ. ἔστιν ἄρα τέλος τῶν πρακτῶν ὃ δι' ἑαυτὸ αἱρετὸν καὶ οὐ δι' ἕτερον, ὡς ἐν πρακτοῖς. ἡ δὲ διάθεσις τῆς λέξεως ληφθεῖσα μεθ' ὑπερβάσεως ἀσάφειαν ἀπετέλεσε καὶ δέον αὐτὴν ἐπὶ τὸ σαφέστερον ἀμειφθῆναι. εἰ δή τι τέλος ἐστὶ τῶν πρακτῶν ὃ δι' αὐτὸ βουλόμεθα, τἆλλα δὲ διὰ τοῦτο, καὶ μὴ πάντα δι' ἕτερον αἱρούμεθα, δῆλον ὅτι τοῦτ' ἂν εἴη τὸ ἀγαθὸν καὶ τὸ ἄριστον. πρακτὰ δέ εἰσιν ἐκεῖνα, ὅσα πραττόντων ἡμῶν περιγίνεται· ταῦτα δὲ ὅσα ἐστὶν ἀγαθά, ἃ διὰ τῶν τεχνῶν καὶ τῶν μεθόδων καὶ τῶν τούτοις συστοίχων κτώμεθα· ταῦτα δὲ ἀτελῆ ὄντα ὡς μὴ τῆς ἀνθρωπίνης ἐφικνούμενα τελειότητος δεῖ ἔχειν τέλος τι ἕν, εἰς ὃ γενόμενος ὁ ἄνθρωπος τέλειος ἄνθρωπος γίνεται. καὶ εἴη ἂν τοῦτο τὸ ἀγαθὸν τοῦ ἀνθρώπου ἡ ἄνθρωπος, καὶ ἄριστον τῶν πρακτῶν ἀγαθῶν ἃ πράττων ὡς ἄνθρωπος κατορθοῖ. ὡς πάντα τὰ ἄλλα πρὸς αὐτὸ ἀναφέρεσθαι καὶ δι' ἐκεῖνο εἶναι ἀγαθά. καὶ οὕτως ἔσται ἡ λέξις τὸ σαφὲς ἔχουσα. τὰ δὲ μεταξὺ ἐνθυμήματα κατασκευαστικά ἐστι τῆς ἐπινοουμένης προσλήψεως, τῆς 'ἀλλὰ μὴν ἔστι τι τέλος τῶν πρακτῶν, ὃ δι' αὐτὸ βουλόμεθα καὶ οὐ πάντα δι' ἕτερον αἱρούμεθα'. ταῦτα δὲ λέγεται περὶ τῆς καλουμένης [illegible] μονάκις.

8 ἐπιτάξεως a 31 κτώμεθα a: χρώμεθα B

p. 1094a22 Ἆρ' οὖν πρὸς τὸν βίον ἡ γνῶσις αὐτοῦ μεγ
ῥοπὴν καὶ καθάπερ τοξόται σκοπὸν ἔχοντες μᾶλλον
νομεν τοῦ δέοντος;

Ταῦτα προτρεπτικά εἰσι πρὸς τὴν τοῦ ἀγαθοῦ τούτου ζή
γὰρ ἤδη δεῖξας ὅτι ἔστι, προτρέπεται νῦν τί ἐστιν ἐξετάσαι. ἐπεὶ
ἔστι τι τοιοῦτον, ὃ κανὼν ἐστι τέλος πάντων τῶν ἐκ πραξεως
μένων, συντελοῖ ἂν ἡ γνῶσις αὐτοῦ μεγάλως πρὸς τὸν βίον τὸ
ὥστε ἔχειν αὐτὸν εὖ. εἴτε γὰρ οὐκ ἔστι τοιοῦτόν τι, μάταιο
μὴ ὄντος ζητεῖν, εἴτε ἔστι μέν, οὐδὲν δὲ ἡμῖν ἡ αὐτοῦ γνῶσι
καὶ οὕτως περιττὸν τὸ ζητεῖν περὶ πράγματος, οὗ ἡ γνῶσις οὐδ
παρέχεται λυσιτέλειαν. εἰ δὲ καὶ ἔστι καὶ ἡ γνῶσις αὐτοῦ με
ῥοπὴν δίδωσι πρὸς κατόρθωσιν, δεῖ δὴ σπουδὴν ἐνδείξασθαι πρὸ
τί ἐστι· ῥοπὴν γὰρ τὴν λυσιτέλειαν φησὶ καὶ βοήθειαν. εἴρηκ
ἀπὸ μεταφορᾶς τῶν ζυγῶν, οἷς ἐν τοῖς βάρεσι χρώμεθα.
ἐπ' ἐκείνων τὰ ἐπὶ θάτερα ῥέποντα τῶν ζυγοστατουμένων τῶν
πρατίθεται ὡς λυσιτελοῦντα τοῖς τὰς ῥοπὰς ἐξετάζουσιν, οὕτω κ
τὰ λυσιτελέστερα καὶ ὠφελιμώτερα ῥοπὴν ἔχειν πρὸς ἐκεῖνα λ
ὅπερ συμβάλλεται. ὅτι δὲ οὕτως ἔχει καὶ ῥοπὴν πρὸς τὸν βί
ἡ γνωριμώτης τοῦ τέλους παρέχεται, δείκνυσιν ἐκ παραβολῆς.
γὰρ τοξόται, φησί, σκοπὸν ἔχοντες μᾶλλον ἂν τυγχάνο
δέοντος. ὥσπερ γὰρ οἱ τοξόται ἁπλῶς μὲν βάλλοντες καὶ
ἐπισκοποῦντες οὔ ἐπιτεύξονται, οὐκ ἂν ἀγαθοί ποτε τὰ τοξικ
οὕτω καὶ οἱ σπουδαίως καὶ ἐναγωνίως ζῆν προαιρούμενοι, εἰ
ἔχουσί τι, πρὸς ὃ τὴν σπουδὴν ἐπιδείκνυνται. οὐκ ἂν ποτε ἀγαθ
τὴν πρᾶξιν ἕξει γενναίαν. σκοποῦ δ' ἑκατέροις καὶ τέλους προ
πρὸς αὐτὸ τὰς ἐνεργείας καὶ τὰς σπουδὰς ἀπευθύνεσθαι, ῥᾷον
κατόρθωσιν ἕξοντες.

p. 1094a24 Εἰ δ' οὕτω, πειρατέον τύπῳ περιλαβεῖν αὐτ
ἔστι καὶ τίνος τῶν ἐπιστημῶν ἢ δυνάμεων.

Εἰ οὕτω, φησίν, ἀναγκαία ἡ γνῶσις τούτου τοῦ τέλους ἐστ
σασθαι ἀπόπειραν, εἴ πως γένηται δυνατόν, ὡς πρὸς τοὺς μ
αὐτοῦ εἰδήσιν ἔχοντας ὁλοσχερῆ τινα καὶ οὐκ τυπωτικὴν περι
σασθαι, τί ποτέ ἐστι παραδιδόντας καὶ τίνος τῶν ἐπιστημῶν ἢ
ὅτι μὲν γάρ ἔστι, διὰ τῶν εἰρημένων δέδεικται, καὶ ὅτι μεγάλω
αὐτοῦ πρὸς τὸν βίον λυσιτελεῖ. πῶς δ' ἂν αὕτη ἡμῖν περιέλθ
οὐσίαν μαθοῦσιν αὐτοῦ; τὴν δὲ ὅλην τὸ τι ἐστι τάξει.

1 οὖν καὶ πρὸς a cum Aristotele
ἀλλαξὼν Arist. et Eustrat. Vat. 269
9 λυσιτελεῖ B: συντελεῖ a
30 εἰ δ' οὕτω a

ἐστιν ὁ τὸ τί ἦν εἶναι δηλῶν τοῦ πράγματος λόγος. ἐπεὶ δὲ τέλος τοῦτό 4r
ἐστι τὸ τῶν πρακτικῶν ἀγαθῶν τελικώτατον, ἀνάγκη καὶ ἐπιστήμην εἶναι
ἥ δύναμίν τινα ἧς τέλος αὐτό ἐστι. διαφέρει δὲ ἐπιστήμη δυνάμεως, ὅτι
ἡ μὲν γνῶσίς ἐστιν ἐξ ἀναγκαίων προτάσεων τὴν σύστασιν ἔχουσα καὶ καθ'
αὐτὸ καὶ ἡ αὐτὸ καὶ πρώτων καὶ ἀμέσων καὶ αἰτίων τοῦ συμπεράσματος·
ἢ ἐκ συμπερασμάτων ἃ ἐκ τοιούτων συγκέχυται ὡς μὴ ἐνδέχεσθαί ποτε 4v
ἄλλο καὶ ἄλλο συμπέρασμα τοῖς προηγουμένοις ἐπιστημονικῶς ἐπεσθαι ἀλλ'
ἀεὶ τὸ αὐτό, ἡ δὲ ἐκ τῶν ὡς ἐπὶ τὸ πολὺ καὶ μὴ ἀεὶ θάτερον μόριον
ἀποβαῖνον τῆς ἀντιφάσεως ἔχουσα, ἀλλ' ἔστιν ὅτε καὶ ἕτερον, δύναμις λε-
γομένη διὰ τὸ ἀμφοτεροδύνατον. ὡς γὰρ ἐπὶ τῶν ἐναντίων ἡ δεκτικὴ αὐτῶν
ὕλη δύναμις λέγεται διὰ τὸ ἑκάτερον ἀνὰ μέρος δυνατὴ εἶναι δέχεσθαι, 5
οὕτω καὶ αἱ τοιαῦται τῶν τεχνῶν δυνάμεις λέγονται, ὅτι οὐκ ἐξ ἀνάγκης
ἀποβαῖνον θάτερον μόριον ἔχουσιν ἀλλ' ἔστιν οὗ καὶ τὸ ἕτερον. τοιαῦται
δέ εἰσιν ἥ τε διαλεκτικὴ καὶ ἡ ῥητορική· ἐφ' ἑκάτερά τε γὰρ καὶ ἄμφω
ἐπιχειροῦσι τὰ τῆς ἀντιφάσεως μόρια ἐν τῷ προκειμένῳ προβλήματι, καὶ
οὐδὲ πείθουσιν ἐξ ἀνάγκης κατὰ τὸ ἕτερον, ἀλλὰ πείθονταί ποτε καὶ κατὰ
τὸ ἀντικείμενον· καὶ αἱ στοχαστικαὶ δὲ τῶν τεχνῶν ὡσαύτως, οἷον ἡ κυ-
βερνητικὴ καὶ ἡ ἰατρική. ἐνίοτε γὰρ ἃ πρὸς σωτηρίαν ἐπιτηδεύουσιν οἱ 10
κατ' αὐτὰς ἐνεργοῦντες εἰς κίνδυνον ἀποβαίνουσι, καὶ πάντα πληροῦντες
ἔστιν οὗ τὰ τῶν τεχνῶν παραγγέλματα τοῦ οἰκείου τέλους ἐκπίπτουσιν.
ἀλλὰ καὶ ταῖς τέχναις πρὸς ἄμφω τἀναντία χρῆσθαι δύνανται τῶν ἐναντίων
ὄντες εἰδήμονες καὶ πρὸς ἅπερ βούλονται χρώμενοι, ὡς μὴ μόνον σωτῆρες
ἀλλ' ἔστιν οὗ καὶ ἐπίβουλοι κακούργως τῶν ὑποκειμένων γινόμενοι.

p. 1094a26 Δόξειε δ' ἂν τῆς κυριωτάτης εἶναι καὶ μάλιστα ἀρχι-
τεκτονικῆς· τοιαύτη δ' ἡ πολιτικὴ φαίνεται.

Εἰ γὰρ τοῦτο τῶν πράξεσι τελῶν πάντων ἐστὶ τελικώτατον καὶ τῶν 15
πρακτῶν πάντων ἀγαθῶν ὑπερέχον, εἴη ἂν καὶ ἡ τέχνη ἧς τέλος τοῦτό
ἐστι, κυριωτάτη τε τῶν λοιπῶν καὶ ἀρχιτεκτονική, ὡς καὶ ταῖς λοιπαῖς ἐπι-
τάττουσα πάσαις καὶ τέλος ἔχουσα τῶν λοιπῶν αἱρετώτερον, ὅσα τέλη
ταῖς ἄλλαις ἐστίν. οὐκ εἶπεν 'ἐστίν', ἀλλὰ φαίνεται· ἤδη δὲ ἀποδείκνυσιν
ἐξ αὐτῶν τῶν ἐνεργημάτων αὐτῆς.

Τοιαύτη δὲ ἡ πολιτική.

p. 1094a28 Τίνας γάρ φησιν εἶναι χρεὼν τῶν ἐπιστημῶν ἐν ταῖς 20
πόλεσι, καὶ ποίας ἑκάστους μανθάνειν, καὶ μέχρι τίνος, αὕτη
διατάττει.

Εἰ γὰρ τὸ εἶναι ἢ μὴ εἶναι ἁπλῶς τάσδε ἢ τάσδε τὰς ἐπιστήμας ἐν ταῖς
πόλεσι, καὶ ποίας ὑπὸ ποίων μανθάνεσθαι, αὕτη διορίζεται καὶ μέτρον αὐταῖς

24 εἶναι Ba: om. Vat. 269 et libri Arist. 25 δ' ἡ Ba: δὲ καὶ ἡ Vat. 1622 et Arist. liber Lb 32 τοιαύτη δὲ ἡ πολιτική adiecto φαίνεται lemmatis instar a 33 φησιν cum libri omnes manuscrr. praebeant (omittat a) nolui exterminare

ἐπιστήμη. πῶς οὖν ἂν εἴη πασῶν ἀρχιτεκτονική; αἱ μὲν γὰρ ἄλ
τοναι ταῖς ὑπ' αὐτὰς τέχναις οὔσαις ἤδη χρῶνται καὶ
μητε οὐδὲ εἶναι ἢ μὴ εἶναι αὐτὰς ἐξεταζούσαι. μήτε μέχρι τοῦ
βαίνουσιν ἐν ταῖς ὕλαις αὐτάς, μήτε μὴν ὁποῖον δεῖ εἶναι τὸν
ἕκαστον. ὁ δὲ τῇ τέχνῃ κατάλληλος. ἡ δὲ γε πολιτικὴ πολ
καὶ περὶ τούτων φροντίδα. πῇ μὲν σκοποῦσα μὴ ματαιοτεχνίαν
τηδεύωνται ἐν ταῖς πόλεσι μηδὲν σπουδαῖον δυνάμενοι κατορθῶ
κόντειλεν τὸ ἦθος τῶν πολιτῶν διαφθείρουσαι. τῷ εἰς παιδιὰ
ανοήτους διγασίας ἀπασχολεῖν τοὺς αὐτῶν λογισμούς, οἷα ἐστὶν
τοπαικτικὴ καὶ ὀρχηστικὴ καὶ πολλαὶ ἕτεραι. πῇ δὲ περὶ
ἐξεταζουσα, μήπου τινὲς φιλομόχθηροι ὄντες εἰς βλάβην τῶν π
τηδεύωσί τινα, νύκτωρ ταῖς οἰκίαις αὐτῶν ἐπεμβαίνοντες καὶ τοιχ
τυγὸν ἢ διαιροῦντες στέγος ἢ ἱερὸν τυλοῦντες ἢ πῦρ ὑφάπτον
καὶ ἀνθρώπους ἀνδριῶν ἢ ἕτερ' ὅττα ὁρῶντες φίλτρα καὶ ἀποτε
ἀλλὰ κἂν τινες εἶεν τέχναι ἀνθρώποις ὠφέλιμοι. οὐδὲ ταύτας ὁ
ἀφίησιν ἡ πολιτική· μετρεῖ δὲ μᾶλλον καὶ ταύτας. ἡ πῇ περ
χρειώδους πρβαίνουσαι τὸ περιττά τινα καὶ ἀνόνητα παρεκλ
ὠσιν τινὰ καὶ μηδὲν ἔχοντα σπουδῶν ἐπιτηδεύουσα, ὡς ἡ τ
ἀπομάσσειν ἐνίοτε ἀνάγκας ἢ ὕβρεις τρέχοντας ἢ ὄρνεις ἑρπόντας ἢ
οἷσπερ ἂν τέρπωνται ψυχαὶ παιδιαῖς εὐφραινόμεναι καὶ σπουδῆς

p. 1094b2 Ὁρῶμεν δὲ καὶ τὰς ἐντιμοτάτας τῶν δυνα
ταύτην οὔσας, οἷον στρατηγικὴν οἰκονομικὴν ῥητο

Τὴν ὑποροχὴν τῆς πολιτικῆς ἐκ τούτων παριστησι καὶ ὡς
κωτάτη ἐστὶν αὐτὴ τῶν ἐν ταῖς πόλεσιν ἐπιστημῶν καὶ δυνάμε
δὲ δείκνυσι διχῶς, πῶς τε ἔχουσι λέγων αἱ τούτων ἐντιμότατα
ἤνυον ὅτι ὑπόκεινται αὐτῇ ὡς ἐπιτασσόμεναι παρ' αὐτῆς οἷον
ρικὴ οἰκονομικὴ· τοῦ πολιτικοῦ γὰρ διορίσασθαι στρατη
χρήσεσθαι τῷ στρατοπέδῳ καὶ ῥητορι πῶς καὶ μέχρι τίνος τοῦ
τε βουλαῖς καὶ δίκαις καὶ πανηγύρεσι καὶ οἰκονομικῷ πῶς ἂν
δικαίως καὶ σωτηρίως τὸν οἶκον καὶ τοὺς αὐτῷ συνοικοῦντας
καὶ αὖθις πῶς ἡ πολιτικὴ πρὸς αὐτάς.

p. 1094b4 Χρωμένης γὰρ ταύτης ταῖς λοιπαῖς πρακτ
επιστημῶν, ἔτι δὲ νομοθετούσης τί δεῖ πράττειν καὶ τ
χεσθαι, τὸ ταύτης τέλος περιέχοι ἂν τὰ τῶν ἄλλων. ὥ
ἂν εἴη τὸ ἀνθρώπινον ἀγαθόν.

Εἰ γὰρ αἵ τε ἐντιμώτεραι τῶν δυνάμεων ταύτῃ ὑπόκεινται
παρ' αὐτῆς καὶ ἐπιτατόμεναι, καὶ αἱ πρακτικαὶ ἐπιστῆμαι τὸ εἶ

ὰς a: αὐταῖς B 8 διαθείρουσι B: διαθείσωσι a 9

ὡς αὐτῇ χρησιμεύουσαι. καὶ αὕτη ἐστὶν ἡ περὶ τῶν καλῶν καὶ δικαίων ἐν 4v
ταῖς πόλεσι διατάττουσα, ὡς αὐτὴν μὲν πρὸ τῶν ἄλλων εἶναι τὰς τῶν ἀν-
θρώπων κοινωνίας καὶ πολιτείας συνέχουσαν ἐν τοῖς δέουσι, μηδεμίαν δ
πρὸ αὐτῆς, ἅτε καὶ | αὐτῆς μὲν ἐπιτάττουσης καὶ προεχούσης, τῶν δ' 5
5 ἄλλων ὑποκειμένων αὐτῇ, πῶς οὐχὶ καὶ τὰ τῶν ἄλλων τέλη τῷ ταύτης
ἂν ὑποκέοιτο καὶ ὑπ' αὐτὸ ἀναφέροιτο, καὶ εἴη ἂν τοῦτο τὸ ἀνθρώπινον
ἀγαθόν.

p. 1094b7 Εἰ γὰρ καὶ ταὐτόν ἐστιν ἑνὶ καὶ πόλει, μεῖζόν γε καὶ
θειότερον τὸ τῆς πόλεως φαίνεται καὶ τελεῖν καὶ σῴζειν.

10 Τὴν ταυτότητα καὶ τὴν διαφορὰν ἔοικε τιθέναι διὰ τούτων, ἣν αὐτὴ
πρὸς ἑαυτὴν ἀναδέχεται ἡ εὐδαιμονία, ὡς τέλος οὖσα πολιτικῆς τινος ἕξεως
ἠθικῆς ἅμα καὶ πολιτικῆς ἁπλῶς. ταὐτὸν μὲν γάρ ἐστι τὸ τέλος ἀμφοῖν
ὅπερ ἐστὶ τὸ ἐν ἑκατέραις τυγχάνειν ὡς οὕτως εἰπεῖν ἐν τῷ παρόντι· ἀλλὰ τὸ
μὲν μεῖζον καὶ θειότερον, τὸ δὲ ἔλαττον καὶ ἀνθρωπικώτερον· καὶ τοῦτο
15 κατασκευάζει δι' ὧν ἐπιφέρει.

p. 1094b9 Ἀγαπητὸν γάρ φησι καὶ ἑνὶ μόνῳ, κάλλιον δὲ καὶ θειό- 10
τερον ἔθνει καὶ πόλεσιν.

Καὶ τὸ ἐν ἑνὶ μὲν γὰρ τὸ ἀγαθὸν κατορθοῦν ἄξιον ἀγάπης ἐστὶν ὡς
καλόν, εἴτε ἐν ἑαυτῷ τοῦτό τις εἴτε ἐν ἑτέρῳ κατορθοῖ· ἀλλὰ κάλλιον
20 ἐστὶ καὶ θειότερον εἰ ἐν ἔθνει καὶ πόλεσιν ἡ τοῦ ἀγαθοῦ κατόρθωσις γί-
νεται· κάλλιον μέν, ὡς ἐπὶ πλειόνων ἐξαπλουμένης τῆς καλλονῆς καὶ
πλείονος γινομένης τῆς κοσμιότητος, ὥσπερ εἴ τις ἐρεῖ φωτεινότερον εἶναι
φῶς τὸ εἰς πλεῖον διάστημα ἐξαπλούμενον τοῦ ἐξαπλουμένου εἰς ἔλαττον· 15
θειότερον δέ, ὅτι τὸ ἀγαθοποιεῖν θεῖον ἔργον ἐστίν. ὅσῳ οὖν πλείω τὰ
25 ἀγαθοποιούμενά τε καὶ βελτιούμενα, τοσούτῳ πλείων ἡ ἀγαθοποίησις· κα-
διὰ τοῦτο καὶ τὸ ἔργον θειότερον.

p. 1094b10 Ἡ μὲν οὖν μέθοδος τούτων ἐφίεται πολιτική τις οὖσα.
λέγοιτο δ' ἂν ἱκανῶς, εἰ κατὰ τὴν ὑποκειμένην ὕλην διασαφηθείη.

Μέχρι μὲν τῶν εἰρημένων τὸ πρῶτον προοίμιον πεπλήρωται, πρῶν 21
30 ὄντων ἁπάντων, ἅπερ ἐν τῷ παρόντι βιβλίῳ προτέτακται. δεδεικται δὲ ἐν
τούτῳ, ὅτι τέ ἐστί τι τῶν πρακτῶν ἀγαθῶν ἁπάντων τελικώτατόν τε καὶ
σκοπιμώτατον, ὑφ' ὃ πάντα ἀνάγεται· καὶ ὅτι δεῖ τοῦτο ζητεῖν ὡς συντε-
λοῦν μεγάλως ἡμῖν εἰς τὴν ἐν βίῳ κατόρθωσιν· καὶ ὅτι τῆς ἀρίστης ἂν
εἴη τοῦτο τῶν ἐπιστημῶν καὶ δυνάμεων, ἥτις ἐστὶν ἡ πολιτική· καὶ ὅτι

9 θειότερον Ba et Arist. cod. Lb: τελειότερον Arist. vulg. 16 ἀγαπητὸν γάρ B, ut Arist. Kb: ἀγαπητὸν μὲν γὰρ a et Arist. vulg. φησι om. a cf. p. 15,33 27 addunt verba Aristotelia τὸ γὰρ ἀκριβὲς—δημιουργουμένοις Ba 32 ὑφ' ὃ a: ὑφ' ὧ B

τοῦτό ἐστι τὸ ἴδιον ἀγαθὸν ἀνθρώπου ἡ ἄνθρωπος· καὶ ὅτι καὶ ἐν ἀνθ
μὲν ἐνὶ καλόν ἐστι τοῦτο κατορθοῦν, κρεῖττον δὲ τοῦτο πολλῷ.
[illegible] καὶ ἐν πόλεσι κατορθώσεται. ἐπὶ πλεῖον ἐξαπλῶν τὴν
ὁσιν τοῦ ἀγαθοῦ. μεταβαίνει δὲ νῦν ἐπὶ προοίμιον ὕστερον. ἐν ᾧ ὁ
τὸν ἀκριβῆ τῶν λεγομένων ὁποιους δεῖ τοὺς λόγους ἐκδέχεσθαι.
τινων καὶ ποίων ὡσπερ τὸ πρῶτον προοίμιον, ὡς ἡ μὲν προκειμένη π
τούτων ἐρίζεται πολιτική τις οὖσα. τούτων, τίνων; καὶ μὴν ὡς περ
τινων ἔφαμεν, λέγω δὲ τοῦ ἀνθρωπίνου ἀγαθοῦ. πῶς οὖν οὐχὶ τ
ψησιν ἀλλὰ τούτων ὡς περὶ πολλῶν; ἡ ταχα, ἐπειδὴ τοῦτο τὸ τελικὸ
[illegible] ὑπ' αὐτοῦ περιεχόμενα καὶ ὑπ' αὐτοῦ
μενα. καὶ οὐ κατὰ τὴν ἑαυτοῦ τάξιν ἕκαστον τὰ ἀνήκοντα αὐτῷ
[illegible] ὄντων εἰς αὐτὸ ἀναφέρεσθαι. διὰ τοῦτο πληθυ
εἴρηκεν. ἢ εἰ δεῖ καὶ τοῦτο εἰπεῖν, ἐπεὶ ἄλλως μὲν τοῦτο κατὰ τὴν κ
[illegible] κατορθούμενον, ἧς πολιτική τις ἐστι, καὶ τῶν θεωρουμένω
τούτων, ἄλλως δὲ κατὰ τὴν πολιτικὴν ἐξαπλουμένην κοινότερον. διὰ
ὡς ἐπὶ πολλῶν εἴρηκε. πῶς δὲ πολιτική τις ἡ ἠθικὴ ὠνόμ
ἐπειδὴ πολιτικὴ ἁπλῶς ἡ ἐν ἔθνει καὶ πόλεσι κατορθοῦσα τὸ ἀγαθό
λιτικὴ δέ τις οὐχ ἁπλῶς, καθ' ἣν ἐν ἑνί τινι τοῦτο κατορθούμενον
νεται. καὶ πολίτης γὰρ ἀγαθὸς ἄνθρωπος λέγεται, ὃς γε τοῖς εὖ
πειθόμενος τὴν ἀρετὴν κατορθοῖ, πολιτικὸς δὲ ἀνὴρ ὁ τὰ καλὰ κ
δίκαια αὐτός τε εἰδὼς ἀφ' ἑαυτοῦ καὶ διδάσκων ἐν πόλεσι καὶ τῆς τ
τητος ἐν πολλοῖς ἐφικνούμενος. πολίτῃ δὲ ἱκανὸν ἡ πολίτης ἐστίν, ε
ἑαυτὸν εἴη τὰ δέοντα κατορθῶν καὶ κοινωνὸς ἀγαθὸς τοῖς πολιτευο
μένοις. Λέγοιτο δ' ἂν ἱκανῶς εἰ κατὰ τὴν ὑποκειμένην
διασαφηθείη. ἐντεῦθεν τοῦ δευτέρου προοιμίου ἀπάρχεται, διὸ
ὡς οὐκ ἀκριβῆ τινα χρὴ καὶ ἀπαράβραυστον οὐδ' ὡς ἐξ ἀναγκαίων
τυνισταμένην τὴν διδασκαλίαν ἐκδέχεσθαι, ἀλλ' ἱκανῶς ἔχειν αὐτ
κατὰ τὴν ὑποκειμένην ὕλην διασαφήσει, ἤγουν τὴν ἐρμ
καὶ τὴν δήλωσιν δέξαιτο. ὕλη δὲ ἑφ' ἑκάστης μεθόδου καὶ τέχνης
τὸ ὑποκείμενον αὐτῆς, περὶ ὃ καταγίνεται. ὑποκείμενον δὲ τῆς ἠθικ
πολιτικῆς τὰ ἐν βίῳ ἐστὶ πράγματα καὶ αἱ περὶ ταῦτα τῶν ἀνθρώπω
ξεις τε καὶ ἐνέργειαι, ἅτινα τῶν ὡς ἐπὶ τὸ πολὺ ἐνδεχομένων εἰσὶ κα
ἀεὶ ὡσαύτως ἔχοντα. ἀλλ' ἔστιν οὗ κἀπὶ τὰ ἀντικείμενα ὁποπτ
καὶ ἐπεὶ τοιοῦτον τὸ ὑποκείμενον τῶν ὡς ἐπὶ τὸ πολύ, καὶ οἱ λό
παραδιδόντες περὶ αὐτοῦ. διὸ οὐδὲ χρὴ ἀναγκαίας τινὰς ἀποδείξε
τῶν οὕτως ἐνδεχομένων ἀπαιτεῖν· ὥσπερ γὰρ μέτρον οἱ λόγοι τῶν πρ
ων εἰσί, περὶ ὧν λέγονται, καὶ δεῖ τὸ μέτρον ἐφαρμόζον εἶναι π
μετρούμενον· οὐ δύναται δὲ τὸ ἀεὶ ἔχον ὡσαύτως τῷ ὡς ἐπὶ τὸ
οὕτως ἔχοντι ἐφαρμόζεσθαι. ὑπερβαλεῖται γὰρ τὸ ἀεὶ ὂν τὸ ποτ
εἶναι ἀνακοπτόμενον. εἰ οὖν κατὰ τὴν ὑποκειμένην ὕλην, ἤτοι τὰ
ἀνθρώποις καλά τε καὶ δίκαια ἡ διὰ τῶν λόγων διασάφησις, ἤγου

2 τοῦτο (post δὲ) B: om. a 25 προοιμίου a: προοίμιον B

στασις καὶ δήλωσις γένοιτο, ἱκανῶς ἂν λέγοιτο. οὐκ ἂν δὲ δικαίως τὴν ἠθικήν τις καὶ πολιτικὴν ἀποπέμψαιτο μέθοδον εἰ τοιαῦτα περὶ αὐτῆς ἐπαγγέλλεται, ἐπεί γε οὗτος καὶ τὰς χαριεστάτας πάσας τῶν τεχνῶν ὡς μὴ καλῶς ἐχούσας ἀποβδελύξεται, οἷον ῥητορικὴν γραμματικὴν διαλεκτικὴν ἰατρικὴν καὶ ἁπλῶς ἁπάσας ὅσαι περὶ τὰ ἔνυλα καταγίνονται, καὶ αὐτὴν τὴν φύσιν ὅση περὶ ὕλην ἐστὶ καὶ τὰ ἔνυλα, ὅτι μὴ ἀπταίστως ἀεὶ ἐνεργοῦσιν, ἀλλ' ἔστιν οὗ καὶ ἀποτυγχάνουσιν.

p. 1094b12 Τὸ γὰρ ἀκριβὲς οὐχ ὁμοίως ἐφ' ἑκάστου γένους ἐπιζητητέον, ὥσπερ οὐδὲ ἐν τοῖς δημιουργουμένοις.

Τοῦτο κατασκευαστικόν ἐστι τοῦ μὴ δεῖν ἀκριβεῖς καὶ ἀναγκαίους ἀπαιτεῖν τοὺς παραδιδομένους λόγους ἐν τοῖς ἠθικοῖς καὶ πολιτικοῖς, ὅτι μηδὲ πᾶς λόγος τεχνικὸς ἀκριβής ἐστιν, οὐδὲ ὁμοίως τεχνίτης ἕκαστος ἀπατεῖται κατὰ τὴν ἑαυτοῦ τέχνην τὸ ἀκριβὲς ἐπιδείκνυσθαι. καὶ τοῦτο παρίστησιν ἀπὸ τῶν δημιουργικῶν τεχνῶν καὶ τῶν κατ' αὐτὰς δημιουργουμένων. δημιουργικαὶ δὲ λέγονται τέχναι αἱ ποιητικαί, καὶ δημιουργούμενα τὰ ὑπ' αὐτῶν ἀποτελούμενα ἔργα. εἰς τρία τοιγαροῦν τῶν τεχνῶν διηρημένων, εἰς θεωρητικὸν εἰς πρακτικὸν εἰς ποιητικόν, ἓκ τῶν ποιητικῶν παρίστησι τὸ λεγόμενον, φημὶ δὴ τὸ μὴ δεῖν ἐπὶ πάντων ὁμοίως ζητεῖν τὴν ἀκρίβειαν. ἐναργέστερον γὰρ τοῦτο μάλιστα ἐπὶ τῶν τοιούτων φαίνεται τεχνῶν, διὰ τὸ τὰ ὑποκείμενα αὐταῖς καὶ τὰ ἔργα αἰσθήσει εἶναι γνωστά. τόν τε καὶ ὁποῦ εἶναι· ὃς γὰρ δεῖ ὃν εἶδός ἐστι τέχνης τὸ μιμητικὸν ἀνθρώπου μορφῆς ἢ ἄνθρωπος· διαιρεῖται δὲ εἰς εἴδη διάφορα κατὰ τὰς τῶν ὑποκειμένων διαφοράς· καὶ πρῶτον μὲν εἰς ζωγραφικὴν καὶ ἀνδριαντοποιητικήν· ἡ δὲ εἰς κρουπαστικὴν τρισσὴν γνωσιν τοιαύτην λιθοξοϊκήν, ἀλλ' ὁ μὲν γραφικὸς πλεῖον ἀπαιτεῖται τὸ ἀκριβὲς τῆς μιμήσεως διὰ τὸ τῆς ὑποκειμένης αὐτῷ ὕλης εὐειατον, ὁ δὲ κηροπλάστης κηρῷ καὶ πηλῷ καὶ τοῖς τοιούτοις χρώμενος ἧττον μὲν ἐκείνου, μᾶλλον δὲ τῶν λοιπῶν, ὁ δὲ τέκτων καὶ γλύπτης λιθοξόου μᾶλλον, τῶν πρότερων λειπόμενος εἰς ἀκρίβειαν, ὁ δὲ λιθοξόος τῶν λοιπῶν ἔχει πάντων δυσμεταχειριστότερον τὸ αὐτῷ ὑποκείμενον κἀντεῦθεν ἕξει τὸ ἀκριβὲς ἧττον κατορθούμενον ἅμα καὶ ἀπαιτούμενον. ἱκανὸν οὖν ἑκάστῳ εἰ κατὰ τὴν ὑποκειμένην ὕλην κατορθοῖ. γένος δὲ ἐνταῦθα ὁ Ἀριστοτέλης τὸ ὑποκείμενον ἐκάλεσε καὶ ἐν ἄλλοις πολλοῖς· τὸ γὰρ γένος ὕλῃ ἀναλογεῖ τῇ τῶν διαφορῶν ἐπεισελεύσει εἰδοποιουμένῳ, ἥ τε ὕλη γένει συγκεχυμένη καθ' ἑαυτὴν οὖσα καὶ ἀδιάρθρωτος καὶ ὑπὸ τῶν εἰδῶν μορφουμένη ὥς τινων διαφορῶν. καὶ ὡς τὸ γένος δυνάμει τὰ εἴδη, καὶ ἐκ τοῦ δυνάμει πρὸς εἰς ἐνέργειαν, οὕτω καὶ ἡ ὕλη δυνάμει τὰ ἐξ αὐτῆς, καὶ ἐκ τῆς στερήσεως προιοῦσα εἰς εἰδοποίησιν.

3 οὗτος B: οὕτως a 4 διαλεκτικὴν B: om. a 8 ἐφ' ἑκάστου [illegible] τοῖς λόγοις Arist. 21 ὁποῖα B: ποῖα a [illegible] : om. a 29 ἔχει B: ἔχων a 30 ἕξει a: ἕξει B

p. 1094b14 Τὰ δὲ καλὰ καὶ τὰ δίκαια, περὶ ὧν ἡ πολιτικὴ
πραγματεία, τοσαύτην ἔχει διαφοράν καὶ πλάνην ὥστε δοκεῖν
μόνον εἶναι, φύσει δὲ οὔ.

Περὶ τῶν ἐκ τῆς χρήσεως τῶν λόγων εἰπὼν ὁποῖοί ποτ' ὄντα
ὅτι ἱκανὸν αὐτοῖς εἰ κατὰ τὴν ὑποκειμένην ὕλην ἡ ἐξ αὐτῶν διασ
φάσεως ἐπὶ τὸ καθόλου τὸν λόγον ἀνενεγκὼν ὡς οὐ παντες οὕ
τὴν αὐτὴν ἀκρίβειαν ἐπιδέχονται, κατάγει αὐτὸν ἐπὶ τὰ προκείμενα
φησὶν ὅτι τὰ παρὰ ἀνθρώποις καλὰ καὶ δίκαια, περὶ ὧν ἡ πολιτικὴ
πολὺ πολλὴν ἔχει κατὰ τὴν δόξαν παρὰ τοῖς ἀνθρώποις διαφορ
πλάνην, καὶ τοσαύτην, ὡς δοκεῖν νομίσει μόνη καὶ ὑπολήψει ταῦ
μηδὲν εἶναι κατὰ τὴν φύσιν διὰ τὸ ἄλλοις ἄλλως δοκεῖν καὶ ἄλλα
ἄλλοις εἰσάγεσθαι καλά τε καὶ δίκαια, ὡς τῶν φύσει παρὰ πᾶσιν
τῶν αὐτῶν. καὶ ἔστι τὸ καθολικώτερον τῷ μερικωτέρῳ συνθέμενον
κατασκευάσαι τὸ παρὰ ἀνθρώποις καλὸν καὶ δίκαιον ὀνόμορα καὶ
νομένα· περὶ τῶν διαφόρων καὶ πεπλανημένων οὐκ ἔστι παραδοῦναι
ἀκριβεῖς· περὶ τῶν ἀνθρωπίνων ἄρα καλῶν καὶ δικαίων οὐκ ἔστι παρα
λόγους ἀκριβεῖς.

p. 1094b19 Τοσαύτην δέ τινα πλάνην ἔχει καὶ τὰ ἀγαθὰ ἕω
ἕτερον δὲ ὁτιοῦν ἀνόρειαν.

Ὁ μὲν τοῦ πρώτου τούτου βιβλίου σκοπὸς περὶ ἀνθρωπίνου ἀ
[illegible] Ἀριστοτέλης ὁποῖοι ἔσονται οἱ λόγοι εἰπὼν προϊὼν
ἀνενεγκεῖν ἐπὶ τὸ κοινότερον ὡς παντα περιλαβεῖν τὰ καλὰ καὶ
περὶ ὧν ἡ πολιτικὴ ζητεῖ, κατηνέχθη πάλιν ἐπὶ τὸ ζητούμενον
τινα ἀγαθόν, καί φησιν ὅτι ὡς ἁπλῶς ἐπὶ τῶν καλῶν καὶ δικαίω
ἃ ἡ πολιτικὴ ἔχει, πολλὴ τοῖς ἀνθρώποις διαφορα. οὕτω καὶ ἐπ
παρ' αὐτοῖς ἀγαθῶν. διὰ τί; διότι συμβαίνει πολλοὺς ἐκ τῶν δοκ
αὐτοῖς ἀγαθῶν βλαπτεσθαι· πλοῦτος γαρ καὶ ὑγεια καὶ ἀνόρεια καὶ τ
ἕρα ἀγαθὰ δοκοῦντα τοῖς ἀνθρώποις ἀπώλεσαν τινας. οὐκ ὀλι
ἀναιρεῖσθαι σια πλούτου, ἀλλοι δὲ ὑπ ἀνόρειαν. ἀνόρειαν δὲ ἐνται
τὴν ψυχικὴν φησιν ἀρετὴν ἐν συμμέτρῳ θεωρουμένην τῆς τοῦ ὑ
ὁρμῆς καὶ ὀρέξεως, ἀλλὰ τὴν κατὰ τὸ σῶμα λαμβανομένην, ἣ καὶ
κυρίως ὠνόμασται, πρὸς τὴν ἐν τῇ ψυχῇ ἀνόρειαν ἀναλογοῦσα.
ἐν τῇ ψυχῇ τέσσαρες αι γενικαι αρεται, φρόνησις ἀνόρεια σωφροσύν
οσύνη, οὕτως ἐν τῷ σώματι ταῦτα τέτταρα, εὐαισθησία ἰσχὺς καλλο
ἡ μὲν φρονήσει ἀναλογοῦσα, ὡς γνῶσίς τις οὖσα ἐν ζῴου θεωρ

1 [illegible] B: γένεσιν a ἀνεγκὼν a 10 ταῦτα εἶναι καὶ a 13 τ
18 ἕως τοῦ B: verba Aristotelia plena praebet a 19 [illegible]
[illegible]

σώματι, ἡ δὲ τῇ | ἀνδρεία, ὡς καρτερικὸν τὸ σῶμα ποιοῦσα καὶ φερέ- 6
πονον, τὸ δὲ τῇ σωφροσύνῃ, ὡς τὸ σύμμετρον παριστῶν ἐν μεγέθει καὶ
συνθέσει πρὸς ἄλληλα τῶν μορίων τοῦ σώματος, ἡ δὲ τῇ δικαιοσύνῃ, ὡς
ἐν τῇ κράσει τῶν χυμῶν τὴν κατὰ φύσιν ἀναλογίαν φυλάττουσα. εἰ μὲν
οὖν οὕτως ἐνταῦθα τὸ σημαινόμενον τῆς ἀνδρείας ἐκλήψῃ, ἔσται συντε-
ταγμένη προσφυῶς τῷ πλούτῳ ὡς ὀργανικὸν καὶ αὐτὸ ἀγαθὸν κατὰ τὸν
τρόπον τῆς χρήσεως ἢ ὠφελοῦσα ἢ βλάπτουσα, εἰ μήπου τις ἔξωθεν δι'
ἐπίθεσιν βλάβης τοῖς ἔχουσι γίνοιτο πρόφασις, εἰ δὲ τὴν κυρίως ἀνδρείαν
ἐρεῖς ὅτι ἐν πρὸς ἓν ἀντέθηκε, πρός τι τῶν θυραίων καὶ ἔξωθεν ἓν τῶν
ἐντὸς καὶ κατὰ ψυχήν, δεικνὺς ὅτι καὶ ἐν τοῖς κυρίως παρ' ἡμῖν ἀγαθοῖς
εἰσάγεται τὸ ἀμφίβολον διὰ τὸ ἐκ τούτων τινὰς βλάπτεσθαι ἢ διὰ φθόνον
ἐπιβουλευομένους ἢ μαχομένους ἢ εὐλόγως ἢ καὶ παραλόγως ἐνίοτε, ὡς
καὶ δημώδη λόγον κρατεῖν τὸ ἀκίνδυνον τοῖς δειλοῖς ἐφαρμόζοντα καὶ μὴ
κλαίειν λέγοντα τὰς μητέρας αὐτῶν.

p. 1094b19 Ἀγαπητὸν οὖν περὶ τοιούτων καὶ ἐκ τοιούτων λέγοντας.

Ἐπεὶ τοσαύτην φησὶν ἔχει ἀμφιβολίαν τὰ παρὰ ἀνθρώποις καλὰ καὶ
δίκαια καὶ ἀγαθὰ καὶ οὐκ ἔστι βεβαία τις δόξα τούτοις περὶ αὐτῶν καὶ
ὁμόνοια, εἰ καὶ ἡμεῖς περὶ τούτων λέγοντες οὐ μετ' ἀκριβοῦς καὶ λεπτομεροῦς
ἐξετάσεως ἀλλ' ὁλοσχερῶς καὶ παχυμερῶς καὶ οὐ καθαρῶς, ἀλλ' ὡς ἐν
τύπῳ τινὶ τὴν περὶ τούτων ἀλήθειαν ἐνδειξόμεθα, ἀρκεστέον τοῖς λεγομένοις,
ὅμως ἐπεὶ οὐκ ἀναγκαῖα τὰ ὑποκείμενα οὐδ' ἀεὶ ὡσαύτως ἔχοντα ἀλλ'
ὡς ἐπὶ τὸ πολύ, ἀνάγκη καὶ τὰς περὶ τούτων δείξεις ἐκ τῶν ὡς ἐπὶ τὸ
πολὺ προτάσεων ἀποτελεῖσθαι· ὥστε καὶ τὰ συμπεράσματα οὐκ ἀναγκαῖα
ἀλλὰ τῶν ὡς ἐπὶ τὸ πολὺ ἔσονται, εἰ καὶ ἐξ ἀνάγκης τιθεμέναις ταῖς
προτάσεσιν ἕπονται. ἐπεὶ γὰρ οὔτε τὰ ὄντα οὔτε τὰ γινόμενα ἐξ ἀνάγκης
εἰσὶν ἢ γίνεται πάντα, ἀλλ' ἔστι τινὰ διακοπτόμενα τοῦ εἶναι καὶ τοῦ γί-
νεσθαι. ἐντεῦθεν καὶ τὸ ἐνδεχόμενον παρεισάγεται καὶ διαιρεῖται εἰς τρία
τάδε, εἰς τὸ ὡς ἐπὶ τὸ πολὺ τὸ ἐπίσης τὸ ἐπ' ἔλασσον. καὶ περὶ μὲν τὸ
ἀναγκαῖον ἐπιστήμη καταγίνεται ἀναγκαία οὖσα καὶ ἐξ ἀναγκαίων ἀναγ-
καῖα περαίνουσα, περὶ δὲ τὸ ὡς ἐπὶ τὸ πολὺ ἐνδεχόμενον τέχνη, ἐκ τῶν
ὡς ἐπὶ τὸ πολὺ προτάσεων τὰ ὡς ἐπὶ τὸ πολὺ συνάγουσα συμπεράσματα.
περὶ δὲ τὸ ἐπίσης λογισμὸς καὶ προαίρεσις, κριτικαὶ οὖσαι δυνάμεις καὶ
ᾗφῳ τὰ μέρη τῆς ἀντιφάσεως ἑκατέρωθεν ταλαντεύουσαι καὶ ὃ ἂν δόξῃ
δέον τοῦτο τοῦ ἀντικειμένου τιθέμεναι προυργιαίτατον. περὶ δὲ τὸ ἐπ
ἄκρατον οὐδενὸς ὄντως κατηγοροῦσι. διὸ καὶ τύχῃ καὶ ἀποφάσει τὰ τοι-
αῦτα τὸ τοιοῦτον ἀνέθεντο, τοὺς περὶ τούτου λόγους ἀποδιδόναι μὴ ἔχοντες.

1 καρτερὸν a 6 αὐτῇ ἀγαθὸν a 10 ἐντὸς a: ἐκτὸς B 11 διὰ τὸ καὶ ἐκ τού-
των a 12 εὐλόγως B: ἀλόγως a 15 rhesin usque ad verba καὶ συμπεράσματα
1094b22 praebet a 16 τοσαύτας—ἀμφιβολίας a 18 οὐ B: μὴ a
21 ἐπεὶ γὰρ οὐκ a 24 ἀλλὰ τῶν B: ἀλλ' a 31 προυργιαίτερον a 35
(ante τύχῃ) om. a καὶ (post τύχῃ) a: om. B

περὶ οὗ τὰ πρακτὰ τῶν ὡς ἐπὶ τὸ πολὺ ἀποβαινόντων ἐστὶ καὶ οὐ
ἀναγκαίων ὡς ποτε καὶ διακοπτόμενα, ὁ περὶ τούτων θεωρῶν εἴτε ὡ
ὡς αἰσχρῶν ἢ ὡς δικαίων ἢ ἄλλων τινῶν ἢ ὡς ἀγαθῶν ἢ φ
ὑπάρχει. τὰ τῶν ὡς ἐπὶ τὸ πολὺ λαμβάνων τοιαῦτα καὶ συμπερα
ὡστε καὶ ὡς τὸ τοιοῦτον ἀγαθὸν εἶναι δεδειγὼς ἢ καλὸν ἢ δικαι
ἐπὶ τὸ πολὺ μὲν ἀληθεύει, ἐνίοτε δὲ καὶ ψεύδεται, οὐ παρὰ τοῦτο μεμ
ὅτι μήτε ἐξ ἀναγκαίων μήτε ἀναγκαῖον ὃ δέδειχε. τὸ μὲν οὖν πρ
πρὸς τὸ λεπτομερὲς τῶν ἀναγκαίων ἀποδείξεων ἀντιτίθεται, τὸ δὲ
πρὸς τὸ καθαρῶς καὶ ἐναργῶς, τὸ δὲ ἐνδείκνυσθαι πρὸς τὸ ἀποδείκν
ἀποδείξεις μὲν γὰρ καθαρῶς καὶ βεβαίως τὸ ζητούμενον παριστᾷ, ἐ
δὲ διά τινων ἐκτυπώσεων καὶ μιμήσεων καὶ ἐμφάσεων, τὸ δὲ ὡς ἐ
πολὺ πρὸς τὸ ἀναγκαῖον, ὡς ἐκείνου μὲν ἀδιακόπου μένοντος, τοῦ δὲ
λεπτομερὲς ἀπόδειξις ἡ μέχρι τῶν πρώτ
ὡς ἐν ταῖς ἀρχῶν, ἃς ἐν τοῖς ὡς ἐπὶ τὸ πολὺ εὑρίσκειν χρὴ
ὡς ἐξ ἀναγκαίας τῆς παχυλοτέρας ἀποδείξεως λόγος ἀκουσθείη.
καὶ τύπος γράφειν καὶ μιμεῖσθαι. καὶ αὐτὸ τὸ δὲ ἐνδέχε
ἔσεσθαι καὶ ἐνδεχομένων προτάσεων τύπος ἀνάγκη ἀποδείξεως. ἐπεὶ
ἀ τῶν καθ' αὐτὸ καὶ ἡ αὐτὸ καὶ πρώτων καὶ ἀμέσων καὶ ἀπὸ
συμπεράσματος γίνεται ἀλλ' οὐδὲ ἐξ ἑτέρων ἃ ἐκ τοιούτων πεπεραντ

p. 1094b22 Τὸν αὐτὸν δὲ τρόπον καὶ ἀποδεχεσθαι χρεὼν λ
καὶ ῥητορικὰν ἀποδείξεις ἀπαιτεῖν.

Ἐπὶν ποίους λόγους ἐν τοῖς ὑποκειμένοις ἐνδέχεται γίνεσθαι,
θησι καὶ τῷ ἀκροατῇ πῶς πρὸς τοὺς οὕτω λεγόμενους διατίθεσθαι
καί φησιν ὅτι τὸν αὐτὸν τρόπον δεῖ ἀποδέχεσθαι τὰ λεγόμενα, ἤγο
μὴ ἐξ ἀναγκαίων συλλογιζομένου τοῦ λέγοντος μηδ' ὡς ἀναγκαῖα δε
τος, ἀλλ' ὡς ἐκ τῶν ὡς ἐπὶ τὸ πολὺ καὶ ὡς ἐπὶ τὸ πολύ. καὶ
τούτου ἡγεῖσθαι καλῶς ἔχοντα τὰ λεγόμενα καὶ μὴ τὸ ἀναγκαῖον ἐπ
ὧν ἀπαιτεῖν. εἶτα καὶ κανόνα τινὰ παραδίδωσι, μέχρι πόσου ἐπὶ τ
χρὴ τὸν ἀκροατὴν τῷ λόγῳ πειθομένου εἶναι ἢ
ἤτοι πολυπειρίαν ἐν λόγοις καὶ πράγμασιν ἔχοντας, ἐπὶ τοσοῦτον
ἕκαστον ὑποκείμενον ζητεῖν τὴν ἀκρίβειαν, ἐφ' ὅσον ἡ φύσις τοῦ πρ
τος ἐπιδέχεται· εἰ γοῦν ὁ τοιοῦτος πεπαιδευμένος, ἀπαίδευτος ἂν
τοῦ ὁρῶν τὸ ἀνάπαλιν· καὶ ἔργον τίθησι τὸ ἐπιφερόμενον, φ
ἁπλούστερον γὰρ φαίνεται μαθηματικοῦ πιθανολογοῦντος
γεσθαι καὶ ῥητορικὰν ἀποδείξεις ἀπαιτεῖν. ὁ μὲν γὰρ
ματικὸς τοιοῦτον ἔχει τὸ ὑποκείμενον ὡς δύνασθαι τὰ καθ' αὑτὸ συ
ἐκ αὐτῶν ἐξ ἀναγκαίων καὶ πρώτων καὶ καθ' αὑτὸ καὶ ἡ αὐτ
μέτων δεικνύειν προτάσεων. ὁ δὲ ῥητορικὸς ἐξ ἐνδόξων ἢ φαιν

ἴσως ἐνδόξων τὰ προκείμενα κατασκευάζει, οὐ σφόδρα κινούσας τὸν ἀκρα- 6v
τὴν εἰς κατάνευσιν. διὸ καὶ πιθαναὶ λέγονται, οὐκ ἀναγκαῖαι, ὡς μόνον
πρὸς τὸ πείθειν ὁπωσδηποτοῦν ἀφορῶσαι. εἰ οὖν τις τὸν μὲν μαθηματικὸν
ἀποδέχεται πιθανολογοῦντα, τὸν δὲ ῥητορικὸν οὐ συγχωρεῖ πιθανολογεῖν
ἀλλ' ἐπιστημονικὰς ἀποδείξεις ἀπαιτεῖν, ἀντικρυς ταῖς τῶν πραγμάτων
ἐναντιοῦται φύσεσι καὶ ἑαυτὸν ἐξελέγχει μὴ εἰδότα κρίνειν, καὶ διὰ τοῦτό
ἐστιν ἀπαίδευτος· ὅτι δ' ἕτερός ἐστιν ὁ περί τι πεπαιδευμένος ὥστε κρίνειν
τοὺς κατ' αὐτὸ τεχνίτας ἢ ἐπιστήμονας, δῆλον· τῷ μὲν γὰρ ἱκανόν, εἰ
πεῖραν λαβὼν μόνον ὅτι οἱ κατὰ γεωμετρίαν τυχὸν λόγοι ἐκ τοιῶνδε προ- 10
τάσεων γίνονται καὶ οὗτοι συλλογίζονται καὶ τοιῶνδε συμπερασμάτων,
τὸν γεωμετρεῖν ἐξετάζει ἐπαγγελλόμενον εἰ ἐκ τοιούτων καὶ οὕτως
συλλογίζεται, τῷ δὲ ἀναγκαῖον καὶ γεωμετρικῶς ἐνεργεῖν καὶ τὰς ἀπο-
δείξεις ποιεῖν ὁποίας τὸ τῆς ἐπιστήμης ὑποκείμενον δέχεται. τὸ αὐτὸ καὶ
ἐπὶ πάσης τέχνης καὶ ἐπιστήμης.

1 · p. 1094b27 Ἕκαστος δὲ κρίνει καλῶς.

Τρίτον τοῦτο προοίμιον ἐν ᾧ δείκνυσιν ὁποῖον εἶναι δεῖ τὸν ἀκροατὴν 15
τῶν ἐνταῦθα ῥηθησομένων· ὅτι πεπαιδευμένον τὰ λεγόμενα. εἰ γὰρ μὴ
οἶδεν, οὐκ ἂν ὀρθῶς κρινεῖ· εἰ δὲ μὴ κρίνει ὀρθῶς, οὐδ' ὀρθῶς ἀποδέ-
ξεται. μέχρι δὲ τίνος εἰδέναι ἀναγκαῖον τὸν ἱκανὸν κριτὴν τῶν λόγων ἐσό-
μενον, εἴρηται. ποιεῖται δὲ τὸν λόγον καθόλου λέγων, ἕκαστος ἐκεῖνα
κρίνει καλῶς ἃ γινώσκει. ἡ γὰρ γνῶσις ἑκάστου πράγματος γνώμων τίς 20
ἐστι τῆς κατ' αὐτὸ ὀρθότητος ἐν τῇ ψυχῇ τοῦ γινώσκοντος κείμενος, ᾧ
παρατιθεὶς τὸ κρινόμενον εὑρίσκει αὐτὸ εἴτε κατ' ἐκεῖνό ἐστιν εἴτε παρα-
βαίνει τὴν ἐκείνου ἀκρίβειαν. καὶ εἰ μὲν εὑρίσκει· ἐκ τῆς παραβολῆς ἐφαρ-
μόζων ἐκεῖνο τῷ γνώμονι, ἐπαινεῖ ὡς ἔχον εὖ, εἰ δὲ μή, καταμέμφεται αὐτὸ
προσηκόντως ὡς μὴ τῷ κανόνι ἐφαρμοζόμενον. ὁ τοίνυν εἰδὼς ὡς ἔχει
φύσεως τὸ κρινόμενον ἔχει γνῶσιν τοῦ κρινομένου· ὁ τοῦτο, ἔχει τὸν κα-
νόνα αὐτοῦ καὶ τὸν γνώμονα· ὁ τοῦτο, ἔχει ᾧ ὀρθῶς τὴν κρίσιν ποιήσεται·
ὁ ἄρα γινώσκων ὡς ἔχει φύσεως τὸ κρινόμενον, ἔχει ᾧ ὀρθῶς κρινεῖ. ὁ δὲ
μὴ γινώσκων, ἀνάπαλιν. διὸ ἐκεῖνος μὲν ἀγαθὸς κριτής, οὗτοσὶ δὲ φαῦλος. 25

p. 1094b28 Καθ' ἕκαστον ἄρα ὁ πεπαιδευμένος.

Ἡ ὁλοκληρία τοῦ λόγου τοιαύτη· πᾶς ὁ κρίνων τι, καλῶς γινώσκει
ἐκεῖνο· πᾶς ὁ γινώσκων τι πεπαιδευμένος περὶ ἐκεῖνό ἐστιν· πᾶς ἄρα ὁ κρί-

1 τὰ προκείμενα bis B 9 λόγοι a: οἱ λόγοι B 11 ἐπαγγ- γόμενον ἐξετάζει a
15 rhesin usque ad verba ἀγαθὸς κριτής praebet a 18 κρινεῖ B: κρίνει a οὐδ
B: οὐκ ἂν a 18. 19 ἀποδέξεται Vat. 1022: ἀποδέξεται B: ἀποδέξαιτο a 22 κεί-
μενον a 24. 25 ἐκεῖνο ἐφαρμόζον a 26 προσηκόντως scripsi: π σήκοντος B:
[illegible] B: [illegible] πᾶν πεπαιδευ-
μένος praebet a 33 πᾶς ἄρα — περὶ ἐκεῖνό ἐστιν B: om. a

ὁ πεπαιδευμένος περὶ ἐκεῖνό ἐστιν. ἐνταῦθα δὲ ἡ μείζων πρό
ἁπλῶς τοῦτον· ὅπως ὁ αὐτὸς πολὺν τοῖς ῥήτορσιν. ἡ μὲν οὖν ἔννοια
κρίνει πάντας· οὕτως ὁ ἕκαστος εἰρηκὼς κρίνει καλῶς ἃ γινώσ
καὶ τοιοῦτος ἐστιν ὁ ἀγαθὸς κριτής· ὁκεῖ μερικῶς εἰληφέναι τοὺς εἰ
καὶ κρινομένων· καὶ τὰ γινόμενα καὶ κρινόμενα. ἔστι δ' ἀληθῶς καὶ
ἡ πρότασις, ὡς δυνασθαι ταῦτο τὸ ἕκαστος κρίνει καλῶς τῷ πᾶς. τ
πᾶς οὐ τὸ καθόλου σημαίνει ἀλλ' ὅτι καθόλου, ὡς εἶναι τὸ πᾶς τῶν
ἕκαστον ἄθροισμα. τὸ γὰρ ἕκαστος τῶν πάντων καὶ πᾶς τὸ αὐτὸ
τὴν ἔννοιαν δύναται. τὸ αὐτὸ δ' ἂν εἴποις καὶ περὶ τῶν γινωσκομ
καὶ κρινομένων. ἃ γὰρ πάντες οἱ γινώσκοντες καὶ κρίνοντες γινώσ
καὶ κρίνουσι, ταῦτα πάντα ἐστὶ τὰ γινωσκόμενα καὶ κρινόμενα. κα
κρίνειν δὲ καλῶς ἃ γινώσκει καὶ τούτων εἶναι ἀγαθὸν κριτὴν ἐκ πα
ἥλου ἐστὶ τὸ αὐτό. τὸ δὲ καθ' ἕκαστον ἄρα ὁ πεπαιδευμένος
πρασμά ἐστι τοῦ συλλογισμοῦ ἐκ μιᾶς συνημμένου προτάσεως ὅσου
τὸ φαινόμενον, δοκοῦν μὲν καὶ αὐτὸ μερικόν, καθόλου δὲ ὂν ἀληθῶ
τὸ πάντα δηλοῦν τὰ καθ' ἕκαστα ὡσανεὶ ἐπαγωγικῶς ἐν ταὐτῷ συναγή
καὶ τὸ καθόλου πιστούμενον· ὃ καὶ ἐπιφέρει λέγων ἁπλῶς ὅτι ὁ περι
πεπαιδευμένος. ὁ μὲν οὖν Ἀριστοτέλης οὕτω τὸν λόγον διέθετο.
τὸ μὲν καθ' ἕκαστον κρίνειν τὸν πεπαιδευμένον ὀρθῶς ἀληθὲς καὶ φα
τὸ δὲ περὶ πᾶν πεπαιδεῦσθαί τινα ὡς πάντα κρίνειν ὀρθῶς, δόξειεν ἂν
ἀδύνατον. πῶς γὰρ ἐνδέχεται ἕνα τινὰ τῶν ἀνθρώπων εἰδέναι πάντ
ἀγαθὸν εἶναι κριτὴν ἐν ἅπασιν; οὐ γὰρ ὅσα πέφυκεν ἁπλῶς ὁ ἄνθρ
κατορθοῦν ὡς νοῦ καὶ ἐπιστήμης δεκτικὸς δυνατόν ἐστί τινι τῶν
καστα τῇ ἑαυτοῦ γνώσει ἐνεργείᾳ συλλαβεῖν ἅπαντα. ἴσως οὖν οὐ
οὐ δυνατὸν τοῦτο ἁπλῶς, ἀλλ' ὅτι αἱ καθ' ἕκαστα πάντες ἀνθρωποι
τὸ καθόλου ἀνάγονται, ὁμοίως καὶ οἱ πεπαιδευμένοι ὑπὸ τὸν καθόλο
παιδευόμενον. διὰ τοῦτο οὕτως εἶπεν, ὥσπερ ὑποτιθέμενος· ἐν τῇ
ἀρετῇ ὥσπερ ὁ καθ' ἕκαστα πεπαιδευμένος κρίνει καλῶς ἐκεῖνο π
πεπαίδευται, οὕτως εἴ τις ὑπόθοιτο ἁπλῶς εἶναι περὶ πᾶν πεπαιδευ
τινὰ ἔσται κριτὴς ἀγαθὸς ἐκεῖνος τοῦ κρινομένου παντός. μήποτε δὲ ἐ
ἐν τοῖς πράγμασι πολύπειρον καὶ δυνάμενον πᾶν τὸ προτιθέμε
κρίσιν τῇ αὐτοῦ τριβῇ παρατίθεσθαι κἀντεῦθεν κρίνειν ὀρθῶς.
στιν ἰδεῖν πολλοὺς γραφικὴν μεταχειριζαμένους οὐδέποτε καὶ τὰς
ἄλλων γραφομένας εἰκόνας δυναμένους κρίνειν κατὰ τὸ ὅσον. τοῦ
καὶ ἐπ' ἄλλων τεχνῶν γίνεται καὶ εὕροις ἂν τὸν Ἀριστοτέλην πολ
κατὰ τοῦτο τὸ σημαινόμενον τῷ τῆς παιδείας χρησάμενον ὀνόματι
ἴναι δῆλον ὅτι | ἄλλη μὲν γνῶσίς ἐστιν ἡ κατὰ τὸ ἐπίστασθαι καὶ
ἡ κατὰ τὸ πεπαιδεῦσθαι, ἥτις πολυπειρία οὖσα ἱκανότητα τῷ κεκτ

1 τῶν B: τῷ a 14 τοῦ B: om. a 17 καὶ τὸ καθόλου πιστουμένου B
B: ἀπὸ τοῦ a

παρέχεται πρὸς τὸ κρίνειν ὀρθῶς τὰ κατὰ τὰς ἐπιστήμας καὶ τὰς τέχνας τ[ὰ]
ἀποτελούμενα τάς τε θεωρητικὰς καὶ πρακτικὰς καὶ ποιητικάς.

p. 1095a2 Διὸ τῆς πολιτικῆς οὐκ ἔστιν οἰκεῖος ἀκροατὴς ὁ νέος.

Προθέμενος ἐν τῷ τρίτῳ προοιμίῳ περὶ ἀκροατοῦ εἰπεῖν ὁποῖον δεῖ τ
εἶναι, πρότερον μὲν καθόλου διέλαβε περὶ τοῦ ὁποῖον δεῖ εἶναι τὸν κρίνοντα
τὰ καθ' ἑκάστην τέχνην ἢ ἐπιστήμην ἐνεργούμενα καὶ ἀποτελούμενα, εἶτα
ἦλθεν εἰς τὸ προκείμενον διὰ τῶν κοινῶς εἰρημένων δεικνὺς καὶ αὐτὸ ὅτι
τῆς πολιτικῆς οὐκ ἔστιν οἰκεῖος ἀκροατὴς ὁ νέος. καὶ δείκνυσιν 10
αὐτὸ διὰ δύο ἐπιχειρημάτων· πρῶτον μὲν ἐκ τῆς τοῦ χρόνου βραχύτητος,
ἣν ὡς νέος ἔτι διήνυσεν ἐν τῷ βίῳ, μὴ δυνηθεὶς δι' ὀλίγου πεῖραν λαβεῖν
τῶν κατ' αὐτὸν πράξεων, ἐξ ὧν καὶ περὶ ὧν οἱ λόγοι· ὅθεν οὐδὲ δύναται
κρίνειν ὀρθῶς ταῦτα. ὁ δὲ συλλογισμὸς ἐν πρώτῳ σχήματι. ὁ νέος ἄπειρος
τῶν κατὰ τὸν βίον πράξεων· πᾶς ἄπειρός τινων οὐ δύναται κρίνειν ἐκεῖνα
ὧν ἄπειρός ἐστιν· ὁ νέος ἄρα οὐ δύναται κρίνειν καλῶς τὰς κατὰ τὸν
βίον πράξεις· ἀλλ' οὐδὲ τὰ ἐξ αὐτῶν καὶ περὶ αὐτῶν λεγόμενα, εἴτε εὖ 15
εἴτε μὴ λέγεται. ἐξ αὐτῶν δὲ λέγεται, ὅταν ὡς προτάσεις λαμβάνωμεν,
περὶ αὐτῶν δέ, ὅταν ὡς πράγματα καὶ συμπεράσματα. τὸ δὲ δεύτερον
ἐπιχείρημα τὸ ἔτι δὲ τοῖς πάθεσιν ἀκολουθητικὸς ὢν καὶ τὰ τῆς
παιδείας δείκνυσι καὶ ἀνωφελῆ τῷ νέῳ τὴν τῶν τοιούτων λόγων ἀκρόασιν.
πᾶς γὰρ λόγος καὶ πᾶσα πρᾶξις καὶ ἐνέργεια πρὸς τέλος τι ὁρῶντα, εἰ 20
μὴ τυγχάνοι τούτου, μάτην λέγεται γίνεσθαι. ἐπεὶ τοίνυν οἱ περὶ ἀρετῆς
λόγοι οὐ πρὸς θεωρίαν ἁπλῶς ἀποβλέπουσιν ἀλλὰ πρὸς τὸ πρακτικὸν τῆς
σπουδαίας καὶ μεταδιώκειν τὸ ἀγαθόν, εἰ μὴ τοῦ τέλους ἐπιτυγχάνοιεν,
μάτην λέγονται καὶ μάτην ἀκούονται. ἐπεὶ τοίνυν ὁ ἄνθρωπος ἐξ ἀρχῆς
ἐν τῷ βίῳ γενόμενος τὸν μὲν λόγον ἔχει ἀργόν, προλαμβανούσας δὲ τὰς 25
ὀρέξεις καὶ τὰς ὁρμὰς ἀρρήτους καὶ τὰ ἤθη ἐπιτηδεύοντας ἤδη καὶ
τερπνά, ᾠθάνει καταπρατούμενος ὑπ' αὐτῶν σφοδρῶς ἐπεγειρομένων διὰ τὴν
ἡδονήν. καὶ εἰ πανουργίαν καὶ ἐμπαθῶς ἔχοι καὶ τὴν φύσιν πονηρὰν
εἶναι μάλιστα σπεύδουσαν διὰ τὸ ἀρχρειοδὲς τῆς ὑπάρξεως· καὶ δεῖται χρόνου
καὶ τῆς ἐκ λόγων παιδείας καὶ κατηχήσεως, ὥστε διασκεδασθῆναι αὐτῷ 30
τὸν κάρον τῆς ἐμπαθείας καὶ διαιρεθῆναι τῆς ἀγνοίας τὸ κάλυμμα. ὥστε
γνῶναι τὸ κρεῖττον καὶ ἀποσχέσθαι τοῦ χείρονος καὶ τὴν μὲν ἄλογον ἀπο-
στραφῆναι ζωήν. προελέσθαι δὲ τὴν μετὰ λόγου καὶ ὁρμῆς ἀρτίους· ὃ καὶ
δυσχερές ἐστι καὶ ὅτας οὐκ ὀλίγος δεόμενον διὰ τὸ προαιρεῖσθαι τοῦ γὰ-
ρους καὶ μαθεῖν ἤδη τὸ εἶναι ἁπλῶς τοῦ εὖ εἶναι προτίθεσθαι καὶ μὴ ἄλλο 35
εἰδέναι καλὸν ἢ τὸ ἐπιμελεῖσθαι σαρκός. καὶ διὰ τοῦτο οὐ μόνον νουθε-
τῶν ἀπὸ καὶ σκωμμάτων πολλοὺς καὶ δεινῶν καὶ ἔργων ἀπέστησε τοῦ
ῥᾴονος ἀποσχόμενοι βίου τὸ τῆς ἀρετῆς ἐπίπονον προτιμήσωσι. διὰ

2 τε B: om. a ποιητικάς B: πολιτικάς a 3 rhesin usque adverba ἀλλὰ πρᾶξις (p. 1095a6) praebet a 21 τυγχάνοι B: τυγχάνει a ἀρετῆς B: ἀρετὴν a
32 ἀποσχέσθαι B: προθέσθαι a 35 προτίθεσθαι a: προτίθεται B

τοῦτο τοὺς νέους ἀνοήτους ἢ τούτων τῶν λόγων ἀκροατὰς, ὅτι πάθε
ται ἀλόγῳ συνηθείᾳ δουλεύοντες καὶ πράττειν ταγαθὰ μὴ αἱρούμενο
γὰρ ἥδε ἡ τέχνη οὐ θεωρητική ἐστιν ἁπλῶς, ἵνα τῇ γνώσει τῶν λεγ
ἀρκῶνται οἱ ἀκούοντες, ἀλλὰ πρακτική, καὶ δεῖ τῇ γνώσει τῶν λόγ
τὰς πράξεις προστίθεσθαι· εἰ δὲ μή, μάτην οἱ λόγοι καὶ ἡ τούτων ἀκ

p. 1095a6 Διαφέρει δ' οὐδὲν νέος τὴν ἡλικίαν.

Ἐπεὶ τὸν νέον εἶπεν ἀνοίκειον ἀκροατὴν τῶν προκειμένων λόγ
τε τὴν ἀπειρίαν καὶ ἐμπάθειαν, προστίθησι νῦν ὡς οὐδὲ ὑπερήλιξ ἀ
ἁπλῶς ὑπερβὰς τὴν νεότητα ἱκανῶς ἔχει διὰ τὸν χρόνον τῆς τῶν
μενων λόγων ἀκροάσεως. ἀλλὰ δεῖ καὶ αὐτὸν, εἰ μέλλει οἰκείως α
λόγους ὑπάρχειν τῆς τῶν παθῶν δουλώσεως. καὶ γὰρ ὁ νέος οὐ τ
διὰ τὴν ἡλικίαν τῶν λόγων τούτων ἀνοίκειος, ὅσον διὰ τὴν τῶν
κατακρατήσιν, ὥσπερ κύφωνι τῇ μοχθηρίᾳ τὸν λογισμὸν βαρυνόμεν
πρὸς γῆν ὁρῶν καὶ τὴν ταύτης ἀπόλαυσιν, ἀνανεῦσαι δὲ πρὸς τὸ ἄ
συγχωρούμενος ἢ ὡς νέφους παχύτητι τῇ ἐμπαθείᾳ τὸν ὀφθαλμ
διανοίας ἐπιπροσθούμενος καὶ διαβλέψαι πρὸς τὸ ἀγαθὸν μὴ δυνο
ὥστε κἂν γέρων τις εἴη ἐμπαθῶς ἔχων, οὐδὲ οὗτος οἰκείως ἀκροατὴ
των τῶν λόγων διὰ τὸ καὶ ἐν γήρᾳ τῆς ἡλικίας νεαρὸν τὸ ἦθος εἰ
κατὰ πάθος ζῆν καὶ τῆς ὀρέξεως ἔχειν ἀλόγως καὶ ἐμπαθῶς.

p. 1095a8 Τοῖς γὰρ τοιούτοις ἀνοήτοις ἡ γνῶσις.

Ἔτι τὸ αὐτὸ δείκνυσι λαμβάνων τοὺς ἀκρατεῖς εἰς παράδειγμα.
τῆς γάρ ἐστιν ὁ ὑπὸ χειρονός τινος συνηθείας κατακρατούμενος, ει
στάνων τῷ λόγῳ καὶ ἀνακόπτειν ἑαυτὸν τῆς παραλόγου ὁρμῆς βου
καὶ κρατεῖν μὴ δυναμενος. ὡς γὰρ ἐν ἐκείνῳ ὁ λογος τ φαῦλον οὐδε
τῇ | παραλόγῳ ὀρέξει συνυπαχθῆναι, καὶ βούλεται μὲν ἀπ-χεσθ
φαύλης συνηθείας, νικᾶται δ' ὑπὸ τοῦ πάθους τῇ συνηθείᾳ τῇ μ
κατακρατούμενος, οὕτω καὶ πᾶς ζῶν ἐμπαθῶς τοὺς περὶ τῆς ἀρετῆς
ἐνωτιζόμενος, ὑπ' αὐτῶν ὠφεληθῆναι οὐ δύναται, τῇ συνηθείᾳ ἐμ
πρὸς τὰ φαῦλα κατασυρόμενος. τοῖς δὲ κατὰ λόγον τὰς ὀ
ποιουμένοις. ἐκ τοῦ ἐναντίου τοῖς προσεχῶς εἰρημένοις τὸ ἐνταῦ
γόμενον. ὡς γὰρ οἱ ἐμπαθῶς ζῶντες ἐκ τῶν ἐνταῦθα λεγομένων
ὠφελοῦνται, οὕτως οἱ κατὰ λόγον τὰς ὀρέξεις ποιούμενοι πλεῖστα ἂ
λοῦντο τὴν τῶν ἐνταῦθα λεγομένων εἴδησιν ἔχοντες. πρὸς ὃ ἂν τ
ρήσειε λέγων, ὡς δόξειεν ἂν καὶ περιττὸν τὸ περὶ τούτων διδάσκ

1 τε δοκῶνται add. μόνη a ἀλλὰ B: ἀλλὰ καὶ a 6 rhesis usque ad ve
στα (p. 1095a8) a 10 οἰκείως a: χρέως B 13 τὸν λογισμὸν a: τῶν
15 νέφους παχύτητι B: νέφει παχυτάτῳ a 16 διαβλέπειν a 18 νεαρὸς B
19 ἐμπαθῶς scripsi: ἐμπαθείας Ba 20 rhesis usque ad περιαιρεῖσθω τοσαῦτα (p
21 [illegible] B

γὰρ οἱ μὲν φαῦλοι ἐκ τούτων μὴ ὠφελοῦνται πρὸς τὴν διόρθωσιν, οἱ δὲ ἀγαθοὶ καὶ πρὸ τούτων κατὰ λόγον τὰς ὀρέξεις ποιοῦνται, δόξειεν ἂν οἱ λόγοι τοῖς μὲν φαύλοις μάταιοι ὡς ἀνωφελεῖς, τοῖς δ' ἀγαθοῖς περιττοὶ ὡς καὶ πρὸ αὐτῶν εὖ ἔχουσιν. ἢ τοῖς μὲν ἀγαθοῖς πρὸ τῶν λόγων ἐκ συνηθείας μόνης τὸ ἀγαθὸν κανόνα μὴ ἔχουσι τεχνικὸν ᾧ τὰς πράξεις παραμετρήσουσι, κατά γε τοὺς λόγους σὺν μέτρῳ καὶ λόγῳ τεχνικῷ ἡ τῶν ἀστείων μετέλευσις πράξεων. διὸ καὶ βεβαιοτέρα αὐτοῖς ἡ τοῦ ἀγαθοῦ ἀντιποίησις πληροφορουμένοις ἐκ τῶν λόγων, πότε καλῶς ἢ μὴ καλῶς ἔχουσιν. ἄλλως τέ εἰσι τῶν ἀνθρώπων πολλοὶ ἐξ ἀρχῆς μὲν εὐθὺς τὰ φαῦλα ἀποστρεφόμενοι καὶ τῶν ἀγαθῶν ὀρεγόμενοι, ὅπως δὲ τοῦτο ποιήσωσι λήθῳ διαστήσουσι καὶ ἑαυτοῖς τὰ κρείττω περιποιήσονται, οἰκοθεν εἰδέναι μὴ ἔχοντες· καὶ δεῖ τούτοις λόγου καὶ τέχνης πρὸς τὴν ἐκλογὴν τῶν καλῶν καὶ κατόρθωσιν. ἀλλ' οὐδὲ τοῖς φαύλοις πάντῃ ἀνόνητος ἡ τῶν λόγων τούτων κατάληψις. εἰ γὰρ μὴ εὐθὺς αὐτοῖς ἡ ἐκ τούτων ὄνησις παντάπασι παντήσεται, ἀλλὰ διορθώσεταί γε κακοῦ κατεχόμενοι καὶ ὅσον πύρρω γεγόνασι τοῦ βελτίονος, εἴπερ μὴ πάντῃ εἶεν ἀσύνετοι, ἔξουσί τινα ὁρμὴν πρὸς διόρθωσιν. καὶ οὕτω κατὰ μικρὸν ἐπιδιδόντες τάχ' ἂν καὶ παντελῶς πρὸς τὸ κρεῖττον μεταθεῖντο. καὶ ἄλλως δὲ ἠθικὴ καὶ πολιτικὴ ἰατρικὴ τῶν ψυχῶν. καὶ ὥσπερ ἡ τῶν σωμάτων ἰατρικὴ καὶ συντηρητικὴ ἐστι τῆς ὑγιείας ἐν τοῖς ὑγιαίνουσι καὶ ἀναληπτικὴ αὐτῆς ἐν τοῖς κάμνουσιν, οὕτω καὶ πρὸς τὰς ψυχὰς ἡ ἠθικὴ καὶ πολιτική. δόξειε γὰρ ἂν ἄτοπον τὰ μὲν σώματα καὶ τὰς φύσεις ὑπὸ τῆς τῶν θεραπευτῶν ὠφελεῖσθαι ὅπως ἂν ἔχωσι, τὰς δὲ ψυχὰς λόγον ἐχούσας καὶ χρωμένας αὐτῷ ἐκ τῆς οἰκείας ἰατρικῆς μὴ ὠφελεῖσθαί ποτε, ὅπως ἂν ἔχωσι διαθέσεως, εἴτε στερεούμεναι ἐν τῷ κατὰ φύσιν, εἴτε διορθούμεναι ἐκ τοῦ παρὰ φύσιν· καίτοι ψυχαῖς βράω, ὅσον ἐκ τῆς οὐσίας αὐτῶν, ἢ σώμασί τε καὶ φύσεσιν καὶ ἡ ἐν τῷ ἀγαθῷ τε μονὴ καὶ συντήρησις καὶ ἡ ἐκ τῶν φαύλων διόρθωσις, ἅτε λόγον ἐχούσαις καὶ νῷ γειτνιώσαις καὶ ἀπ' ἀμφοῖν συνεργουμέναις πρὸς κατάκτησιν τοῦ βελτίονος. ἴσως δὲ καὶ Ἀριστοτέλης πρὸς τὴν κρίσιν τῶν λεγομένων, εἴτε εὖ ἔχουσιν εἴτε μή, πλέον εἴρηκε μὴ συμβαλλεσθαι τοῖς ἐμπαιδέσι τὰ παρ' αὐτοῦ λεχθησόμενα, ἅτε ἀσυνήθως ἔχουσι καὶ ἀπείρως τῶν χαριέντων ἀκουσμάτων τε καὶ ἐνεργημάτων, ὥσπερ πλείστην λυσιτελεῖ τοῖς κατὰ λόγον ὀρεγομένοις καὶ πράττουσι τῷ οὕτω διακεῖσθαι αὐτούς. καὶ περὶ μὲν ἀκρατοῦς συμπεραίνει τὰ εἰρημένα ἐπανόδῳ χρώμενος κἀκ τῶν ὑστέρων ἀνιὼν πρὸς τὰ πρότερα· εἶτ' ἐπιφέρει

1 ὠφελοῦνται a: ὠφελοῦντο B 6 κατά B: μετά a 7 αὐτοῖς οὕτως ἡ a 12 λόγου scripsi: λόγῳ B: λόγων a 15 ὑπαντήσεται a 18 μεταθεῖντο a: μεταθέωνται B ἡ ἠθικὴ a 21 ἂν om. a 22 τὸ τὰ μὲν σώματα a 28. 29 συνεργούμεναι a 31 ἅτε καὶ ἀσυνήθως a 33 λυσιτελεῖ a: λυσιτελῆ B 35 πρότερα scripsi: πρότερον Ba

p. 1095a14 Λέγωμεν δὲ ἀναλύοντες.

[illegible] τῶν προοιμίων ἀρχόμενος τῆς παρούσης πραγματεί
τοῦ ἀνθρωπίνου ἀγαθοῦ ζητήσεν. ἐξετάζων εἰ ἔστι τι ἀκρότατον
τῶν παρ' ἀνθρώποις πρακτῶν ἀγαθῶν, πρὸς ὃ τὰ λοιπὰ ἀναφέρον
τίς ἡ δύναμις ἡς τέλος τοῦτό ἐστι. καὶ ὅτι μάλιστα, δῆλόν ἐστιν ἱκανὸ
κατὰ τὴν ὑποκειμένην ὕλην, καὶ ὅτι ἡ πολιτική ἐστιν, ἧς τέλος τοῦ
καὶ ὅτι ἀρχιτεκτονικωτάτη τῶν πρακτῶν ἐπιστημῶν καὶ δυνάμεων.
πασῶν πρώτην καὶ πάσαις ἐπιτάττουσα, ὡς καὶ τὸ τέλος αὐτῆ
χειν τὰ τῶν ἄλλων. νῦν δὲ ἤδη χωρεῖ πρὸς τὸ δεύτερον πρόβλη
ζητεῖ τί ἐστι τοῦτο ὃ φαμεν εἶναι ἀνθρώπινον ἀγαθὸν καὶ τέλος π
καὶ ὧδε τῆς ἀνθρώπου φύσεως. ἐπειδὴ πᾶσα γνῶσις καὶ
ρεσις. ὃ προλαβὼν ἔδειξεν ἐν τῷ πρώτῳ τῶν προοιμίων, ὅτι ἡ π
τῶν λοιπῶν ἐπιστημῶν καὶ δυνάμεων ὑπερέχει, καὶ ὅτι τὸ ταύτη
ἀκρότατον τῶν πρακτῶν ἀγαθῶν, λαμβάνει νῦν ὡς ὁμολογούμενον
τεῖ τί ἐστιν οὐ αὕτη ἐφίεται. καὶ ἐφερμηνεύων ἐπάγει καὶ τί τ
τῶν ἀκροτάτων τῶν πρακτῶν ἀγαθῶν. ταὐτὸν γάρ ἐστιν τ
οὗ ἐφίεται ἡ πολιτικὴ καὶ τὸ πάντων τῶν πρακτῶν ἀγαθῶν ἀκρ
εἰ γὰρ κυριωτάτη αὕτη πασῶν τῶν πρακτῶν ἐπιστημῶν καὶ μεθόδ
ἂν καὶ τὸ ταύτης τέλος τῶν ἐν ἐκείναις τελῶν κυριώτατον καὶ σ
[illegible] λεγεται οὕτω κατὰ λόγον τινα.

p. 1095a17 Ὀνόματι μὲν οὖν σχεδόν.

Διττῶς ἀποδίδοται τὸ τί ἐστιν· ἢ γὰρ δι' ὀνόματος ἢ δι' ὁρισμ
καὶ δι' ἀλλήλων ταῦτα ὁρίζονται, ὡς εἶναι τὸ μὲν ὄνομα ὁρισμὸν
τυγμένον, τὸν δὲ ὁρισμὸν ὄνομα ἐξηπλωμένον. τὴν μὲν οὖν κατὰ
ἀπόδοσιν τῆς εὐδαιμονίας ὁμολογεῖσθαί φησιν ὑπὸ τῶν πλείστων
προσέθηκε δὲ τὸ σχεδὸν διὰ τὸ ἔστιν οὓς ἀγνοεῖν καὶ τοῦνο
μηδ' εἰς ἔννοιαν ἰέναι ποτὲ εἰ ἔστι τι ἐν πράγμασιν εὐδαιμονία
μενον. χρῶνται οὖν φησι τῷ ὀνόματι καὶ οἱ πολλοὶ καὶ οἱ χ
ὅτοι οἱ τυγόντες τε καὶ χυδαῖοι καὶ οἱ χάριτός τινος μετέχον
παιδεύσεως τυχόν καὶ τοῦ συνειδέναι ταῖς ἀγαθαῖς πράξεσιν.
οὗτοι ἐλάττους τῶν ἀπαιδεύτων καὶ ἀμετόχων τῆς ἀρετῆς. οὐ μ
ἀλλὰ καὶ δόξα κοινὴ τοῖς ἅπασιν ἥδε. τὸ ταὐτὸν εἶναι τῷ εὐδαιμ
εὖ ζῆν καὶ τὸ εὖ πράττειν, συγκεχυμένη καὶ αὕτη καὶ ἀδιάρθρωτο

1 rhesis usque ad verba τῶν πρακτῶν ἀγαθῶν (p. 1095a17) a 7 καὶ ὡς
11 12 post προαίρεσις addit ἀγαθοῦ ὀρέγεται a 14 ὡς B: τὸ a
[illegible] B: καὶεῖ a 22 rhesis usque ad τ
[illegible] B: 27 B:

p. 1095a20 Περὶ δὲ τῆς εὐδαιμονίας τίς ἐστιν ἀμφισβητοῦσι. 8r

Πάντων πάντας εἰς τὸ αὐτὸ φέρεσθαι ὄνομα τῆς εὐδαιμονίας τούς τε πολλοὺς καὶ τοὺς χαρίεντας, πρὸ τοῦ τί ἐστι, τίς ἐξετάζει· ὧν τὸ μὲν τοῦ ὑποκειμένου, τὸ δὲ τοῦ οὐσιώδους λόγου ὀργανικόν. ὅρισαι οὖν ὅτι καὶ τοῦτο, λέγω δὲ τὸ τίς ἐστιν, ἀμφισβητεῖται τοῖς τε πολλοῖς καὶ τοῖς σοφοῖς πρὸς ἀλλήλους, καὶ τισι πολλοὶς πρὸς πολλοὺς καὶ σοφοὶς πρὸς σοφούς· ἐνίοτε δὲ καὶ πρὸς ἑαυτούς τινες διαφέρονται κατὰ τοῦτο, τῇ διαφορᾷ τῶν συμπιπτόντων ἑπόμενοι καὶ ὑπὸ τῶν καιρῶν τὰς ὀρέξεις ἐναλλαττόμενοι. οἱ μὲν οὖν πολλοὶ τῶν ἐναργῶν τι καὶ φανερῶν, ἥγουν τῶν αἰσθήσει ληπτῶν, ἡγοῦνται τὴν εὐδαιμονίαν ὑπάρχειν, οἷον ἡδονὴν ἢ πλοῦτον ἢ τιμήν. διὸ καὶ οἱ μὲν φιλήδονοι, οἱ δὲ φιλόπλουτοι, οἱ δὲ φιλότιμοι ἤτοι φιλόδοξοι δείκνυνται, ὅπερ ἡγεῖται ἀγαθὸν μεταδιώκοντες ἕκαστος· ἄλλοι δὲ ἄλλο τι τοιοῦτον· πολλάκις δὲ καὶ ὁ αὐτὸς ἕτερον· νοσήσας μὲν γάρ τις μακαρίους κρίνει τοὺς ὑγιαίνοντας, καὶ κρεῖττον πάντων ἀποφαίνεται τὴν ὑγίειαν. 1. ὑπὸ πενίας δὲ στενούμενος τὸν πλοῦτον ὑπερτίθησιν. οὕτω μὲν οἱ πολλοί· σοφίας δέ τις ἐπιμελόμενος καὶ συνειδὼς ἑαυτῷ λειπομένῳ τινὸς κατὰ σοφίαν θαυμάζει τὸν ὑπὲρ αὐτὸν εἰδότα καὶ λέγοντα.

p. 1095a26 Ἔνιοι δὲ ᾠήοντο παρὰ τὰ πολλὰ ταῦτα.

Τοῦτο περὶ Πλάτωνος ἔοικεν εἰρῆσθαι, ὃς τὸν θεὸν εἶναι τιθεὶς τὸ αὐταγαθὸν ἐκεῖνο ἐκέλευεν εἶναι πάσης αἰτίαν ἀγαθότητος καὶ πᾶν ὅ ἐστιν ἀγαθὸν ἢ λέγεται, τῇ ἐκείνου μετοχῇ τοῦτο εἶναι καὶ λέγεσθαι ἐκεῖνο δὲ μή τινος μετοχή, εἶναι ἀγαθὸν ἀλλὰ πρώτιστον τῶν ἁπάντων αὐτὸ ὂν ἑαυτὸ τοῦτο εἶναι καὶ λέγεσθαι. καίτοι ὁ μὲν νῦν λόγος οὐ περὶ τοῦ ἁπλῶς καὶ κοινοῦ ἀγαθοῦ τοῦ πρὸ πάντων ὄντος καὶ ἑαυτοῦ πᾶσι μεταδιδόντος 2. καὶ πάντων μὲν ἐξῃρημένου, ὑπεροχικῶς δὲ θεωρουμένου ἐν ἅπασιν ἀλλὰ περὶ τοῦ ἀνθρωπίνου ἀγαθοῦ καὶ τῆς τοῦ ἀνθρώπου ἰδίας φύσεως, ὡς ἕτερον μὲν εἶναι τοῦτο, ἕτερον δὲ πάντῃ περὶ οὗ ὁ Πλάτων λέγει. καθὰ καὶ οὗτος εἰρήκειν· εἴ γε ἄλλο τὸ πᾶσι κοινὸν τοῦ ἰδίᾳ φύσει τινὶ ζῶντος, ὡς δοκεῖ εἶναι περιττὸν περὶ ἑτέρου λέγοντα παρεξαγαγεῖν τὸν λόγον 3. εἰς ἕτερα καὶ ἐξετάζειν ἐκεῖνο περὶ οὗ λέγειν τὴν ἀρχὴν οὐ προτέθειται. ἀλλ' οὗτος πρόφασιν ζητῶν τοῦ Πλατωνικοῦ καθάψασθαι λόγου, τὰ περὶ τοῦ πρώτου ἀγαθοῦ παρ' ἐκείνου λεγόμενα εἰς μέσον ἐνταῦθα παρήγαγεν.

1 τίς Ba ut Arist. cod. Ob: τί Arist. vulg. rhesis usque ad ὑπὲρ αὐτὸν λέγοντας, θαυμάζουσιν (p. 1095a26) a 3 τίς] suprascr. νῦν rubro B post τίς add. ἐστιν a 11 ἤτοι B: ἤ a 18 rhesis usque ad εἶναι ἀγαθά (p. 1095a28) a 26 ἰδίας a: ἰδίου B ὡς a: καὶ B 29 ἑτέρου B: ἑτέρων a

p. 1095a28 Ἀπάσας μὲν οὖν ἴσως ἐξετάζειν τὰς δόξας ματαιότ

Ἐπεὶ προλαβὼν πολλὴν εἶπε διαφορὰν εἶναι καὶ πάνυ τοῖς ἀ
ποις περὶ τοῦ ἀγαθοῦ ὡς μὴ μόνον πρὸς ἀλλήλους διαφέρεσθαι τοὺς
λους καὶ τοὺς σοφούς, ἀλλά τινας καὶ πρὸς ἑαυτούς, διὰ τοῦτό φησι
τὰς περὶ τοῦ ἀγαθοῦ δόξας ἁπάσας περιττὸν εἴη. αἱ π
γὰρ αὐτῶν προσανεῖς εἰσι πόρρω τῆς ἀληθείας. γένοιτο δ' ἂν ὁ
ἔχων ὁ λόγος, εἰ περὶ ἐκείνων ἐξετασομεν. ὅσαι μάλιστα ἐγγίζου
ἀληθεῖ, εἰ καὶ μὴ ἀκριβῶς ἐφικνοῦνται, ἢ δοκοῦσιν ἔχειν λόγον τινά
ὧν καὶ ἐνδέχεται ἀπατηθῆναί τινα καὶ τοῦ ἀληθοῦς ἐκπεσεῖν. τῶν
πόρρω τῆς ἀληθείας δοξῶν οὐδεμία ἂν ἐφελκύσαιτο ἄνθρωπον φιλαλ
ζόμενον καὶ συνετῶς, ὡς καὶ ἐπὶ τῶν αἰσθήσεων. φάτταν γὰρ τις
ὁρῶντα, ὃν περιστερὰν οὐχὶ δὲ καὶ νῆτταν ἰδεῖν.

p. 1095a30 Μὴ λανθανέτω δ' ὑμᾶς ὅτι διαφέρουσιν.

Τῶν ἀρχῶν καὶ αἰτίων κατὰ τὸν Ἀριστοτέλην τεσσάρων οὐσῶν,
τικοῦ τελικοῦ εἰδικοῦ ὑλικοῦ, περὶ τελικῆς ἀρχῆς ἐνταῦθα ἡ ζήτησ
καὶ εἴρηκεν ὡς ἐν ὀνόματι ὑπὸ τῶν πλειόνων ὁμολογεῖσθαι, περὶ δ
τίς ἐστιν αὕτη πλείστην εἶναι παρ' ἀνθρώποις ἀμφιβολίαν. ἐπεὶ δὲ
ἀρχῆς ὁ λόγος, καὶ ταύτην εὑρεῖν ἐκζητεῖ τίς ἐστι, λίαν οὖσαν ἀμφι
σιμον. καὶ μέλλει ἀπὸ τῶν αἰτιατῶν παραστήσαι αὐτήν, ἀπὸ τῶν ἀ
νων ἐπὶ τὴν ἀρχὴν ἀνιών· διὰ τοῦτο ταῦτά φησι, τοὺς ἀκροωμένους
γούμενος μὴ ξενίζεσθαι, εἰ ἀπὸ τῶν ὑστέρων πιστοῦται τὰ πρότερα
φόρους γὰρ γίνεσθαι τὰς διὰ τῶν λόγων διδασκαλίας, πῇ μὲν ἀπὸ τ
χῶν ἐπὶ τὰ ἀρχόμενα, πῇ δὲ ἀνάπαλιν· τὸ μὲν γάρ ἐστι τῆς κατὰ
τῶν πραγμάτων ἀκολουθίας, τὸ δὲ τῆς διδασκαλικῆς οἰκονομίας· ἃ
τῶν αὐτῶν ὄντων γνωριμωτέρων καὶ σαφεστέρων τῇ φύσει τε καὶ ὡ
ὂν ἄρχεσθαι ἡμᾶς ἀπὸ τῶν σαφεστέρων ἡμῖν, ὅπως οὕτω ῥᾷον τοῖς
μένοις παρακολουθείημεν. ἴσως δ' ἂν τις ζητήσαι πῶς τὸ αὐτὸ ἀρχ
λος πρὸς τὰ αὐτὰ λέγεται. τῶν γὰρ κατὰ τὰς ἀρετὰς πραξέων τε
δαιμονία πασῶν, ἀλλὰ καὶ ἀρχὴ καὶ αἰτία αὐτῶν· οὐ γὰρ ἂν ἦσα
σαρες αἱ ἀρχαί· ἢ οὐ κατὰ τὸ αὐτὸ τέλος καὶ ἀρχή; ἀλλὰ θεωροῦ
ἀρχή, τὸ τέλος ἐστίν, ἐνεργοῦσι δὲ τὰ διὰ τέλος καὶ πρὸς τὸ τέλος
σαν, ἡ τελικὴ ἀρχὴ ἐπιγίνεται, οἷον ἐπὶ τῆς οἰκοδομικῆς· περὶ γὰ
πῃ θεωρήσαντες πρότερον κωλυτικῆς τῶν ἐκ τοῦ περιέχοντος β

1 ὡς Arist. post ματαιότερον: codem loco a, qui rhesin praebet usque ad ... p. 1095a30) 4 ἀλλὰ καί τινας καὶ a 6 προφανῶς a 12 ... a 13 ὑμᾶς, ut Arist. codd. LbMb: ἡμᾶς Arist. vulg. rh ... ἐκ τὰς ἀρχάς (p. 1095a32) a 15 τελικῆς ἀρχῆς B: τελικοῦ ἄρχεται ...

σκοποῦμεν τὰ φέροντα πρὸς αὐτὴν καὶ διιόντες τῷ λόγῳ διὰ τῶν μέσων εἰς ἐσχάτην καταντῶμεν τὴν ὁρυξιν καὶ ἐκ ταύτης ἀρχόμεθα· καὶ οὕτως ἀνιόντες διὰ τῶν μέσων καὶ ἀεὶ τὰ ἐν τῇ θεωρίᾳ πρότερα τῇ τάξει δεύτερα ἐν τῇ πράξει ποιούμενοι καταντῶμεν εἰς τέλος, ὃ ἐξ ἀρχῆς προειθέμεθα. ἀλλ' ἐπεὶ ἡ θεωρία προτέρα τῆς πράξεως (οὐ γὰρ ἂν ἐπράξαμεν, εἰ μὴ ἐθεωρήσαμεν πρότερον), ἔτι δὲ καὶ αἰτία γεννητικὴ ἡ θεωρία τῆς πράξεως, διὰ τοῦτο καὶ κυρίως ἀρχὴ τὸ τελικὸν αἴτιον, καὶ τελειωτικὸν ὡς τελειοῦν τὰ ἄγοντα πρὸς αὐτό, ὡς μάτην εἶναι εἰ μὴ ἀνενεχθῇ πρὸς αὐτό. διὰ τοῦτο καὶ ἀρχικὸν ὡς τελειωτικόν, καὶ τέλος καὶ ἀρχὴ ὡς τελειωτικὸν καὶ ἀρχικόν. ἀλλ' ἐπεὶ καὶ ὀρεκτὸν τὸ τέλος, τοῖς πρὸς αὐτὸ * * * αἴτιον αὐτοῖς τοῦ εἶναί τε καὶ γίνεσθαι καὶ προϋπάρχον ἐν τῇ πράξει αὐτῇ ἐστι τὸ ἄγειν πρὸς ἑαυτὸ τὰ κατ' ὄρεξιν τὴν αὐτοῦ ἐνεργούμενα καὶ ἀποτελούμενα, διὰ ταῦτα καὶ ἀρχή τε καὶ αἴτιον. ἦν καὶ ἄλλα εἰπεῖν ἀλλὰ διὰ τοὺς φιλαιτίους ἱκανὰ τὰ εἰρημένα.

p. 1095a32 Εὖ γὰρ καὶ Πλάτων.

Τὸν Πλάτωνα παράγει μάρτυρα ὅτι τε ἔστι καὶ ἀπὸ τῶν ἀρχῶν πρὸς τὰ ἐξ αὐτῶν ὁδεῦσαι τῷ λόγῳ καὶ ἀνάπαλιν, καὶ ὅτι διάφορος ἡ ὁδὸς τῇ σχέσει, κἂν ᾖ τὰ αὐτὰ ὑποκείμενα δι' ὧν ἀμφότεραι γίνονται, ὡς ἐπὶ τῆς κλίμακος ἡ ἄνοδος καὶ ἡ κάθοδος· ἢ καὶ ὡς αὐτός φησιν, ὡς ἐν τῷ σταδίῳ [ὡς] ἀπὸ τῶν ἀθλοθετῶν ἐπὶ τὸ πέρας ἢ ἀνάπαλιν. οἱ μὲν ἀθλοθέται λόγον ἔχουσιν ἀρχῆς, ὡς καὶ τοῦ ἀγῶνος συστατικοὶ καὶ ποιητικοί, τὸ δὲ πέρας τοῦ σταδίου, οὐχ ὡς ἀρχὴ ἀλλ' ὡς ἔσχατον· ἡ αὐτὴ οὖν ὁδὸς ἡ μεταξὺ ἑκατέρωθεν, ἀλλ' ἡ ἀπὸ θατέρου εἰς θάτερον κίνησις τῶν τρεχόντων τῇ σχέσει διάφορος· οὕτω δὲ καὶ ἡ ἀπὸ τῶν ἀρχῶν [ἐπὶ] τὰς ἀρχὰς ὁδὸς καὶ κίνησις τοῦ λόγου.

p. 1095b2 Ἀρκτέον μὲν γὰρ ἀπὸ τῶν γνωρίμων·

Περὶ τούτων εἴρηται μὲν ἤδη, ῥητέον δὲ καὶ εἴ τι ἐν ταῖς διδασκαλίαις καὶ ταῖς μαθήσεσι τὰ σαφῆ δεῖ προηγεῖσθαι τῶν ἀσαφῶν. ἐπεὶ δὲ διττῶς ἔχει ταῦτα, ὡς εἶναι τὰ μὲν ἁπλῶς καὶ κυρίως ἔχοντα τὸ σαφὲς καὶ κατὰ τὴν τῶν πραγμάτων ἀκολουθίαν ὡς τὰ αἴτια πρὸς τὰ αἰτιατά, οἷον οἱ τῶν ἐπιστημῶν ὅροι καὶ αἱ ἀρχαὶ πρὸς τὰ ἐξ αὐτῶν θεωρούμενα, τὰ δὲ πρὸς ἡμᾶς, ὡς ἔν τισι τῶν ἐπιστημῶν τὰ αἰτιατὰ τῶν αἰτίων ἡμῖν σαφέστερα φαίνονται, ὡς ἐπὶ τῆς σελήνης ἔχει καὶ τῶν διαφόρων φωτισμάτων αὐτῆς

10 post τὸ τέλος add. τὸ δ' ὀρεκτὸν a lacunam indicavi 11 προϋπάρχειν a τῷ ἄγειν a 13 ἦν δὲ καὶ a 15 rhesis usque ad ἡ ἀνάπαλιν (p. 1095b1) a 16 Πλάτωνα] Resp. VI p. 511 B 19 ὡς ἐν τῷ] ὥσπερ ἐν τῷ Arist. 19. 20 post σταδίῳ add. ὡς B: om. a 20. 21 οἱ μὲν γὰρ ἀθλοθέται a 23 θατέρου B: τέρων a 25 post ἀρχῶν add. καὶ a 26 γὰρ Ba, ut Arist. libri HaKbMbOb: οὖν Arist. vulg. rhesis usque ad τῶν ἡμῖν γνωρίμων (p. 1095b4) a

(τοῦ γὰρ σφαιρικοῦ τῆς σελήνης αἰτίου ὄντος τῶν τοιῶνδε φωτισμά
αὐτῆς, ἡμῖν ἐξ ἀρχῆς σαφέστερα τὰ φωτίσματα γίνεται, ἐναργῆ ὄντα
τῇ αἰσθήσεως προσβολῇ γινωσκόμενα)· διὸ καὶ ἐκ τῶν αἰτιατῶν τεκ
ρωῶς συλλογιζόμενοι τὸ αἴτιον ἑαυτοῖς ἀποδεικνύομεν, τὰ αἰτιατὰ
αἰτίου ποιούμενοι πρότερα διὰ τὸ εἶναι πρὸς ἡμᾶς γνωριμώτερα. το
ἐπεὶ ἀρχὴ μὲν τελικὴ ἡ εὐδαιμονία. αἱ δὲ πρὸς αὐτὴν ὡς τέλος ἄγο
αἱ κατὰ τὰς ἀρετὰς εἰσὶ πράξεις. αὗται δὲ ὕστεραι μὲν τῇ φύσει ὡς
εὐδαιμονίας αἰτιαταί, ἡμῖν δὲ σαφέστεραι καὶ γνωριμώτεραι, ἐκ τοῦ
ἡμῖν ἀρκτέον καὶ ἀνιτέον δι' αὐτῶν πρὸς τὸ αἴτιον. ἀκούσαι δ' ἂν
ταῦτα καὶ καθόλου περὶ τῶν ἀρετῶν. ἕξεις γὰρ αἱ ἀρεταὶ καὶ ἀρχαὶ
αἴτια τῶν κατ' αὐτὰς πράξεων. ἐπεὶ οὖν τὰς ἀρετὰς τις τῷ ἑκαστη
ὁποία ἐκ τῶν κατ' αὐτὰς πράξεων ὡς ἡμῖν σαφεστέρων γνωριζόμεν. δι
ὡς ἐκ τῶν αἰτιατῶν καταλαμβάνομεν τὰ αἴτια καὶ ἡ ὁδὸς ἡμῖν οὕτω
νεται ἀπὸ τῶν ἀρχῶν ἐπὶ τὰς ἀρχας.

15 p. 1095b4 Διὸ δεῖ τοῖς ἤθεσιν ἠχθαι καλῶς.

Ἐπεὶ ἀπὸ τῶν ἀγαθῶν πράξεων τὸν περὶ ἀρετῆς καὶ εὐδαιμο
λόγον μέλλει συστήσασθαι, αἱ δὲ πράξεις αἰτιαταί καὶ ὕστεραι, τοῦτ
οὐκ ἔστι τοῦ διότι ἀλλὰ τοῦ ὅτι ἀπόδειξις (ἐκ τῶν προτέρων γὰρ
διότι συνίστασθαι πέφυκε· τὸ δὲ ἐκ τῶν ὑστέρων δεικνύμενον, ὅτι
δείκνυται, οὐ διότι ἔστι· τὸ γὰρ διότι ἐστὶν ἀπόδοσις αἰτίας, ἡ δ' α
προτέρα)· διὰ τοῦτό φησιν ὅτι δεῖ τοῖς ἤθεσιν ἠχθαι καλῶς τὸν
καλῶν καὶ δικαίων καὶ ὅλως τῶν πολιτικῶν ἀκουσόμενον ἱκανῶς. τοῦτ
δεῖ γεγυμνασμένον εἶναι καὶ εἰθισμένον ταῖς ἀγαθαῖς πράξεσι τὸν περὶ
φρονήσεως καὶ ἐνεργειῶν ἀκουσόμενον. τὸ δὲ αὐτῆς τῆς συνηθείας
τῆς πείρας ἔχοι τοῖς λεγομένοις ἕπεσθαι καὶ μὴ ἐνίσταιτο εὐθὺς
ἃ λέγομεν περὶ ἀρετῆς καὶ εὐδαιμονίας, ἀηδῶς ἔχων διὰ τὸ συνειθῆ
πρὸς ταναντία· τὸ δὲ ὅλως τῶν πολιτικῶν ἐπήνεγκε τῷ περὶ κα
καὶ δικαίων λόγῳ ἢ διὰ τὰ λοιπὰ τελικὰ ἃ καὶ αὐτὰ ἐν ταῖς πολιτ
ζητοῦνται ἢ περὶ τῶν παρωνύμως ἐκ τῶν ἑτέρων ἀρετῶν ὀνομαζομέ
οἷον ἀνδρείων σωφρονικῶν καὶ τῶν τοιούτων. ἀρχὴ γὰρ φησι τὸ
τοιοῦτος ἐκ τῶν ὑστέρων ἀρχόμεθα καὶ αἰτιατῶν καὶ τὸ ὅτι δεικνυ
καὶ εἰ τοῦτο, ἤγουν τὸ ὅτι φαίνοιτο ἱκανῶς τῷ ἀκροατῇ ὡς καλῶς ἀχ
τοῖς ἤθεσιν. εὕροιτο ἂν τοῖς λεγομένοις καὶ οὐδαμοῦ τοῦ διότι δεησόμ
μέζονος γὰρ τῆς θεωρίας ἢ κατὰ τὴν παροῦσαν πραγματείαν περὶ ἀρ
καὶ εὐδαιμονίας δεῖν τὸ σαφὲς ἐκ τῶν προτέρων καὶ αἰτίων ἀφο
φαίνοιτο. εἰ γὰρ ὑπεραναβῆναι τὴν ψυχικὴν οὐσίαν καὶ εἰς νοῦν γενέ

1 συλλογιζόμενοι a: συλλογιζόμενα B 5. 6 ἐπεὶ τοίνυν a, cf. p. 8,6 9 ἀκούσα
ἀκούσει Ba 11 ἐπεὶ—πράξεων (12) bis B 15 ἤθεσιν ut Arist. libri LbM
Arist. vulg. et Eustratius v. 21 thesis usque ad τοῦ διότι (p. 1095b7) a
[illegible] B [illegible] Εὐστρατιο B [illegible]

καὶ θεόν, ἃ μόνα πρότερα τῆς ψυχῆς ἐστι, καὶ δεῖξαι ἐκεῖθεν, τίς τε ἡ 9r
τῆς λογικῆς ψυχῆς ἀρετὴ καὶ ὅπερ προσῆκον αὐτῇ μακάριον. 10

p. 1095b7 Ὁ δὲ τοιοῦτος ἢ ἔχει ἢ λάβοι ἄν.

Ὁ ταῖς καλαῖς καὶ δικαίαις συνεθισθεὶς πράξεσιν ἢ ἔχει ἀρχὰς περὶ
5 ἀρετῆς καὶ εὐδαιμονίας, ὡς ἤδη ἐν ἕξει τῶν καλῶν γεγονὼς ἐκ τῶν πρά- 15
ξεων, κἂν μήπω περὶ τούτων τεχνολογοῦντός τινος ἤκουσεν, ἢ λάβοι ἂν
ῥᾳδίως, διὰ τὸ πλειστάκις ἀπορρέεσθαι μὲν τῶν χειρόνων, προστεθῆναι δὲ
τοῖς ἀμείνοσι, καὶ ἐν πείρᾳ γενέσθαι διαφόρων καλῶν καὶ φαύλων, ὅ ἔστιν 15
ἰδεῖν ἐπὶ τῶν πῇ μὲν ἀπολαυστικῶς πῇ δ' ἐγκρατῶς διαζώντων καὶ ἐφι-
10 στανόντων τῷ λόγῳ, πῶς ἔχουσι τῆς ψυχικῆς διαθέσεως ἐν ταῖς ἐναντίαις
ταύταις ὁρίζοντες.

p. 1095b8 Ὅτι δὲ μηδέτερον ὑπάρχει τούτων.

Ὅς, φησί, μήτε ἀρχὰς ἔχει (ἐκ τοῦ ἐπὶ μακρὸν ἐνεθισθῆναι ταῖς ἀγα- 21
θαῖς πράξεσιν ἢ καὶ δι' εὐφυίαν ῥᾳόν ἑαυτῇ προσοικειουμένην τὰ ἀγαθά,
15 μήτε πρὸς λῆψιν τῶν ἀρχῶν ἑτοιμότατα διὰ τὸ φύσεως πρὸς τὸ ἀγαθὸν
ἐπίρροπον, ἀλλὰ βαρέως ἔχει) καὶ ἀργῶς πρὸς τὴν τῶν κρειττόνων ἕξεως
αἵρεσιν ἢ διὰ βραχύτητα χρόνου τοῦ ἐν γυμνασίᾳ ἢ διὰ τὸ πρὸς ταῦτα 25
σχολαῖον τῆς φύσεως ἢ διὰ τὸ περὶ ταῦτα ἀήθες καὶ ἀπείραστον, ἀκου-
σάτω τῶν Ἡσιόδου ἐπῶν, ἐν οἷς ἄριστον μὲν λέγει τὸ ἀφ' ἑαυτοῦ τὰ
20 βέλτιστα εἰδότα καὶ αἱρούμενον (οὗτος δέ ἐστιν ὁ ἔχων ἤδη ἀρχάς),
ἀγαθὸν δὲ καὶ οὗ καὶ' ὑπεροχὴν ἄριστον καὶ τὸν ἄλλου λέγοντος καλῶς
πειθόμενον (οὗτος δέ ἐστιν ὁ μήπω μὲν ἔχων ἀρχάς, ῥᾳδίως δὲ λαβεῖν 30
δυνάμενος διὰ τὸ τοῖς ἐχέφροσι πείθεσθαι), ὃς δὲ μηδέτερον τούτων,
ἀχρεῖος οὗτος ἀνήρ, ἤτοι χρείαν ἔν τινι ὠφελίμῳ ὡς ἀνθρωπος πληροῦν
25 μὴ δυνάμενος, ἤγουν ἄχρηστος. τριμεροῦς δὲ τῆς ἀνθρώπου ψυχῆς οὔσης,
ἤγουν ὡς μέρη ἐχούσης λογισμὸν θυμὸν ἐπιθυμίαν, πολλάκις οἱ ποιηταὶ 35
θυμὸν αὐτὴν ἐκ μέρους καλοῦσιν, ἐκ τοῦ μέσου ὀνομάζοντες καὶ τὰ παρ'
ἑκάτερα· ἢ θυμὸν κατ' ἰδίαν ὀνομάσαντες ἀπὸ τοῦ θύω, ὃ δηλοῖ τὸ ὁρμῶ
ὡς αὐθόρμητον καὶ αὐτοκίνητον ἢ ὡς αἴτιον τῷ σώματι τῆς κατὰ τόπον
30 κινήσεως. ἀμεταβάτῳ ὄντι καὶ ἀκινήτῳ καθ' ἑαυτό. 40

2 ὅπερ B: τί τὸ a 3 ἢ λάβοι ἂν ἀρχὰς ῥᾳδίως a 12 rhesis usque ad ἀχρήστος ἀνήρ (p. 1095b13) a 13 ψυχῆς rubro colore ex ψυχ- B: ἐκ τοῦ ἐπὶ μακρὸν γρ. a: om. B 16 ἔχει Vat. 1622 et liber quem descripsit B, ut videtur, cum quomodo interdum ubi nonnulla facilius intelleguntur: ἔχων a 19 Hesiod. Opp. 293
28 τοῦ θύω ὃ δηλοῖ τὸ ὁρμῶ Vat. 1622: τοῦ θύω τὸ ὁρμῶ Ba

p. 1095b 14 Ἡμεῖς δὲ λέγομεν ὅθεν παρεξέβημεν· τὸ γὰρ ἀγ

Περὶ τῆς εὐδαιμονίας εἰπεῖν ἀρξάμενος καὶ μετὰξὺ παρεμβαλὼ
τρόπον τῆς διδασκαλίας ὁποῖός ἐστιν καὶ ὁποῖον δεῖ εἶναι τὸν
ακροατὴν επαναλαμβάνει παλιν τὸν λόγον, πῶς ἔχουσι δόξης φάσκ
ανθρωποι περὶ εὐδαιμονίας κατὰ τὰς τῶν βίων διαφορὰς καὶ τῶν πρ
σεων· καί φησιν ὅτι οὐκ ἄνευ λόγου καὶ ἀκολουθίας τῆς πρὸς τὸν
ἕκαστος βίον τόδε εἶναι τὴν εὐδαιμονίαν ἢ τόδε ὑπολαμβάνουσιν· ο
πολλοὶ καὶ φορτικώτατοι τὴν ἡδονήν. ἐπικρατεῖ γὰρ τῶν πλ
τὸ ῥᾳον τῆς ζωῆς καὶ ἄπονον, ὃ τῇ ἡδονῇ παρακολουθεῖ. διὰ τοῦ
βαρεῖς εἶσι καὶ καθ' Ὅμηρον "ἑτώσιον ἄχθος ἀρούρης", καὶ ἡ
μηδὲν τι συντελοῦντες κατὰ βίον μήθ' ἑαυτοῖς μήθ' ἑτέροις τῶ
σαρκὸς ἀπολαύειν ἡδέων ἄτερ πόνου παντός. διό φησι καὶ τὸν βίον
πᾶσι τὸν ἀπολαυστικόν· τὴν ἡδονὴν γὰρ τὸ ἀγαθὸν ἡγούμεν
ανθρωπινον· την αὐτῆς ἀγαπῶσιν ἀπόλαυσιν. ὀφείλων δὲ ἀποδοῦν
σχῆμα τοῦ μερισμοῦ μεταξὺ παρέβαινε τοὺς ἐμφανεστέρους τῶν βίω
ριθμούμενος καὶ φασκων τρεῖς γαρ εἰσι μαλιστα οἱ προέχ
ἐπείπερ οἱ πολλοὶ πρὸς ἡδονὰς ἀφορῶσι μάλιστα καὶ ταύτην κρίνουσι
τῆς οἰκείας ζωῆς, διὰ τοῦτο καὶ ὡς ἕνα βίον αὐτοῖς τὸν ἀπολαυ
ἀποδέδωκεν. τοὺς παντως τούτων συνειλὼν ἐν αὐτῷ· ἐξ οὗ ἐπὶ τὸν
τικὸν ἀνεισιν. ἐκ τοῦ ἐμπαθοῦς εἰς τὸν μετριοπαθῆ, ἐνδιδόντα μ
τοῖς πάθεσι, πλὴν κανόνι τοῦ λόγου, μέτρῳ τε καὶ σταθμῷ, ὡς αὐ
τορα μὲν εἶναι τὸν λόγον, ἐπιτάττειν δὲ τοῖς πάθεσιν ὡς ὑπηρέταις οὗ
γρῆσθαι αὐτοῖς ὡς βούλεται· τρίτον δέ φησι καὶ κορυφαιότατον τὸν
ρετικόν. τὸν ἀπαθῆ καὶ καθόλου πάσης ὀρέξεως ἀπηλλαγμένον ἐνέ
οὐ γὰρ τὸν φυσιολογικὸν ἐνταῦθά φησι θεωρητικὸν ἢ τὸν μαθηματ
θεολογικὸν ἀλλὰ τὸν διὰ καθάρσεως τῆς τῶν παθῶν κηλίδος πρὸς θ
κατεπειγόμενον, ὃς διακόπτων τὴν ὑλην καὶ τὸ σαρκικὸν τοῦτο νέφ
προκάλυμμα θεῷ καὶ τοῖς θείοις ὁτὶ ἀπαθειαν συγγενεστ· οὐδὲ
οἰκείων ἐπὶ πράξεων καὶ πρακτικῶν ἀρετῶν εἰπεῖν προθέμενον κατο
τῶν πρακτικῶν βίων τὸν τελειότατον. ὅς ἐστιν ὁ καθαρτικός, συντα
τοῦτον· ἢ κατὰ τὰς μαθήσεις θεωρητικόν.

p. 1095b 19 Οἱ μὲν οὖν πολλοὶ παντελῶς ἀνδραποδώδεις.

Πάνυ ἐξουθενεῖ τοὺς σαρκικὴν ἡδονὴν τὸ ἀγαθὸν ἡγουμένους κα

1 ῥᾳον B et Arist. libri Ha Ob: λέγωμεν a et Arist. vulg. rhesis usque
p. 1095b 19) a 10 καθ' Ὅμηρον Il. Σ 104 17 ἐπείπ
ἡδονὰς B: ἡδονὴν a 20 ἐνδιδόντα a: ἐνδιδόντα B μένῃ B: μ
ἐπιτάττειν scripsi ex Vat. 1622: ἐπιτάττει B: ἐπιτάττοντα a οὐσι ex
28 cf. Platon. Tim. Locr. p. 100 B 30 καθαρτικός B
συντάξαι B: συνέταξε a 32 rhesis usque ad Σαρδαναπάλῳ (p. 109
ἐξουθενεῖ scripsi: ἐξουθενοῖ Ba ἡδονὴν B: ἡδὸν a

τὴν ὡς ἐκεῖνο μεταδιώκοντας, ἀνδραποδώδεις καλῶν αὐτοὺς διὰ τὸ ἀλόγοις 9v
πάθεσιν ὑποκεῖσθαι καὶ δουλικῶς ὑποτάττεσθαι· τὸ δὲ φαίνονται οὐχ
ὡς φαινομένων τοιούτων, μὴ ὄντων δέ, ἀλλ' ὡς ἐχόντων ἐναργῆ τὴν πρὸς
τὰ χείρονα δούλωσιν, οὓς καὶ βοσκημάτων ζῆν εἶπε βίον, ὅτι λογικοὶ ὄντες
φύσει, προαιρέσει ἑαυτοὺς τοῖς βοσκήμασι συνέταξαν, ὡς ἄλογα ζῶα πρὸς
μόνον τὸ ἡδὺ κατ' αἴσθησιν ἀποβλέποντες. εἰ' ἐπεὶ ἑώρα πολλοὺς τῶν
τοιούτων ἐπιφανεῖς κατὰ τὸν βίον καὶ τιμωμένους ἐν ταῖς πολιτείαις καὶ 10
ἐδόκει ἀντίξουν εἶναι τοῦτο πρὸς τὸ λεγόμενον ὑπ' αὐτοῦ, ἀποδίδωσι τὴν
αἰτίαν, τῶν ἐξουσιαζόντων ἐν ταὐτῷ καθαπτόμενος καὶ νήφειν οἰόν ἐγκελευό-
μενος, ἵνα μὴ αὐτοὶ φαῦλοι γενόμενοι καὶ τοῖς ὑπ' αὐτοὺς μοχθηρίας
ὦσιν αἴτιοι· τυγχάνουσι γάρ φησι λόγου διὰ τὸ πολλοὺς τῶν ἐν
ἐξουσίᾳ ὁμοιοπαθεῖν Σαρδαναπάλῳ. εἰ γὰρ οἱ ἐν πόλεσιν ἢ ἐν ἔθνεσιν
ἐξουσιάζοντες μὴ εἶεν ἐμπαθεῖς ἀλλὰ φιλοπόνως ζῶσι καὶ κατ' ἀρετήν,
οὐκ ἂν ποτε τοῖς τῶν ὑπηκόων μοχθηροτέροις τῆς πρὸς ἑαυτοὺς εἰσόδου 15
παραχωρήσαιεν ἀλλ' ἀποπέμψονται, κἀντεῦθεν τὸ πονηρὸν ἐξουθενούμενον
οὐ μόνον οὐκ ἐπιδώσει πρὸς αὔξησιν ἀλλὰ καὶ λίαν ἐλαττωθήσεται ἢ καὶ
τέλειον ἀφανισθήσεται· εἰ δ' οἱ ἐξουσιάζοντες μοχθηροὶ εἶεν καὶ ἡδυπα-
θεῖς καὶ Σαρδαναπάλῳ ὅμοιοι, τοὺς ὁμοίους αὐτοῖς ἀκειώσονται καὶ τὴν
κακίαν ἐπιδοῦναι ποιήσουσι. βασιλεὺς δὲ Περσῶν ὁ Σαρδανάπαλος, ἀνὴρ 20
θηλυμανὴς καὶ ἀκόλαστος καὶ ἀσελγέστατος, οὗ τῶν τῆς τρυφῆς διηγη-
μάτων τὰ τῶν παλαιῶν γέμει συγγράμματα.

p. 1095b22 Οἱ δὲ χαρίεντες καὶ πρακτικοί. 20

Ὥσπερ ἄχαρις ὁ φαῦλος καὶ ἀηδὴς κατὰ τὸν ὀρθὸν τῆς κρίσεως λόγον,
διότι τῶν ἀγαθῶν ἄπρακτος, οὕτω χαρίεις καὶ ἡδὺς ὁ τῶν ἀγαθῶν πρακ-
τικός. ἀποδίδωσιν οὖν ἐνταῦθα τὸν μερισμὸν καί φησιν ὅτι οἱ πρακτικοὶ
τῶν καλῶν τῆς μὲν σαρκικῆς καταφρονοῦσιν ἡδονῆς, τῆς δέ γε τιμῆς ἀντι-
ποιοῦνται μάλιστα· καὶ σχεδὸν ταῖς πολιτικοῖς ἀνδράσιν αὕτη τὸ τέλος τῆς
περὶ τὰ καλὰ σπουδῆς· τὸ δὲ σχεδὸν εἶπεν, ὅτι εἰσί τινες οἳ διὰ τὴν ἀρε-
τὴν καὶ τὸ κατ' αὐτὴν τέλειον πονοῦσι, πάντα τἄλλα ἡγούμενοι δεύτερα.
μάρτυς τοῦ προτέρου ὁ παρ' Ὁμήρῳ Ἀχιλλεύς, ἐν δόξῃ προτιμήσας διὰ
βραχέος θανεῖν ἢ ἐπὶ μακρὸν ἀδόξως ζῆν, τοῦ δὲ δευτέρου Σωκράτης,
ὃς ἀρετῇ καὶ σοφίᾳ ζήσας, τῇ παραλόγῳ καταδίκῃ ἐνέμεινε, τῆς ἀκοπίου
σωτηρίας τὸν ἐν ἀδίκῳ καταδίκῃ προθέμενος θάνατον. ἐῶ γὰρ νῦν εἰς
μέσον ἄγειν τοὺς καθ' ἡμᾶς, τῆς προτιμήσεως ταύτης ζωὴν τὸν θανάτου
προτιμήσαντας θάνατον μετὰ τυραννικῆς ἀδόξου καταδίκης καὶ τοὺς ἐν 30
ἀναχωρήσει καὶ μονίᾳ θεῷ μόνῳ σχόντας δήλην τὴν αὐτῶν τελειότητα· περὶ
γὰρ τῶν καθ' ἡμᾶς οὐδ' Ἀριστοτέλης ἔννοιαν ἔσχηκε.

8 ἀντίξουν Ba 11. 12 ἐν ταῖς ἐξουσίαις Aristoteles 12 ὁμοιοπαθεῖν a et Arist.: ὁμοιοπαθεῖς B 22 rhesis usque ad τοῦτο τὸ τέλος (p. 1095b23) a 30 cf. Arist. Rhet. A 3 p. 1359a3 ἐν B: om. a 32 ζήσας B: συζήσας a, fort. rectius

p. 1095b23 Φαίνεται δ' ἐπιπολαιότερον εἶναι.

Ἡν περὶ τοῦ ἀνθρωπίνου ἀγαθοῦ ὀξὺν ἐλέγχει τῶν λεγόντων
τοῦτο τιμήν, καὶ φησιν ἐπιπολαιότερον εἶναι τοῦτο τοῦ ζητουμένου
μετέωρόν τι καὶ τῇ τοῦ ἀγαθοῦ ζητήσει προσκολλώμενον. καὶ τοῦ
κνουσιν ἐκ τοῦ ἐν ᾧ ἐστιν ἡ τιμή. τὸ γὰρ ἀγαθόν τινος οὐχ ὡς ἐ
ον καὶ ποὸς ἄλλον ἐνδεικνύμενον λέγομεν, ἀλλ' ὡς οἰκεῖόν ὄν ἐκε
εἶναι λέγεται καὶ ἐν ἐκείνῳ ὑφεστηκός, ἡ καὶ ἐξ ἐκείνου προβαλλ
ὡς ἴδιον ἐκείνου ἐνέργημα. ἡ δὲ τιμὴ οὐκ ἐν τῷ τιμωμένῳ μᾶλλο
ἐν τῷ τιμῶντί ἐστιν. ὁ γὰρ τιμῶν ἐνεργεῖ τὴν τιμήν, ὥσπερ ὁ βαδίζ
βάδισιν καὶ ὁ γράφων τὴν γραφήν. οὔτε δὲ ὁ πρὸς ὃν βαδίζει ὁ βαδίζω
ἡ πρὸς ὃν γράφει ὁ γράφων, κἂν ἀποτείνωσι πρὸς ἕτερόν τὴν
αὐτῶν ἐνέργειαν, οὕτω δὴ καὶ ὁ τιμῶν οἰκεῖαν μὲν ἔχει ἐνέργει
τιμήν, ἀποτείνει δὲ ταύτην πρὸς τὸν τιμώμενον· τἀγαθὸν δὲ οὐχ
αὐτοῦ οἰκεῖόν τι λέγομεν καὶ τοσοῦτον οἰκεῖον ὡς εἶναι καὶ ὑφεστ
αὐτοῦ τὸ ἀγαθόν· πέφυκε γὰρ ὁ ἄνθρωπος ἐκ πατέρου τῶν ἐν
ἐκ πατέρου μεταβάλλεσθαι· καὶ διὰ τοῦτο καὶ μάρτυρα δεῖν μακαρίζειν πρ
λεγ ἔρηται· μαντευόμεθα δὲ εἰπεῖν καὶ οὐ λέγομεν ἡ ὁσαζοῦ
τι ὑπὸ τινὸς περὶ αὐτοῦ ἀποδεικνύμενον ἀλλ' ὡς ἐν εἰκασμῷ οὕτω
νεσθαι· στοχαστικὴ γὰρ τέχνη ἡ μαντική.

p. 1095b26 Ἔτι δὲ εοικασι τὴν τιμὴν διώκειν.

Ἕτερον ἐπιχείρημα δεικνύον μὴ εἶναι τὴν τιμὴν τὸ ζητούμενο
μόν· οἱ γὰρ χαρίεντες καὶ πρακτικοὶ ζητοῦντες τὴν τιμὴν καὶ κατα
σπεύδοντες οὐ καθ' αὑτὸ διώκουσιν αὐτὴν ἀλλὰ δι' ἕτερον. ποῖον
ἵνα πιστεύσωσιν ἑαυτοὺς εἶναι ἀγαθούς. τὸ δὲ τέλος καὶ τὸ ἀγαθὸ
αὐτὸ διωκτόν, οὐ δι' ἕτερον· καὶ ἔστιν ὁ συλλογισμὸς κατὰ τὸν τ
τρόπον τοῦ δευτέρου σχήματος οὕτως· πᾶν τὸ ὡς τέλος ἀγαθὸν καὶ
διωκτόν, οὐ δι' ἕτερον· ἡ τιμὴ οὐκ ἔστι καθ' αὑτὸ διωκτὸν ἀλλὰ δι' ἕ
ἡ τιμὴ ἄρα οὐκ ἔστιν ὡς τέλος ἀγαθόν. ζητοῦσι δὲ οἱ χαρίεντ
πίστιν τῆς αὐτῶν ἀγαθότητος· ὅτι καὶ τοῦτο ὑπὸ
τι καὶ καλεῖται ἐπιεικεία. λέγω δὲ τὸ μὴ τῇ ἑαυτῶν ἀρκεῖσθαι
περὶ ἑαυτῶν, ἵνα μὴ ἴσως φιλαυτήσαντες οὐκ ἐπιτρέψωνται τῆς ἀλή
θειαν σε καὶ τοῦτο κατασκευάζων, ἤγουν τὸ διώκειν τὴν τιμὴν δ
στιν τῆς ἑαυτῶν ἀγαθότητος, φησὶ ζητοῦσι γοῦν ὑπὸ τῶν φρο
τιμᾶσθαι καὶ παρ' οἷς γινώσκονται καὶ ὑπ' ὀρθῆ. ὅτι γὰρ
οὐ καὶ αὐτὸ οἰκεῖον ἡ τιμὴ ἀλλὰ δι' ἕτερον ὡς φησιν. ὅρα δὲ
οὐ γὰρ ἁπλῶς τὴν τιμὴν διώκουσιν οὐδὲ παρὰ τῶν τυχόντων, α

τῶν φρονίμων καὶ εἰδότων αὐτοὺς οἵοι τὸν βίον εἰσί· καὶ οὐκ ἐπὶ τῷ τυ- 10r
χόντι ἀλλ' ἐπ' ἀρετῇ· ὑπὸ μὲν τῶν φρονίμων, ὧν ὀρθῶς κρίνοντες ἀξίους a
αὐτοὺς ἡγῶνται τιμῆς, ὑπὸ δὲ τῶν γινωσκόντων, ἵνα μὴ ἐξ ἀγνοίας πλανώ-
μενοι τοὺς μὴ ὄντας ἀγαθοὺς τιμῶσιν ὡς ἀγαθούς· ἐπ' ἀρετῇ δὲ ὄν-
τες ζῆν ἀγαπῶσι καὶ ζητοῦσι πληροφορίαν, ὥστε εἰδέναι βεβαίως εἰ ὃ ἀγαπῶσιν
ἔχουσι.

p. 1095b29 Δῆλον οὖν ὅτι κατά γε τούτους.

Εἰ διὰ τὴν ἀρετὴν αἱρετόν φησιν ἡ τιμή, πῶς οὐ τελικώτερον ἀρετὴ 15r
τιμῆς; τὸ γὰρ οὗ ἕνεκα κρεῖττον ἀεὶ τοῦ ἕνεκα ἐκείνου, ὥστε μᾶλλον ἄν
τις τὴν ἀρετὴν ὑπολάβοι τέλος τοῦ πολιτικοῦ βίου ἢ τὴν τιμήν. εἶτα
δείκνυσιν ὡς οὐδ' αὐτή ἐστι τὸ σκοπιμώτατον ἀγαθόν· φαίνεται γάρ
φησιν ἀτελεστέρα καὶ αὕτη· τό δ' ἀγαθὸν οὐ δεῖ ἀτελὲς εἶναι· ὥστε 15
οὐκ ἔστιν ἡ ἀρετὴ τὸ ζητούμενον ἀγαθόν. ὅτι δὲ οὕτως ἔχει τὸ ἀληθὲς
καὶ ἕτερόν ἐστι τὸ τέλος παρὰ τὴν ἀρετήν, δείκνυσιν ἐφεξῆς οὕτως· ἡ
ἀρετὴ ἕξις ἐστὶ καὶ τοιαύτη ὡς δύνασθαι εἶναι ἐν τῷ ὑποκειμένῳ ποτὲ
χωρὶς ἐνεργείας καὶ προχειρίσεως· τότε δὲ οὐδὲν ἂν εἰκότως ἀτελὲς
εἶναι, οἷον ὡς ἐπὶ τῶν ὑπνούντων· ἐνδέχεται δὲ καὶ σπουδαῖον ὄντα τινὰ
διὰ βίου ἀπρακτεῖν, τὰς ἀγαθὰς μὲν ἔχοντα ἕξεις, οὐ μέντοι γε καὶ προ-
χειριζόμενον, ἢ διὰ τὸ μὴ εὑρίσκειν καιρὸν πρὸς τὴν προχείρισιν τῶν ἕξε- 20
ων ἢ διὰ τὸ μὴ εὐπορεῖν ὕλης· ὡς εἴ τις μεγαλοπρεπὴς μὲν εἴη, χρη- 20
μάτων δὲ ἀπορίᾳ· ἐν μεγέθει γὰρ ἔργων καὶ πλήθει ἀναλωμάτων ἐμφα-
νὴς ὁ μεγαλοπρεπὴς γίνεται. ἐνδέχεται δὲ καὶ ἀτυχεῖν τὰ μέγιστα διὰ
βίου τὸν τὰς ἀρετὰς ἔχοντα, νοσοῦντα τυχὸν ἢ πενόμενον ἢ ἐπιβουλευόμενον
ἢ ἄλλο τι πάσχοντα, ὑφ' ὧν ἡ κατ' ἀρετὴν ἐνέργεια ἀνακόπτεται. ὡς
ἔχειν μὲν τὰς κατ' ἀρετὴν ἕξεις, μηδαμῇ δὲ κατ' αὐτὰς ἐνεργεῖν. οὐδεὶς
ἂν εἴποι, φησί, τοῦτον εὐδαίμονα, εἰ μὴ δόξαν ἀπό τινος παραλαβών, παρά-
δοξόν τινα εἰσάγουσαν ἔννοιαν παρὰ τὴν κοινὴν παράδοσιν καὶ παρ' αὐτὰ 25
τὰ φαινόμενα. θέσις γάρ ἐστι παράδοξος ὑπόληψίς τινος τῶν κατὰ φιλοσο-
φίαν γνωρίμων, ὡς Ἡράκλειτος ἔλεγεν ἓν εἶναι τὰ ἐναντία καὶ Παρμενίδης
30 ἓν τὸ ὂν καὶ Ζήνων μὴ εἶναι κίνησιν· οἷς ὁμοίως παράδοξον καὶ τὸ λέγειν
εὐδαίμονα καὶ μακάριον τὸν ἀπρακτοῦντα διὰ βίου καὶ ἀτυχοῦντα τὰ μέγιστα.

p. 1096a3 Ἱκανῶς γὰρ καὶ ἐν τοῖς ἐγκυκλίοις.

Φασὶ τὸν Ἀριστοτέλην ἔπη τινὰ ἐκθέσθαι ἐπίτηδες κατά τινα ἀριθμὸν 30
συμπεσούμενα ἐν ἑτέρᾳ καὶ ἑτέρᾳ θέσει καὶ τάξει, ὧν ἑκάστη ἀπὸ τοῦ
35 αὐτοῦ τε ἤρχετο καὶ εἰς τὸ αὐτὸ κατέληγε· διὸ καὶ ἐγκύκλια ταῦτα ὠνό-
μασεν, οἷς ἡμεῖς μὲν οὐκ ἐνετύχομεν, εἰσὶ δ' οἱ περὶ τούτων ἱστόρησαν.

1 ὅτι B: om. a 7 rhesis usque ad τούτους ἄλις (p. 1096a3) a 16 προχειρί-
σεως a 32 rhesis usque ad εἴρηται περὶ αὐτῶν (p. 1096a4) a

ἐν ἐκείνοις φησὶν εἰρῆσθαι περὶ εὐδαιμονίας, καὶ εἰ ἔστι μακαριζόν
α τῶν κατ' ἀρετὴν μόνων ἕξεων μηδὲν κατ' αὐτὰς ἐν βίῳ διαπραττόμ
διὸ βραχύ τι περὶ τούτων εἰπὼν παρελήλυθε.

p. 1096a4 Τρίτος ἐστὶν θεωρητικός.

Ἀποδείκνυσιν ἐν τοῖς ἔμπροσθεν τοὺς μαλιστα τῶν βίων π
γοντας καὶ τρεῖς εἶναι τούτους εἰπών, τὸν ἀπολαυστικὸν τὸν πολιτικὸ
θεωρητικόν, ἤτοι τὸν ἐμπαθῆ τὸν μετριοπαθῆ τὸν ἀπαθῆ, τοῖς μὲν δὺ
δοκοῦν ἀγαθὸν οἰκεῖος ἀπέδωκε· βίους δὲ ὀνομάζει παντως τοὺς τρ
τῆς μετὰ σώματος κατὰ γῆν ἀνθρώπου διαγωγῆς. βουλόμενος δ' ἡδ
πρὸς τὸν θεωρητικὸν ἡμῖν ὅπως ἔχει κατασκευῆς ἑαυτῷ περὶ τῆς δ
τῶν ἀγαθῶν, ὑπὲρ ἧς περὶ τούτου διδασκαλίας πλείονος ἐδεῖτο λόγου
ἐν ταύτῃ φησί, παραπεμπει δὲ ἐν τοῖς ἠθικοῖς λόγοις· ὡς ἐν ἐκ
εὐκαιρότερον ἐρῶν περὶ αὐτοῦ, τοσοῦτον μόνον ἐν τούτοις εἰπὼν τ
ὅ' ἐστὶν ὁ θεωρητικός, ὑπὲρ οὗ τὴν ἐπισκεψὶν ἐν τοῖς ἑπομ
ποιησόμεθα· ἐν γὰρ τῷ Καππα τῆς παρούσης πραγματείας περὶ
παραδίδωσι. τριτον δὲ λέγει αὐτον κατὰ τὴν τάξιν, ἡ ἐνταῦθα ἀγω
ἀπὸ τῶν ὑποκειμένων ἐπὶ τὰ ὑπερβαινοντα ἀνερχόμενος.

p. 1096a5 Ὁ δὲ χρηματιστὴς βιαιός τις ἐστι.

Τρεῖς εἰρηκὼς εἶναι τοὺς μάλιστα τῶν βίων προεχοντας, μὴ μ
μνημονεύσας τοῦ χρηματιστικοῦ, ἐπεὶ κατενόει τῶν ἀνθρώπων πολλο
μόνον τυχόντας ἀλλ' ἐνίοτε καὶ τοὺς ὑπερέχοντας καὶ αὐτοὺς βασιλεῖ
Μίδας ὁ Φρὺξ * * * καὶ πᾶν ὅτιοῦν ἐπιστρέφοντας πρὸς κτῆσιν χρημ
λέγει τοίνυν καὶ περὶ τούτου ἐπὶ βραχύ· χρηματιστικὸν μὲν ὀνομάζω
τὸν περὶ κτῆσιν χρημάτων σπουδάζοντα, βίαιον δὲ ὅτι καὶ βίαν ἐνδεί
πρὸς τὸ κτήσασθαι τὸ ζητούμενον. ὅτι δὲ τὸ τῷ χρηματιστῇ δοκοῦ
ἔστι τὸ ζητούμενον, δείκνυσι λέγων. χρήσιμον γὰρ καὶ ἄλλου χ
τὸ γὰρ χρήσιμον ὑπηρετικὸν ὥσπερ ἐστὶ καὶ πρὸς ἄλλο ἀφορῶν ὡς
ἄλλος, ὑσ' ὃ καὶ ἀναφέρεται ὡς πρὸς ἐκεῖνο λυσιτελοῦν· τὸ δὲ ἀγαθ
ὡς τέλος αὐτοτελὲς ἐστι καὶ αὐτὸ δι' αὐτὸ δοκοῦν οὐ δι' ἕτερο
καὶ οἱ τὴν εὐπορίαν ὡς ἀγαθὸν διαβαλλοντες καὶ τοῦτο ἐκεκ
μενοι αὐτὴν ἀπραλλεσθαι, ἐλαιον ἑαυτοὺς πασης αὐτὴν ὑπερτιθεντες
χρ. ἕξεως· οὐ γὰρ ἀνέγεται ὑφ' ἑτερόν τι ἀναγεσθαι καὶ πρὸς ἄλλ
λεῖν πάντα τἄλλα ὑφ' ἑαυτὴν ἔχουσα, ὡς ἀνθρώπου ζωῆ καὶ
συμβαλλόμενα πρὸς τὴν ταύτης κατόρθωσιν ὅσα δοκεῖ τοῖς χαρίεσσιν
καὶ παρὰ τοῖς παλαιοῖς ἐν τοῖς εὐνομουμέναις τῶν πόλεων ἦσαν
καὶ παντοίους. τούτων ἐπιστατῶν τινας τοῖς σοφοῖς γινομένους.

ἄδειαν ἔχοντες ἀνεμποδίστως ἐνασχολῶνται τοῖς θεωρήμασι. καὶ ἄλλως 10v
δ' ἄν τις ἴδοι τὸν πλοῦτον μὴ ὄντα τὸ ζητούμενον ἀγαθόν, διότι θυραῖον
καὶ ὀργανικόν ἐστι καὶ ἐπαμφοτερίζον ἐπὶ τὴν χρῆσιν, ὡς καὶ πρὸς χρη-
στότητα ὂν καὶ φαυλότητα πρόφασις.

p. 1096a7 Διὸ μᾶλλον τὰ πρότερον λεχθέντα.

Τὸν πλοῦτον ἀπελέγξας ὡς μὴ ὄντα τὸ ζητούμενον ἀγαθόν, ἅμα δὲ 10
διαβαλὼν καὶ τὸν χρηματιστικὸν βίον, ἐπιφέρει νῦν λέγων εἰκὸς εἶναι μᾶλ-
λον τὰ πρότερον λεχθέντα ὑπολαβεῖν τινα τέλη εἶναι, ἤγουν τὴν ἡδονὴν
καὶ τὴν τιμήν, ἅτε δι' αὐτὰ ἀγαπώμενα· ὡς κἀντεῦθεν ἐλεγχθέν[illegible] πάντα
τὸν πλοῦτον μὴ ὄντα τὸ ἀνθρώπινον ἀγαθόν. εἰ γὰρ τὰ μᾶλλον δοκοῦντα
τέλη ὑπάρχειν διὰ τὸ εἶναι δι' αὐτὰ διωκτὰ οὐκ ἔσται τέλη, πῶς τὸ ἄλλου
χάριν ζητούμενον τὸ τέλος ἔσται καὶ τὸ ἀγαθόν; τὸ δὲ πολλοὺς λόγους
καταβεβλῆσθαι πρὸς αὐτὰ λέγοι μὲν ἂν καὶ διὰ τοὺς περὶ Ἐπίκουρον, οἳ
τὴν ἡδονὴν τὸ τέλος ἐτίθεντο. πολλοὶ γὰρ περὶ τούτων εἰρήκασιν, οἱ μὲν
ἀναιροῦντες τὴν δόξαν, οἱ δὲ συνηγοροῦντες αὐτοῖς. λέγει δ' ἂν καὶ περὶ
τῆς τιμῆς, ὅτι γε τοῖς πολιτικοῖς ἀνδράσι πολὺς λόγος περὶ αὐτῆς· καὶ ὁ
Σωκράτης ἐν πολλοῖς εὕρηται παρὰ Πλάτωνι τοῖς τῶν πολιτικῶν ἀκαίρως
φιλοτιμουμένοις ἀντιτιθέμενος καὶ τὰς ὀρέξεις αὐτῶν ἐλέγχων ὡς οὐκ εὐ
ἐχούσας. οὐ δεῖ δὲ τὴν ἐξ ἀπαθείας ἑρμένην ταῖς ψυχαῖς θεωρίαν τῇ
ἡδονῇ συντάττειν καὶ τῇ τιμῇ, ὡς οὐδ' αὐτὴν οὖσαν τέλος· οὐ γὰρ ἂν
εἴη τι τελικώτερον ἀνθρώπου ψυχῆ τοῦ ἐν ἀπαθείᾳ καὶ θεωρίᾳ σχεῖν τὸ
τέλειον· ὥστε τὰ πρότερον λεχθέντα περὶ τῆς τιμῆς δεῖ νοεῖν λεγόμενα
καὶ τῆς ἡδονῆς.

p. 1096a10—13 Ταῦτα μὲν οὖν ἀφείσθω ἕως τοῦ εἰσαγαγεῖν τὰ εἴδη.

Προθεμενος ἐν τῇ ἀρχῇ τῶν ἠθικῶν περὶ τοῦ ἀνθρωπίνου ἀγαθοῦ καὶ
τέλους εἰπεῖν, πρῶτον μὲν ὅτι ἔστιν ἔδειξεν, εἶτα μετέβη ἐπὶ τὸ δεύτερον
πρόβλημα, ἐξετάζων τὸ τί ἐστι καὶ παραγαγὼν εἰς μέσον τὰς δόξας ἃς
ἔχουσιν οἱ ἄνθρωποι περὶ αὐτοῦ ἄλλως ἄλλοι δοξάζοντες, ὡς τοὺς μὲν
ἡδονὴν τοῦτο λέγειν τοὺς δὲ τιμὴν τοὺς δὲ πλοῦτον τοὺς δ' ἕτερόν τι τῶν
ἔργων· καὶ πάντα ἀπελέγξας ὡς μηδενὸς ὄντος τέλους αὐτῶν μετιοῦσι
ἐπὶ τὸ κυριώτερον, οὐκ ἐπιπολαιότερόν τι λέγων ὡς οἱ πολλοί, ἀλλὰ
βαθύτερον ἐξετάζων περὶ αὐτοῦ. ἀλλ' ἐπεὶ ὁ Πλάτων ἐπὶ τοῦ πρώτου
ἀγαθοῦ παρέδωκεν οὐκ εὐκαταφρόνητα θεωρήματα ἀλλὰ μεγάλα καὶ εἰς
ὕψος τὸ μέγιστον τὰς ψυχὰς ἀναφέροντα, πειρᾶταί τινα καὶ πρὸς ἐκεῖνα
ὡς ἐν παρόδῳ εἰπεῖν, ἴσως οὐδὲ Πλάτωνι ἀνθιστάμενος ἀλλὰ τοῖς καθὰ
μὴ δεῖ τὰ ἐκείνου ἐκδεχομένοις. καὶ ἴσως ἀναγκαῖον εἰπεῖν πρότερον

5 rhesis usque ad καταβέβληνται (p. 1096a10) a 24 rhesin plenam exhibet a
27 εἰς μέσον B: δεύτερον a 31 κυριώτερον B: καιριώτερον a 33 θεωρήματα B:
om. a

ρ ὁ τὸν ὅπερ ὁ Πλάτων ἀγαθόν, ἐν οἷς παραδίδωσι τὸν
ταγαθοῦ λόγον καὶ παραστῆσαι διὰ βραχέων τὴν περὶ τούτου δόξαν
ν. ἵν' εἰη ὅλον εἰ προσφυῆ πρὸς τὴν ἐκείνου ἀναίρεσιν τὰ παρα
στοτέλους ἐνταῦθα λεγόμενα. ὁ γὰρ Πλάτων περὶ τῆς ἀρχῆς τῶν
ἁπάντων ζητήσας, τὸ ἓν ἐκεῖνην καὶ ἄρρητον εἶναι καὶ ταγαθὸν ἀπεφ
πὰν δὲ ὃν αὐτῆς ἀπέφησεν, ὡς ὑπερούσης μὲν καὶ ὑπερεχούσης, π
δὲ περιεχούσης ἐν αὐτῇ ἀνεννοήτως καὶ ὑπερουσίως, τὰς πρώδου
πουσίας πρὸς ἅπαντα ἀνεκφοιτήτως ἑαυτῆς καὶ πάντα παραγούσ
νοητὰ καὶ νοερά, λογικά τε καὶ ἄλογα, ζῶντά τε ὁπωσοῦν καὶ τὰ παντ
ἄζωα, καὶ αὐτὰ τὰ ἀμυδραν τινα ἔννοιαν τοῦ εἶναι ἔχοντα διὰ τὴν
ἀγαθότητα, οὐ τῷ προαιρεῖσθαι καὶ βούλεσθαι ἐπὶ τῆς ποιήσεως
αὐτῷ τῷ εἶναι. ὡς καὶ ὁ ἥλιος φωτίζει τῇ παρουσίᾳ αὐτῇ, οὐ προσ
μενος οὐδὲ βουλόμενος, ὡς εἶναι τὴν αὐτὴν ἀρχὴν καὶ τέλος τῶν ὁπο
εἶναι λεγομένων· ἀρχὴν μὲν ὡς παντων ἐξ αὐτῆς τὸ εἶναι ἐχόντων,
ὲ ὡς ὁτ' αὐτὴν καὶ παντων ἀναπλουμένων πρὸς αὐτὴν καὶ ἐφιε
αὐτῆς ὡς πέφυκεν ἕκαστον ὡς πάντα τελειούσης καὶ ἀγαθυνούσης
αὐτὴν εἶναι τὸ πρῶτον ἀγαθόν, ὡς οὐσιῶδες ἀγαθὸν οὐ πάντα ἐφ
καὶ ταῦτα μὲν ταύτῃ διὰ βραχέων· ἴδωμεν δὲ τί Ἀριστοτέλης λέγει. τ
καθόλου βέλτιον ἴσως ἐπισκέψασθαι. νῦν τὸ καθόλου οὐχ ὡς ἐ
λογικαῖς θεωρίαις λέγεται· ἐκεῖ μὲν γὰρ τὸ ἐπὶ τοῖς πολλοῖς καὶ ὑστερο
[illegible] πρὸ τῶν πολλῶν ὡς προϋπαρχόντων αὐτῶν καὶ
οὗτοι ὑφιστῶσι τὴν ὑπαρξιν. οὕτω γὰρ οἱ περὶ Πλάτωνα [illegible]
τοὺς ἰδίαν ὑφιστάντας ἐνυποστάτους θείους νοεροὺς, πρὸς οὓς λόγο
τὸ ὅλον εἶναι καὶ γνῆσθαι, οὓς καὶ εἶδη καὶ ἰδέας ἐκάλουν καὶ ὅλ
καθόλου. προϋφεστηκότας μὲν τῶνδε τῶν ἐν σώμασιν εἰδῶν. [illegible]
ὄ τούτων ἁπάντων. ἐν τῇ τοῦ δημιουργοῦ θεοῦ διανοίᾳ ὄντας, ἑτερο
κατ' αὐτοὺς ἐν τῇ ὑλῇ χαραττοντος. καθόλου δὲ καὶ ὅλα ταῦτα εἰ
ὅτι ἕκαστον ἐκείνων ἐν ὃν ἔχει πολλὰ ἐξ ἐκείνου καὶ κατ' ἐκείνο
μενα ἐν σώματι καὶ ἔνυλα. πῶς ἁ ἐκεῖνο καθόλου καὶ ὅλον ὑπερ
ἐννοηματικῶς ἀλλὰ νοερῶς· καθόλου μὲν ὡς ὑπάρχον πολλοῖς εἴδρ
ἁ κατ' ἐκεῖνο γεγένηται, ὅλον δὲ ὡς ἐν λόγῳ μερῶν τετσημένων ἁ
ἐκεῖνο ἀναφέρεται ὡς πρὸς ὅλον, οὐκ ἐξ αὐτῶν συγκείμενον οὐδ' ἐπ'
μενόμενον, ἀλλὰ πρὸ αὐτῶν μὲν ὂν καὶ μένον καθ' αὑτό. ἐκεῖν
γον ἀναφερόμενα πρὸς αὐτὸ ὡς πρὸς οἰκείαν ὁλότητα. τριχῶς γάρ
λέγεσθαι τὸ ὅλον, πρὸ τῶν μερῶν ἐκ τῶν μερῶν καὶ ἐν τοῖς μέρεσι
τῶν μερῶν μὲν ἐκεῖνα τὰ εἴδη, ὅτι πρὸ τῶν πολλῶν ἕκαστον ἐ
ὑφέστηκεν ἁ πρὸς ἐκεῖνο γέγονεν, ἁπλούστατα ὄντα καὶ ἄυλα· ἐκ
μερῶν δὲ τὰ σύνθετα καὶ εἰς πολλὰ μεριζόμενα, εἶθ' ὁμοιομερ
λίδιος εἰς λίθους ὅλον ὃν πρὸς μέρη εἰς ἁ καὶ διαιρετόν ἐστιν, ὧν ἕ
τό τε ὄνομα καὶ τὸν λόγον τοῦ ὅλου ἐπιδέχεται. εἶτ' ἀνομοιομερ

a B: ἁ a 7 προεγούσης a: προεχούσης B 28 ὅτι scripsi ex

ἄνθρωπος εἰς χεῖρας πόδας κεφαλήν· οὐδὲν γὰρ τῶν μερῶν τοῦ ἀνθρώπου ὅμοιον τῷ ὅλῳ, ὡς μήτε τοῦνομα μήτε τὸν λόγον τοῦ ὅλου δεχόμενον· ἐν τοῖς μέρεσι δέ, ὡς τὰ ἐννοηματικά, ἃ καὶ ἐπὶ τοῖς πολλοῖς καὶ ὑστερογενῆ λέγεται· ὑστερογενῆ μὲν ὅτι τὰ καθ' ἕκαστα ὁμοειδῆ ἢ ὁμοιογενῆ ἡ ψυχὴ θεωρήσασα πρότερον ὑφεστηκότα ἐν σώμασι καὶ τὸ ἐν αὐτοῖς κοινῶς θεωρούμενον λόγον κατὰ ἀφαίρεσιν τὴν ἀπὸ τῆς ὕλης ἐν ἑαυτῇ ὑποστήσασα, ἐπιφέρεται τοῦτον οἰκείως ἑαυτῇ, ἤγουν λογικῶς καὶ ἐπιστημονικῶς· ἐννοηματικὰ δέ, ὅτι μέχρις ἐννοίας τὴν ὑπόστασιν αἱ τοιαῦται ὁλότητες ἔχουσι, μηδαμῇ χωρὶς τῶν καθ' ἕκαστα ἐξ ὧν καὶ ἐλήφθησαν ἐνεργείᾳ οὖσαι· ἐν τοῖς μέρεσι δέ, ὅτι ἐν τοῖς καθ' ἕκαστα, πρὸς ἃ καὶ ὁλότητες λέγονται, τὰ περὶ αὐτῶν λεγόμενα ἀναφαίνεται· ἐπὶ τοῖς πολλοῖς δέ, ὅτι μετὰ τὴν ὕπαρξιν τῶν πολλῶν αὐτὰ ἐν ἑαυτῇ ἡ ψυχὴ ὑπεστήσατο. διὰ τοῦτο καὶ τὸ ζῷον τὸ καθόλου οὐδὲν ἦ ὕστερον, αὐτὸς ὁ Ἀριστοτέλης ἐν τοῖς Περὶ ψυχῆς εἶπεν· οὐδὲν μὲν ὅτι καθ' ἑαυτὸ μὴ ὑφέστηκεν, ὕστερον δέ, ὅτι τῇ τῶν πολλῶν ὑπάρξει καὶ καταλύσει ἡ αὐτοῦ ἐπακολούθησεν ἔννοια. καὶ ταῦτα μὲν περὶ τοῦ καθόλου πως ἐνταῦθα λαμβάνεται· ἔλεγον δὲ τὰ εἴδη οἱ λέγοντες παραδείγματα προκεῖσθαι τῷ δημιουργῷ, ἵν' ἀφορῶν πρὸς αὐτὰ ὡς προκεντήματα καὶ προχαράγματα κατασκευάζῃ τὰ ἔνυλα, λόγους ὄντα ἐκεῖνα δημιουργικοὺς καὶ οἱονεὶ νοήματα τοῦ ποιοῦντος καὶ θεωρήματα. οὐχ ὡς ποιότητάς τινας ἢ ἐπιστήμας ἐπιγινομένας ἔξωθεν, ἀλλ' ὡς κυρίως ὄντα καὶ ὑφεστηκότα ὁραστικά τε καὶ νοερὰ καὶ τῶν ἐν ὕλῃ ἀρχέτυπα. λόγους γὰρ θείους πάντα τὰ εἴδη φασί, τοὺς μὲν ὑφειμένους, τοὺς δ' ὑπερέχοντας· καὶ οὐδὲν αὐτῶν εἶναι ἀθρανές, ὃ μὴ τὴν οἰκείαν ἐνέργειαν κατὰ πρόβασιν εἰς τὰ ὑπ' αὐτὸ ἐπιδείκνυται, καθὼς τέτακται. ἔστι μὲν δὴ καὶ ἡ φύσις εἶδος, ἀλλὰ σωμάτων ἀχώριστον, διειδοῦσιν διὰ σωμάτων καὶ ἕνδον αὐτὰ διαπλάττον καὶ διακοῦν. τὰς δὲ ἰδέας οὐχ οὕτω φασίν, ἀλλὰ λόγους ἐνυποστάτους, ὑπερανεστηκότας πάντῃ καὶ σωμάτων καὶ φύσεων, ἀριθμόν τινα θεῖον, δι' οὗ ὡς παραδείγματος τὸν δημιουργὸν ἐνεργεῖν τὴν ἔνυλον ποίησιν. τοσαῦτα καὶ περὶ τούτων, ἵν' εἰδῶμεν πῶς ταῦτα ἐτίθουν οἱ περὶ Πλάτωνα, οἷς Ἀριστοτέλης ἀντιτίθεται, ἀνελεῖν τὸ πρὸ τῶν πολλῶν καθόλου πειρώμενος. ἐπεισέκειτο δὲ ἐνταῦθα καὶ τὸ φιλαλήθες ὑποκρίνεται, πρόσαντες μὲν ἑαυτῷ λέγων τὴν περὶ τῶν ἰδεῶν ζήτησιν, οἷον προσκοπτικὴν καὶ ἐμποδιστικὴν τῷ λόγῳ αὐτοῦ, ὡς ἔχουσάν τι πρὸς αὐτὸν δυσωπίας καὶ ὄκνου παραίτιον διὰ τὸ φίλους εἶναι τοὺς εἰσαγαγόντας τὴν περὶ τῶν εἰδῶν δόξαν· φίλος γὰρ ὁ Πλάτων αὐτῷ, ἐπεὶ καὶ διδάσκαλος. προτιμᾶν δὲ αὐτὸν τῆς προς ἀνθρώπους φιλίας τὴν περὶ τῶν πραγμάτων ἀλήθειαν.

13. 14 ἐν τοῖς Περὶ ψυχῆς] A 1 p. 402b7 14 μὴ B: μὲν οὐχ a 15 ἐπακολούθησεν scripsi: ἐπηκολούθησιν B: ἐποκολούθησιν a 19 δημιουργικοὺς B: δημιουργοὺς a 36 αὐτὸν Ba: αὐτὸν coni. Diels

p. 1096a14 Δόξειε δ' ἂν ἴσως βέλτιον.

Μετ' εὐλαβείας ἀντεπιχειρεῖ τῷ Πλάτωνι. οὐ γὰρ εἶπεν 'ἔστι δ
τιον', ἀλλὰ δόξειε· προσέθηκε δὲ καὶ τὸ ἴσως, ἑαυτοῦ τὸ τῆς ἀ
ἀποκρουόμενος ἔγκλημα. εἰ καὶ φίλοι οὖν, φησίν, οἱ ἄνδρες οἱ τὰ π
πολλῶν εἴδη θέμενοι, ἀλλὰ βέλτιον τῆς πρὸς αὐτοὺς τριβῆς καὶ πρὸ
μόνον πρὸς τὰ τῶν φίλων ἀνθίστασθαι, ἀλλὰ καὶ τὰ οἰκεῖα ἀναιρεῖν
σώζεσθαι τὴν ἀλήθειαν καὶ μὴ κρυπτομένην ἐξ ἀνθρώπων ἀπόλ
ἐπιτείνων δὲ τὸ πρέπον φησὶ ἄλλως τε καὶ φιλοσόφους ὄντα
λαλήθης γὰρ ὁ φιλόσοφος, εἰ μὴ ψεύδοιτο τὸ ὄνομα· σοφίαν γάρ τι
φιλοσόφος ἐστι· σοφία δὲ τῶν ὄντων ἐπιστήμη ἡ ὄντα· ὄντα
ἀκίνητα καὶ ἀμετάβλητα καὶ ἀεὶ ὡς ἔχουσιν ἔχοντα καὶ διὰ πα
κινησιᾳ μένοντα, καντεῦθεν ἐν ἀληθείᾳ πασῃ τὸ εἶναι ἔχοντα. π
σιλοσοφος ὁ τινὸς ὄντος δευτέρου τυγχάνει τὴν ἀλήθειαν;

p. 1096a16 Ἀμφοῖν γὰρ ὄντοιν φίλοιν, ὅσιον προτιμᾶν τὴ
θειαν.

Τὸ ὅσιον διενήνοχε τοῦ δικαίου, ὅτι τὸ μὲν ἐπὶ τῆς πρὸς τοὺς
δεῖς ἰσότητος θεωρεῖται, τὸ δὲ ἐπὶ τῆς προσηκούσης τιμῆς τοῦ θ
τῶν θείων. τὸ μὲν οὖν τοὺς φίλους τιμᾶν τοὺς ἴσους ἐστι τιμᾶν,
τὴν ἀλήθειαν προτιμᾶν ὅσιον· θεῖον γὰρ καὶ ἡ ἀλήθεια.

p. 1096a17 Οἱ δὲ κομίσαντες τὴν δόξαν ταύτην.

Ἐντεῦθεν ἄρχεται ποιεῖσθαι τὸν ἔλεγχον τῆς τῶν ἰδεῶν δόξ
τίθησι λήμματα τὰ παρ' ἐκείνοις ἔνδοξα καί φησιν ὅτι οἱ τὰς ἰδέα
ζοντες οὐκ ἐποίουν ἰδέας ἐν ἐκείνοις τοῖς πράγμασιν, ἐν οἷς τὸ π
καὶ τὸ ὕστερον ἔλεγον. τῶν γοῦν ἀριθμῶν ἐν οἷς ὁ μὲν πρότερό
ὁ δὲ μετ' αὐτόν, οὐκ ἐτίθεσαν ἰδέαν εἶναι. ὡς γὰρ ἐπὶ τῶν λογικῶ
καὶ γενῶν τὰ μετέχοντα τοῦ εἴδους ἄτομα ὁμοταγῶς μετέχουσι κα
μὲν πρώτων, τὸ δὲ μετ' ἐκεῖνο, ὁμοίως καὶ τὰ μετέχοντα τοῦ αὖ
νους εἴδη· οὔτε γὰρ τὸ εἶδος εἶδος ἀτόμων, οὔτε τὸ γένος γένος
δῶν, τὰ καθ' ἕτέραν καὶ ἑτέραν μετεχόμενα τάξιν τοῖς ὑπ' αὐτο
καὶ ἐπὶ τῶν ἰδεῶν· τὸ δὲ οὐκ ἐποίουν ἰδέας καὶ τὸ ἰδέαν κατ
αζον ἐπίτηδες εἶπεν, ὡς μὴ οὔσας τὰς ἰδέας ποιούντων ἐκείνων κα
σκευαζόντων αὐτὰς δι' ὧν ἔλεγον.

p. 1096a19 Τὸ δὲ ἀγαθὸν λέγεται καὶ ἐν τῷ τί. Πν

Συλλογισμὸν πλέκει κατὰ τὸ πρῶτον σχῆμα οὕτως· ἐν οἷς τὸ πρῶτον καὶ ὕστερον, ἐν τούτοις ἰδέα οὐκ ἔστιν· ἐν τῷ ἀγαθῷ ἐστι τὸ πρότερον καὶ ὕστερον· ἐν τῷ ἀγαθῷ ἄρα οὐκ ἔστιν ἰδέα. καὶ ὅτι μὲν ἐν οἷς τὸ πρῶτον καὶ ὕστερον, οὐκ ἔστιν ἰδέα, εἴληφεν ὡς ἔνδοξον τοῖς περὶ Πλάτωνα. ὅτι δὲ ἐν τῷ ἀγαθῷ τὸ πρότερον καὶ τὸ ὕστερον, ὃ ἦν ἡ ἐλάσσων τοῦ συλλογισμοῦ πρότασις, δείκνυσιν ἐκ τῶν γενικωτάτων γενῶν, ὡς ὑπάρχοντος ἐν πᾶσι τοῦ ἀγαθοῦ. τὸ γὰρ ἀγαθὸν λέγεται, φησί, καὶ ἐν τῷ τί, ὅ ἐστιν οὐσία. τὸ γὰρ τί ἐφ' ὑφεστηκότος πράγματος λέγεται· οὐδενὶ δὲ τῶν ἄλλων κατηγοριῶν ἔχει τὸ ὑφεστηκέναι καθ' αὑτὸ καὶ μὴ ἐν ὑποκειμένῳ εἶναι ἀλλ' ἢ μόνῃ ἡ οὐσίᾳ· καὶ ἐν τῷ ποιῷ καὶ ἐν τῷ πρός τι. ἠρκέσθη δὲ ταῖς τρισὶ ταύταις κατηγορίαις ὡς ἱκαναῖς οὔσαις δηλῶσαι τὸ ἐπαγόμενον· ἐπιφέρει γὰρ τὸ δὲ καθ' αὑτὸ καὶ ἡ οὐσία πρότερον τῇ φύσει τοῦ πρός τι. τὸ δὲ καθ' αὑτὸ ἐνταῦθα οὐκ ἐπὶ τοῦ οὐσιώδους ἀλλ' ἐπὶ τοῦ μὴ ἐν σχέσει παρέλαβεν· ὅπου γὰρ πρός τι ἐν σχέσει. τὰ δὲ μὴ πρός τι οὐχ ὡς ἐν σχέσει ὄντα προφέρεται οὐδ' ὡς πρὸς ἕτερον λεγόμενα, ἀλλ' ὡς καθ' ἑαυτὰ θεωρούμενα. ἡ δὲ κατασκευὴ τῆς ἐλάσσονος προτάσεως οὕτω συνίσταται. πᾶν τὸ καθ' ἑαυτὸ λαμβανόμενον πρότερον τῇ φύσει τοῦ πρὸς ἕτερον· ἡ οὐσία καὶ τὸ ποιὸν καθ' ἑαυτὸ λαμβάνεται. τὸ δὲ πρός τι πρὸς ἕτερον· ἡ οὐσία ἄρα καὶ τὸ ποιὸν πρότερα τῇ φύσει τοῦ πρός τι.

p. 1096a21 Παραφυάδι γὰρ τοῦτ' ἔοικε.

Καὶ τοῦτο κατασκευαστικὸν τοῦ τὸ πρός τι ὕστερον εἶναι· ἡ γὰρ παραφυὰς τοῦ ὄντος ὕστερον τοῦ ὄντος. δεῖ γὰρ εἶναί τι πρότερον καὶ οὕτως αὐτῷ ἕτερόν τι παραφύεσθαι.

p. 1096a22 Ὥστ' οὐκ ἂν εἴη κοινή τις ἐπὶ τούτοις ἰδέα. 20

Συμπεραίνει τὸ ἐξ ἀρχῆς, ὅτι οὐκ ἔστι κοινὴ τοῦ ἀγαθοῦ ἰδέα ἐν πᾶσι θεωρουμένη τοῖς κατὰ μέρος ἀγαθοῖς, διὰ τὸ εἶναι ἐν αὐτοῖς τὸ πρότερον καὶ τὸ ὕστερον. εἰ γὰρ τῶν μετεχόντων ἰδέας ἀναγκαῖον τὸ μὲν πρότερον τὸ δ' ὕστερον, ἔσται καὶ τὸ μὲν αὐτῶν ἐγγύτερον τοῦ ἀρχετύπου, τὸ δὲ πορρώτερον. ὡς τὸ μὲν ἔχειν πάντων τὴν μετοχήν, τὸ δ' ἧττον· καὶ ἡ ἑτεροτης τῆς τοιᾶσδε ἐν τῇ μετοχῇ, ⟨τὸ μὲν οἰκειότερον ποιήσει πρὸς

1 rhesis usque ad φύσει τοῦ πρός τι (p. 1096a21) a 3 καὶ τὸ ὕστερον a 5 καὶ τὸ ὕστερον a 8 φησὶ λέγεται a 9 ἡ οὐσία a 17 ἑαυτὰ a: ἑαυτὸ B 22 rhesis usque ad καὶ συμβεβηκότι τοῦ ὄντος (p. 1096a22) a 25 ἕτερόν τι B: τι ἕτερον a 28 τούτοις B et Arist. libri KΘMb: τούτων a et Arist. vulg. 32 τὸ μὲν οἰκειότερον — ἡ μετοχή (p. 44,1) a: om. B

τὴν ἀρχήν, τὸ δ' ἀνοικειότερον. καὶ μᾶλλον καὶ ἧττον ἔσται ἡ με
τὸ δὲ μᾶλλον καὶ ἧττον ἐπὶ τῆς τῶν συμβεβηκότων εὑρίσκεται· ο
οὖν ἐπὶ τῶν μετεχομένων οὐσιωδῶς. συμβεβηκότα δὲ λέγειν τὰ ἀρ
καὶ κυριώτερα ὄντα πρὸς τὰ ὑστέρως ὄντα καὶ εἰκόνων λόγον ἐπ
οὐκ ἐνδέχεται, ἀλλὰ καὶ τὸ συμβεβηκὸς τινί συμβέβηκεν· ᾧ δὲ συμ
τὸ συμβεβηκὸς πρότερον φύσει τοῦ συμβεβηκότος ἐστίν. ἔσται ἄρ
τερον φύσει τοῦ ἀρχετύπου τὸ μίμημα, ὅπερ ἀδύνατον· οὐκ ἄρα συ
κος τὸ πρὸ τῶν πολλῶν τοῖς πολλοῖς, ἀλλὰ καὶ αἴτιον ἐκεῖνο ἂν ὁ
φασι τῶν πολλῶν. πῶς οὖν τὸ ἓν τῶν πολλῶν καὶ τὸ αἴτιον τῶν
τῶν ὑστέρων ἔσται, συμβαίνειν αὐτοῖς λεγόμενον. ὅτι ἐπιφέρει τὸ
ρασμα· ὥστ' οὐκ ἂν εἴη κοινή τις ἰδέα ἐπὶ τούτοις. ἐν οἷς δ
θεωρεῖται τὸ πρότερον καὶ τὸ ὕστερον.

p. 1096a23 Ἔτι δ' ἐπεὶ ταὐτὸν ἰσαχῶς λέγεται τῷ ὄντι.

Δεύτερον ἐπιχείρημα δεικνύον καὶ αὐτὸ ὅτι οὐκ ἔστιν ἀγαθόν
1. τι καὶ ἕν, ὑφ' ὃ τὰ κατὰ μέρος ἀνάγεται ἀγαθά. δείκνυσι δὲ τοῦτ
μενος ταῖς δέκα κατηγορίαις, καὶ τὸ ἀγαθὸν λαμβάνων ἰσαχῶς τ
λεγόμενον, τὸ δὲ ἓν δεκαχῶς, ἐπὶ τῶν δέκα γενικωτάτων γενῶν
μενον. λαμβάνει δὲ ἑφ' ἑκάστης κατηγορίας παράδειγμα τοῦ ἀγαθο
ἐν πάσαις ταῖς κατηγορίαις εὑρισκομένου, ὡς δῆλον εἶναι ἐντεῦθ
10 κοινόν ἁπάσαις ἐστὶ καὶ τὸ ἀγαθὸν ὥσπερ καὶ τὸ ὄν· καὶ αὐθις ἐκ
ὅτι οὐκ ἔστι τὸ ἀγαθὸν κοινόν τι καὶ καθόλου καὶ ἕν. ὅτι μὲν οὖν
ἀγαθὸν καὶ ἐν τῇ οὐσίᾳ δῆλον, ὁμοίως καὶ ὅτι αἱ ἀρεταὶ ἀγαθὸν
τῷ ποιῷ. τὰ δὲ λοιπὰ ἴσως δεῖται λόγου τινὸς καὶ δέον ἀξιῶσαι
οὐ δέονται, οἷον τὸ μέτριον ὅτι ἀγαθὸν καὶ ἐν τῷ ποσῷ καὶ τὰ
15 ὡσαύτως· μέτριον γὰρ λέγει τὸ σύμμετρον, καὶ πᾶν πρᾶγμα τὸ με
τρου γινόμενον δέοντος ἀγαθὸν ἐστιν, ὡς τὸ ἄμετρον πονηρὸν ἐν ὑπ
καὶ ἐλλεῖψει θεωρούμενον, τὸ δὲ μέτριον τοῦ ποσοῦ· ὥστε ἀγαθὸν
τριον ἐν ποσῷ θεωρούμενον. πάλιν τὸ χρήσιμόν ἐστι τὸ ὠφέλιμον.
ὠφέλιμον ἀγαθόν· ἐπεὶ οὖν τὸ χρήσιμον τινί ἐστι χρήσιμον, πρὸς
20 λέγεται πρός ὅ ἐστι χρήσιμον καὶ τὸ εἶναι ἔχει καλῶ χρήσιμον
πρός ἕτερον λέγεσθαι, οἷς δὲ τὸ εἶναι ταὐτόν ἐστι τῷ πρός τί πως
ταῦτα πρός τί ἐστι· τὸ χρήσιμον ἄρα ἀγαθόν τί ἐστι, ὑπὸ τὸ πρός τ
γόμενον. ὅτι δὲ καὶ ὁ καιρὸς ἐν χρόνῳ καὶ ἀγαθὸν ὅλως· καιρὸς γά
ὁ προσφυὴς καὶ ἁρμόττων ἑκάστῳ χρόνος. ὥσπερ λέγομεν τροφῆς
25 καὶ λόγου καιρὸν καὶ σιωπῆς, ὅτε ὅει τρέφεσθαι ἢ σιωπᾶν ἢ λέ
λέγειν συνάμενον· καὶ ἐπὶ τῶν λοιπῶν οὕτως. τὰ δὲ τοιαῦτα πάντα
ἄλλο ἐστιν ἢ ὅτι ἐπεὶ πάντα τὰ γινόμενα ἐν χρόνῳ γίνεται, ἐὰν τῷ

1 πρώτερον a 13 rhesis usque ad ἀλλ' ἐν μιᾷ μόνῃ (p. 1096a29) a
1. 2 vulg. libri HbKbMbOb: ἐπεὶ a et Arist. vulg. 22 ὁμοίως δὲ
3 καὶ ἐν τῷ ποιῷ B: κατὰ τὸ ποιόν a 23. 24 αὐτό, οὐ scripsi: α

τὸ εὖ ἀποδιδῶται, καὶ ὅ ἐστιν ἕκαστον γίνεται, ἐν καιρῷ ἔσται γινόμενον ἕκα- 11v
στον· τὸ δὲ εὖ ἀγαθόν· ὥστε ὁ καιρὸς ἀγαθὸν ἐν χρόνῳ ἐστίν. | οὕτω 12r
καὶ ἐν τῷ ποῦ δίαιτα· τὸ γὰρ ποῦ τὸ ἐν τόπῳ εἶναί ἐστι· καὶ ἡ δίαιτα
διατριβὴ καὶ διαγωγή· εἰ οὖν τις ἐν τόπῳ εὐκράτῳ καὶ ὑγιεινῷ διάγοι, ἐν
ἀγαθῇ διαίτῃ καθέστηκε. ταῦτα ὁ Ἀριστοτέλης. ἀλλ' εἰ μὲν ἦν κατὰ τὴν
περὶ τοῦ ἀγαθοῦ τοῦ Πλάτωνος ἔννοιαν τὰς ἀντιθέσεις ποιούμενος, οὐκ ἔδει
τι λέγειν πρὸς αὐτόν, αἰδουμένους τε τὸν ἀνδρα καὶ ἀναγκην μὴ ἔχοντας
Πλατωνικὴς ὀόξης προίστασθαι. ἐπεὶ δ' ἄλλως μὲν ὁ Πλάτων τὸ ἀγαθὸν a
ἐλάμβανε, πρὸς ἄλλο δ' οὗτος τοὺς λόγους ποιεῖται, δεῖ πρὸς ταύτας τὰς
ἐπιχειρήσεις εἰπεῖν τι φιλοσόφως λέγοντας καὶ αὐτούς. καθὼς καὶ αὐτὸς
διωρίσατο ποιεῖν τὸν φιλόσοφον. ὁ μὲν γὰρ Πλάτων τὸ ἓν καὶ τἄρρητον
καὶ ταὐταγαθὸν τὴν κοινὴν αἰτίαν τῶν ὄντων πάντων εἶπε, καὶ ὑπὲρ τὰ ὄντα
πάντα τὸ ἓν ἔταξεν, αἴτιον μὲν πάντων ἐκεῖνο λέγων, οὐδὲν δὲ τῶν πάν-
των διὰ τοῦτο καὶ ὑπὲρ ὂν καὶ μὴ ὄν, οὐχ ὡς τοῦ ὄντος λειπόμενον, ἀλλ'
ὡς ὄντος παντὸς ὑπερκείμενον· πάντα οὖν τὰ δεύτερα ἀγαθὰ ἀναφέρεσθαι 10
εἰς ἐκεῖνο ὡς κοινὸν ἀγαθὸν καὶ ὑπὸ πάντων τῶν ἀγαθῶν μετεχόμενον.
ἕκαστον γὰρ τὸ μετ' ἐκεῖνο ἀγαθόν, ἄλλο τι ὄν, ἀγαθόν ἐστι κατὰ μετοχὴν
τὴν ἐκείνου, καθὼς ἐκείνου μετέχειν ἕκαστον δύναται· ἐκεῖνο δὲ ὑπερή-
πλωται καὶ οὐδὲν ἄλλο ἢ ταὐταγαθόν ἐστι· διὰ τοῦτο καὶ ἓν κυρίως καὶ πρώ-
τως, ὡς μὴ μετ' ἄλλου τινὸς θεωρούμενον. τί οὖν ἀδύνατον ἕψεται, εἰ
πάντων ὂν αἴτιον καὶ πᾶσι παρέχον τὸ εἶναι ὅσα κατὰ τὰς δέκα λέγεται
κατηγορίας, κοινὸν ἅπασιν ὡς αἴτιον λέγεται καὶ καθόλου ἀγαθόν, ὡς πρὸ 15
πάντων ὂν τῶν πολλῶν ἀγαθῶν, οἷς τὸ εἶναι καὶ τὸ ἀγαθοῖς εἶναι παρέ-
χεται, ὅσα τῇ αὐτοῦ μετοχῇ καὶ τῇ πρὸς ἐκεῖνο ἀναγωγῇ ἀγαθὰ λέγεται;
καὶ αὐτὸς δὲ Ἀριστοτέλης οἷς ἐν ἀρχῇ τοῦδε τοῦ βιβλίου ἐπαινεῖ τοὺς
ἀποφηναμένους ταὐταγαθὸν εἶναι οὐ πάντα ἕψεται ὡς καλῶς ἀποφηναμένους.
δῆλός ἐστι τὸ πρώτιστον καὶ καθολικώτατον ὁμολογῶν ἀγαθὸν διὰ τοῦ εἰ-
πεῖν ταὐταγαθὸν καὶ οὐ πάντα ἕψεται. ἡ γὰρ λέξις ἡ ταὐταγαθὸν τοῖς περὶ
Πλάτωνα ἐπὶ τοῦ πρώτου καὶ καθόλου ἐτίθετο καὶ αὐτὸ τὸ λέγειν "οὐ 20
πάντα ἕψεται" τὸ καθολικώτατον δηλοῖ καὶ πρώτιστον. εἰ γὰρ πάντα
ἐκείνου ἕψεται, ὑπὲρ τὰ πάντα ἐξ ἀνάγκης ἐστί· τὸ δὲ πάντα οὐδὲν τῶν
ὑπ᾽ αὐτὸν ὄντων ἔξω ἑαυτοῦ ἐᾷ νοεῖν. εἰ οὖν πάντα ἐκείνου ἕψεται, ὑπὲρ
πάντα ἐξ ἀνάγκης ἐστὶ καὶ πρώτιστον πάντων καὶ αἰτιώτατον καὶ καθολι-
κώτατον, οὐχ ὡς ἐπὶ τοῖς πολλοῖς οὐδὲ δεύτερον τῶν πολλῶν (πῶς γὰρ
τοῦ δευτέρου τὰ πρῶτα ἕψεται;) ἀλλὰ δηλονότι τοῦ πρωτίστου καὶ ὑπὲρ 25
ἅπαντα, ὥστε περιττῶς ἔοικεν ἐνίστασθαι πρὸς τοὺς τὸ καθόλου ἀγαθὸν
λέγοντας οὕτως ὡς λέγουσιν, ἐξ ἀρχῆς μὲν καὶ αὐτὸς ὁμολογήσας αὐτό,
νῦν δὲ σοφιστικώτερον πρὸς ἐκεῖνο μαχόμενος.

4 διάγοι B: διαγει a 6 τοῦ πλάτωνος B: πλάτωνος a 7 ἔχοντας a: ἔχον-
τες B 22 κοινὸν et αἴτιον a: κοινὰ et αἴτια B 29 αὐτὸ τὸ B: αὐτὸς τῷ a
30 καὶ τὸ πρώτιστον a

p. 1096[illegible] Ἔτι δὲ ἐπεὶ τῶν κατὰ μίαν ἰδέαν μία ἐπιστήμη

Εἰ καὶ σοφιστικῶς ἐπιχειρεῖ πρὸς τοὺς τὸ καθόλου καὶ ὃν παρεισάγοντας, ἀλλ' οὖν οὐ παραιτητέον οὔτε τὰ αὐτοῦ διασαφεῖν ἀ ταληθὲς κατὰ τὸ δυνατὸν παριστᾶν. συλλογίζεται οὖν οὕτως· τῶ μίαν ἰδέαν μία ἐπιστήμη· τῶν ἀγαθῶν οὐκ ἔστι μία ἐπιστήμη· τ θῶν ἄρα οὐκ ἔστι μία ἰδέα. ἔστι δὲ ὁ τρόπος ἐν δευτέρῳ σχήμ τερος. ὅτι δ' οὐκ ἔστι μία ἐπιστήμη τῶν ἀγαθῶν, ἐκ τοῦ μάλ κνυσιν. εἰ γὰρ τῶν ὑπὸ μίαν κατηγορίαν ἀγαθῶν οὐκ ἔστι μία ἐπ πολλῷ ἧττον ἔσται τῶν ὑπὸ διαφόρους. μᾶλλον γὰρ ἂν οἰόμεθα μίαν κατηγορίαν τὴν αὐτὴν ἐπιστήμην εἶναι ἢ τῶν ὑπὸ διαφόρους. εἰσὶν ἀγαθὰ ὑπὸ μίαν μὲν κατηγορίαν ἀναφερόμενα, διαφόρους δ' μας ἔχοντα περὶ αὐτὰ καταγινομένας, ἐκ τῆς ἐπαγωγῆς δείκνυσ. καιροῦ φησιν ἑνὸς καὶ τοῦ αὐτοῦ κατὰ γένος ὄντος πολλαὶ αἱ περ καταγινόμεναι ἐπιστῆμαι. ἔστι γὰρ πολέμου καιρός, ὅτε τυγχά ἐχθροῖς πολεμεῖν, οὐ ἐπιστήμη ἡ στρατηγική, ἐν δὲ νόσῳ καιρός, προτρέψει τοῦτον ἢ πόσιν, καὶ τούτου ἐπιστήμη ἰατρική. ἕτερα ἄμμα ἰατρικὴ καὶ γυμναστική. τοῦτο Ἀριστοτέλης· οὐδ' ὁ σκ ναν πρὸς ταῦτα τὰ ἐγχωροῦντα. ὅτι μὲν γὰρ οὐδὲ ταῦτα πρὸς τὸ τοῦ πρώτου ἀγαθοῦ καὶ ὃ οὐδὲν ἄλλο ἢ ταὐτόν ἐστι δύναταί τ ἂν εἴη. ὅτι γὰρ πάντα ἐκεῖνο τὸ ἀγαθύνον ἐστὶ καὶ πάντα κατὰ τ τοῦ ἀναλόγου μετοχὴν ἐκείνου ἀγαθὰ λέγεται οὐδεὶς νοῦν ἔχων ἀ τήσεται. τί γὰρ εἰ τὸ μὲν μᾶλλον ἀγαθὸν τὸ δ' ἧττον ἢ τὸ μὲν ἐ μενον τὸ δὲ πορρώτερον ἢ τὸ μὲν ἀγαθὸν καθ' αὑτό, ὡς ὑγίεια τος καὶ ψυχῆς ἀρετή, τὸ δὲ πρὸς τούτων τι συμβαλλόμενον, ὡ καὶ γυμνάσιον καὶ φάρμακόν τι καὶ ἅπαν, ἢ ὡς κακουχία καὶ σκλη σώματος, ἵνα τῇ ψυχῇ τὸ κρατερὸν καὶ ἀπαθὲς περιγίνοιτο. τα πᾶσιν, ὡς τὸ μὲν τιμιώτερον ἐν αὐτοῖς εἶναι, τὸ δὲ τῇ τιμιότητι ὑ τι [illegible] καὶ ἀρετῆς. καὶ τὴν τοῦ ἀγαθοῦ μέθεξιν ὑπάρχειν κατὰ τὰ αὐτοῦ πάθη. καὶ τὸ ἀγαθὸν ἡ τάξις τοῖς οὖσιν, ὡς ἡ καιρός. πῶς οὖν ὅμως ἂν τις ἀρέσκοιτο, εἰ μὴ κατὰ ταὐτὸν τοῖς πράγμασι ἀγαθοῦ ἡ τάξις γίνεται. ἢ ἀποστεῖτο τις ὁμοταγῆ πάντα εἶναι. τι καὶ ὁμοιοῦ καὶ τὸ διάφορον ἀφαιρεῖτο τῆς τῶν ὄντων ἁπάντω ἕως τε καὶ τοῦ μηδὲ κόσμον εἶναι μηδ' ἁρμονίαν τινὰ ἐν αὐτ ἢ τὸν χαῦνον πάντα ἢ εἰ κόσμος καὶ τάξις καὶ πάντα μὲν ἐ πλὴν οὐ τὰ αὐτὰ κατ' εἶδος οὐδὲ κατὰ γένος, ἀλλὰ διαφορὰ πο αὐτοῖς, ὡς τὰ μὲν ὑφειμένα εἶναι τὰ δ' ὑπερέχοντα ἔσται καὶ κρείττω τὰ δὲ χείρω καὶ τὰ μὲν ἐγγύτερα [τοῦ πόρρω] τὰ δὲ πορρ καὶ ἡ μετουσία τοῦ πρώτου ἑκάστῳ ἀνάλογος· εἰ οὖν καὶ αἱ φύσ

1 μία ἐπιστήμη B: μία τις ἐπιστήμη a: μία καὶ ἐπιστήμη Arist. (μία καὶ ἡ rhesis usque ad γυμναστική (p. 1096a34) a 18 οὐδὲ B: οὐ διὰ a

φοροι καὶ τιμιότης καὶ τάξις ἑκάστῃ ἁρμόζουσα, πῶς οὐχὶ καὶ τὴν ψυχὴν 12
ἀναγκαῖον θεωρῆσαν ἑκαστον οὕτως ἐπιτήδειον τῷ ἑκάστῳ τῶν ὄντων θεω-
ρεῖν καὶ τέχνας συνιστᾶν καὶ ἐπιστήμας κατά τε γένη τῶν πραγμάτων
καὶ εἴδη καὶ θεωρεῖν τὰς φύσεις κατὰ τὸ ἑκάστῃ ἀνάλογον; νοῦς μὲν γὰρ
ὕλης ἀπόλυτος ὢν καὶ σώματος ἀθρόως πάντα θεωρήσει καὶ ἡνωμένως τὰ
πεπληθυσμένα καὶ ἀμερίστως τὰ εἰδητικῶς ἀριθμούμενα καὶ ἀδιαιρέτως
τὰ διηρημένα περιέχων, ψυχὴ δὲ ἐφίεται μὲν τὴν ἀθρόαν ἐνέργειαν τοῦ
νοῦ περιλαβεῖν, ὀρεγομένη τῆς ἐν αὐτῷ τελειότητος, καὶ τὸ ἓν ἐκείνου καὶ
ἁπλοῦ τῆς νοήσεως εἶδος. μὴ δυναμένη δὲ τῆς ἀθρόας ἐκείνου ἐφικέσθαι
νοήσεως, περιβεῖ τε τὸν νοῦν καὶ περιχορεύει κύκλῳ καὶ ταῖς μεταβάσεσι
τῶν ἐπιβολῶν διαιρεῖ τὸ μεριστὸν τῶν εἰδῶν καὶ διάφορον. διὰ τοῦτο καὶ
τρόπους γνώσεως ἄλλους καὶ ἄλλους ἐπινοεῖ, ἵν' οἰκείως ἑκάστῳ τοῖς γνω-
στοῖς ἐπιβάλλουσα τῆς τῶν πάντων ἐφίκηται γνώσεως. ὡς γὰρ ἄλλῳ
ἄλλη φύσις καὶ τάξις ἐφήρμοσεν, οὕτω καὶ τρόπος γνώσεως ἕτερος ὑπῆρχ.
ὥσπερ οὖν ὡς ὄντα οὐ τὸν αὐτὸν τρόπον ἔσχε τῆς γνώσεως πάντα τὰ
ὄντα, οὕτως οὐδὲ τῶν κατὰ μέρος ἀγαθῶν ἁπάντων μία γνῶσις ἡ ἀγαθὰ
οὐδὲ τῶν καιρῶν ἡ καιροὶ οὐδὲ τῶν μετρίων ἡ μέτρια οὐδὲ τῶν ἄλλων
τῶν ὁμοίως τούτοις λαμβανομένων. καὶ ὥσπερ οὐ δεῖ θαυμάζειν εἰ τῶν
ὄντων ἕκαστον ἡ ἕκαστον τόδε ἢ τόδε ἐστίν, οἷον φυσικὸν ἢ μαθηματι-
κὸν ἢ θεῖον καὶ ἔτι οὐράνιον ἢ χερσαῖον ἢ θαλάττιον ἢ ἄέριον ἢ πύριον
ἢ μετέωρον καὶ τὰ λοιπὰ ὡσαύτως δι' ἄλλου καὶ ἄλλου τρόπου γινώσκεται
γνώσεως, οὕτως οὐδὲ ἡ καιρὸς ἢ μέτρον ἢ ἄλλο τι ὁμοιότροπον ἕτερον,
ὥστε πάντα μὲν ταγαθὰ ὡς ἑνὸς μετέχοντα εἰς ἓν ἀναφέρεται, καὶ ἐπι-
στήμης ἂν εἴη τῆς αὐτῆς εἰδέναι πάντα. ὡς εἰς ἐκεῖνο ἀναφερόμενα καὶ
ἐκείνου μετέχοντα. ἡ δὲ καθ' αὐτό ἐστιν ἕκαστον καὶ ἡ τόδε ἢ τόδε 20
ἐστὶν ἄλλης καὶ ἄλλης τέχνης καὶ ἐπιστήμης τῇ οἰκείᾳ αὐτοῦ ἐφαρμο-
ζούσης φύσει καὶ τελειότητι. δεῖ δὲ καὶ περὶ τῆς οὐσίας ἐξετάσαι εἰ καλῶς
εἴρηται πρότερον ὡς οὐκ ἔστιν ἐν αὐτῇ τὸ μᾶλλον καὶ ἧττον, ὡς εἶναι
συμβεβηκὸς πᾶν ὁτιοῦν ἐν ᾧ ἐπίτασις θεωρεῖται καὶ ἄνεσις, καὶ μηδὲ
τῷ αὐτῷ εἶδει τὸ μὲν οἰκειότερον εἶναι τῶν μετεχόντων, τὸ δ' ἀνοικεί-
τερον, ἵνα μὴ τῇ ἐπιτάσει καὶ ἀνέσει τῆς μετοχῆς μᾶλλον καὶ ἧττον
εἶναι κατ' ἐκεῖνο τὰ μετέχοντα λέγηται, ὡς εἶναι κινδυνεύειν συμβεβηκὸς 25
τὸ οὑτωσὶ μετεχόμενον. ὁδεῖ γὰρ ἄν, εἰ μὴ τὸ μᾶλλον καὶ ἧττον κἀν
ταῖς οὐσίαις ζητήσεως ἄξιον, πῶς τῶν ὄντων τὰ μὲν μᾶλλον μεθέξει τοῦ
ὄντος, τὰ δὲ ἧττον. εἰ δὲ μὴ μᾶλλον καὶ ἧττον ἡ μέθεξις, εἴη ἂν ἐπίσης
ὄντα τοῖς ἀιδίοις τὰ γεννητὰ καὶ τοῖς ἀφθάρτοις τὰ φθαρτά. ἀλλ' οὐδὲ
τὰ μὲν ἐγγύτερα τοῦ πρώτως ὄντος, τὰ δὲ πορρώτερα, ἀλλ' ἔσται πάλιν
ὡσαύτως ἡ μέθεξις· οὐδ' αὖτοὶ δὲ τὸ μεταξὺ τῆς ἀντάσεως πλεῖον
ἔξει τῶν ἄλλων καὶ τῶν δεῖ οὕτω τῇ φύσει πρώτων ὄντων. ἀλλ' ἡ οὐσία
τάξει, ὡς αἴτιον, τὰ δ' ὡς αἰτιατὰ δεύτερα, ἵνα μὴ τὸ συμβεβηκότα εἶναι

22 μέτρον a: μέτριον B 23 ὥστε καὶ πάντα a 25 τόδε ἢ τόδε B: τόδε a
28 καὶ τὸ ἧττον a 29 ὁτιοῦν a 32 ἐκεῖνο B: ἐκεῖνον a 37 πορ-
τερον a πάλιν B: πᾶσιν a 38 μεταξὺ οὖν a

αὐτοῖς γένηται διὰ τὸ μᾶλλον καὶ ἧττον τῆς οὐσιότητος. οὐδ' ἡ
αὐτοῖς καὶ ἡ πρὸς τὴν ἀρχὴν ἐπιστροφὴ ἄλλως καὶ ἄλλως, ἀλλ' ὡ
καὶ ἡ αὐτὴ τῶν νοητῶν καὶ νοερῶν, τῶν λογικῶν καὶ αἰσθητικῶ
ζώντων ἁπλῶς καὶ οἷς μόνον τοῦ εἶναι μέτεστιν, ἃ πάντα καὶ παρ'
στιν τὴν ὑπαρξιν. ἢ οὐχ ἁπλῶς τὸ μὴ ἔχειν τὴν οὐσίαν τὸ
καὶ ἧττον τοιοῦτον. ἀλλ' ὥσπερ ὅταν λογικῶς θεωρῶμεν. πρῶτο
λέγονται καὶ κυρίως καὶ μάλιστα ὅσα τῇ αἰσθήσει ὑπόκεινται, δ
δ' ὅσα ἐξ ἀφαιρέσεως [ἐκ] ταύτης λαμβάνονται, ἐννοήματα μόνο
χωρὶς ὑποστάσεως, καὶ τούτων μᾶλλον οὐσίαι αἱ ἐγγύτερον τῆς
καὶ τόσῳ μᾶλλον ὅσῳ ἐγγύτερον, καὶ τόσῳ ἧττον ὅσῳ πορρώτερον
κἀπὶ τῶν νοητῶν πρώτη οὐσία καὶ μάλιστα ἡ νοῦς ἐπιβάλλει
καθαρὸς καὶ τοῦ ὄντος ἡ ὂν ἀμέσως ἐποπτικώτατος πᾶν περιλα
τὸ ὂν ἢ ὄν ἐστιν, ὡς μηδὲν ἔξω τῆς αὐτοῦ ἐπιβολῆς φέρεσθαι,
τὰ ἑξῆς. ὅσα τῇ τοῦ πρώτου ὄντος καὶ πρώτου νοητοῦ μετο
τὴν. καὶ οὗτοι οὐσίαι αἱ μετ' ἐκεῖνο, βαθμηδὸν ὡς εἰπεῖν
νουσαι ἄχρι καὶ τῶν ὑπ' αἴσθησιν καὶ ὑπὸ γένεσιν. καὶ ταυτῇ
καὶ ἧττον εἶναι οὐσίαν ὁτιοῦν. οὐδὲ λέγεσθαι. ὥσπερ καὶ εἶναι. εἰ
καὶ ἡ οὐσία πως λέγεται μὴ ἔχειν τὸ μᾶλλον καὶ ἧττον, (ἀλλ' οὐχ
γεται. τοῦτο δὲ ὥσπερ ἔστι, καὶ τοῦτ' ἐπὶ τῶν αἰσθητῶν καὶ
ἀναφαιρέτως ὁρῶν. κατὰ γὰρ μίαν καὶ τὴν αὐτὴν ταξιν οὐτ' α
πως ἄνθρ. ἀνθρ. πρὸς ἕτεραν μᾶλλον καὶ ἧττον), οὐδ' ὁ τις
πος οὐτ' αὐτὸς πρὸς ἑαυτὸν νῦν μὲν μᾶλλον νῦν δ' ἧττον ἄνθρωπ
οὔτε πρὸς ἕτερον τῶν καθ' ἕκαστα οὔτε ὁ τις ἵππος· ὡσαύτως οὐτ
ἄνθρωπος πρὸς τὸν τινὰ ἵππον. τῆς αὐτῆς γὰρ τοίνυν τὸ καθ
καὶ τὰ εἰσικότατα ὁμοίως πρὸς ἄλληλα καὶ τὰ ὑπερ αὐτὰ προσεχ
αει μέχρι τοῦ ἀνωτάτω τὰ ἀντιδιῃρημένα τε καὶ ὁμοταγῆ ὡσαυτ
ται καὶ οὐδεν μᾶλλον ἢ ἧττον τοῦ ἑτέρου τὸ ἕτερον. ἐν δὲ τοῖ
ἄλλην καὶ ἄλλην ταξιν θεωρουμένοις τὸ μᾶλλον καὶ ἧττον λαμβάνε
ται μᾶλλον τῇ πρώτῃ οὐσίᾳ ἐγγίζοντα, ἧττον δὲ τὰ ταύτης πορρ
ρω καὶ οἰκειότερα αὐτῆς καὶ γνωριστικώτερα τὰ ἐγγύτερα καὶ
ρμοτερα, ὅτι καὶ τοῖς ἐπεκεινα πρὸς κατηγόριαν ὑπόκειται καὶ τὰ
γ γενέσει πρὸς ὑπαρξιν. καὶ διὰ μέσου αὐτῆς, ὡς ἐκείνη τοῖς ἀπασ
οὖν ἐπὶ τούτων. οὕτως ἐστὶ καὶ ἁπλῶς ἐπὶ τῶν ὄντων εἰπεῖν. τὸ μὲ
τως ὂν καὶ μηδεν ἄλλο ἢ ὂν πρώτη οὐσία καὶ κυρίως καὶ μαλιστ
αἰσθητῶς ἀλλὰ νοητῶς τὴν ὑποστασιν ἔχουσα, τὰ δὲ μετ' αὐτὴν
μεν ὁμως δευτερα, ἐπει μετα το πρωτον ον αὐτοις ἡ ὑποστασις.
καὶ αει οντα τα τῳ πρωτῳ εγγυτερα και ἧττον τα πορρωτερα αὐ
αἰσθητῶν καὶ τῶν ἐν γενεσει. τα δ' ὁμοταγῆ και επισης ἐν τουτο

ητῶν a 8 ἐκ Ba: ego delevi 9 αἱ om. a 9 et 10 ἐγγύτερ
10 15 οὐσίαι B: αἰτίαι a 18 πως B: που a ἀλλ' οὐ
ἧττον (21) a: om. B 23 καθ' ἕκαστα B: καθέκαστον a
30 διότι B: ὅτι a 32 αὐτῆς a: αὐτοῦ B 38 post ὁμοταγῆ

καὶ ἕτερον ἑτέρου οὔτε μᾶλλον οὔθ' ἧττον, ὡς καὶ τὴν τάξιν τῶν ὄντων 13r
τυγχάνειν καὶ τὴν μετοχὴν τοῦ πρώτου ὑπάρχειν τῇ τάξει ἀνάλογον· καὶ 6
τὸ μᾶλλον καὶ ἧττον ἐν αὐτοῖς θεωρεῖσθαι ἔστι μὲν ὡς, ἔστι δ' ὡς οὔ,
ὡς ἤδη εἴρηται. κατὰ δέ γε τὸ συμβεβηκὸς αὐτό τε τι πρὸς ἑαυτὸ μᾶλλον
καὶ ἧττον ἔσται ἐνίοτε καὶ ὁμοταγὲς πρὸς ὁμοταγὲς οὐδὲν κωλύει καὶ
εἶναι καὶ λέγεσθαι. ταῦτα ἡμεῖς περί τε τοῦ ἀγαθοῦ καὶ τῆς οὐσίας ὑπο-
δυόμενοι τὸν Πλάτωνα. περὶ δὲ τῶν ἰδεῶν ἁπλῶς τῶν τε νοερῶν καὶ νοη-
τῶν καὶ τῶν πρώτων καὶ δευτέρων ὡς οἱ περὶ Παρμενίδην καὶ Πλάτωνα 10
ἔθεντο καὶ περὶ τῆς τοῦ ἀγαθοῦ ζητήσεως λεγόντων, οἳ καὶ τὰ εἴδη εἰσή-
γήσαντο, καὶ παριστάντων ὅτι τε εἰσὶ καὶ πῶς εἰσι καὶ τίς ἡ τάξις αὐτοῖς
καὶ ἐνέργεια καὶ δὴ λέγουσι καὶ ὁ βουλόμενος ἀναλεγέσθω τὰ παρ' ἐκείνοις.

p. 1096a34 Ἀπορήσειε δ' ἄν τις, τί ποτε καὶ βούλονται λέγειν.

Οὗτος ὁ λόγος οὐ πρὸς τὸ ἀγαθὸν μόνον ἀνθίστασθαι ἔοικεν, ἀλλὰ 16
πρὸς πᾶν ἁπλῶς, ὅπερ ὡς πρὸ τῶν μερῶν καθόλου πρὸς τῶν Πλατωνικῶν
λέγεται. ἔστι δὲ ἡ ἐπιχείρησις ἀπὸ ὅρου. εἰ γὰρ ἄνθρωπος, φησίν, ἑκάτερός
ἐστιν ὅ τε αὐτοάνθρωπος καὶ ὁ ἄνθρωπος, τὸν αὐτὸν λόγον ἡ ἄνθρωπος ἑ-
τερος ἐπιδέξεται καὶ οὐδὲν ἀλλήλων ὡς ἄνθρωποι διοίσουσιν· εἰ δὲ τοῦτο,
οὐδ' ἡ ἀγαθότης. ὃν γὰρ λόγον ἔχει ὁ ἄνθρωπος πρὸς τὸν αὐτοάνθρωπον, 20
τὸν αὐτὸν τὸ ἀγαθὸν πρὸς τὸ αὐτοαγαθόν. εἰ οὖν ἐκεῖ ἡ αὐτὴ φύσις ἀν-
θρώπου καὶ αὐτοανθρώπου, εἴη ἂν καὶ ⟨ὁ⟩ λόγος ἀμφοτέρων ὁ αὐτός·
ὥστε κἀνταῦθα εἰ ἡ αὐτὴ φύσις ἀγαθοῦ καὶ αὐτοαγαθοῦ, ἔσται καὶ ὁ
λόγος αὐτοῖς ὁ αὐτός. ἔσται ἄρα ἐκεῖ τε ὁ ἄνθρωπος ὁ αὐτός, κἀνταῦθα
τὸ ἀγαθὸν τὸ αὐτό, ὡς εἶναι περιττὴν τὴν τοῦ καθόλου ὑπόθεσιν, κατὰ
φύσιν ὄντων τῶν αὐτῶν τοῦ αὐτοῦ καὶ τοῦ μὴ αὐτοῦ. ἀλλὰ πῶς τὸ ἀγα-
θόν, ὦ Ἀριστότελες, τὸ αὐτὸ ἔσται καὶ ὡσαύτως ἐν τῷ ἀΐλῳ καὶ ἐν 25
τῷ ἐνύλῳ καὶ ἐν τῇ εἰκόνι καὶ τῷ παραδείγματι καὶ ἐν τῷ ἁπλῷ καὶ τῷ
συνθέτῳ καὶ τῷ κατὰ μέθεξιν καὶ τῷ ἀμεθέκτῳ; ἢ καὶ ὁ λόγος ὁ τοῦ
τί ἦν εἶναι πῶς ἔσται ὁ αὐτὸς τοῖς οὕτως ὡς εἴρηται διεστῶσι πρὸς ἀλ-
λήλα, εἰ μὴ καὶ ἡ εἰκὼν καὶ τὸ ἀρχέτυπον ὡσαύτως τὸν τῆς οὐσίας ⟨λό-
30 γον⟩ ἐπιδέξεται; ἔπειτα, ἐπεὶ καὶ κατὰ σὲ ἐπὶ τῶν ἐνύλων καὶ φυσικῶν
τότε ἕξει ὁ ὅρος τὸ τέλειον ὅταν ἡ ὕλη καὶ τὸ εἶδος ἀλλήλοις συνέρχων-
ται, ἐὰν καὶ ἐπὶ τῶν ἀΐλων οὕτω τοὺς ὅρους ληψώμεθα, ἕνυλα ἔσται τὰ
ἄυλα. ἀλλὰ τοῦτο ἀδύνατον. οὐκ ἄρα τοῖς πρὸ τῶν ἐνύλων καὶ τοῖς 80
ἐνύλοις οἱ αὐτοὶ ὅροι ἔσονται.

p. 1096b3 Ἀλλὰ μὴν οὐδὲ τῷ ἀΐδιον εἶναι.

35 Ὡς τινος ἀντιθέντος ὅτι ἐκεῖνα μέν εἰσιν ἀεί, τὰ δ' ἐνταῦθα γινόμενα

6 ταῦτα μὲν ἡμεῖς a 10 αὐτοῖς B: αὐτῶν a 12 δ' ἄν τις a, ut libri Arist.: δέ τις B rhesis usque ad οὐδ' ἡ ἀγαθότης (p. 1096b3) a 16. 17 ἑκάτερος B: ἑκάτερον a 20 ὁ λόγος a: λόγος B 29 καὶ (ante ἡ εἰκών) om. a 29. 30 λόγον a: om. B 30 ἐπιδέχονται a 35 thesis usque ad τοῦ ἐφημέρου (p. 1096b5) a

καὶ ἀπογινόμενα. τὸ δὲ ἀεὶ εἶναι τοῦ ποτὲ μᾶλλον εἶναί ἐστι. λύ
ἀντίθεσιν, δυνάμει πάλιν τῷ λόγῳ χρώμενος τῆς οὐσίας καὶ γυμνάζ
ἐπιχειρησιν ὡς ἐπι παραδείγματος τοῦ λευκοῦ. καί φησιν, ὡς ἐ
λευκοῦ χρώματος, ὅταν ὦσι δύο λευκά, τὸ μὲν πολυχρόνιον, τὸ δ
χρόνου οὐκ ἂν δοκοῖ τις μᾶλλον εἶναι λευκὸν τοῦ ἐφημέρου τὸ πολυ
ἐν γὰρ οὐδὲν ἐν ἀμφοῖν λόγου ὑπάρχει. ἢ λευκὰ ἐστιν), οὕτως οὐδὲ τὸ
ἀγαθὸν πάντως ἐστὶν ἀγαθὸν τοῦ πρόσκαιρου. ἐπισης ἀμφοῖν τοῦ
ἐφαρμόζοντος. ὁ γὰρ λόγος ἡ οὐσία ἑκάστου ἐστί. καὶ ὡς ἑκαστο
τοῦτ' ὅπερ ἐστὶν οὐκ ἔστι μᾶλλον καὶ ἧττον, οὕτω καὶ ὁ τῆς οὐσ
κατὰ τοῦτον τὸν λόγον ἐν ὑπαρξει θεωρούμενος καὶ ἐφαρμόζων οὐκέτι οὐκ
οὐδὲν καὶ ἧττον. κἂν τὸ μὲν ἐν χρόνῳ διαρκῇ μακροτέρῳ, τὸ δ' ἐ
τοῦ. οὐδὲ γὰρ ἀνθρωπος ἀνθρώπου βραχυβιώτερου μακρόβιος
ἀνθρωπος, τοῦ τῆς οὐσιας λόγου ἐπισης ἀμφοῖν ἐφαρμόζοντος. οὐδ
ὁ χρόνος εἴδει τινί, ἢ εἰδὸς ἐστι, προστίθησιν. ἔστι μὲν καὶ αὐτόθ
ταῦτα ἀπολογήσασθαι καὶ δεῖξαι μᾶλλον ἀγαθὸν τοῦ ἐφημέρου τὸ
εἰ γὰρ τὸ εἶναι ἑκάστῳ κρεῖττον τοῦ μὴ εἶναι, καὶ τὸ ἀεὶ εἶναι κ
τοῦ ποτέ. τῷ γαρ ποτε ὄντι, ὅταν τὸ εἶναι διακόπτηται, τότε οὐ
ὄν, ἀλλὰ δὴ μὴ ὄν. ὂν δὲ τότε τὸ ἀΐδιον κρεῖττον τοῦ μὴ ὄντο
τὸ δὲ κρεῖττον ἀγαθοῦ ἐπιτάσει κρεῖττον λέγεται. ᾧ δὲ ἡ ὕπαρ
ἀγαθοῦ ἐπιτέταται, τοῦτο μᾶλλον ἀγαθόν. ἀλλ' οὐδὲ ἡ αὐτὴ σύγκρισ
ἄλληλα τοῦ ἐπὶ χρόνον διαρκοῦντος μακρὸν πρὸς τὸ ἐπ ἔνιαυτὸν
ἀιδίου πρὸς τὸ ἐφημερον. βραχυχρονιον γαρ τι και μακροχρονιον
τῆς αὐτῆς εἶναι ἐνδέχεται φυσεως, ἀιδιον δὲ καὶ ἐφημερον οὐκ ἐν
ὡς γὰρ τὸ ἐφήμερον οὐσίας εὐόλου καὶ ῥευστῆς καὶ γινομένης μ
ὂν ἢ μᾶλλον ὂν οὐσης, οὕτως τὸ ἀιδιον ἀόλου καὶ ἀῤῥεύστου κα
οὐσης καὶ ὑπερ γένεσιν. ἔστι δὲ καὶ ἄλλως λῦσαι. εἰ γὰρ τὸ μὲν
ὡς ὑποκεῖσθαι καὶ αὐτὸ ὂν ὃ εἶναι λέγεται, τὸ δὲ τῷ μετέχειν ἐκείνο
οὐκ ἂν εἴη πρώτως καὶ κυρίως καὶ μάλιστα τὸ ὂν ᾗ αὐτὸ ὅ ἐστι
μετέχειν ἐκείνου ὑπάρχοντος, ὥσπερ τὸ πρωτότυπον τῆς εἰκόνος
εἴποι δ' ἄν τις καὶ πρὸς τὸν Ἀριστοτέλην εἰκότως, | ὡς ἔοικας, ἃ
ἐστὶ καὶ ὁμιλητὴς ὑπάρξας τοῦ Πλάτωνος, ἐπίτηδες πρ
οὕτω σοφιστικῶς ἀπορεῖν, ἵν' ἐκ τοῦ μηδὲν λέγ
καὶ αὐτῶν τὴν περὶ αὐτῶν δόξαν στερρότερον ὑποχαράξῃς.

1096b5 Πυθανώτερον δ' ἐοίκασιν οἱ Πυθαγόρειοι.

Δύο ποιοῦσιν ὁ Πυθαγόρας ἐξέθετο· μίαν μὲν ταύτην, πέσσ
τὸν ἐν δεξιὸν ἄρρεν εὐθὺ ῥῶς τετράγωνον ἑρεμνὸν ἀγαθόν, ετε
ταύτην, ἄπειρον ἄρτιον πλῆθος ἀριστερὸν ὑθλυ καμπύλον σκοτ

ἐοικεῖ B: ἐοικὸς a 12 βραχυβιώτερος μακροβίου a 13 οὐδὲν B: ο
14 ὂν post ἔστι μὲν add. a 19 ἀγαθοῦ B: ἀγαθὸν a 22 ἕτερον
p. 63,28 31 rhesis usque ad ἄλλος ἔστω λόγος (p. 1096b8) a

μηκες κινούμενον κακόν. αὗται μὲν οὖν αἱ δύο συστοιχίαι οὕτως ὀνομα- 13v
ζόμεναι, ὅτι ἕκθεσις πραγμάτων ἐστὶν ἑκατέρα συστοιχούντων ἀλλήλοις.
ἕκαστον δὲ τῶν δευτέρων πρὸς ἕκαστον τῶν πρότερων ἀντίκειται· πρὸς τὸ 10
πέρας τὸ ἄπειρον, πρὸς τὸ περιττὸν τὸ ἄρτιον, καὶ οὕτως ἑξῆς, καὶ τελευ-
ταῖον τὸ κακὸν πρὸς τὸ ἀγαθόν. οὐδὲ Πυθαγόραν δὲ ὡς ἁπλῶς κατορ-
θοῦντα τὸν περὶ τοῦ ἀγαθοῦ λόγον ἐπαινεῖ, ἐπεὶ μηδ' ἁπλῶς ἔρρωσεν
ὁρθῶς περὶ αὐτοῦ. ὑπορήσεται δέ πως τὸν αὐτοῦ λόγων τῶν τοῦ Πλάτω-
νος. ἐνίστασθαι λέγει εἰπών· οὐ λέγει τι καὶ πιθανώτερον . . . . . μὲν
πιθανὸν δὲ οὐ τὸ ἀληθὲς ἁπλῶς καὶ εὔλογον ἀλλὰ τὸ ἔμφασιν ἔχον ἀλη- 15
10 θείας. λέγει δ' ἄν, ὅτι τὸ ἓν ἐν τῇ τῶν ἀγαθῶν συστοιχίᾳ οἱ Πυθαγό-
ρειοι τιθέντες παυσάσθω τὴν φύσιν οὐκ . . . . . τῶν
ἕκαστον γὰρ τῶν πραγμάτων ἐν τούτῳ τελειοῦται καὶ ἀγαθύνεται καὶ τη-
ρεῖται, ἐν τῷ μένειν ἐν τῷ ἑνί, ἀσκέδαστον ὂν καὶ ἀδιαίρετον· σκεδασθὲν
δὲ οὔχεται. καὶ τάχα τοῦτο κρίνει Ἀριστοτέλης οἰκειότερον εἶναι . . . .
1 περὶ τοῦ ἀγαθοῦ καὶ ἰδέαν τίθεσθαι αὐτό. φησὶ δὲ καὶ Σπεύσιππον . . . .
κολουθῆσαι αὐτοῖς, θεολόγον ὄντα παρ' Ἕλλησιν. ἀλλὰ πρὸς μὲν τοὺς Πυ-
θαγορείους, φησί, καὶ τὸν Σπεύσιππον οὐκ ἔστιν νῦν ἡμῖν ὁ λόγος ἀλλὰ 20
πρὸς τοὺς τὰς ἰδέας εἰσάγοντας· διὸ τούτους ἀεὶ πρὸς Πλάτωνα ποιεῖται.

p. 1096b8 Τοῖς δὲ λεχθεῖσιν ἀμφισβήτησίς τις.

20 Ἔοικεν ἑαυτῷ ἀκριβολογίαν τινὰ ὑποβάλλειν περὶ τοῦ ἀγαθοῦ, ἐξ ἧς 25
εὑρήσει πρόφασιν τοῦ κατεπιχειρῆσαι καὶ ἔτι τῆς περὶ ἰδεῶν ὄκθεως, ὡς
δοκεῖν ἐπιμέμφεσθαι ἑαυτῷ ὡς ἐλλιπῶς ἐν τοῖς ὕδη ῥηθεῖσιν εἰρηκότι
περὶ τοῦ ἀγαθοῦ. κατὰ γὰρ δύο, φησί, τρόπους λεγομένων τῶν ἀγαθῶν,
συγκεχυμένως καὶ ἁπλῶς μέχρι νῦν ὁ περὶ τούτων λόγος γεγένηται. λέγε-
25 ται γὰρ ἀγαθὰ καθ' ἓν μὲν τρόπον ἃ καθ' αὑτὰ ἀγαπᾶται, καθ' ἕτερον δὲ 30
τὰ τούτων ποιητικὰ ἢ φυλακτικά πως ἢ τῶν ἐναντίων κωλυτικά· ἃ
οὐ καθ' αὑτὰ λέγεται ἀγαθὰ ἀλλὰ δι' ἐκεῖνα. λέγω δὲ τὰ καθ' ἑαυτά, οἷον ὑγίεια μὲν ἀγαθὸν σώματι, ἀρετὴ δὲ ψυχῇ, ἃ κἂν μηδὲν ἄλλο αὐτοῖς
30 ἀγαθὸν ἕπηται, ἀλλά γε καθ' αὑτὰ ταῦτα αἱρετά τε καὶ διωκτά· τομαὶ
δὲ καὶ φαρμακεῖαι ἀσκήσεις γυμνασία ἀποχα. τῶνδε πρασσομένων . . . . .
πόνοι σκληρότητες δι' ἐκεῖνα αἱρεταί. ἐκεῖνα μὲν γὰρ κατὰ . . . . . τι
λειωτικὰ τῶν ὑποκειμένων. ταῦτα δὲ μόνον λυσιτελεῖ πρὸς . . . . . τὰ
γὰρ ἡ ἰατρικὴ ἢ παροῦσαν τὴν ὑγίειαν συντηρεῖν βούλεται ἢ . . . . . ἀνακαλεῖσθαι, διὰ τοῦτο νοσοῦντος μέν τινος ἀποχὰς τινων παρακελεύεται,
35 ἃ τὴν νόσον αὔξει, προσαγωγὰς δὲ τῶνδε, ἃ τῇ νόσῳ ἀντίκειται, ἢ οὐκ
αὔξει τὸ παρὰ φύσιν, καὶ ἀφαιρέσεις ἐπιτηδεί . . . . . ὑγι . . . .
νοντος δὲ καὶ ὑποπτευομένου νοσῆσαι ἢ ὑ . . . . . τ . . . . .

5. 6 κατορθοῦντα a: κατορθοῦν B 10. 11 πυθαγόριοι a 17 καὶ B: om. a
δ λόγος a: λόγος B 19 rhesis usque ad καὶ τρόπον ἄλλον (p. 1096b13) a 22 εἰρηκότι a: εἰρηκότος B 26 τοὐναντίων a 28 σώματι B: σώματος a
ψυχῇ B: ψυχῆς a

ἢ διὰ ῥᾳθυμίαν τινα τῆς ψυχῆς τοῦ παντὸς ἢ διὰ φρονήσεις καὶ κόπ
ταύτην καὶ συνιδεῖν τινα τούτου τρόπους πανουργεῖς προσυπακῆς σύρ
κόσμου ἀποκειμένους. εὕροι δ' ἄν τις ὁμοίως καὶ τῆς ψυχῆς κ
τρεφόντως ἐπιβλέποντες τῆς ἀρετῆς καὶ ἀποτρεπτικῶς τῆς κακίας.
δι' ἣν ἀπὸ τῆς ἀρετῆς ἐπιστήδευται καὶ τὴν ἀρετὴν τῇ ψυχῇ
πανοπλίαν, πανοπλία δὲ τῆς ἀρετῆς ἡ τῆς τοῦ σώματος ὑγιείας
λέγεται τὸ κατὰ πάντα πρὸς τὰς δυσκρασίας ἢ τὰς διαφορὰς τ
ρῶν ἀντικόψαι.

p. 1096b13 Δηλον οὖν ὅτι διττῶς λέγονται ἀν.

Ἐπὶ ὧν ὅτι διττῶς τὰ ἀγαθά, τὸ μὲν καθ' αὑτά, τὰ δὲ ὡς ε
τοιαῦτα ὄντα. εἶπε μὲν τοῦτο ἐδείξει. λαμβάνει δ' ἐν τῷ παρ
ἀναγκαῖα μόνον ὑπάρχειν ὅτι διχῶς τὰ ἀγαθὰ λέγεται, ἐρεῖ δὲ
τοῦτο διὰ τῆς ἐπαγωγῆς. γνωρίσαντες οὖν ἐρεῖ ἀπὸ τῶν ὡρε
δοκεῖ τοιοῦτόν τι λέγειν, ὅτι ἴσως ἄν τις ἡμᾶς αἰτιάσαιτο ζητοῦντα
εἰ ἔστι τις ὅρος τοῦ ἀγαθοῦ, παράλογος δὲ συγκεχυμένως τὰ ἀγαθὰ
διαστειλάντων τῶν ὁρισμάτων αἱρετῶν τὰ καθ' αὑτὰ διωκτά. ἵν
δεικνύῃ, ὅτι μὴ πᾶν ὅρον ἀναίρεται τὰ καθ' αὑτά. τὰ γὰρ δι' ἕτερα
ἐπεὶ οὐ δι' ἑαυτὰ τοῦτο λέγεται, οὐκ ἔστιν ἁπλῶς ἀγαθά, οὐδ' ὅλ
ρατέον εἰς τὴν τοῦ ἀγαθοῦ ἰδέαν ἀναγαγεῖν. ὅτι δὲ εἰσί τινα καθ
ἀγαθά, ἐκ τῆς ἐπαγωγῆς δείκνυσιν, ὁριζόμενος ἅμα καὶ λέγων·

p. 1096b16 Καθ' αὑτὰ δὲ ποῖα θετέον τις ἂν; ἢ ὅσα.

Δείκνυσιν ἤδη διὰ τῆς ἐπαγωγῆς, ὡς εἴρηται, εἶναί τινα καθ'
ὅτι δὲ καὶ ὁρίζεται τὸ καθ' αὑτὸ ἀγαθόν, ὡς ἐπὶ πολλῶν μὲν τοῦ
ὄντος, οὐδὲν δ' ἧττον καὶ ὡς ἐπ' ἐνὸς κοινοῦ τὸν λόγον ποιούμενος
μᾶλλον. καθ' αὑτὰ γάρ εἶναί φησιν, ὅσα καὶ μονούμενα, ἤτοι μ
ἄνευ παντελῶς αὐτοῦ ἢ ἄνευ τῆς αἱρέσεως αὐτῶν ἀποβαίνοντα
μόνα δ' ἑαυτὰ αἱρετὰ καὶ διωκτά. καὶ μηδενὸς γὰρ ἐκ τῆς φρο
ἀποβαίνοντος, διωκτὴ δ' ἑαυτὴν ἡ φρόνησις καὶ ἡ κατ' αὐτὴν ἐ
καὶ τὸ ὁρᾶν ὡσαύτως. οὐκ εἶπε δὲ φρόνησιν καὶ ὅρασιν ἀλλὰ φρονε
ὁρᾶν, ὅτι ἐκεῖνα μὲν ἕξεις, ταῦτα δὲ αἱ κατὰ ταύτας ἐνέργειαι (τοιαῦ
δὲ τῶν ἕξεων αἱ ἐξ αὐτῶν ἐνέργειαι, διὸ καὶ αἱρετώτεραι), καὶ ἡ
τινες καὶ τιμαί. οὐ γὰρ πᾶσα ἡδονὴ ἢ τιμὴ ἀγαθόν· ἡ γὰρ
καίων οὐκ ἀγαθὸν οὐδ' ἡ τῶν ψωριώντων. ἡ δ' ἐκ τῆς θεωρίας
ὄντων ἐπιγινομένη τῇ ψυχῇ ἀγαθὴ καὶ διωκτὴ τοῖς ἐχέφροσι κα
ἐστὶν γὰρ ἀνθρώπου τελειότατον τὸ νοῦς. καὶ ἡ ἐκ τῆς ἀπολαύσε

3 ὁμοίως a 9 rhesis usque ad
11 ἐστὶ B: ἔοικε δὲ a 21 rhesis usque ad
21 ὡς a: om. B 26

τως, ὅταν ἡ ψυχὴ ἠρεμαίαν ἄγῃ γαλήνην καὶ ἀστασίαστον, ἀπαλλαγεῖσα 11r
τοῦ τῶν παθῶν κλύδωνος, τῶν χειρόνων δυνάμεων ὑποταγεισῶν τῇ κρείττονι· οὕτω καὶ αἱ τιμαὶ αἱ ἐκ τῶν εἰδότων καὶ φρονούντων ὀρθῶς καὶ ἐπὶ ἀρετῇ καὶ σοφίᾳ αἱρεταὶ καὶ δικαταί, αἱ δ' ἐκ τῶν τυχόντων καὶ ἀγέλ-
5 πέρων ἀποτρόπαιοι.

p. 1096b18 Ταῦτα γὰρ εἰ καὶ δι' ἄλλο τι διώκομεν, ὅμως. 15

Τὸ γὰρ φρονεῖν ὅτι καὶ καθ' αὑτὸ ἀγαθόν, δῆλον, ὡς τῆς κατὰ λογισμὸν ἀρετῆς ὂν ἐνέργημα. δῆλον δ' ὅτι καὶ ὡς ὀνήσιμον εἰς πολλά, ἵνα μὴ λέγω πάντα, τὰ ἐν ταῖς κατὰ βίον ἡμῖν πράξεσι κατορθούμενα.
10 καὶ τὸ ὁρᾶν ὡσαύτως ἀγαθὸν μὲν καὶ δι' ἑαυτό, ὅτι πλείστας διαφορὰς ἡμῖν γινώσκειν παρέχεται, καὶ χρήσιμον δ' οὐδὲν ἧττον ὅτι γνωρίζειν ποιεῖ καὶ πόρρωθεν τὰ βλαβερὰ καὶ ὠφέλιμα, ὡς τὰ μὲν φεύγειν, ἔστι δ' 20
οὗ καὶ ἀμύνεσθαι, τὰ δὲ διώκειν, ἔστι δ' οὗ καὶ ἐφέλκεσθαι. οὕτω δ' ἂν εὕροις καὶ ἐπὶ τῶν ἡδονῶν καὶ τῶν τιμῶν.

15 p. 1096b19 Ἢ οὐδ' ἄλλο οὐδὲν πλὴν τῆς ἰδέας.

Πλάτων τὰ εἰρημένα εἶναι καθ' αὑτὸ ἀγαθὰ ὡς τούτου ὁμολογουμένου ἐπῆγαγε ταῦτα ἐπιμεμφόμενος. τὸ γὰρ ἢ οὐδ' ἄλλο οὐδὲν πλὴν τῆς ἰδέας εἰρωνευομένου ἐστίν, ὡς εἰ ἔλεγεν, ἢ πάντα παρήσομεν τὰ ὄντα 25
20 ὁμολογουμένως καθ' αὑτὸ ἀγαθά, καὶ αὐτῆς τῆς ἐνεργείας καταφρονήσομεν καὶ μόνην ἐροῦμεν τὴν ἰδέαν καθ' αὑτὸ ἀγαθόν. ἰδοὺ γὰρ παρ' αὐτὴν ὑποπέφανται ἕτερα καθ' αὑτὰ ἀγαθά, ὥστε περιττὴ ἡ θέσις τῆς ἰδέας. εἰ μὲν γὰρ οὐδὲν ἦν καθ' αὑτὸ ἀγαθὸν τῶν ἐναργῶν, ἀναγκαῖον ἂν ἦν ἴσως ἕν τι τίθεσθαι καθ' αὑτὸ ἀγαθόν, εἰς ὃ τὰ πολλὰ ἀναφερόμενα ἀγαθὰ 30
25 ἐκείνου θέσεις ματαίας. ἀλλ' εἰ καὶ καθ' αὑτὸ θεῖή τις, ὦ Ἀριστότελες, ἀγαθὸν ὡς καὶ σὺ φῂς τὸ φρονεῖν καὶ τὸ νοεῖν καὶ τὴν ἐκ τοῦ θεωρεῖν ἡδονὴν καὶ τὴν ἐκ τῶν ἐμφρόνων τιμήν, ἀλλ' οὐχ οὕτω καθ' αὑτὰ ὡς ἑαυτῶν ὄντα καὶ καθ' ἑαυτὰ ὑφεστῶτα καὶ ἑτέρων ὡς εἰκόνων ὄντα ἀρ-
30 χέτυπα, καὶ ὁρῶντα οὕτως ὡς ἑαυτοῖς ἀπογεννᾶν ὅμοια, ὡς Πλάτων τὰς ἰδέας ἐτίθετο, ἀλλ' ὡς ἄλλων ὄντα καὶ ἐν ἑτέροις ἢ ἑτερωθεν προβαλλόμενα καὶ μηδένων ὄντα ἀρχέτυπα, καθ' αὑτὰ δὲ λεγόμενα οὐχ ὡς οὐσίας ἀλλ' ὡς δι' ἑαυτὰ διωκόμενα, ὥστε περιττόν σοι καὶ τοῦτο τὸ σόφισμα ἐξ ὁμωνύμου τάχα παρεισαγόμενον διὰ τὸ πλεοναχῶς τὸ καθ' 35
αὑτὸ λέγεσθαι.

3 καὶ ante ἐπὶ a: om. B 6 rhesis usque ad θεῖή ἄν τις (p. 1096b19) a
15 rhesis usque ad ἔσται τὸ εἶδος (p. 1096b20) a 16 αὑτὸ B: αὑτὰ a 19 καθ' αὑτὸ ἀγαθά B: καθ' αὑτὰ ἀγαθά a 27 ἐκ τῶν B: om. a 33 ὁμωνύμου B: ὁμωνύμων a

[illegible] ὑπάρχει καθ' αὐτὰ ἕως τοῦ ἀλλὰ
ὃν λέγεται.

Τοῦτο ἐπιχείρημα πρὸς τοὺς τὸ αὐτὸ ὁπωσοῦν εἰ ἐκάστ
ἀγαθὰ, ὡς οἶμαι ἐγὼ παιδεύω, θεωρεῖται τοῖς ἐκείνης μετέχουσι. δεῖ
ὡς μιᾶς κοινωνούσῃ ἰδέας οὕτω κοινωνεῖν καὶ λόγου τοῦ κατ' αὐτὸ
ἐπεὶ οὖν πολλὰ τὰ καθ' αὑτὰ ἀγαθά, ἃ τῆς τοῦ ἀγαθοῦ ἰδέας μετ
δ' αὐτὰ ἐστι τὸ ὄνομα ἢ
τεθειμένον. [illegible] ἀλλ' ἕν. οὐκ ἄρα μία τις ἰδέα ὑφ' ἣ
μετέχοντα τὰ καθ' αὑτὰ ἀγαθά. ὡς γὰρ ἐν μόνῳ ὄντι κατ
[illegible] ἄνθρωπος καὶ ἵππος καὶ ὁ τῆς ἀνθρωπότητος καὶ
τοῦ ἵππου καὶ ὁρισμοῦ καὶ ἡδονῆς εἷς ὁ λόγος τῆς ἀγαθότητος
ἀμφ[illegible] διαφέροντας τούτους τοὺς λόγους ἡ ἀγαθὸν ἐστιν οὐκ ἂ
τις ἰδέα τοῦ ἀγαθοῦ, ὑφ' ἣν τὰ πολλὰ καθ' αὑτὰ ἀγαθὰ ἀναφ
πρώτων μὲν δεῖ τῷ λόγῳ ἀκολουθῆσαι αὐτοῦ καὶ δεῖξαι ὡς αὐτὸς
παρόντος ἐπίλυσιν σοφίσματος προὐπέθετο. εἰ γὰρ κατ' αὐτὸν ἐκεῖ
καθ' αὑτὰ ἀγαθά, ὅσα καὶ μονούμενα διώκεται, ἁρμόζει δὲ οὗτος ὁ
κατ' αὐτὸν τοῖς ἀπριθμημένοις τε ἅπασι καὶ τοῖς ὅσα τοιαῦθ'
πῶς οὐκ ἂν εἴη εἷς ὁ λόγος τοῖς ἅπασιν ἡ ἀγαθά ἐστιν; οὐ γὰρ
καὶ φρόνησις καὶ ἡδονή, ζητεῖται, εἰ εἷς ὁ λόγος αὐτῶν, ἀλλ' ἡ
ἐστιν. οὗτος δὲ εἷς καὶ ὁ αὐτὸς παρ' αὐτοῦ ἀποδέδοται. οὐκ ἄρ
ἐντεῦθεν κωλύεται ἰδέα τις εἶναι τοῦ καθ' αὑτὸ ἀγαθοῦ, ὑφ' ἣν ἀνα
τὰ καθ' αὑτὰ ἀγαθά. ἔπειτα εἰ ἕκαστον τούτων οὐκ ἰσομέτρως
[illegible] ὡς οὐδὲ λευκὰ τὰ λευκά· ὡς γὰρ ταῦτα κατὰ μετοχὴν ἑνὸ
ματος τῆς λευκότητος λευκὰ λέγεται καὶ ὁ μὲν ὅρος εἷς τῆς λευκ
ἡ δὲ ταύτης μετοχὴ οὐχ ὡσαύτως ἐν ἅπασίν ἐστιν, οὕτω καὶ μ
τῶν ἀγαθῶν, ἧς πάντα μετέσχηκε τὰ καθ' αὑτὰ ἀγαθά, ὡς εἶναι
[illegible] αὐτοῖς τὸν αὐτὸν ὡς τοῦ αὐτοῦ μετέχουσιν εἴδους, εἶναι δ
[illegible] μετεχόμενον καὶ ἄλλο τὸ καθ' αὐτὸ θεωρούμενον καὶ ἐν αὐ
ὑπάρξει ὑφεστηκὸς καὶ νοούμενον. πρὸς ὃ τὰ πολλὰ καὶ ἀλλήλων δ
[illegible] ὀνόματα ἀναφέρεται. ὅτι γὰρ ἕκαστον τῶν πολλῶν ἀγαθῶ
μετοχὴν ἀγαθοῦ ἐστι καὶ λέγεται, ὅρον τε τοῦ μὴ ἀπλῶς εἶναι
τούτων ἑκάστου. μετοχῆς δὲ οὔσης, ὅλον ὡς ἔσται κατὰ τὸ ἀμε
[illegible] ἀμερίστου. τοῦτο γὰρ ὡς τῶν πολλῶν τιθέντ
μεν. ἐπεὶ οὐδ' εἰς λύσιν ἴσως ὀχυρὰ τὰ λεγόμενα τοῖς ἀναιρεῖν τ
[illegible] ἀσθενῶς ἐπιχε
ἢ μᾶλλον συνιστῶν ἢ ἀνασκευάζων τὸ ὁριζόμενον.

[illegible] 7 ὄνομα B: εἶναι a 22 εἰ B: om. a
[illegible] ὡσαύτ B

p. 1096b26 Οὐ γὰρ ἔοικε τοῖς ἀπὸ τύχης ὁμωνύμοις. 14v

Ἀκολούθως τοῖς εἰρημένοις καὶ τὴν παροῦσαν ποιεῖται ζήτησιν. ἐπεὶ 11
γὰρ ἔδοξε δεῖξαι οὐ κατὰ μίαν ἰδέαν πάντα λεγόμενα τὰ καθ' αὑτὰ ἀγαθά, δεῖ δὲ τὴν κοινωνίαν ταύτης τῆς κλήσεως κατά τινα αἰτίαν ἢ τινα τρόπον λέγεσθαι, ἐξετάζει νῦν περὶ τούτου καί φησι κατὰ ποῖον τρόπον ἀγαθὰ κοινῶς λέγεται· πολλὰ γὰρ οὕτω καὶ κατὰ φύσιν ὑπάρχει καὶ τοῖς τούτων ἄλλοις ἕτερα τὰ κοινῶς ἀγαθὰ καλούμενα. εἰ γὰρ ὄνομα μόνον ἔχουσι κοινόν, τὸν δὲ κατὰ τοὔνομα λόγον τῆς οὐσίας ἕτερον, ἔσται πάντως ὁμώνυμα. πολλῶν δὴ τρόπων ὄντων καθ' οὓς τὰ ὁμώνυμα ὁμώνυμα γίνεται, τίς ἂν εἴη ὁ τρόπος καθ' ὃν τὰ ἀγαθὰ ἀγαθὰ ὀνομάζεται; οὐ γὰρ ἄν τις ἐροῖ ἀπὸ τύχης αὐτὰ οὕτω λέγεσθαι. τὰ γὰρ οὕτως ὁμώνυμα οὐδεμίαν κοινωνίαν πραγματικὴν κατὰ τοὔνομα κέκτηται. ἦν γὰρ οὕτω λόγος αὐτοῖς τῆς κοινωνίας τῆς κατὰ τοὔνομα· τὰ δ' ἀπὸ τύχης οὐ κατὰ λόγον. οὐ γὰρ ἂν ὑπῆρχεν οὐδ' αὐτόματα. αὐτόματον γὰρ τὸ αὐτομάτως ὂν ἢ γινόμενον καὶ μὴ ἔχον λόγον ἢ αἰτίαν, καθ' ἣν οὕτως ἔστιν ἢ γίνεται, οἷον εἴ τινος ἐν Λύκτῳ Ἀλέξανδρον τὸν γεννηθέντα καλέσαντος. ἄλλος ἐν Ῥώμῃ τῷ αὐτῷ ὀνόματι καλέσει ἕτερον, οὐδετέρου εἰδότος τὸν ἕτερον τίς ἐστιν ἢ εἴ τινα κέκληκεν οὕτως. ἐπεὶ οὖν τοῖς ἀγαθοῖς καὶ πραγματική τις κοινωνία κατὰ τὴν ὀνομασίαν ἐστίν, οὐκ ἂν εἴη ὡς τὰ ἀπὸ τύχης ὁμώνυμα.

p. 1096b27 Ἀλλ' ἀρά γε φησιν τῷ ἀφ' ἑνὸς εἶναι ἢ πρὸς ἓν πάντα συντελεῖν.

Πολλῶν ὄντων τρόπων καθ' οὓς τίθεται τὰ ὁμώνυμα, ἕνα μόνον τὸν 26
ἀπὸ τύχης παραιτησάμενος ὡς ἀνοίκειον, τοὺς λοιποὺς παρῆκεν, ὡς φανερῶς οὐ τῷ προκειμένῳ προσαρμόζοντας· δύο δὲ μόνους παρέλαβε, τόν τε ἀφ' ἑνὸς καὶ πρὸς ἓν καὶ τὸν κατὰ ἀναλογίαν, ὡς καὶ πραγματικήν τινα κοινωνίαν ἔχοντας· τούτων δὲ προκρίνει τὸν δεύτερον. ἀφ' ἑνὸς μὲν οὖν καὶ πρὸς ἓν ὁμώνυμα λέγεται, ὅσα ἀπό τινος ἀρχῆς μιᾶς καὶ αἰτίας ὁμωνύμου πρός τι ἓν τείνουσι τέλος, ὡς ἀπὸ ἰατρικῆς ὀνομάζονται τὰ ἰατρικὰ φάρμακα καὶ διαιτήματα καὶ βιβλία καὶ ὄργανα, καὶ εἴ τι ἄλλο ἀρχὴν μὲν ἔχον οὐσίαν ὡς ἐξ οὐσίας ὁρισθέντος, τέλος δὲ ἓν ἔχον τὴν ὑγίειαν. ἡ γὰρ ἰατρικὴ στοχάζεται. ἡ δὲ κατὰ ἀναλογίαν ὁμωνυμία δῆλη ἀφ' ὧν αὐτὸς τέθεικε παραδειγμάτων. ὡς γὰρ ἐν σώματι ὄψις ἀγαθὸν γνῶσιν τῶν ὄντων χορηγοῦν καὶ καλλύνον τὸ ζῷον, οὕτως ὁ νοῦς τῇ ψυχῇ γνῶσιν τῶν νοη-

1 rhesis inde a verbis ἀλλὰ πῶς δὴ λέγεται a τοῖς ἀπὸ τύχης B, ut Arist. codd. KbMb: τοῖς γε ἀπὸ τύχης a et Arist. vulg. 7 καλούμενα B: λεγόμενα a 8 ὁμώνυμα ὁμώνυμα B: ὁμώνυμα a 12 ἦν γὰρ B (et libri deteriores): ἦν γὰρ ἂν rectius a 14 αὐτόματα B: αὐτόματον a 20 φησιν B: om. a rhesis usque ad καὶ ἄλλο δὴ ἐν ἄλλῳ (p. 1096b29) a 23 ὡς (ante φανερῶς) a: οὐ B 24 οὐ B: ἐν a 28 ἀπὸ ἰατρικῆς B: ἀπὸ τῆς ἰατρικῆς a 32 τέθεικε B: ἔθηκε a

τῶν ἰδιούς καὶ ὡραίζων αὐτὴν ὑπὲρ πᾶσαν δύναμιν, καὶ ἄλλο δὴ ἐν
ἀλλ' οὐχ αἱ ἰδέαι οὕτωσί, Ἀριστότελες, ἀλλ' ὡς αὐταὶ καὶ ἑαυτῶν καὶ
καὶ παραδείγματα καὶ ἡ ἑκαστη πρὸς πολλὰ κατὰ μετοχὴν τὴν αὐτ
ἀναφορὰν τὴν πρὸς αὐτὴν καὶ ὁμοιωσιν παρὰ τῶν ταύτης ἐπεχόντ
ἔστω οὐκ ἀντιστρεφούσης ἐνταῦθα τῆς ὁμοιώσεως. ἔνθα μὲν γὰρ π
ἑνός ἐστι μετοχή, ἐκεῖ τὰ μετέχοντα ὅμοια πρὸς ἄλληλα τῷ τοῦτ
πεθέξεως. ἔνθα δὲ εἰκὼν καὶ παράδειγμα. ἡ μὲν εἰκὼν ἐκεῖ τῷ
δείγματι ὅμοιον ὅτι πρὸς ἐκεῖνο ἀπείκασται. τὸ δὲ παράδειγμα
οὐ χρὴ τῇ εἰκόνι λέγειν ἀλλ' εἰκόνος ἀρχέτυπον.

10 p. 1096b30 Ἀλλ' ἴσως ταῦτα μὲν ἀφετέον τὰ νῦν.

Περὶ τοῦ τρόπου τῆς ὁμωνυμίας, καθ' ὃν ἀγαθὰ πάντα τὰ
λέγεται, παραιτεῖται νῦν ἐξετάζειν, ὡς οὐ τῆς ἠθικῆς ὂν φιλοσο
τινος ἄλλης ὑπὸ τὴν πρακτικὴν τὸ περὶ τούτων ἐξακριβοῦν ἀλλὰ τ
τὰ φυσικά. ἡς ἐν τῷ ὁ περὶ τῶν πλεοναχῶς λεγομένων ἐξακρι
1 ὡς καὶ ἐπαίρει ὁμοίως ὡς καὶ περὶ τῆς οὐσίας. ἐν γὰρ τῷ
πραγματεύσασθαι καὶ τῷ μὴ καὶ τῷ ν ἐξετάζει περὶ τῶν ἰδεῶ
τοῦ δὲ περὶ τῆς οὐσίας. φησὶν ὅτι περὶ τῆς τοῦ ἀγαθοῦ φύσης σ
ταῦτα χρὴ λέγειν νῦν ζητῆσαι, ὡς περὶ τοῦ ἀνθρωπίνου ἀγαθοῦ
μᾶλλον ἐστίν.

15 p. 1096b32 Εἰ γὰρ καὶ ἔστιν ἓν τι καὶ κοινῇ κατηγορούμεν

Τοῦτο αὐτὸ ἐν τούτοις κατασκευάζει, τὸ ἀνοικειον εἶναι τῆς π
πραγματείας τὴν περὶ τοῦ ἁπλῶς ἀγαθοῦ ζήτησιν, εἴτε ὡς κοινῶ
γορουμένων τῶν κατὰ μέρος, εἴτε ὡς ἐξῃρημένου λόγου καὶ ἰδέας
γοντος, γνωστοῦ τῶν πολλῶν καὶ καθ' ἑαυτό. ἐπεὶ μηδὲ διὰ τ
πρᾶξιν ἐκεῖνο κτηθῆναι συναται. εἴτε γὰρ ὡς ἐννοημάτικόν ἐστι κα
ὡς πάντως κατηγορούμενον εἴτε ὅσα τις χωριστὴν τῶν πολλῶν,
διὰ πράξεως περιγένεσθαί τινι. θεωροῦνται γὰρ ἀμφω τὸ
ματικῶς. τὸ δὲ θεολογικῶς. τὸ δὲ νῦν ζητούμενον ἀγαθὸν τοιοῦτό
ὂν καὶ διὰ πράξεως καὶ ζωῆς ἐμμελοῦς κτᾶσθαί τινι.

20 p. 1096b35 Ταχα δε τῳ οὐδεισεν ἀν βελτιον.

Ἀντίθεσιν ταύτην περιφερει προς τον λόγον τον λέγοντα περιττ
ἠν περὶ τοῦ κοινοῦ ἀγαθοῦ ζήτησιν τῇ ἠθικῇ πραγματείᾳ ὡς μὴ

ὄντος μηδὲ κτητοῦ ἀνθρώπῳ διὰ βίου ἐπιμελοῦς. εἴποι γὰρ ἄν τις, φησί, βέλτιον εἶναι γνωρίζειν τὸ κοινὸν ἀγαθὸν πρὸς τὰ διὰ πράξεως κτώμενα. γνωρίζοντες γὰρ ἐκεῖνο προσθήσομεν τοῖς πρακτοῖς ὡς παράδειγμα καὶ οὕτω τὰ ἡμῖν ἀγαθὰ ἀδήλως ἀκριβῶς γνωσόμεθα ὡς εἰκόνα ἐξ ἀρχετύπου καὶ οὕτω τὰ ἡμῖν γνωστὰ κτήσεται πρακτικῶς μεταλαμβάνων αὐτοῦ ἡ οὐ γνώσεται. ὁ γὰρ ἀγνοῶν τάχ' ἂν πλανηθείη διώκων ὃ οὐκ οἶδε, καὶ ἄλλο κτησάμενος οἰηθείη ἂν κτήσασθαι ὃ ζητεῖ.

p. 1097a3 Πιθανότητα μὲν οὖν τινα ἔχει ὁ λόγος.

Λύει τὴν ἀντίθεσιν τὸ ἀσθενὲς παρεμφαίνων τῆς ἀντιθέσεως διὰ τοῦ πιθανότητά τινα. τό τε γὰρ πιθανὸν τὸ μὴ ἰσχυρὸν ὁηλοῖ πρὸς ἀπόδειξιν τό τε τινὰ καὶ ἐν πιθανοῖς προσὸν ἀσθενὲς τῷ λόγῳ παρίστησιν. εἶτα τὴν λύσιν ἐπάγων διττῶς αὐτὴν παρεισάγει, ἔκ τε τῶν ἐπιστημῶν καὶ τῶν τεχνῶν ἔκ τε τοῦ ἐφίεσθαι πάσας τοῦ ἀγαθοῦ καὶ ἐκ τοῦ ἐπιζητεῖν τὸ ἐνδεές. εἴτε γὰρ οὐκ ἐφίεντο τοῦ ἀγαθοῦ, οὐδὲν ἦν καινὸν ἢ ἄτοπον, εἰ κατελίμπανον τὴν γνῶσιν τοῦ κοινοῦ ἀγαθοῦ συμβαλλομένην αὐταῖς εἰς κατάληψιν τῶν οἰκείων τελῶν, καὶ ἐζήτουν τὸ αὐταῖς ἐνδεές. εἴτε ἐφίεμεναι τοῦ ἀγαθοῦ μὴ ἐζήτουν τὸ αὐταῖς ἐνδεές, εἰκὸς ἦν μηδ' ἐκεῖνο ζητεῖν. νῦν δ' ἅπασαι τούτου ἐν πάσαις αὐταῖς θεωρούσαι, ἥ τε τοῦ ἀγαθοῦ ἔφεσις καὶ ἡ τοῦ ἐνδεοῦς ζήτησις. πῶς οὖν ἐνδέχεται τὴν τοῦ κοινοῦ γνῶσιν τοσοῦτον συμβαλλομένην αὐταῖς ἀγνοεῖν καὶ μὴ ἐπιζητεῖν;

p. 1097a8 Ἄπορον δὲ καὶ τί ὠφεληθήσεται ὑφάντης.

Πρὸς τὸ αὐτὸ εἰσέτι ἐπιχειρεῖ ἀνόνητον ἐξελέγχων ταῖς τέχναις τὴν τῆς ἰδέας κατάληψιν οὐδενὸς λόγου εὑρισκομένου, καθ' ὃν τις τῶν τεχνιτῶν ἐν τοῖς οἰκείοις ἔργοις ὠφελήσεται ἐκ τοῦ θεωρῆσαι τὴν ἰδέαν τοῦ ἀγαθοῦ ἢ πῶς ἔσται αὐτὸς ἑαυτοῦ τεχνικώτερος. πρότερον μὲν οὖν ὡς ἐνιστάμενος ἐδείκνυεν μὴ εἶναι ὅλως ἰδέαν τοῦ ἀγαθοῦ, ἐν τούτοις δὲ κατὰ ἀντιπαράστασιν συγχωρῶν εἶναι αὐτὴν ἀνόνητον δείκνυσι ταῖς πρακτικαῖς ἐπιστήμαις τὴν γνῶσιν αὐτῆς.

p. 1097a11 Φαίνεται μὲν γὰρ οὐδὲ τὴν ὑγίειαν οὕτως ἐπισκοπεῖν.

Ἕτερον ἐπιχείρημα τοῦτο ἐκ τῶν ὑποκειμένων ταῖς τέχναις καὶ τῶν τελῶν τὴν τοῦ καθόλου ἀγαθοῦ γνῶσιν δεικνύον ἀνόνητον. αἱ γὰρ τῶν τεχνῶν ἐνέργειαι περὶ τὰ καθ' ἕκαστα θεωροῦνται καὶ ἅπερ ἐν αὐτοῖς

4 εἰκόνα a: εἰκόνας B 7 πλανηθείη a: πλανηθῇ B 9 τινα ἔχει Ba. ut Arist. codd. KbMb: ἔχει τινὰ Arist. vulg. thesis usque ad οὐκ εὔλογον (p. 1097a8) a 17 ἐζήτουν a: ἐζήτει B 21 αὐταῖς a: αὐτῶ B 22 thesis usque ad θεασάμενος (p. 1097a11) a 30 thesis usque ad γὰρ ἰατρεύει (p. 1097a13) a

καταθέσθαι καθ' ἕκαστα καὶ οὐ καθόλου ἐστίν. οἷον ὁ ἰατρὸς τὸ
ἀνθρώπου παραπέσοι καὶ τὴν τινὰ ὑγίειαν ἐν αὐτῷ καταθοῖτο, ἆθεν κ
τοῦ τινὸς ἀνθρώπου κρᾶσιν καὶ ἡλικίαν καὶ νόσον καὶ τὴν τινὰ ὧρ
χωρῶν καὶ εἴ τι ἕτερον γινώσκοι, ἵνα καὶ τὴν τινὰ ὑγίειαν κατ
τὸ δὲ καθόλου ἤτοι ὡς ἰδέαν εἴτε ὡς κοινὸν τὰ καθ' ἕκαστα περιέ
ἀναγκαῖον ἦν γινώσκειν, ὅτι μηδὲ περὶ αὐτὸ καταμένοιεν. τὸ δὲ αὐτὸ
ταυταῖς ἐστι τοῦ κατὰ τὴν τέχνην ἢ τὸ καθόλου ἀρχή. τὸ δὲ ἴσως ἐν τ
καὶ τὴν τοῦδε πρασσόμενα διὰ τὸ μηδὲ τοῦ καθόλου τὸν τεχνίτην ἁπ
αἱμᾶσθαι γὰρ ἔοικεν ὁ τεχνίτης τοῦ τε |δε| καθόλου καὶ τὰ καθέκαστα.
κατὰ τοὺς λόγους καὶ τοὺς κανόνας τοὺς τεχνικούς. τὰ δὲ κατὰ τὴ
γειας καὶ προχειρίσεις, ὡς περὶ τοῦδε ἐνεργάζεται καὶ ἐν τούτοις ε
ἀρχὴν κατοπτεύει. τὸ γὰρ καθόλου ἐν τοῖς λογικοῖς οὐ μόνον καὶ
προχειρίσεσιν. ἐννοηματικὰ ὄντα καὶ ὑπὲρ αἴσθησιν.

p. 1097a13 Καὶ περὶ μὲν τούτων, ἐπὶ τοσοῦτον· πάλιν δ
νέλθωμεν.

Προὐθέμεθα δ' ἀρχῆς περὶ τοῦ τελειοτάτου εἴδους τῶν πρακ
ἀνθρώπου ἀγαθῶν, πρὸς ὃ τὰ λοιπὰ τελευταῖον φέρουσι, καὶ δεῖ
εἶπεν. ἴσμεν οὖν προὐθέμεθα δεῖξαι καὶ τί ἐστιν. ζητήσαι μετρεῖ περὶ
θεμένοις ἀρκοῦν καὶ τῆς οὔσης ἐστὶ τὸ τί τοιοῦτον ἐν τοῖς οὖσ
Πλάτωνα καὶ εἰ εἰς ἐκεῖνο ἀνακτέον τὰ μερικώτερα ἀγαθά. κα
ἐκεῖνον ζητήσαι ὡς τελικωτάτου τὴν περὶ τῶν λοιπῶν λιπόντας
καὶ πρὸς ἐκεῖνο τὰ πάντα ἀναφέροντας. καὶ δεῖξαι πρῶτον μὲ
οὐκ ἔστιν ὅπως ἂν ἐκεῖνο, ὅτι ἀγαθόν ἐστιν. οὐχ ὡς πρακτὸ
τοῦ πρακτικοῦ τέχνου ἡ ἐκείνου γνῶσις συντείνει εἰς τελειότητα
ἐπάνειμι ἐπὶ τὸ προκείμενον καὶ ποιεῖται λόγον εἰδέναι περὶ τῆ
ἡρώπῳ προσγινομένης ἀπὸ τῶν ἀγαθῶν πράξεων τελειότητος. καὶ
παύει μὲν τὸν περὶ τοῦ καθόλου λόγον καὶ τῶν ἰδεῶν, ἐπαναλαμβά
τὸν περὶ τοῦ προκειμένου, λέγων ἐπανέλθωμεν ἐπὶ τὸ ζητού
ἀγαθόν. τὸ δὲ ζητούμενον ἦν ἡ εὐδαιμονία, δι' ἣν καὶ ταῦτα πρακ
ἀνθρώποις ἀγαθά. καὶ ὥσπερ τὸ εἰ ἔστι ζητῶν ἐξ ἀρχῆς [ἐπαναγόμ
τινα τῶν κατὰ τέχνας τυποῦντος τοιῶν, ὅτι καθὼς ἐπὶ ἑκείνων ἕ
ἑκάστης εὑρεῖν τέλος οἰκεῖον, δι' ὃ τὰ πρὸ αὐτοῦ πάντα, κανὸν εὑρω
ἀποδόντες τί ἐστι, τὴν οὐσίαν τοῦ τελικωτάτου τῆς τέχνης ἀποδώσο
αὖθις πολλῶν τεχνῶν ἀναγομένων ὑπό μίαν καὶ τῶν τελῶν ἐκείνων ὑπὸ τ
τῆς μιᾶς, τὸ τέλος ἐκείνης τελικώτερον τῶν λοιπῶν ἐστι, τῶν ἀναγ
ὑπ' αὐτήν. καὶ ἀποδιδοὺς τί ἐστιν ἐκεῖνο τὴν τοῦ τελικωτέρου τ

ἐνεργῶν τε καὶ—ἐπαγγελόμενος 14 post τοσοῦτον Arist. εἰρήσθω h

πῶν ἀπόδοσιν ἐποιήσατο, οὕτω καὶ πάντων τῶν τελῶν ὑπὸ τὴν εὐδαιμονίαν ἀναγομένων ὅσα τέλη ταῖς πρακτικαῖς τέχναις ἢ ἐπιστήμαις ὡς εἰς τέλος κοινόν, ὁ ἀποδιδοὺς ταύτην τί ἐστι γνώριμον ἐποίησε τὸ πάντων τελικώτατον. ὃ δι' ἑαυτὸ ἐστι μόνον αἱρετὸν καὶ μὴ διά τι ἕτερον. τῶν δ' ἄλλων ἕκαστον τὸ μὲν δι' ἕτερον αἱρετόν, τὸ δὲ καὶ δι' ἑαυτὸ καὶ δι' ἕτερον, ὡς τὸ μὲν τέμνεσθαι καὶ καίεσθαι καὶ φαρμακεύεσθαι τὸν νοσοῦντα οὐδέποτε δι' ἑαυτὰ αἱρετὰ ἀλλὰ διὰ τὴν ὑγίειαν· ἡ δὲ ὑγίεια καὶ δι' ἑαυτήν· κατὰ φύσιν γὰρ τῷ σώματι. τοῦτο δὲ ἀγαθὸν καὶ δι' ἕτερον. χρήσιμον γὰρ τῇ ψυχῇ πρὸς τὸ μὴ ἐμποδίζεσθαι δι' ἀσθένειαν τῆς σαρκὸς πράττειν τὰ ἐπαινετά, ἢ καὶ πρὸς τὴν εὐδαιμονίαν αὐτήν, ἵνα μὴ λυμαίνηται τὸ μακάριον, κακῶς τοῦ τῇ ψυχῇ συζυγοῦς ὀργάνου διακειμένου. ἀπορήσειε δ' ἄν τις, εἰ ὥσπερ ἀναπληροῖ τὴν εὐδαιμονίαν ἡ ὑγίεια, ἆρα κατὰ φύσιν καὶ ἀγαθὸν οὖσα, ὡς τὴν ὁλοκληρίαν ἐμποδίζεσθαι τῆς μακαριότητος ἐν ταῖς νόσοις τινὸς τῶν κατὰ φύσιν ἐστερημένου, πῶς εὕρηνται τῶν ἀρετῆς ἀντιποιηθέντων πολλοὶ σφόδρα κακουχίαν τοῖς ἑαυτῶν ἐπιτηδεύσαντες σώμασιν, ὡς καὶ νοσεῖν καὶ ἀλγεῖν καὶ πληγὰς φέρειν καὶ ὀδυνᾶσθαι τοῖς ἕλκεσιν; ἢ γὰρ οὐκ ἔστιν εὐδαιμονεῖν αὐτοὺς οὕτως ἔχοντας ἢ ψευδὲς τὸ οὕτως λέγειν τὴν ὑγίειαν εἰς εὐδαιμονίαν συμβάλλεσθαι. λύεται δὲ ἡ ἀπορία ἐκ τῆς τῶν βίων διαφορᾶς τοῦ πολιτικοῦ καὶ καθαρτικοῦ, ἤτοι θεωρητικοῦ. ὡς γὰρ αἱ ἀρεταὶ ἄλλως καὶ ἄλλως ἑκατέρῳ τούτων ἐφαρμόζουσιν, ὡς εἶναι τὰς μὲν μετριοπαθείας, τὰς δ' ἀπαθείας, οὕτω καὶ τὸ εὐδαιμον καὶ μακάριον ἄλλως μὲν τῷ πολιτικῷ, ἄλλως δὲ τῷ θεωρητικῷ ἐφαρμόσει, ὡς εἶναι τῷ μὲν μετριοπάθειαν καὶ μόνον κυρίευσιν κατὰ τῶν ἀλόγων παθῶν τῆς τοῦ λόγου δυνάμεως, ὡς τὸν μὲν ἐπιτάττειν, τὸ δ' ὑπείκειν καὶ ἐνεργεῖν οὕτως καὶ ἐπὶ τοσοῦτον, ὅπως καὶ ἐφ' ὅσον ὁ προεστηκὼς διορίσεται, πράττειν τε τὰ ἐν τῇ πολιτείᾳ φρονίμως κατὰ τοὺς νόμους καὶ τὰ ἔθη τῆς πόλεως καὶ ἐν πᾶσι τηρεῖν τὰ καθήκοντα, διατάττοντα δεόντως τοῖς πολιτευομένοις καὶ διορίζοντα. καὶ δοκεῖ τὸ μέχρι τοῦδε ἱκανὸν εἶναι τῷ πολιτικῷ πρὸς τὸ τέλειον ἡ πολιτικὴ ἀρετή· ὁ δὲ καθαρτικὸς καὶ θεωρητικός, ἐπεὶ πάντῃ τὰς ἐν μέσῳ διατριβὰς ἀπηνήνατο καὶ τὴν ὑπὲρ ἄνθρωπον εἵλετο βίωσιν, καὶ κατὰ προαίρεσιν κεχώρισται τοῦ σώματος, καὶ τὸν νοῦν πτεροῖ ὡς τῶν κάτω παντελῶς ὑπεραίρεσθαι καὶ πάντ' ἐὰν ὅσα ὑπὸ χρόνον καὶ πρώτην κίνησιν, καὶ πρὸς θεὸν ἀνάγεσθαι καὶ ἀναίρεσθαι. ἔχει δὲ τὸν τοῦ σώματος σύνδεσμον τὴν σπουδὴν κολούνοντα καὶ τῇ ἀναπτήσει τοῦ νοὸς ἐμποδίζοντα, ὡς πρὸς ἐχθρὰν τὴν σαρκα διακειται, και ασπονδον εχ[illegible] πρὸς αὐτὴν στάσιν, παντοίαν ὀλεθρίαν ἐπιτηδεύων, ὡς ἂν καταπίπτουσα ἀπόνως ἔχοι κατὰ τοῦ νοὸς ἐγείρεσθαι. ὁ δὲ τῆς ἐξ αὐτῆς ὀχλήσεως ἐλευθερούμενος ἐρωτικῶς τε πρὸς τὸ πρῶτον κάλλος ἀνάπτεται καὶ τῆς πρώτης ἀγαθότητος ἀπολαύειν ἐπεί-

5 καὶ (ante δι' ἑαυτὸ) B: om. a (et libri deteriores): ὑπακούειν a 14 εὕρηνται a: εὑρηθέντες B 26 πολιτεία B: πόλει a 32 πτεροῖ a: πτεροῖς B 34 σύνδεσμον B: δεσμὸν a 35 ὡς B: καὶ ὡς a

γεται. ἠλιβομένου τοῦ σώματος μὴ ἐπιστρεφόμενος, μάλιστα δὲ τοῖς
ροῖς ἐφηδόμενος ὡς αἰτίοις αὐτῷ τῆς κατὰ προαίρεσιν λύσεως τ
τοειδοῦς σκηνους παι τῆς τούτου κατωφερείας τε καὶ παχύτητος.
οὖν ἔχων τῆς εὐδαιμονίας ὁ θεωρητικὸς ἐφέμενος πῶς ἂν λόγον
σώματος ὑγείας καὶ τῆς κατὰ φύσιν αὐτοῦ συστάσεως, ὑπερφῶ
καὶ τῆς ἐνεργείας καὶ τοῦ ἐπαγγέλματος:

p. 1097a18 Τί οὖν ἑκάστης τἀγαθόν, ἢ οὗ χάριν τὰ λοιπά.

Τούτων ὑπ' Ἀριστοτέλους λεγομένων σκοπησον τὰ παρ' ἡμῶ
εχῶς εἰρημένα, ὡς προσφυῶς τούτοις εἴρηται καὶ κατὰ τὸν Ἀριστ
σκοπόν, ἵνα μήτε περιττὸν δόξῃ τὸ τοιοῦτο λέγων, ἃ καὶ πρότερο
ματην παρεισαγων ταυτὶ ἐν τῷ ἐξεταζειν προτίθεσθαι τί τὸ τέλος
που ἡ ἄνθρωπος καὶ τίς ἡ εὐδαιμονία· ὡς γὰρ ἐν ἑκάστῃ τῶν
ἀγαθόν, οὗ χάριν τὰ λοιπὰ πράττεται, | καὶ ἐν ἑκαστῃ πράξει καὶ
ρεσει τὸ τέλος τὸ ἀγαθόν ἐστιν, ὅτι τούτου ἕνεκα τὰ λοιπὰ πρα
πάντες. οὕτω καὶ εἴ τι κοινῶς τῶν ἁπάντων πρακτῶν ἐστι τέλος, το
ἑνί τι πρακτὸν ἀγαθόν, ἧγουν τὸ διὰ τῶν ἐπαινετῶν περιγινόμεν
ἕτων. εἰ δὲ πλείω, ταῦτα, μεταβαίνων ὁ λόγος ἐπὶ τοῦτο ὁρίσετ
ἑκάστῃ τεχνῇ τέλος τι ἔχει ἀγαθὸν οὗ ἕνεκα καὶ οἱ ἅπτα
αὐτὴν ἐνεργοῦσι καὶ πράττει, εἰ ἀν τοῦτο τὸ αὐτῆς ὂν ἀγαθόν,
λῶν οὐσῶν τεχνῶν καὶ ἐπιστημῶν πολλὰ ἐκτοῦτων τὰ τέλη καὶ τὸ
ὑπάρχειν φαίνεσθαι. εἰκὸς οὖν ὑπολαβεῖν τινα, ὅτι οὐκ ἔστι τέλος
ἀνθρώπινον, οὗ ἕ τὰ λοιπὰ πάντα, ἀλλὰ πλείω ἢ ἕν. τοῦτο οὖν ἐ
ζητεῖ, εἰ πλείω ἢ ἕν. μεταβαίνων δὴ ὁ λόγος φησὶν εἰκ
ἀφῖκται. ἐπεὶ περὶ τοῦ τέλους ζητῶν ἀπ' ἄλλου εἰς ἄλλο μετ
ἄλλο μὲν εἶναι τὸ δοκοῦν τοῖς πολλοῖς εἶπεν, οἷον ἡδονὴν πλοῦτο
δὲ τὸ τοῖς χαρίεσι καὶ πολιτικοῖς, οἷον τιμήν, ἄλλο δὲ τοῖς σοφοῖς, οἷον
οὔπω δὲ φανερὸν γέγονε τί ἐστι τὸ τέλος, διὰ τοῦτό φησιν ὅτι πολλὰ
ὁ λόγος ἐν τῇ ζητήσει καὶ ἀπ' ἄλλου εἰς ἄλλο μετατιθέμενος εἰ
καταντᾷ. τὸ ἀμφισβητεῖν περὶ τοῦ τελείου ἀγαθοῦ τί ἐστι, κα
οὗτο ἢ πολλά. διὸ ἐπάγει, τοῦτο δ' ἔτι μᾶλλον διασαφῆσαι
τέλον, τουτέστιν εἰ ἓν ἢ πολλά, καὶ εἰ ἕν ἐστι, τί ἐστιν, εἰς ὃ κα
καταναλίσκει λόγον εἰκότως. τὸ γὰρ γνῶναι τί ἐστι τὸ ζητούμε
λοιπῶν ὅσα περὶ αὐτοῦ ζητεῖται, προυργιαίτερον, μαλιστα και ὅταν
ἡ τούτου καταληψις, ἄλλων ἄλλως ἐχόντων ὁρίζης περι αὐτου τῶ
λῶν τῶν πολιτικῶν τῶν σοφῶν οὐ μόνον πρὸς ἀλλήλους ἀλλὰ ὴ κ
αὐτοὺς.

p. 1097a25 Ὅτι δὴ πλείω συνάπτεται τὸ τέλος, τούτων δὲ ἕνδοξον μᾶλλον ἡ εὐδαιμονία.

Εἰ καὶ ἑκάστη τέχνη, φησίν, ἴδιόν τι τέλος ἔχει καὶ ἀγαθόν, ἀλλ' ἐπεὶ τῶν τελῶν τινα ὑφ' ἕτερα τέλη ἀνάγεται, δῆλον ὅτι τὰ ὑφ' ἕτερα ἀναγόμενα οὐκ ἔστι τέλεια, ὡς εἶναι δῆλον ἐντεῦθεν, ὅτι οὐ πᾶν τέλος τέλειον. τὸ δ' ἄριστον δεῖ εἶναι τέλειον· εἰ γὰρ ἀτελές, ἀναχθείη ἂν ὑφ' ἕτερον τελειότερον· εἰ δὲ τοῦτο, πῶς ἂν εἴη ἄριστον. οὐ κρεῖττόν ἐστιν ἕτερον ὑφ' ὃ ἀνάγεται; εἰς παράδειγμα δὲ τοῦ ἀνάγεσθαι τέλος ὑπὸ τέλος παρέλαβε τὰ ὀργανικὰ ἀγαθά, οἷον πλοῦτον τέλος ὄντα τοῦ χρηματιστικοῦ. ὃ χαριέντως εἰς τὸ σκοπὸ δι' αὐτοῦ ὡς ὄργανον κατορθοῦν ἐν τῇ πανηγυρείᾳ, καὶ αὐλοὺς τέλος ὄντας τοῦ αὐλοποιοῦ πρὸς τὸ χρῆσιν αὐτῷ χαρίζεσθαι. ὅτι δὲ ἓν τι δεῖ εἶναι τὸ ἄριστον δῆλον· εἰ γὰρ πλείω, οὐδὲν ἔσται ἄριστον. ἄριστον γὰρ τὸ πάντων ὑπερέχον, καθὸ ἄριστον. εἰ δέ τι ἕτερον ὂν τῇ φύσει ἄριστον κἀκεῖνό ἐστιν, οὐ συγχωρεῖ ἐκεῖνο ἄριστον εἶναι· οὐδὲ γὰρ ὑπερέχει αὐτό, ὥστε οὐδέτερον ἄριστον. ἔσται γὰρ ἅμα ὑπερέχον καὶ οὐχ ὑπερέχον, τὸ μὲν ὡς ἄριστον, τὸ δ' ὡς ἴσον ἔχον ἑαυτῷ ἕτερον, οὐ μὴν ὑπερέχει. ἔσται ἄρα ταῦτα πρὸς ἄλληλα ἴσα καὶ οὐκ ἴσα καὶ ὑπερέχοντα καὶ οὐχ ὑπερέχοντα. ταῦτα δὲ ἀδύνατα. οὐκ ἄρα πλείω τὰ ἄριστα. διὰ τοῦτο καὶ Ἀριστοτέλης ἓν εἶναι δεικνύων τὸ τελειότατον ἐν ἀνθρώποις ἀγαθόν, ἐπιφέρει εἰ μέν ἐστιν ἓν τι μόνον τέλειον, τοῦτ' ἂν εἴη τὸ ζητούμενον· εἰ δὲ πλείω, φησίν, εὑρεθῇ τὰ δι' αὐτὰ αἱρετά, ὡς δηλονότι πάντα τέλεια, ἀπ. ἔσται τι δὲ καὶ ἐξ αὐτῶν ἓν τῶν λοιπῶν τελειότατον, ὃ καὶ ἑρμηνεῦον τί ἐστι, φησί·

p. 1097a30 Τελειότερον δὲ λέγομεν τὸ καθ' αὑτὸ διωκτόν.

Ἔστι γὰρ ἀγαθὸν δι' ἄλλο αἱρετόν, οὗ κρεῖττον καὶ τελειότερον τὸ δι' ὃ ἐκεῖνο αἱρετόν, καὶ οὔπω ἴσως τοῦτο τὸ τελειότερον. οὐ γὰρ ἱκανὸν πρὸς τὸ τέλειον τὸ ἔχειν τι πρὸ αὐτοῦ ἕτερον δι' αὐτὸ ὑπάρχον αἱρετόν. ἐνδέχεται γὰρ καὶ αὐτὸ τοιοῦτον εἶναι, οἷον εἰς ἄλλο καὶ αὐτὸ ἀναφέρεσθαι. δι' ἐκεῖνο ἔχον τὴν αἵρεσιν. ἐκεῖνο δ' ἐστὶ τὸ τελειότατον, ὃ οὐκ ἔστι καὶ δι' αὐτὸ καὶ δι' ἄλλο αἱρετόν, ἀλλὰ μόνον αὐτὸ δι' αὐτό [εἶναι] καὶ τοῦτο πάντοτε καὶ μὴ ποτὲ μὲν δι' αὐτὸ αἱρετὸν μόνον, ποτὲ δὲ καὶ δι' ἕτερον, ἀλλ' ἀεὶ δι' αὐτὸ καὶ μηδέποτε δι' ἄλλο.

1 δὴ Ba: δὲ Arist. rhesis usque ad τὸ τελειότατον τούτων p. 1097a34 7 δὲ a: om. B 10 ὃ a: ᾧ B 16 ἔχον a: ἔχων B 22 ἓν τῶν B: ἐν τῶν a 24 rhesis usque ad μηδέποτε δι' ἄλλο (p. 1097a34) a 26 δι' ὃ — ὃ B: δι' ἐκεῖνο a 27 ἔχειν B: ἔχον a αἱρετόν a: ἕτερον B 28 εἶναι B: om. a

p. 1097a34 Τοιοῦτον δ' ἡ εὐδαιμονία μάλιστα.

Ἡ γὰρ εὐδαιμονία [illegible] τέλος ἐστὶ τὸ ἔσχατον, οὐκ ὀφείλει τ
τελικώτερον οὐδὲ ὀνομαστὸν εὑρεῖν, ἵνα ὁ αὐτὸς ὁρισμὸς οὗτος γένη
καὶ ὁ ἕτερον. διὰ τοῦτο καὶ λέγει ὅτι αὐτὴ αὑτῆς. τὸ οὖ
οὐκ ἀμφιβόλου ἀλλ' ὡς κοινῆς τινος ἕξεως οὔσης παρ' ἡμῖν.

p. 1097b1 Τιμὴν δὲ καὶ ἡδονὴν καὶ νοῦν.

Ἢ ὁ αὐτὸς οὗτος αἱρετὸν καὶ μηδέποτε ὁ ἕτερον τὴν εὐδα
εἶναι διατεινόμενος παραπλήσιον αὐτῇ τὴν τιμὴν καὶ ἡδονὴν καὶ τὸν νο
τὰς λοιπὰς ἀρετάς. ταῦτα γὰρ πάντα αἰσθόμεθα μὲν καθ' ἑ αὐ
μᾶλλον δὲ αὐτῶν ὑπάρχομεν, αἱρούμεθα δὲ καὶ διὰ τὴν εὐδαιμονίαν ὡ
οὔσαν τῆς αὐτῶν κτήσεως. ἐπιλαμβάνοντες διὰ τοῦτο τὸ ἐνεργ
ὡς εἰς πάντα τελειότατον καὶ σκοπιώτατον. οὐδέποτε δὲ τὴν εὐ
καθ' αὑτὸν γοῦν αἱρετὸν οὐκ ὄλως δ' ἄλλο τι, ὡς ὄφρα ε
τῆς κοινῆς ὑπαρχέσεως. ὡς αὐτὴ ἐστὶ τὸ τῶν λοιπῶν τελειότατον·
κοινῶς ὑπολαμβανομένη ὑπάρχειν· καὶ ὁ ἐπαινῶν οὕτω τὸν καθ
ὑπολαμβάνει τὸ ὑπάρχον τῆς ἀρετῆς ἐπαινεῖν οὕτω τὸν καὶ αὐτὴν θεω
ἀλλὰ τὴν κατὰ τὸ καθ' ἑκάστην αὐτῆς ἀρετήν ἢ καὶ φρόνησίς τινα
ὃν καὶ ἀκολουθεῖν τούτῳ τὸν λοιπὸν αἱρεῖται.

p. 1097b2 Φανεῖται δὲ καὶ ἐκ τῆς αὐταρκείας.

Ἐπὶ τὸ αὐτὸ δὲ καὶ οὗτος· ὅτι ἡ αὐτάρκεια τὸ αἱρετὸν ἐστὶ καὶ οὐ
μόνον αἱρετὸν, αἱρετώτερον μὲν οὖν καὶ τὸ ἐν αὐτῷ καὶ τὸ μόνον
τὸ αἱρετὸν καὶ μὴ δεόμενον ἑτέρου ὁτουοῦν ἐφοδίου. ὃ δὲ ὑπαρξει αὐτῷ τὸ
ἐπιτεῖναι ἡ εὐδαιμονία οὐ πρὸς ἄλλο τι ἢ πρὸς αὐτῆς τελειότητα καὶ
ἄλλο ποιεῖ αὐτὴ ὁ αὐτὴ αἱρετὴ, διὰ τοῦτο καὶ αὐτάρκης.

p. 1097b8 Τὸ δὲ αὐτάρκες, οὐκ αὐτῷ μόνῳ.

Ἄρχεται ἐμπροσθεν τρεῖς εἶναι τοὺς μάλιστα προέχοντας βίου
ἀνδραποδώδη καὶ πολιτικὸν καὶ θεωρητικόν. ὁ μὲν οὖν ἀνδραποδ
ἐμποδὼν ἐστὶ καὶ ὥσπερ ἀνδραπόδου καὶ οὐκ ἔχων ἀγόμενον τ
καὶ τὴν ὄρεξιν ὑπὸ τῶν παθῶν. ὁ δὲ πολιτικὸς ἐπιτείνων μὲν ἑαυτὸν
ὑπὸ φύσει οὐκ ἀγομένου. τῆς οἰκείας εὐγενείας ἐπιλαθόμενον καὶ

1 rhesis usque ad οὐδέποτε δ' ἄλλο (p. 1097b1) a 6 rhesis usque ad
(p. 1097b6) a 7 αἱρετὸν B: αἱρετὴν a 10 ἀπορᾶνη B: ἀπορ
18 τούτῳ B: τούτων a 19 thesis usque ad εἶναι ὁσαεί (p. 1097b8) a

καταδουλοῦν τοῖς ἀγεννέσι καὶ χείροσιν, ὁ δέ γε θεωρητικὸς ὁ ἁπαθὴς ἐστι καὶ τὸ λογικὸν καὶ νοερὸν τρῶν τῆς ψυχῆς, οὐ μόνον τῆς πρὸς τὰ ἄλογα πάθη δουλείας ἐπέκεινα ἀλλὰ καὶ πάντῃ ἔχων ἀπροσπαθῶς πρὸς αὐτά, καὶ τοσοῦτον ὡς ἀρχὰ πάντῃ ταῦτα καὶ ἀνενέργητα καταλείπεσθαι, ἐν μηδεμιᾷ τοῖς ἄλλοις ἐνεργείᾳ αὐτῶν συνδιδόντας τὸ κράτιστον. καὶ οὗτος μὲν ἄκρος καὶ ὡς ἐναντίως πρὸς ἄλλους ἀφίγμενος, μέσος δὲ τούτων ὁ μετριοπαθὴς καὶ πολιτικός, κοινωνίαν τινὰ πρὸς ἀμφοτέρας τρῶν τὰς ἀκρότητας, πρὸς μὲν τὴν ὡς τὸν λόγον ἔχων τῆς ἐκ τῶν παθῶν καταδουλώσεως ὑπερκείμενον, πρὸς δὲ τὴν ἐνδιδοὺς ἐν μέρει καὶ ταῖς ἀλόγοις ὀρέξεσιν, οὐχ ἵνα τοῦ κρείττονος κατακρατῆσωσιν, ἀλλ' ἵνα καὶ αὐταὶ παρ' αὐτοῦ ἐνεργῶσιν ἐπιταττόμεναι. διὰ τοῦτο ὁ κατ' αὐτὸν ζῶν καὶ γυναικὶ διὰ παιδοποΐαν συζεύγνυται καὶ παῖδας ἴσως ἐξ αὐτῆς ἀποκίτων ἔχει τούτους συζῶντας αὐτῷ παὶ γονεῦσι κοινωνεῖ καὶ ἀδελφοῖς καὶ φίλοις συμφέρεται. πολιτικὸν γὰρ ζῷον φύσει ὁ ἄνθρωπος καὶ συναγελαστικὸν καὶ κοινωνικὸν καὶ ἐνεργείας ἔχον προκειμένας αὐτῷ ἐν τῇ κοινωνίᾳ πολλάς, ἐν αἷς πολλῶν δεῖ τῶν λυσιτελούντων αὐτῷ καὶ χρημάτων καὶ σωμάτων. καὶ ὁ κατὰ τοῦτον τὸν βίον εὐδαιμονῶν προηγουμένως ἔχει πρὸς τὸ κατ' ἄνθρωπον τέλειον τὴν τῶν καλῶν καὶ ἀγαθῶν κατόρθωσιν ἔξωθεν. δεῖται δὲ καὶ τῶν ἄλλων, ἵνα μὴ αὐτῷ λυμαίνηται τὸ μακάριον. ὁ δὲ καθαρτικὸς καὶ θεωρητικὸς τοῦ κατ' ἄνθρωπον παντὸς ἀποσχόμενος καὶ τῶν ἐν μέσῳ παρέργων ἔξω γενόμενος καὶ ὄχλου καὶ πόλεως καὶ οἰκείων αὐτῶν καὶ τὴν συναναθρώπισιν ἀρνησάμενος καὶ τῆς οἰκείας σαρκὸς ἀποχωρήσας τῇ σχέσει καὶ ἀποκλίνας πρὸς τὸ νοερώτερον καὶ θειότερον ἱκανὴν ἔχει πρὸς μακαριότητα τὴν ἐξ ἀπαθείας ἐγγινομένην κατὰ νοῦν ἐνέργειαν, καὶ ἔτι τὴν ὑπὲρ νόησιν ἕνωσιν. διὰ τοῦτο καὶ πολυπονωτάτη τούτῳ ὁδὸς ἡ πρὸς τὴν ἀνήκουσαν εὐδαιμονίαν ἀνάγουσα, ἅτε καὶ πρὸς αὐτὸν τὸ δεσμὸν μαχομένῳ τῆς φύσεως καὶ πρὸς αὐτὸ τὸ εἶναι ἐνισταμένῳ κατὰ προαίρεσιν. οὐχ ἵνα λύσῃ τὸ φύσει σύνθετον, ἀλλ' ἵν' ἀσχέτως ἔξῃ τὸ δεδεμένον πρὸς τὸν δεσμὸν τὸν ἐκ φύσεως. ἡ δὲ κατορθωθεῖσα μακαριότης ἁπλῆ καὶ ἀπλανὴς καὶ ἀνενδεὴς τῶν πολλῶν, ὡς ἐν μονότητι τὴν κατόρθωσιν ἔχουσα. οὐδὲν οὖν καινόν, εἰ ὁ Ἀριστοτέλης ἐνταῦθα τὴν ἐν μέσῳ καὶ πολιτικὴν εὐδαιμονίαν ἀποδιδοὺς διαστέλλει μὲν αὐτὴν τῆς κατὰ τὴν μόνωσιν, πολυειδῆ ⟨δὲ⟩ καὶ ποικίλην παρίστησιν. ἀλλ' ἐπανιτέον ἐπὶ τὴν λέξιν. καὶ τὸ αὐτάρκες, φησίν, οὐ τὸ ἁπλῶς ἀγαθὸν λέγεται ἀλλὰ τὸ ἔχον ἐν ἑαυτῷ καὶ ἀφ' ἑαυτοῦ τὸ ἀγαθὸν καὶ τὸ ἑαυτῷ ἀρκοῦν πρὸς τὸ πληροῦσθαι τοῦ ἀγαθοῦ. ἡ οὖν εὐδαιμονία τὸ ἀνθρώπινον οὖσα ἀγαθὸν καὶ οὐ τὸ ἁπλῶς ἀγαθὸν αὐτάρκες λέγεται, ὅτι αὐτὴ ἀφ' ἑαυτῆς ἀρκεῖ τὸ ἀγαθὸν ἐν τῷ ἀνθρώπῳ τηρεῖν, ὡς τέλος οὖσα ἀνθρώπου τὸ σκοπιμώτατον, ὃ οὐ δι' ἄλλο ἄλλως αἱρετὸν τῷ ἀνθρώπῳ τῶν ἀνθρωπίνων ἀγαθῶν ἀλλὰ μόνον δι' ἑαυτό. αὐτάρκης τοίνυν ὁ πολιτικός, οὐ καθ' αὐτὸν μόνον, ὡς βίον μονώτην ζῶν,

3 ἔχων corr. ex ἔχον B 15 ἔχον προκειμένας a: ἔχων προσκειμένας B 21 αὐτῶν a: αὐτήν B 23 νοερώτερον a 25 ὑπὲρ B: περὶ a 32 δὲ a: om. B 39 τῷ ἀνθρώπῳ B: om. a

ὅταν καὶ τὰ τῆς ψυχῆς αὐτῷ πρακτὰ καὶ τὸ τοῦ σώματος ἀγαθὸν
γὰρ ἂν οὗτος ἦν πολιτικός· ἀλλ' ἐπεὶ καὶ γονεῦσι καὶ τέκνοις καὶ γυν
ὅλως φίλοις καὶ πολίταις συνεῖναι τῶν πολιτικῶν ἐνδέχεται, διὰ τὸ φύσει
λαστικὸν καὶ κοινωνικὸν τῆς ἀνθρώπου φύσεως δεῖ τούτων κατὰ πάντα
ἔχειν τὸ εὖ. εἰ δ' ἐπί τινος τούτων λείποι τι αὐτῷ, γωλεύει καὶ οὐκέτ
τὸ μακάριον, μᾶλλον δ' ἧττον κατὰ ἀναλογίαν τῆς πρὸς αὐτὸν τοῦ λεί
ὀλιγότητος. εἰ γὰρ καὶ ἑαυτὸν ἔχων εὖ τῶν αὐτῷ προσηκόντων καὶ
νούντων οὐκ ἐπιστρέφοιτο, πῶς ἂν εἴη κοινωνικὸς ἢ πολιτικὸς ἢ τὸ ἀνθ
φυλαττων τοῖον. ὁ δὲ σπουδαῖος ἐν μέσῳ στρεφόμενος ἐπαγγελλεται
φόμενος δ' αὐτῶν κοινωνήσει αὐτοῖς τῶν ἴσων καὶ λυπηρῶν κα
γριῶν καὶ φρενῶν ἀναστροφῶν αὐτῷ κατὰ τὴν πρὸς ἕκαστον
τητα καὶ οἰκειωσιν, ὡς ἔδειχθη.

[1097b11] Ταῦτα δὲ λεγόμενα ὅρος τις.

Ἐπεὶ τὸ αὐτάρκες τῶν πολιτικῶν μή τις αὐτὸ νοήσῃ
φεῖλαι δεῖν αὐτὰ καὶ μέχρι τῶν ὧν αὐτῷ καὶ περὶ αὐτὸν ἐπιτη
καὶ τῶν πρὸ αὐτοῦ καὶ τῶν μετ' αὐτὸν ἐρεῖλαι ἐπὶ τὸ ἄπειρο
τὴν κοινωνίαν προβαίνουσαν κατά τε τὸ ἄνω καὶ κάτω καὶ δι' ἀ
αὐτὸν καὶ τὸ κατὰ πλάγια, ἵν' οὕτως ἐρῶ, ὡς ἀνάγκην ἀόριστόν τ
ἄπειρον τὴν ἔκτασιν γίνεσθαι, διὰ τοῦτό φησι δεῖν τινα τὸν
κοινωνίας ταύτης λαμβάνεσθαι, ἵνα μὴ ἐπ' ἄπειρον χωρούσης τῆς
τοὺς ἀδυνατωτάτους εἴη ἀνδρὶ πολιτικῷ τὴν εὐδαιμονίαν περι
δὲ τοῦ ὅρου καὶ μέχρι πόσου δεῖ τὴν κατὰ τοὺς φίλους καὶ τοὺς
γεσθαι, εἴρηται μὲν καὶ ἔμπροσθεν, ἐροῦμεν δὲ καὶ τοῦ λόγ
συμβαίνεται. τὸ δ' αὐτάρκες τιθέμεν πρὸς τὸ εἰδέναι τὴν εὐδαιμο
γάρ, οὗτον ὁρίστην, παρατηρῶν τὸ αὐτάρκες ὁρίσασθαι τε καὶ δι
δλον γίνεσθαι τὸ λεγόμενον, λέγει πάλιν τὸ αὐτάρκες τινα παρίστη
κασιν τί ποτέ ὑπάρχον πρὸς ποτὸ χρήσιμον. ἐπεὶ γὰρ ἡ εὐδαι
ται καὶ ὁμολογουμένη, ὁ μὲν χρῆται καὶ ἀπὸ ταύτης ἀφελεῖται
πολλοὶ καὶ ἀφ' ἑτέρων, ποικίλα τὰ ἴδια· τοιοῦτον ὁ αὐτάρκες τὴν
ποιοῦν εὐδαίμονα εἶναι. χρήσιμον δὲ καὶ τοῦτο τὴν τοῦ ὁρισμοῦ
αὐτοπίστῳ. ἐνθα γὰρ κοινῶς ὡμολόγηται, τίνος χρεία ἐκεῖ ἀποδ
ὡς εἶναι καὶ τὴν ἔννοια τὸ αὐτάρκες ὑφ' ἑνὸς εἰς πίστεις δεόμενον.

[1097b16] Ἔτι δὲ πάντων αἱρετωτάτην μὴ συναριθμουμε

Ἔτι φησὶ καὶ τοῦτο ὑπολαμβάνομεν περὶ εὐδαιμονίας, ὡρισ
εἶναι αὐτὴν κἂν μηδεν συναριθμοῖτο αὐτῇ τῶν ἄλλων ἀγαθῶν
ναι δὲ αὐτῆς δηλονοτι προηγουμένως μὲν τὸ τέλος τῆς ψυχῆς

1 αὐτῷ a: τὸ αὐτοῦ B 13 λεπτέον a rhesis usque ad ἐσομένης

πρὸς τὰς πρακτικὰς καὶ θεωρητικὰς ἀρετὰς εὐφυΐαι καὶ αὐταὶ αἱ ἀγαθαὶ 17r
ἕξεις καὶ ἐνέργειαι, ἔπειτα τὰ τοῦ σώματος, οἷον κάλλος μέγεθος ῥώμη
ὑγίεια. εἶτα τὰ ἔξωθεν, πλοῦτος εὐγένεια φίλοι. ταῦτα γὰρ εὐδαιμονίας
μέρη, τὰ μὲν κυριώτερα, ἐν οἷς εὑρίσκονταί τινα παρεπόμενα. ἐπαίνου
καὶ αὐτὸ ὄξει ὃ καὶ ἐλάχιστα ἔχει τὸ τοῦ ὑπερκειμένου τέλους. οἷον
τὸ εὔτριχον ἴσως ἢ τὸ ἐπιδεξίως βαδίζειν ἢ τοιοῦτον ἕτερον, ὃ προστιθέ- 25
μενον τῇ εὐδαιμονίᾳ μηδενὸς λειπομένῃ τῶν κυριωτέρων πρὸς σύστασιν
αἱρετωτέραν αὐτὴν ἑαυτῆς ἀποτελεῖ. γίνεται γὰρ τὸ προστιθέμενον ὑπεροχὴ
τοῦ ἀγαθοῦ καὶ αὔξησις, ὡς μείζονα ἐκ τῆς προσθήκης τὴν εὐδαιμονίαν
γινομένην αἱρετωτέραν εἶναι αὐτὴν μετ' αὐτοῦ, ἢ αἱρετή ἐστι καὶ ἀπόντος
αὐτοῦ. τὸ γὰρ αἱρετώτερον αἱρετοῦ τινος αἱρετώτερον, ὅτι γε τὰ συγκριτικὰ
καὶ ὑπερθετικὰ πρὸς τὰ ἁπλῶς οὕτως ἔχοντα πρότερον λαμβάνεσθαι πέφυκε.
ταῦτα δὲ πάντα ἐκλεγόμενα τίθησι πρὸς τὸ συστῆσαι τὸν ὁρισμόν. εἶτα 30
συμπεραίνεται· ἐπεὶ γάρ, φησί, τέλος ἐστὶ τῶν πρακτῶν ἀγαθῶν ἡ εὐδαι-
μονία τὸ ἔσχατον, ὡς μηδὲν εἶναι περαιτέρω αὐτῆς τελικώτερον, δῆλον ἐν
τοῖδε ὅτι τέλειόν ἐστι καὶ αὔταρκες, ὡς μηδενὸς δεῖσθαι ἑτέρου παρ'
ἑαυτὴν πρὸς τὴν αὐτῆς τελειότητα ἀλλ' ἀρκεῖν αὐτὴν ἑαυτῇ.

p. 1097b22 Ἀλλ' ἴσως τὴν εὐδαιμονίαν τὸ ἄριστον λέγειν.

Ἀποδοῦναί φησι προθέμενοι τί ἐστιν εὐδαιμονία, πολλὰ μὲν εἴπομεν 36
ὡς τέλειόν τι αὐτὴν παραστῆσαι καὶ αὔταρκες, οὔπω δ' αὐτῆς τὸ τί ἐστι
καθαρῶς ἐδηλώσαμεν. οὐ γὰρ εἰ αὔταρκες καὶ τέλειον ἤδη δῆλον καὶ τί
ἐστι.

p. 1097b24 Τάχα δή γένοιτ' ἂν τοῦτο.

Ἐναργέστερον παραστῆσαι βουλόμενος τί ἐστιν ἡ εὐδαιμονία, οἰκειότερον 42
πρὸς τοῦτο πιστεῖται τὸν λόγον καὶ προσεχέστερον, ἐκ τῶν κατ' εἶδος πρα-
κτικῶν καὶ τῶν κατ' αὐτὰς ἐνεργειῶν καὶ ἔργων συνιστῶν τὸ λεγόμενον
καὶ δεικνύων διὰ τούτων πρῶτον μέν, ὅτι ἔστιν ἔργον τι τοῦ ἀνθρώπου ἢ
ἄνθρωπος, ἔπειτα ὅτι καὶ ἐπ' ἐκείνων ἡ κατόρθωσις καὶ τὸ εὖ τὸ τέλος 45
ἐστίν. οὕτω καὶ ἐπὶ τοῦ ἀνθρώπου ἁπλῶς. τοῦτο δ' εἰ εὕρωμεν τί ἐστιν.
εὑρήσομεν τὸ ζητούμενον. ὡς γὰρ ἐπ' ἀνθρωπίνης καὶ πραγματικῆς τέχνης
φησὶ καὶ πάσης ἄλλης τέχνης καὶ τῶν κατ' αὐτὰς τεχνιτῶν καὶ ὅλως ὧν ἔστιν
ἔργον τι καὶ πρᾶξις, τότε λέγομεν τὸ ἀγαθὸν εἶναι καὶ τὸ εὖ, ὅταν τὸ ἔργον
καὶ ἡ πρᾶξις ὀρθῶς ἀποτελῆται καὶ ἀριστικῶς ἐπὶ τῇ μεθόδῳ καὶ τῷ ὑποκει-
μένῳ, οὕτω δόξειεν ἂν καὶ ἀνθρώπῳ τότε εἶναι τὸ εὖ καὶ τὸ τέλειον, ὅταν
τὸ ἔργον αὐτοῦ ἡ ἄνθρωπός ἐστι καλῶς ἀποδιδῶται κατά τε τὸν λόγον 50
αὐτοῦ καὶ τῶν ὑποκειμένων ἕκαστον. περὶ ἃ ἡ ἄνθρωπος καταγίνεται.
πᾶσαι μὲν γὰρ αἱ τέχναι ἀνθρώπου εἰσίν, ἀλλ' αἱ κατ' αὐτὰς ἐνέργειαι

7 κυριωτέρων a: καιριωτέρων B 18 τὴν εὐδαιμονίαν Ba et Arist. cod. Lb: τὴν μὲν εὐδαιμονίαν Arist. vulg. rhesis usque ad τί ἐστι λεχθῆναι (p. 1097b21) 23 rhesis usque ad ὀργὸν πέφυκεν (p. 1097b30) 28 καὶ ἐπ' Ba: an ὡς ἐπ'? 29 εὕρωμεν B: εὕρομεν a

καὶ τὰ τέλη ἕτερά εἰσι παρὰ τὸ ἔργον καὶ τὸ τέλος αὐτοῦ ἡ ἀνθ
ἐστιν. ὡς γὰρ ἄλλο ἔστιν εἰπεῖν ἄνθρωπον καὶ αὐλητὴν ἄνθρωπον ἢ
ματικὸν ἄνθρωπον (τὸ μὲν γὰρ ὁλικῶ τὴν οὐσίαν καὶ τὴν φύσιν τ
θρώπου ἡ ἄνθρωπος, τὸ δὲ τὴν οὐσίαν καὶ τι συμβεβηκὸς ἐν αὐτ
ἄλλος ὁ τοῦ τί ἦν εἶναι λόγος ἀνθρώπου τε ἁπλῶς καὶ ἑκάστου
τοιούτων, οὕτω καὶ τὸ ἔργον τοῦ ἀνθρώπου ἡ ἄνθρωπος ἕτερον π
τοῦ αὐλητοῦ ἀνθρώπου καὶ ἀγαλματοποιοῦ καὶ γραμματικοῦ. ἀλλ'
ἐκείνων κατὰ τὸ ἀγαθὸν καὶ τὸ εὖ τοῦ ἔργου καὶ τῆς πράξεως ἡ τε
καὶ ἡ κατόρθωσις, οὕτω καὶ ἐπὶ ἀνθρώπου ἡ ἄνθρωπος, εἴπερ ἔστι τ
αὐτοῦ τῆς τῶν τεχνῶν ἐπιτηδεύσεως ἕτερον. γίνεται δὲ ἡ ὁδὸς
ἡμῖν προτέρων καὶ σαφεστέρων πρὸς τὸ σαφέστερον τῇ φύσει κα
ριμώτερον, ἤτοι ἐκ τῶν αἰτιατῶν τὰ αἴτια. συνίστησι δὲ ταύτην ἀ
σαν ὁμοιότητι χρώμενος ἢ καὶ τῇ ἐπιχειρήσει τῇ ἐκ τοῦ ἤττονος.
γὰρ τοῦ ἀνθρώπου λόγος γεννητικὸς καὶ αἴτιος τῶν τεχνῶν· διὸ καὶ
τῇ φύσει πρότερος καὶ γνωριμώτερος· καὶ τὸ τέλος ἄρα αὐτοῦ τῶ
τὰς τέχνας τελῶν. ἀλλ' ἡμῖν τὰ τῶν τεχνῶν τέλη αἰσθήσει ὑπο
γνωριμώτερα τοῦ ἔργου καὶ τοῦ τέλους τῆς ψυχῆς, ὅτι ἐκεῖνό ἐστι
αἰσθησιν σαφῆ ἡμῖν πρῶτος ἐνεργῶν κατ' αἴσθησιν ὀφανὲς ὡς λό
φυκὸς καταλαμβάνεσθαι. διὸ καὶ ἐκ τῶν κατὰ τὰς τέχνας τελῶν ὡ
τοὺς φανερῶν πρὸς αὐτὸ ποδηγούμεθα ἀναλογίᾳ καὶ ὁμοιότητι χρώμενο
ὡς ἐπὶ τῶν τεχνῶν ἑκάστης τὸ κατὰ τὰς πράξεις καὶ τὸ ἔργον εὖ τ
ἐστὶ τὸ κατ' αὐτὰς καὶ τὸ ἀγαθόν, οὕτω καὶ ἐπὶ τοῦ ἀνθρώπου ἡ ἄνθ
αὐτὸ καὶ ἐκ τοῦ ἤττονος ἡ ἐπιχείρησις γίνεται. εἰ γὰρ αἱ τέχναι, α
οὖσαι καὶ χείρους τοῦ κατ' ἄνθρωπον λόγου, τὸ εὖ καὶ ἀγαθὸν
ἔχουσιν, πολλῷ ἂν εἴη τοῦτο πρότερον ἐπὶ ἀνθρώπου ἁπλῶς. τὸ σ
ποιεῖ καὶ τοῖς τοῦ ἀνθρώπου μέρεσι χρώμενος καὶ τοῖς τούτων ἐ
τέλεσιν εἰς παράστασιν τοῦ ἀνθρωπίνου τέλους ἁπλῶς. τὸ δὲ ὅλως ὠν
ἔργον τι καὶ πρᾶξις προσέθηκεν ἴσως διὰ τὸ τὸν χρόνον εὑρετὴν γ
πολλῶν παρὰ τὰ εἰθισμένα ταῖς τέχναις καὶ τοῖς τεχνίταις καὶ ἐρ
καὶ πράξεις τινὰς ἐν αὐτῷ ἀναφαίνεσθαι, ἐπεὶ καὶ αἱ τέχναι οὐτ
τέλεσιν, ἀλλ' ἐλαττόνων εὑρισκομένων ἐφ' ἑκαστης, ἔστ' ἂν ἡ πάσ
νεσθαι. διὸ καὶ σύστημα ἐκ καταλήψεων ἡ τέχνη, ὅτι δὲ ἔστι τ
τοῦ ἀνθρώπου ἡ ἄνθρωπος περὶ τὰ κατὰ τὰς τέχνας ἀποτελούμενα
ἔστιν ἁπλῶς ἀπὸ τῶν κατ' αὐτὰς τεχνῶν καὶ ἀπὸ τῶν μορίων τ
ματος. εἰ γὰρ ἑκάστη τῶν τεχνῶν οἰκεῖα ἔργα ἔχει τινὰ καὶ πρᾶξ
ὧν αὐτῇ κατορθούσῃ τὸ εὖ περιγίνεται, πολλῷ μᾶλλον ἡ τοῦ ἀν
φύσις ἡ ἀνθρωπός ἐστιν οἰκεῖα ἔξει ἔργα καὶ πράξεις ἐν οἷς κατο
τὸ εὖ αὐτῇ περιγίνεται, εἰ δὲ μή, ἀργὴ μὲν ἔσται καὶ ματαία καὶ
τῶν τεχνῶν δὲ μόνων καὶ τῶν κατ' αὐτὰς ἔργων καὶ πράξεων
ἔξει τὸ τέλειον, ὅπερ ἄτοπον, χείρονα εἶναι τὴν ἀνθρώπου φύσιν κ
τῶν ὑπ' αὐτῆς εὑρισκομένων μεθόδων καὶ τεχνῶν. ὡς

ἐκείνων πρὸς τὴν οἰκείαν τελείωσιν τῆς αὐταρκείας ἐστερημένην καὶ μὴ
ἔχουσαν οἰκοθεν τὴν τοῦ ἀγαθοῦ μέθεξιν ἀλλὰ διὰ τῶν οἰκείων ἀπογεννη-
μάτων τελειουμένην. ἀπορητικῶς δὲ τὸν λόγον προσενεγκὼν ἐπάγει τὰ
ἑφεξῆς ὡς λύων καὶ ἀπαλλαττόμενος καὶ φησιν·

p. 1097b30 Ἢ καθάπερ ὀφθαλμοῦ καὶ ποδὸς καὶ τὰ ἑξῆς.

Ὥσπερ γὰρ τῶν μορίων ἕκαστον ὡς ὀργάνων ὑπηρετοῦν τῇ ψυχῇ τὸ
τέλη κατορθοῖ τῶν τεχνῶν, ἔχει δὲ καὶ καθ' ἑαυτὸ ἔργον τι, ὃ καλῶς
ἐνεργοῦν καὶ κατορθοῦν τὸ οἰκεῖον εὖ ἔργον λέγεται, οἷον ὁρατικοῦ μὲν
τὸ ὁρᾶν καὶ τὸ εὖ ὁρᾶν καὶ ποδῶν τὸ ἀνέχειν καὶ τὸ βαδίζειν ἢ τρέχειν
καὶ τὸ ἐν τούτοις εὖ, καὶ χειρῶν τὸ ἅπτεσθαι καὶ λαβεῖν καὶ ὠθεῖν καὶ
ταῦτα εὖ καὶ ἁπλῶς τῶν μορίων ἕκαστον. οὕτω καὶ ἀνθρώπου ἁπλῶς
ἔσται τι ἔργον παρὰ πάντα ταῦτα τά τε τῶν τεχνῶν ἔργα καὶ τῶν μορίων,
ὃ κατορθῶν ἡ ἄνθρωπος τὸ οἰκεῖον ἕξει εὖ καὶ τὸ τέλειον.

p. 1097b33 Τί οὖν δὴ τοῦτ' ἂν εἴη ποτέ;

Παραιτησάμενος τὰ ἴδια τέλη τῶν τεχνῶν, ὧν ἕνεκεν συνέστησαν
αὗται καὶ δι' ἃ ἐνεργοῦσι καὶ ἐργάζονται, ὡς οὐκ ἴδια ἀνθρώπου ἢ ἄν-
θρωπος ἀλλ' ἢ τεχνίτης κατὰ τήνδε ἢ τήνδε τὴν τέχνην, ἔτι δὲ καὶ τὰ
τῶν μορίων αὐτοῦ, ὡς ἄλλα μὲν ὄντα παρὰ τὰ τῶν τεχνῶν, οὐ μέντοι γε
οὐδ' αὐτὰ τοῦ ἀνθρώπου ἢ ἄνθρωπος ἀλλ' ἢ κατὰ τὰ μόρια, νῦν περὶ
τοῦ ἰδίου τέλους ἐξετάζει τοῦ ἀνθρώπου. ὃ αὐτοῦ πρώτως καὶ οὐ κατ'
ἄλλο ἐστί. καὶ ἐπεὶ ἐκείνων διασταλέντων οὐδεμία ἄλλη αὐτῷ ἢ δύναμις
ἢ ἐνέργεια ἀλλ' ἢ μόνη ἡ ζωὴ ὑπολέλειπται, ἐξ ἧς αἵ τε κατὰ τὰ μόρια
δυνάμεις καὶ ἐνέργειαι καὶ αἱ κατὰ τὰς τέχνας προβαίνουσαι ὡς ἀπὸ ῥίζης
τινὸς καὶ πηγῆς, ἐξετάζει περὶ αὐτῆς, ἀποδιδοὺς καὶ ταύτης διαφοράν.
καὶ διαφόρων οὐσῶν ἐν ἀνθρώπῳ ζωῶν, ἀνευρίσκει τινες μέν εἰσι καὶ στε-
ρητικαὶ κατ' εἶδος ἢ καὶ γένος ἴσως αὐτοῦ διαφέρουσαι, τίς δὲ ἰδία μόνου
αὐτοῦ. καὶ οὕτως ἀποδίδωσι τὴν ἐνδιαιτωμένην κατ' αὐτὸν ζωὴν τῶν
κοινῶν περιγινομένην αὐτῷ ἀπὸ κατὰ μόνην τὴν ἰδίαν, καθ' ἣν καὶ τὸ
τέλος ἴδιον αὐτοῦ περιγράφεται.

30 p. 1097b33 Τὸ μὲν γὰρ ζῆν φησι κοινὸν εἶναι φαίνεται καὶ τοῖς
φυτοῖς. ζητεῖται δὲ τὸ ἴδιον.

Ἔστι μὲν γὰρ καὶ τοῖς φυτοῖς ζωή· οὐ γάρ εἰσι ταῦτα ὡς τὰ παν-
τελῶς ἄψυχα ἢ ἄζωα, ἀλλ' ἔστι καὶ αὐτοῖς τὸ θρεπτικὸν καὶ αὐξητικόν.

5 ὀφθαλμοῦ καὶ ποδὸς B ut Arist. cod. Kb: ὀφθαλμοῦ καὶ χειρὸς καὶ ποδὸς a et Arist. vulg. rhesis usque ad ἔργον τι (p. 1097b33) a 18 ἄλλα B: ἄλλως a 29 ἴδιον B: ὡς ἴδιον a 30 φησι B: om. a rhesis usque ad αὐξητικὸν ζωήν (p. 1098a1) a 33 ἢ B: καὶ a

καὶ ὁ καὶ ζῷον λέγεται καὶ ἔμψυχα ὀνομάζεται. ἐπεὶ οὖν ἔχων
ὁ ἄνθρωπος οὐκ ἴδια ἔχει ἀλλὰ κοινὰ καὶ τοῖς φυτοῖς, οὐ χρὴ κα
ζητεῖν τὸ ὡς ἀγαθὸν καὶ τὸ τέλος αὐτοῦ· ἦν γὰρ ἂν κοινὸν
φυτοῖς· ἀλλὰ ζητεῖσθαι τὸ ἴδιον. δεῖ ἄρα ὁρίσασθαι τὸ τοιοῦτ
τῆς ζωῆς παν τοῦ ἀνθρώπου καὶ τοῦ τέλους αὐτοῦ, ὡς μὴ ὂν ἴδι
ἄλλα καὶ ἑτέροις κοινόν.

[1098a1] Ἔστιν οὖν δὲ αἰσθητικὴ τις ἂν εἴη.

Γνωριστέον μὲν ἡ ζωὴ ἡ αἰσθητικὴ θρεπτικῆς καὶ αὐξητικ
καὶ διορισθῆναι χρὴ τὰ προσήκοντα· οὐ μὴν ἀλλ' οὐδὲ αὐτὴ οὐκ ἔ
ἴδια, κοινὴ δὲ καὶ τοῖς ἀλόγοις ζῴοις. διὸ οὐδὲ τὸ κατὰ ταύτην
θρωπου ἴδιον, ἀλλὰ κοινὸν καὶ ἐκείνοις, οἷς καὶ τῆς ἁπλῆς ὑπαρξεω
κεκοινωνήκει.

[1098a3] Λοιπὸν δὴ πρακτική τις τοῦ λόγον ἐχοντος.

Λαμβάνει δὴ τὸν λόγον πρὸς αὐτὴν τὴν ἰδίαν ἀνθρώπου ζω
λόγου ἀφαιρεῖ καὶ τῶν ἄλλως ζώντων ἢ κατὰ λόγον διαστήσας
καὶ οὕτως αὖθις ταῦτα τὸ ἴδιον αὐτοῦ ἀγαθόν.

[1098a4] Τοῦτο δὲ τὸ μὲν ὡς ἐπιτρεπτὸν λόγῳ.

Λαμβανομένου ἐπὶ πλέον οὐδὲ τὸν λόγον αὐτὸν ἀδιαιρετον
ἀλλ' ἐπὶ τῆς ἀνθρωπίνης ψυχῆς τὸ μέν ἐστιν οὕτω λογικευόμεν
αὐτὸ μὲν μὴ ἔχον λόγον ἀφ' ἑαυτοῦ ἕτερῳ δὲ πεφυκὸς ἕπεσθαι κ
καὶ λόγον οἰκεῖον ἔχοντι, τὸ δ' ἐστὶ λογικὸν ἀφ' ἑαυτοῦ καὶ α
οἰκεῖον ἔχον λόγον καὶ διανοεῖσθαι δυνάμενον· καὶ τὸ μὲν ὡς
τὸ λογικευόμενον, τὸ δ' ὡς ὁρῶν λογικῶς αὐτό τε καὶ καθ' ἑαυ
μετὸν ὑπολήψεως τῆς οἰκείας δυνάμεως. διεῖλε κατὰ ταῦτα τὴν κατ
ζωήν, πρότερον μὲν πρακτικὴν τοῦ λόγον ἔχοντος συγκεχυμένως
ἀλόγου καὶ οἰκείου καὶ ἄλλο μεν εἰπὼν τὸ κυρίως λόγον ἔχον, ὡς
τοῦτον ἔχον καὶ κατὰ τὴν ἑαυτοῦ φύσιν, ἄλλο δὲ τὸ κατὰ μετοχ
ἀπὸ τούτου. ὥσπερ δὲ τὸ κατὰ τὸν λόγον ἔχειν ἡ διαφορὰ τούτ
τὸ μὲν οἰκείως τὸ δὲ κατὰ μετοχήν, οὕτω καὶ κατὰ τὸ εὔδαιμον
κάριον. κοινωνεῖ μὲν γὰρ τούτου καὶ τὸ κατὰ μετοχὴν τοῦ λόγ
μενον λογικευεσθαι, ἀλλ' ὡς τῷ κυρίως λογικῷ ὑπεῖκον καὶ ἑπόμε
ὑπ' αὐτοῦ καὶ ποιούμενον. ἐκεῖνο δὲ ὡς καὶ μετ' αὐτοῦ κατορθ

1: ἑτέου a 7 rhesis usque ad καὶ παντὶ ζῴῳ (p. 1098a3) a
B: ἐνέχαγεν a 17 τοῦτο Ba: τούτου Arist. rhesis usque ad
21 μετοιδὸν B: μεταδ

καθ' ἑαυτὸ καὶ χωρὶς τούτου ἐνεργὸν τὸ τελειότερον. δῆλον δὲ γενήσεται 18
ἀπὸ τοῦ ἐλάσσονος ἐπὶ τὸ βέλτιον καθίσταται καὶ μακαριώτερον.

p. 1098a5 Διττῶς δὲ καὶ ταύτης λεγομένης. 20

Ἐπεὶ καὶ αἱ τέχναι καὶ αἱ ἐπιστῆμαι καὶ αἵ ἀρεταὶ ἐν ἕξεσι θεωρού-
μενον ἐν ταῖς προχειρίσεσι τελειότεραι γίνονται, ἡ εὐδαιμονία τὸ τελειό-
τατόν ἐστι, διὰ τοῦτο καὶ τὴν κυρίως λογικὴν ζωὴν καὶ κατ' οὐσίαν τὴν
αὐτῆς διχῇ διαιρεῖ εἰς τὴν κατὰ τὴν ἕξιν καὶ τὴν κατ' ἐνέργειαν καί φησι
τὴν κατ' ἐνέργειαν τελεωτέραν λέγεσθαι ὡς αὐτὴν τὸ τέλειον ἔργον
ὅτι μηδ' ἔστι προβῆναι πορρωτέρω αὐτῆς, καὶ ἀποδίδωσι κατὰ ταύτην τὴν 25
εὐδαιμονίαν θεωρουμένην.

p. 1098a7 Εἰ δέ ἐστιν ἔργον ἀνθρώπου ὡς τοῦ σπουδαίου δὲ τὸ εὖ.

Δείξας ὅτι ἔργον τί ἐστιν ἀνθρώπου ἢ ἄνθρωπος ἄλλο παρὰ τὰ τῶν
τεχνῶν τέλη, δι' ἃ εἰσιν αἱ τέχναι, καὶ παρὰ τὰ τῶν μορίων, δι' ἃ τὰ
μόρια, καὶ τοῦτο ἀπονείμας τῇ κρείττονι τῶν ἐν αὐτῇ θεωρουμένων ζωῶν,
ἢ λόγον τε ἔχει οἰκεῖον καὶ κυρίως ψυχή ἐστί τε καὶ λέγεται, ὡς ἤδη
ἱκανῶς δειχθέντι καὶ ὁμολογουμένῳ χρῆται τούτῳ καί φησιν εἰ δ' ἐστὶν 30
ἔργον ἀνθρώπου ψυχῆς ἐνέργεια κατὰ λόγον ἢ μὴ ἄνευ λόγου,
τὸ μὲν κατὰ λόγον περὶ τῆς οἰκείων ἐχούσης λόγον καὶ διανουμένης ψυχῆς
θέμενος, τὸ δὲ μὴ ἄνευ λόγου περὶ τῆς λόγῳ ἐπιπειθοῦς. καὶ γὰρ καὶ
ἡ κατὰ τὸ πίθεσθαι λόγῳ τῆς αἰσθητικῆς ἐνέργεια μόνου ἀνθρώπου ἐνέρ-
γεια, ὅτι μηδ' ἁπλῶς τὸ ἐνεργεῖν καὶ κατὰ ταῦτα δεῖ τὸ εὐδαιμον εἶναι
τίθεσθαι, ἀλλὰ καὶ τὸ εὖ δείκνυσι πάλιν ἀπὸ τῶν τεχνῶν, πρῶτον μὲν
καθόλου, εἶτα καὶ παραδείγματι χρώμενος, τὸ αὐτὸ γάρ φαμεν εἶναι 35
τῷ γένει τοῦδε καὶ τοῦδε σπουδαίου. τοῦτο καθόλου ὅτι ἐπὶ παντὸς
ὁτουδήποτε κατὰ τέχνην ἐργαζομένου ταὐτόν ἐστι τῷ γένει ἔργον τοῦδε
τοῦ ἐργαζομένου καὶ τοῦδε τοῦ σπουδαίου ἐργαζομένου ὡς κοινοῦ ὄντος
τοῦ τοῦδε καὶ τοῦ ἑκάστου, ἅτε ἐπὶ παντὸς οὐτινοσοῦν ἐφαρμόζοντος τῶν
καθ' ἕκαστα. εἶτα πρὸς σαφήνειαν ἐπάγει ἑνὶ ἀρκούμενος παραδείγματι, ὡς
μὴ ἀπειρόκαλος εἴῃ ὁ λόγος. ὥσπερ γάρ φησι κιθαριστοῦ καὶ σπουδαίου 40
κιθαριστοῦ καὶ τὰ ἑξῆς. τὸ μὲν γὰρ κιθαρίζειν ὡς ἔτυχε καὶ εὖ κιθαρί-
ζειν ὑπὸ τὸ κιθαρίζειν ἁπλῶς ὡς εἰς γένος ἀνάγεται, ἡ δὲ κατ' εἶδος αὐτοῦ
διαφορά. ἔστι τὸ μὲν ὡς ἔτυχε κιθαρίζειν τὸ δὲ εὖ κιθαρίζειν ἐστί. προστιθε-
μένης τῷ κιθαρίζειν ἁπλῶς ὡς τινος εἰδοποιοῦ διαφορᾶς τῆς κατ' ἀρετὴν
ὑπεροχῆς πρὸς τὸ ἔργον. ἔστι ὑπεροχὴ οὐδὲν ἔστιν ἕτερον ἢ τὸ εὖ. ἐπεὶ δ' 45

1 τελειότερα a, similiter v. 5. 8 3 rhesis usque ad δοκεῖ λέγεσθαι (p. 1098a7) a
5 προχειρίσεσι a an ἡ δὲ εὐδαιμονία? 9 πορρωτέρω B: πρωτέρω a 11 rhesis
usque ad ἢ μὴ ἄνευ λόγου (p. 1098a8) a 16 καὶ ὁμολογουμένῳ a: ὡς ὁμολογου-
μένῳ B 23 τὸ δ' αὐτὸ Arist. 29 ὥσπερ γάρ — καὶ τὰ ἑξ . (30) B: Aristotelia
plene exhibet usque ad σπουδαίου δὲ τὸ εὖ (p. 1098a12) a 32 scripsi: τὸ Ba

[illegible] ὁ λόγος γενόμενος διὰ μακροῦ τὴν ἀπόδειξιν δέχεται. διὸ
καὶ ὁ ἐπιδέξιος μετ' ἐπαναλήψεως ποιεῖται τὸ ἀσφαλὲς τῆς πε
ἐπαναλήψεως.

p. 1098a12 Εἰ δ' οὕτως.

Γνωστέον, ὅτι ὥσπερ ἑκάστου ἔργου καὶ πράξεως τοῦ σπουδαίου
ἐστιν, οἷον ἀνδρὸς δὲ καὶ ἀνθρώπου ἔργον ζωήν τινα, ἣ ἐστιν ἐνέργ
ψυχῆς μετὰ λόγου γινομένη, ὡς ἐπὶ τῶν ἄλλων τοῦ
ὄντος ἐστὶ τὸ εὖ τὸ οἰκεῖον ἔργον ἀποτελεῖν, οὕτω καὶ ἐπὶ τῆς μετ
καὶ ἐνεργείας τῆς ψυχῆς τὸ εὖ αὐτὴν ἔχειν τοῦ κατ' αὐτὴν σπ
ἔστι καὶ τοῦτό ἐστι τὸ τέλος καὶ τὸ τέλειον. ἴσως δ' ἂν τις ζ
εἰ ἐνδέχεται μετὰ λόγου ἐνεργοῦντά τινα μὴ εὖ ἐνεργεῖν, ἄλλο δὲ
μετὰ λόγου. δόξειε γὰρ ἂν ἴσως πᾶσαν ἔχειν τὸ εὖ τὴν μετὰ λόγ
γειαν. ἀλλ' εἰ τοῦτο ἦν, οὐκ ἂν ποτε ὁ λόγος | ἡμάρτανε τοῦ
κοπεῖ, καθ' ὅσον τὸ μὴ ἁμαρτάνειν τῶν ἔξω σώματος παντὶ καὶ
ὁ δὲ λόγος ὁ ἀνθρώπινος μετὰ τούτων ἐστίν. ἔστ' ἂν ἡ ψυχὴ τῷ
συνδέηται. καὶ πολλὰ ἐκ τούτου αὐτῇ τὰ ἐμπόδια, πολλῆς δεῖ φρ
καὶ πείρας καὶ χρόνου μακροῦ καὶ πόνου ἐνδελεχοῦς, ὥστε ἐν οἷς τινὰ
τοῦ εὖ ἐνεργεῖν ἐν ἅπασι καὶ κατορθωτικὸν τῶν δεόντων ἐν τοῖς
φαίνεσθαι. διὸ οὐδ' ἀπαγορευτέον ἁπλῶς τὸ ἁμαρτάνειν ἐνδεχέσθ
καὶ τὴν μετὰ λόγου ἐνέργειαν. ἕκαστον δ' εὖ φησι κατὰ τὴν ο
ἀρετὴν ἀποτελεῖται. ὥσπερ ἀρετὴ τεχνίτου ἡ κατὰ τέχνην τε
καὶ ἡ κατ' αὐτὴν ἐνδεχομένη ἀκρίβεια ἀναλόγως τῷ ὑποκειμένῳ γ
τῇ μειθόῳ, ἥτις περὶ αὐτὸ καταγίνεται καὶ ἐκ ταύτης τὸ εὖ ἐν τοῖ
πέφυκε περιγίνεσθαι, οὕτω καὶ ἀρετὴ ἀνθρώπου ἡ κατὰ τὴν λογικὴν
κοινὴν καὶ κατ' αὐτὴν ἐν τοῖς ἔργοις τοῦ ἀνθρώπου ἡ ἀνθρω
ἡ περιγινομένη τῆς κατ' ἀρετὴν ἕξεως τὸ εὖ ἐργάζεσθαι ἐν τοῖς ἐκ
καὶ ταῖς πρᾶξεσιν.

p. 1098a14 Εἰ δ' οὕτως, τὸ ἀνθρώπινον ἀγαθὸν ψυχῆς ἐνέρ

Ὡς ἐκ περιόδου τὴν περὶ τῆς εὐδαιμονίας συναγωγὴν ἔννοιαν, ἣ
περὶ αὐτῆς ἀπόδοσιν λόγου. οὐκ εἶπε δὲ ψυχῆς ἐνέργεια ἐστὶν
γίνεται διὰ τὸ μηδέποτε ἱστάσθαι ὀφείλειν τὸν τέλειον ἄνθρωπον
ἀγαθοῦ ἀλλὰ διὰ παντὸς ἐμμένειν αὐτοῦ ἀντεχόμενον. τὰ γὰρ σω
καὶ ἀνδρεία καὶ δίκαια ἐστι καὶ ἐσθίοντα ἐπιδείκνυσθαι καὶ διαλυθὲν
καὶ ὑπνοῦντα καὶ παν ὁτιοῦν μετερχόμενον, ὡς ἔχοντα τοῦ εὖ ἐν
νεσθαι, καὶ μηδενὸς ὄντος τῶν ἡμετέρων. ὃ μὴ τὸ εὖ πε

1 ἔδειξεν a 4 rhesis usque ad καὶ καλῶς (p. 1098a14) a
1 καὶ B: om. a 10 ζητῆσαι scripsi: ζητῆσ B: ζητήσειεν a

τὸ κακῶς ἐπιδέχεσθαι, τῆς ἀρετῆς καὶ τῆς κακίας δυναμένης ἐν πᾶσιν ἐν- 18v
δείκνυσθαι. καὶ παραδείγματα τούτων ἔστι λαβεῖν ἀφ' ἑκάστου τῶν φαύ-
λως ἢ σπουδαίως ἐν τῇ παρούσῃ διαγόντων ζωῇ. ἔστι δὲ καὶ ἄλλως 20
εἰπεῖν τὸ γίνεσθαι, ἐπεὶ τῶν πραγμάτων τινὰ ἐν τῷ γίνεσθαι ἔχει τὸ εἶναι,
ὡς ἐν τῷ θεάτρῳ ἀγὼν καὶ ἡ ἡμέρα καὶ ὁ ἐνιαυτός. τούτων γὰρ ἕκαστον
ὅλον μὲν ὡς ὅλον οὐκ ἀπηρτισμένον ὑφίσταται, κατὰ μέρος δὲ γινόμενον
ἀποτελεῖται παρερχομένων τῶν μερῶν. οὕτω καὶ ἡ ἐνέργεια· καὶ γὰρ
καὶ αὐτῆς τὸ μὲν γεγονὸς ἤδη παρῆλθε, τὸ δ' ἐπιγέσται· μετ' ἐκεῖνο καὶ
ἄρτιόν πως, καὶ οὐδέποτε ὁλόκληρος ὑφίσταται ἀλλὰ κατὰ μέρη ἀπαρτι-
ζόμενον. διὸ καὶ περὶ αὐτῆς οὐκ ἔστιν οἰκεῖον εἶναι εἰπεῖν ἀλλὰ γίνεσθαι. 25

p. 1098a17 Εἰ δὲ πλείους αἱ ἀρεταί.

Ἐπεὶ τὴν εὐδαιμονίαν κατ' ἀρετὴν τῆς ψυχῆς ἐνέργειαν ἀπολέδωκεν,
ἐνιαχῶς τὴν ἀρετὴν εἴληφώς (οὐ μία δέ ἐστιν, ἀλλὰ πλείους αἱ ἀρεταί), διὰ
τοῦτο ταῦτα προσέθηκε, τῇ ἀρίστῃ τῶν ἀρετῶν καὶ τῇ κατ' αὐτὴν ἐνερ-
γείᾳ ἀπονέμων τὸ εὖ. αὕτη δ' ἂν εἴη ἡ φρόνησις, ἡ τοῦ λογιστικοῦ τῆς 30
ψυχῆς ἐστιν ἀρετή. τοῦτο δέ ἐστι τῶν μερῶν αὐτῆς τὸ ἐξαίρετον, προϊ-
στάμενον μὲν τῶν ὑφειμένων καὶ κατορθοῦν καὶ μετ' αὐτῶν τὰ προσήκοντα,
ἐνεργοῦν δὲ καὶ καθ' ἑαυτὸ τὰ οἰκεῖα καὶ μὴ ἀποπίπτον τοῦ δέοντος.

p. 1098a18 Ἔτι δ' ἐν βίῳ τελείῳ. μία γὰρ χελιδών.

Ἑτέρα παρατήρησις, ἣν δεῖ φυλάττειν θεωρεῖν βουλομένους τὸ εὔδαι- 35
μον. δεῖ γάρ φησι τοῦτο ἐν βίῳ τελείῳ ἐκτείνεσθαι, ὡς μέχρι τοῦ τέλους
τῆς παρούσης τοῦ ἀνθρώπου ζωῆς τὴν τοιαύτην ἐνέργειαν ἀνένδοτον ἐπεκ-
τείνεσθαι. ὡς γὰρ χελιδὼν ἄγγελος ἔαρος οὖσα οὐκ ἀρκεῖ μία πρὸς τὴν
τῆς ὥρας ταύτης σημείωσιν ἀλλὰ δεῖ πολλὰς φανῆναι, ἵνα δι' αὐτῶν τὸ
τῆς ὥρας γνωρίσωμεν εὔκρατον, οὕτως εὐφρόνων ἀναδώσεως τῷ τοιούτῳ
ζώῳ παντὶ ἐν παραβύστῳ ὑποκειμένῳ νεκρῷ διὰ τὸ χειμέριον ὑγρὸς, ἔτι
δὲ οὐδὲ μία ἡμέρα ἀλλ' ὁ χρόνος ἅπας ὁ τῇ παρατάσει τῆς ὥρας ταύτης
ἀρμόζων, οὕτως οὐδὲ εὐκαιρίαν καὶ εὐδαιμονίαν μία ἡμέρα ἢ ὀλίγος χρόνος
ποιεῖ, ἀλλὰ δεῖ διὰ τέλους παραμένειν κατορθουμένην τὴν τοιαύτην ἐνέρ-
γειαν, ἵν' οὕτω τῷ καλῶς βιοῦντι ἀληθῶς τὸ μακάριον ἐπιλέγοιτο.

p. 1098a20 Περιγεγράφθω μὲν οὖν τὸ ἀγαθὸν ταύτῃ.

Προθέμενος εἰπεῖν τί ἐστιν εὐδαιμονία περιῆλθε μὲν πολλὰ πρότερον
τὰ προσόντα τῇ εὐδαιμονίᾳ συνάγων ἀπὸ κοινῶν ἐννοιῶν καὶ τῶν δοκούν-
των τοῖς πλείοσι καὶ τοῖς ἐπιεικεστέροις καὶ τοῖς σοφοῖς, εἶτα ἐγγίσας τῇ

11 rhesis usque ad καὶ τελειοτάτην (p. 1098a17) a 12 ἐπεὶ B: ἐπειδὴ a
19 rhesis usque ad ὀλίγος χρόνος (p. 1098a20) a 30 τῷ a: τὸ B 31 rhesis
usque ad ὕστερον ἀναγράφειν (p. 1098a21, ubi ἀναγράψαι Arist.) a

καὶ πολλῶν ὄντων ζώων. αἱ τῷ ἀνθρώπῳ πρόσεισι· τὸν μὲν γὰρ ἵππον ἢ
ρυτὸς εἴτε ζῴοις παρηκήσατο ὡς ἀνοικείας πρὸς τὴν τοῦ ζητουμ
λόγου ἀπόδοσιν καὶ λοιπὸν ὑπελίπετο ζωῆς εἶδος τὸ λόγον ἔχον καὶ
ρώμενον. τοῦτο δὲ διχῇ διελὼν εἰς τὸ κατὰ δύναμιν καὶ τὸ κατ' ἐνέρ
τὸ δεύτερον ἐξελέξατο ὡς τελειότερον καὶ ἁρμοζόν τῇ τελειότητι
τῇ [illegible] ᾧ προσέστι τὸ ἀποδοῦναι τὸν ὁρισμὸν ἀπαρτίσον
ὡς τελειότατον τὸ τε ἄριστον καὶ τὸ διὰ βίου τελειοῦν ὡς εἶναι τὸ
τὴν ἀρετὴν παρέχον. ὑπάρχειν δ' ἐστὶ ψυχῆς ἐνέργειαν γινομένην κατὰ
τὴν ἀρετὴν ἀρετὴν δὲ βίου τελείου. περιγραφὴν δὲ ταύτην ἐκάλεσεν, ὡς
[illegible] ὄντων καὶ ἄλλων ζώων, τὸ ἀνθρώπινον ἀγαθὸν περικλεῖόν
συναγόμενον συναγόμενον καὶ ἐκ πολλῶν ἀναπτυσσόμενον. ὃ πρὸ
ἐξετάζων περιελήλυθεν, ὡς ἐν βραχεῖ δέ τινι τῷ λόγῳ περιεσπάσθαι
καὶ ἀπεσήμηνεν ὀνόμασεν, ὡς ἄγαλμα τι καὶ εἰκόνα ὄντα, ὃ οὐ
ἀλλοτριοῦται χαρακτηρίζοντα [illegible] στιν. ἢν καὶ ἀναγράφων εἰς παρέ
ὡς καλῶς καὶ προσφυῶς ἀπεδόθη.

p. 1098a22 Δόξειε δ' ἂν παντὸς εἶναι.

Ἐν τοῖς ἀδήλοις φησὶ κατ' οὐσίαν καὶ κεκρυμμένον τὸ τί ἐστιν ἕ
δυσχερὴς ἡ τούτου εὕρεσις. εἰ δέ τις ταῦτα καλῶς τῷ λόγῳ περιγρ
ἡ γὰρ [illegible] ὁ τῆς τοῦ βουλομένου πλατύνει αὐτά, ὡς ἀπὸ θεμελίο
ρίζης τινὸς ὁρμώμενος τῆς περιγραφῆς τοιοῦτον ὥσπερ οἰκίας τι ἀγαλμα
ἐν χερσὶ τὸ ὁρατὸν ἐκμιμούμενον. ἡ μὲν οὖν ἀρχὴ ἔχει τοῦ π
[illegible] τοῦ μακαρίου ὁρώμενον, εἶτ' ἐξετάζων καθ' ἕκαστον μόριον.
ρίσκει τὴν ἰδέαν, ἃ ἧς ἡ τοῦ ἀγάλματος ὑποτύπωσις γέγονε. καὶ
ἀναλύεται αὐτὸ ἀκριβῶς τῷ ἀρχετύπῳ παραστῆσαι τὸ ὅμοιον καὶ πρὸ
τῷ πρὸς ὃ γέγονεν ἐγκεχαράκαται, πᾶσαν ἐκεῖνου μιμούμενα τὴν ἰδέ
ὡς γὰρ ἐπὶ τούτου ἡ δυσχέρεια πᾶσα τῆς μιμήσεως τῷ ἔργῳ τοῦ
ματος πρόσεστι, τὸ δὲ κρῖναι καὶ ἐξετάσαι, εἰ καλῶς ἡ μίμησις γέγο
ἐ τὴν δέουσαν ἀκρίβειαν φέρει πρὸς τὸ ἀρχέτυπον, ῥᾴον καὶ οὐ π
[illegible] ἀσχάλεσε, οὕτω καὶ ἐφ' ὧν ὑποκειμένου τοῦ τί ἐστιν, ἡ [illegible] δύ
ἐστὶ τὴν τοῦ λόγου ἐστὶν εὕρεσιν, ἡ δὲ τούτου ἀναπτυσσομένου καὶ διορ
[illegible] ἐστὶ τὸ τοῦ λόγου ἐστὶν εὑρεθὲν καὶ καλῶς παρεσταμένον τὸ ζητούμε
λάνυ δυσχερές. δόξειε γὰρ ἄν, φησί, καὶ τοῦτο εὐχερὲς εἶναι ἡ τοῦ
ἀληθὲς εἶναι τῶν τοιούτων. ἤτοι τῶν συμβαλλομένων εἰς τὴν διαρθ
[illegible] τῶν κατὰ χρόνον συμπιπτόντων πολλὰ προσλαμβανόμεν εἰ
[illegible] τῶν ὑπαρχόντων. τῶν δὲ εὑρετὴς ἐπῆγεν ἐπιδιορθοῦσθαι
[illegible] συνεργοῦσι· οὐ γὰρ ἐσυνῆσαι ὁ χρόνος καὶ [illegible] ἐκάστης τῆς
[illegible] τῷ χρόνῳ συμπίπτοντα γίνεται, συνεργεῖ καὶ ὁ χρόνος

ἐν χρόνῳ τὰ πράγματα ἐξετάζουσιν εἰς τὸ ἐκβηλότερον τὰ περὶ αὐτῶν γι- 19
γόμενα γίνεσθαι. οὕτω γὰρ καὶ αἱ τέχναι ἐκ βραχέων ἀρξάμεναι αὐξή-
θησαν. ἕκαστος γὰρ τεχνίτης αὐτὸς πρώτιστος ὁ πρῶτος αὐξή-
σας βραχύ τι τῆς τέχνης ὄφελος, πολλῶν δὲ καὶ πολλῶν συμπιπτόντων
κατὰ τὸν χρόνον, ἐξ ὧν ἀνθρώποις τῆς τέχνης ἡ χρῆσις ἀναγκαία γίνεται,
ἄλλα καὶ ἄλλα τοῖς πρλαβοῦσι προσεύρηται καὶ οὕτως ἡ αὔξησις γέγονε.

p. 1098a25 Παντὸς γὰρ προσθεῖναι τὸ ἐλλεῖπον. 25

Τῆς ἀρχῆς καταβληθείσης καὶ ὁδὸ λαβούσης τῆς ψυχῆς προσφυῆ τοῖς
πράγμασι πρόφασιν, τὰ εἰσέτι λείποντα προσθεῖναι παντὸς ἂν εἴη τοῦ
σπουδαίου καλῶς τῇ προκαταβεβλημένῃ ἀρχῇ. λέγει δὲ ἀναγραφὴν τὴν τοῦ
τίς ἐστι B: ἀνίατός ἐστιν a et Arist. vulg.: ἀνίατός γ' ἐστιν Arist. cod. Kl
ad καὶ τοκισταί (p. 1121b24) a 15 προστίθησιν scripsi: προτίθησιν B
B: μᾶλλον a 18 εὐιάτους cancellavi διὰ a: πρὸς B 21 τὴν κα
τὰ κατ' αὐτὴν B δεικτικὸν B: δεικτὸν a ἀνελευθέρους B: ἀνελεύθερον
B: τε καὶ a 24 συμφυέστερον B: συμφυέστερον μᾶλλον a 25 τὰ γὰρ
om. B 26 καὶ a: om. B 30 καὶ τὰ μικρὰ Ba et Arist. codd. H
t. vulg. rhesis usque ad λήψεις ἀνελευθέροι (p. 1122a13) a

οἱ μὲν κινδύνους τοὺς μεγίστους. οἱ λωποδύται καὶ λῃσταί, οἷς καὶ 52r
ὁ ἱερόσυλος συναριθμιος. πάντες γὰρ οὗτοι μικροῦ λήμματος εἰς αὐτὸ τὸ
ζῆν κινδυνεύουσιν. οἱ μέντοι κυβευταὶ ἀπὸ τῶν φίλων κερδαίνουσιν. οἷς
μᾶλλον παρέχειν καὶ εὐεργετεῖν αὐτοὺς δίκαιον.

5 p. 1122a15 Ἢ κατὰ τὴν λεχθεῖσαν ἀσωτίαν. |

Τὸ γὰρ οἰκειότερον καὶ δυσαποτριπτότερον κακὸν ὡς φυσικώτερον 52v
καὶ διὰ τοῦτο καὶ ἐναντιώτερον. οὐχ ὥσπερ δ' ἡ ἐλευθεριότης διατείνει περὶ πάσας. ἐπιζητήσει ἄν τις, πῶς εἰ ἡ ἐλευθεριότης διατείνει
περὶ πάσας τὰς ἐν χρήμασι πράξεις, οὐ καὶ περὶ ταύτας ἐστὶ περὶ ἃς καὶ
10 ἡ μεγαλοπρέπεια· εἴτε γὰρ μὴ ἔστι περὶ ταύτας, οὐκ ἀληθὲς ἂν εἴη τὸ 5
τὴν ἐλευθεριότητα διατείνειν περὶ πάσας τὰς ἐν χρήμασι πράξεις, εἴτε
διατείνοι καὶ περὶ ταύτας, πότερον καὶ ὁ ἐλευθέριος οὕτω ἐν αὐταῖς ἀναλώσει ὡς καὶ ⟨ὁ⟩ μεγαλοπρεπὴς ἢ ἄλλως. ἀλλ' εἰ μὲν οὕτω, μέρος ἔσται
τῆς ἐλευτεριότητος ἡ μεγαλοπρέπεια, ἡ εἰ μὴ οὕτως, ἡ ἑτέρα αὐτῶν οὐκ
15 ἀναλώσει κατὰ τὸ πρέπον καὶ τὸν ὀρθὸν λόγον καὶ ὡς δεῖ καὶ ὅσον δεῖ, οὕτω 10
δὲ οὐδ' ἂν ἀρετὴ εἴη μὴ κατὰ τὸ πρέπον ἀναλίσκουσα. ῥήματα οὖν τὰ
περὶ πάσας ἀντὶ τοῦ κατὰ τὰς πλείονας κεῖται καὶ κοινάς. περὶ δὲ τὰς
δαπάνης μείζονος δεομένας ἢ κατ' ἀξίαν ἀναλίσκουσα μεγαλοπρέπειά ἐστιν.
ὡς εἶναι δύο ἀρετὰς περὶ χρήματα, τὴν μὲν ἐν ταῖς συνήθεσι καὶ κοιναῖς
20 χρείαις τῶν χρημάτων τὸ κατ' ἀξίαν ἔχουσαν, τὴν δὲ ἐν ταῖς δαπάνης 15
πλείονος δεομένας. λέγομεν οὖν τὴν ἐλευθεριότητα καὶ περὶ ταύτας περὶ
ἃς ἡ μεγαλοπρέπεια, ἀλλὰ καὶ περὶ ταύτας τὸ ἴδιον φυλάξει, τὸ ὅσον δεῖ
καὶ ὅτε καὶ ὡς· ἴδιον γὰρ αὐτῆς τὸ εὐλόγως ἀναλίσκειν. τὸ μέντοι καὶ
πρὸς τὸ γινόμενον ὁρᾶν καὶ τὸ μεγαλεῖον ζητεῖν τοῦ ἔργου τοῦ γινομένου
25 ἀπὸ τῶν ἀναλισκομένων ἴδιον ἤδη τῆς μεγαλοπρεπείας. ὁρίσατο δὲ τὴν 20
μεγαλοπρέπειαν ἀπὸ τοῦ ὀνόματος, ἐν μεγέθει πρέπουσαν δαπάνην.

p. 1122a21 Ἐν τούτοις δ' ὑπερέχει τῆς ἐλευθεριότητος μεγέθει.

Οὐ τοῦτο λέγει διὰ τοῦ ἐν τούτοις ὅτι ἐν τοῖς αὐτοῖς καὶ περὶ τὰ 20
αὐτὰ δαπανηρὰ ὄντος καὶ τοῦ ἐλευθερίου, ὁ μεγαλοπρεπὴς διαφέρει τῷ
30 μεγέθει τῶν ἀναλωμάτων. εἴη γὰρ ἂν οὐκέτι περὶ τὰ αὐτὰ ὁ ἐλευθέριος
ὡς δεῖ ἀναλίσκων. ἀλλ' εἰπὼν περὶ τὰς δαπανηρὰς μόνην εἶναι τὴν

2 συναρίθμιος corr. ex ἐναρίθμιος B: ἐναρίθμιος a εἰς Ba: ἕνεκα Diels 4 εὐεργετεῖν B: ἐνεργεῖν a 5 rhesis inde ab εἰκότως δὲ usque ad δαπανηρὰς μόνον (p. 1122a13—21) a 9 ἃς καὶ B: ἃ a 12 διατείνοι B: διατείνει a 13 ὁ a: om. B 15 καὶ ὡς δεῖ a: ὡς δεῖ B 18 δαπάνης scripsi: δαπάνους B: δαπανηρὰς a 20 δαπάνης scripsi: δαπάνας Ba 21 λέγομεν B: λέγει μὲν a 21. 22 περὶ ἃς ἡ B: περὶ ἃς καὶ ἡ a 23 καὶ ὅτε B: ἢ ὅτε a ὡς B: ὡς δεῖ a 27 ὑπερέχει a et Arist.: ὑπερέχειν B rhesis usque ad περὶ ἃ (p. 1122a26) a 28 τοῦ B: τὸ a 29 καὶ τοῦ B: τοῦ a

μεγέθος, ἐπιστήμονι ἔοικεν. ἐπεὶ ἔστι μεγάλα ἀναλώσαντα μὴ φυλάξαι 52ν
τὸ μεγαλεῖον τοῦ προκειμένου ἔργου, ὡς ἐρεῖ.

p. 1122ª33 Ὥσπερ γὰρ ἐν ἀρχῇ εἴπομεν.

Ὅτι ἔλεγε τὴν ἐλευθεριότητα περὶ χρημάτων μεσότητα. ὡς γὰρ 53r
ἡ ἐλευθεριότης ἀπὸ τῶν ἐνεργειῶν περὶ ἃς καὶ ἐν αἷς ὁ τοῦ ἐλευθερίου
ἔπαινος γίνεται, τοιαύτη τις οὖσα καὶ συνέστη καὶ ὡδείχθη, οὕτω δηλονότι 30
καὶ ἡ μεγαλοπρέπεια τοῖς πρέπουσιν ἔργοις, ἤτοι τοῖς ἔχουσι μέγεθος
ἡγουμένου τῆς ἀρετῆς τοῦ ὀρθοῦ λόγου, χαρακτηρίζεται καὶ γνωρίζεται.
τὴν δὲ δαπάνην τοῦ ἔργου ἢ καὶ ὑπερβάλλειν. τοῦτό φησιν, ἐπεὶ
10 μὴ ἐξισοῦσθαι τὴν δαπάνην τῷ ἔργῳ δεῖ. ἀκριβοῦς γὰρ καὶ μικρολόγου
τοῦτο οὐδὲ μεγαλοπρεποῦς. καὶ ἀπὸ τῆς ἴσης δαπάνης. καὶ τοῦτο
ἴδιον τοῦ μεγαλοπρεποῦς, τὸ ἀπὸ τῆς ἴσης δαπάνης τὸ γινόμενον ἔργον
ποιεῖν μεγαλοπρεπέστερον, ἤτοι μέγα καὶ καλόν. οὐ γὰρ τὸ πλείονος ἄξιον
ἄξιον μεγαλοπρεπές. κτήματος μὲν γὰρ αὕτη ἀρετή· διὸ ὁ χρυσὸς δοκεῖ
15 τιμιώτατος, ὅτι ἐστὶ πλείστου ἄξιος, μεγαλοπρεπὲς δὲ ἔργον τὸ μέγα καὶ
καλόν. ἀπὸ τῶν ἴσων δέ φησιν ἀναλωμάτων, ἐπεὶ ἔστι καὶ μικρὸν ἐκ
μεγάλων ἀναλωμάτων. πολυτελὲς μέντοι, κατασκευάσαι. ῥᾴδιον γὰρ Περι-
κλῆς τὸν Ὀλύμπιον Δία ἀπὸ τῶν αὐτῶν ἀναλωμάτων μικρότερον κατα-
σκευάσαι, πολυτελέστερον δὲ λίθοις καὶ μαργάροις ποικίλοις. καὶ ὅσα περὶ
20 πᾶν τὸ δαιμόνιον. δαιμόνιόν ⟨φησιν ἢ δαίμονάς τινας⟩ ἐπιχωρίους κατά 40
τινας νόμους πατρίους ἢ καὶ τοὺς κατοιχομένους. πρὸς τὸ κοινὸν δὲ
εὐφιλοτίμητα ὅσα λαμπρά ἐστι καὶ ἐπαινούμενα ἔχει τὴν φιλοτιμίαν.
καὶ πρὸς τὸν πράττοντα ἀναφέρεται. δεῖ γάρ, ὡς ἐπὶ τοῦ γένους
εὐγενῆ καλοῦμεν τὸν ἀπὸ πατέρων εὖ γεγονότα, οὕτω καὶ τὸ μεγαλοπρεπὲς
25 ἔχειν τὸν πράττοντα πλούτῳ καὶ γένει τὸ μακάριον ἐπιφαίνοντα. καὶ τοῖς
εὐγενέσι καὶ τοῖς ἐνδόξοις. ἀπὸ κοινοῦ δὲ τὸ πρέπον, εἰ καὶ μὴ
προϋπάρχει ⟨τι⟩ αὐτῶν ἔργον τοιοῦτον. τὰ δὲ ὧρα τοῖς ἀναθήμασιν 45
ἔχει τι ὅμοιον, διὸ δεῖ ἔχειν αὐτὰ μέγεθός τι καὶ ἄξια εἶναι μεγαλο-
πρεποῦς ἀνδρός.

30 p. 1123ª14 Σφαῖρα μὲν γάρ.

Εἰπὼν καὶ περὶ ἃ τῶν ἰδίων ὁ μεγαλοπρεπὴς ἀναλώσει. ὅτι περὶ 53v

3 rhesis usque ad τῷ δαπανήματι (p. 1123ª14) a 4 in commentarii principio ὥσπερ ἐν ἀρχῇ εἴπομεν repetit a: om. B τὴν ἐλευθεριότητα ἔλεγε a] Aristoteles vero ad B 1 p. 1103ᵇ21 sqq. spectare videtur 5. 6 ὁ ἔπαινος τοῦ ἐλευθερίου a 7 ἤτοι B: τουτέστι a 11 οὐδὲ B: οὐχὶ a 11. 12 τοῦτο ἴδιον B: τοῦτο φησὶν ἴδιον εἶναι a 13 μεγαλοπρεπέστερον B et Arist.: μεγαλοπρεπές a 14 μὲν B: om. a 19 ποικίλοις B: πεποικιλμένον a 20 φησι—τινας a: om. B 21 post κατοιχομένους add. οὕτω φησὶ a: om. B 22 εὐφιλοτίμητα B et Arist.: ἀφιλοτίμητα a 23 ὡς B: ὥσπερ a 24 καλοῦμεν B: τοῦτον καλοῦμεν a ἀπὸ πατέρων B: ἀπὸ τῶν πατέρων a 25 τὸ B: τῷ a 27 τί a: om. B 30 rhesis usque ad ὁ εἰρημένος (p. 1123ᵇ1) a

γάμους τέκνων καὶ εὐφημίας καὶ τὰ τοιαῦτα, φησὶ σφαῖρα μ
λήκυθος ἡ καλλίστη ἔχει μεγαλοπρέπειαν παιδικοῦ
γὰρ τούτων τιμὴ μικρὸν καὶ ἀνελεύθερον. καθότι καὶ δι
ἐν τῷ ἔργῳ μέγα τοῦ ἐν τῷ δαπανήματί φησι. καὶ γὰρ ἡ
ἡ λήκυθος ἡ κάλλιστη μικρὰν καὶ ἀνελεύθερον ἔχουσι τιμὴν κ
ὡς δὲ ἐν τοῖς τοιούτοις οὖσι παιδικοῖς ὥροις ἔστι τι τῷ δαπανῶν
οὕτω δὲ καὶ ἐν ἑκάστῳ γένει ἔστι τι οἰκεῖον μέγεθος. καὶ λαμ
παρὰ μέλος. παροιμία ἐπὶ τῶν μὴ προσφόρως τι ποιεῖν εἰωθ
κωμῳδοῦς χορηγῶν. σύνηθες ἐν κωμῳδίᾳ παραπετάσματα δέ
οὐ πορφυρίδας. Μυρτίλος ἐν Τιτανόπασι τὸ * * * "δεινῆς ἀκούσε
τοῦτ' ἔστι σοι τὸ σκῶμμα ἀσελγὲς καὶ Μεγαρικὸν καὶ σφόδρ
ἢ γελᾶς, ὁρᾷς τὰ παιδία". διασύρονται γὰρ οἱ Μεγαρεῖς ἐν κωμ
καὶ ἀντιποιοῦνται αὐτῆς ὡς παρ' αὐτοῖς πρῶτον εὑρεθείσης, τ
σαρίων ὁ κατάρξας κωμῳδίας Μεγαρεύς. ὡς φορτικοὶ τοίνυν
διαβάλλονται. καὶ πορφυρίδι χρώμενον ἐν τῇ παρόδῳ. καὶ γ
φάνης ἐπισκώπτων αὐτοὺς λέγει που "μηδ' αὖ γέλωτα Μεγαρ
μένον". ἀλλὰ καὶ Ἐκφαντίδης παλαιότατος ποιητὴς τῶν ἀρχ
"Μεγαρικῆς κωμῳδίας † ἁσμα δίειμι αἰσχυνόμενος τὸ δρᾶμα
ποιεῖν." δείκνυται γὰρ ἐκ πάντων τούτων ὅτι Μεγαρεῖς τῆς
ὄρους.

p. 1123b5 Ὁ γὰρ μικρῶν ἄξιος καὶ τούτων ἀξιῶν ἑαυτὸν

Ἄξιον ζητῆσαι πῶς τὸν σώφρονα λέγει μικρῶν ἄξιον κ
ἀξιοῦντα ἑαυτόν (πῶς γὰρ ἂν τις ἀρετὴν ἔχων εἴη μικρῶν ἀξιος
τὸν μικρόψυχον μειζόνων ἄξιον ὄντα ἑαυτὸν ἐλαττόνων ἀξιοῦν.
ἐν κακίᾳ τις ὢν ἄξιος μειζόνων ἀγαθῶν; ἢ τὸ ἄξιον μειζόνων
τόνων πρὸς τὰς ἐνεργείας καὶ τὰ ἔργα λαμβάνει, οὐ πρὸς τὰς
γὰρ τοῖς ἔργοις καὶ οἱ ἔπαινοι καὶ αἱ τιμαί. ὁ μὲν οὖν μεγαλ
ἂν μεγάλα τε καὶ ἐμπρέπα διαπρασσόμενος καὶ ἄξια τούτων φρ
ὁεῖ αὐτῷ πρὸς τῇ ἀρετῇ καὶ τῶν ἀπὸ τῆς τύχης ἀγαθῶν·) ὁ
ταῖς ἐνεργείαις ἃς ἐνεργεῖ πρὸς τοὺς πέλας, οὕσαις οὐ λαμ
μεγάλαις. ἐπίσης καὶ τοῦ τιμᾶσθαι καταξιοῖ ἑαυτόν. εἴη δ' ἂν
αὐτοῦ ἐκ προγόνων καὶ ἐξ αὐτοῦ μειζόνων εἰς τὸ κοινὸν πε

1 φησὶ B: προστίθησι a 4. 5 ἡ λήκυθος ἡ καλλίστη καὶ ἡ σφαῖρα a
B et Arist.: κωμῳδῶν a 10 Μυρτίλος] Frg. Com. Gr. I 100 II 418
Com. Att. I 253 Kock Τιτανόπασι Meineke: τιτανόπασι Ba
II 521 Mein., I 523 Kock 12 γελᾶς a: σέλας B: γελᾷ γὰρ ὡς Cobetus
στοφάνης] Vesp. 57, ubi κεκλεμμένον 17 Ἐκφαντίδης] II 13 Meinek
Kock τῶν ἀρχαίων ποιητὴς a: ποιητὴς τῆς ἀρχαίας Diels 18
Bywater αἰσχυνόμενος B: αἰσχύνομαι a 21 rhesis usque a
(p. 1123b16) a 22 post ἄξιον add. ἐπὶ τούτῳ a: om. B 23 ἑαυτ
24 τὸν B: τὸ a 24. 25 γὰρ ἐν B: γὰρ ἂν ἐν a 27 ὁ μεγαλόψυ

ἑαυτὸν ἕκαστος τιμῆς ἀξιῶν διὰ ταπεινότητα καὶ μικροψυχίαν. ἐπιζητήσειε δ' ἄν τις καὶ τίς ἐστιν ὃν λέγει μειζόνων μὲν ἑαυτὸν ἀξιοῦν ἢ ἄξιός ἐστιν, οὐ μὴν διὰ χαυνότητα. ὁ γὰρ μειζόνων, φησίν, ἑαυτὸν ἀξιῶν ἢ ἔστιν ἄξιος, οὐ πᾶς χαῦνος. ἢ λέγοι ἂν μὴ χαύνους ὅσοι δι' ἐπιβουλὴν καὶ μνώμενοί τι μεῖζον διὰ τοῦτο μειζόνων αὑτοὺς καταξιοῦσιν ὑποκρινόμενοι καὶ προσποιούμενοι, οὐ διὰ χαυνότητα ἀλλὰ πανουργίαν· ὁ γὰρ χαῦνος ἠλίθιος, οὐκ ἐπίβουλος.

p. 1123b16 Περὶ ἓν μάλιστα ἂν εἴη.

Δηλονότι τὸ μέγιστον, ἓν γὰρ τὸ μέγιστον ὑπάρχει. ἄξια δὲ μέγιστα καθὸ ἀξιούντων τινῶν γίνεται. τῶν | δὲ ἐκτὸς ἀγαθῶν φησι τὴν τιμήν. 51 τὰ γὰρ οἰκεῖα ἀγαθὰ τῶν σπουδαίων ἕκαστος ἔχει παρ' ἑαυτῷ· ἡ δὲ τιμὴ ἐπ' ἄλλοις, ὡς καὶ αὐτὸς οὗτός φησιν. ὁ δὲ μικρόψυχος ἐλλείπει πρὸς ἑαυτόν. διὰ τοῦτο γὰρ καὶ ἐν κακίᾳ ἐστὶ καὶ ἔστι κακὸς διὰ τὴν πρὸς ἑαυτὸν ἐλάττωσιν. ἐλάττονος γὰρ ἑαυτὸν τιμῆς ἀξιοῖ ἢ ἔστιν ἄξιος. οὐ μὴν τόν γε μεγαλόψυχον· οὐκοῦν εἰ τοῦ χαύνου μειζόνων ἑαυτὸν ἀξιοῖ ὁ μεγαλόψυχος, εἰκότως "τῷ μεγέθει ἄκρος" ἐστίν, ὡς εἶπε. καὶ μεγίστων ὁ ἄριστος. ἄριστος γὰρ ὁ τῶν μεγίστων ἄξιος. καὶ πῶς ἄριστος, λέγει. δόξει γάρ, φησίν, εἶναι τὸ ἐν ἑκάστῃ ἀρετῇ μέγα τοῦ μεγαλοψύχου. εἰ δὲ τοῦτο, εἴη ἂν ἡ μεγαλοψυχία τελειότης πασῶν τῶν ἀρετῶν καὶ μεγαλόψυχος ὁ πάσας τὰς ἀρετὰς ἔχων μετὰ μεγέθους. εἶτα ἅ ἐστιν ἡ ἐνέργεια τοῦ μεγαλοψύχου κατὰ πάσας τὰς ἀρετὰς παρατίθεται. οὐτε γὰρ τῷ μεγαλοψύχῳ ἁρμόζει τὸ παρασείσαντι φεύγειν ὑφορωμένῳ κίνδυνόν τινα· οὐ γὰρ μεγαλοψύχου τοῦτο.

p. 1123b32 Τίνος γὰρ ἕνεκα πράξει αἰσχρὰ ᾧ οὐδὲν μέγα;

Οὐδὲν μέγα τῷ μεγαλοψύχῳ τῶν ἄλλων δηλαδὴ ἀγαθῶν, εἴ γε εὐτυχεῖ τοῦ μεγίστου καὶ τὰ ἄλλα κρύπτοντος διὰ μεγέθους ὑπερβολήν. τῇ παραθέσει γὰρ τοῦ μεγίστου δόξει ἂν οὐδὲν εἶναι τὰ μὴ τοιαῦτα. σμικρὰ γὰρ τῷ μεγέθει λειπόμενα, καὶ μάλιστα ἐν ᾧ τὸ ἔλαττον ἔχουσι. τὸ δὲ μέγιστον ἡ τιμή ἐστι. πάντα γὰρ τἄλλα δι' αὐτὸ τῶν ἐκτὸς ἀγαθῶν. τῆς ἀρετῆς γὰρ ἄθλον ἡ τιμή· καὶ τοῦτο δῆλον ἐκ τοῦ λόγου τῆς ἀρετῆς. εἴ γέ ἐστιν ἀγαθὸν ἐπαινετόν. διὸ καὶ εἴρηκεν ὅτι ἔπαθλον τῶν καλλίστων ἡ τιμή. οὐ γὰρ οἷόν τε εἶναι ἄνευ καλοκαγαθίας. δεῖξας

1 καὶ μικροψυχίαν B: τε καὶ μικροψυχίαν a ἐπιζητήσειε a: ἐπιζητήση B 2 ἀξιοῦν B: ἀξιῶν a 6 ἀλλὰ B: ἀλλὰ διὰ a 8 μάλιστα ἂν B et Arist.: μάλιστα ἄξιος ἂν a rhesis usque ad οὐδὲ ἀδικεῖν (p. 1123b32) a 12 φησίν] cf. Δ 3 p. 1095b25 13 πρὸς ἑαυτόν B: καὶ πρὸς ἑαυτόν a et Aristoteles 14 τιμῆς ἑαυτόν a ἢ B: ἥπερ a 16 ὁ μεγαλόψυχος ἀξιοῖ a εἶπε] p. 1123b14 22 τὸ scripsi: τῷ Ba 24 rhesis usque ad περὶ αὐτόν (p. 1124a12) a 26 καὶ B: τοῦ a 31 καὶ et ὅτι B: om. a

ὅτι τοῦ μεγαλοψύχου καθὸ μεγαλόψυχος τὸ κατὰ πᾶσαν ἀρετὴν ἐ
ἐπηνεγκε τὸ ἔοικεν οὖν ἡ μεγαλοψυχία οἷον κόσμος τις ε
ἀρετῶν. μείζους γὰρ αὐτὰς ποιεῖ καὶ (οὐ) γίνεται ἄνευ ε
ἄνευ δηλονότι καλοκαγαθίας. καλοκαγαθίαν γὰρ φησ τὴν τελεί
ταφῶς δὲ λέγει τὸν μεγαλόψυχον καὶ πῶς ἔχει περὶ τιμὰς καὶ

1124 b 1 Μαλιστα μὲν οὖν ἔοικεν, ὥσπερ εἴρηται, ἡ μεγαλ

Συνέχει λοιπὸν τὸ λεγόμενον καὶ τὴν εὐτυχίαν εἰς μεγ
φησί, καὶ πῶς, προστίθησι. τὰ γὰρ ἀπὸ τῆς τύχης ἀγαθὰ πρ
συμβάλλονται· τιμῶνται γὰρ οἱ ταῦτα ἔχοντες. διὸ καὶ γίνονται
αὐτὰ μεγαλοψυχότεροι καὶ οἱ τυγχάνειν ταύτης καταξιοῦντες α
ἐγένοντο αἰρόμενοι πρὸς αὐτήν. ἔτι εἰς μεγαλοψυχίαν συμβάλλεται
ἀγαθὰ καὶ διὰ τὰ ἔθη. εἰ γὰρ ἐκ τῶν ἐθῶν αἱ ἕξεις
τοιαῦτα οὐχ οἷόν τε ἀχορήγητον ὄντα, συναίρονται καὶ ἀπὸ τούτων.
τιμὴν δὲ ὅτι οἱ ἐν τούτοις ὄντες δοκοῦσιν ἐν ἀγαθοῖς ὑπερέχειν.
τὸ τῷ ἀγαθῷ ὑπερέχον τιμιώτερον. λέγει δ' ἂν διὰ τούτων, ὅτ
τοιούτων ἀγαθῶν ἀντιποιήσεται πάλιν ὁ μεγαλόψυχος. κατ' ἀλή
οὖν ὁ ἀγαθὸς τιμητέος καὶ καθὸ ἀγαθός. ἡδὺ δὲ ἀμφω οἷς ὑπά
τῇ ἀρετῇ καὶ τὰ ἄλλα ἀγαθά, οὗτοι μᾶλλον ἀξιοῦνται τιμῆς. τοῦ
δὲ φησι μιμεῖσθαι βουλεσθαι τοὺς μεγαλοψύχους. ἐκπίπτειν γε μ
ὄντας τῶν ὧν βούλονται μιμεῖσθαι, ἀλλὰ διακένους ὄντας.
φέρειν ἐμμελῶς τὰ εὐτυχήματα οἷον οὔτε πλούτου οὔτε ἄλλο τι.
τῷ νοσοῦντι τὰ ὑγιεινὰ συμφέρει ἀλλὰ τῷ ὑγιαίνοντι. οὐκ
μακροκίνδυνος. ὁ πολλὰ τιμῶν ὑπὲρ πολλῶν καὶ κινδυνεύων
ὑπὲρ γὰρ ὧν τιμᾷ τις, καὶ κινδυνεύειν ἀρέσκεται. ὁ δὲ ὀλίγα τιμῶν ὀ
καὶ κινδυνεύειν ἂν ἐλοιτο· τοιοῦτος δὲ ὁ μεγαλόψυχος. τὸ γὰρ
τιμῆς ἀξία τούτῳ ἐστὶν ταῦτα δὲ ὀλίγα. διὸ καὶ κινδυνεύσει
λοκινδύνως· ὑπὲρ (γὰρ) μεγάλων· (τοιαῦτα δὲ τὰ τιμᾶ. καὶ
ποιεῖν· τοῦτο φησιν ὅτι παρὰ τὴν ἀξίαν πραττῶν καὶ οὐχ ὡ
εὐεργετεῖν ἀφέσεως τοῦ χρεώ. ὑπερβολικὸς ὁ αὐτὸς καὶ
γὰρ προσκαλεῖται ὁ ὑπερβάλλων ἀντευεργετεῖν δηλονότι ὃν πλ
εἰς πλείονα πλεονεκτήσει. τὸ δὲ ὑπαγάγειν ὅτι τοῦ ὁ πρακτικ

p. 1124b15 Διὸ καὶ τὴν θετὴν οὐ λεγειν τὰς εὐεργεσιας τ

Εἰπὼν περὶ τῶν μεγαλοψύχων ὅτι μνήμονες μᾶλλον εἰσ

ἔοικεν οὖν Ba et Arist. codd. LbMb: ἔοικεν μὲν οὖν Arist. vulg. 3 οὐ a: οὐ
rhesis usque ad τὰ δ' ἀγαθῶς (p. 1124b13) 9 συμβάλλονται B: συμβάλλεται a 10 αὐτῶν scripsi: αὐτῆς Ba 11 ἔγε
αἱρόμενοι B: αὐτὴν scripsi: αὐτὸ Ba συμβάλλεται B
B: ἐοίκασιν a 25 ἀγαθῶς B: ἀγαθῷ
: om. B 32 rhesis usque ad δι' εἰρωνείαν (p. 112

πεποιήκασιν ἢ ὧν εὖ πεπόνθασι (τοῦτο δὲ οὐκ ἐν τῷ ἀμείβεσθαι· εἴρηκε 54v
γὰρ ὅτι πλείω ἀντιποιοῦσιν· ἀλλ' ἐν τοῖς λόγοις· ὑπερεχομένου γὰρ τὸ εὖ
πάσχειν, οἱ δὲ ὑπερέχειν θέλουσι· διὸ τὰ μὲν ὅσα εὖ ἐποίησάν τινες
ἀκούουσιν ἡδέως, οὐχ ἡδέως δὲ ὅσα εὖ ἔπαθον), συνέστηκε τοῦτο οὕτως
ἔχον καὶ ἐνδόξως. καὶ γὰρ τὴν Θέτιν φησὶ παρ' Ὁμήρῳ διὰ τοῦτο μὴ
λέγειν τὰς εὐεργεσίας τῷ Διΐ, μηδὲ τοὺς Λάκωνας τοῖς Ἀθηναίοις,
ἀλλ' ἃ ἐπεπόνθεσαν εὖ. καὶ τὰ μὲν τῆς Θέτιδός ἐστι ταῦτα· Ἀχιλλεὺς 30
πρὸς αὐτὴν λέγων "πολλάκις γὰρ σεῦ πατρὸς ἐν μεγάροισιν ἄκουσα
εὐχομένης, ὅτ' ἔφησθα κελαινεφέι Κρονίωνι οἴῃ ἐν ἀθανάτοισιν ἀεικέα
λοιγὸν ἀμῦναι. ὁππότε μιν ξυνδῆσαι" καὶ τὰ ἑξῆς· ἡ μέντοι Θέτις δεομένη
Διὸς οὐκέτ' αὐτὰ καταλέγει ἀλλ' ἐνδείκνυται μόνον λέγουσα "Ζεῦ πάτερ,
εἴ ποτε δή σε μετ' ἀθανάτοισιν ὤνησα ἢ ἔπει ἢ ἔργῳ," τὸ δὲ περὶ Λακε-
δαιμονίων τοιοῦτον· ἱστορεῖ Καλλισθένης ἐν τῇ πρώτῃ τῶν Ἑλληνικῶν, 35
⟨ὅτι⟩ Θηβαίων εἰς τὴν Λακωνικὴν εἰσβαλλόντων, ἔπεμψαν Λακεδαιμόνιοι
πρὸς Ἀθηναίους περὶ συμμαχίας λέγοντες καὶ ὅσα μὲν τοὺς Ἀθηναίους
πεποιήκασιν οἱ Λακεδαιμόνιοι εὖ, τούτων ἐκόντες ἐπελανθάνοντο, ἃ
δ' αὐτοὶ πρὸς Ἀθηναίων χρηστὰ ἐπεπόνθεισαν, τούτων ἐμέμνηντο,
ὡς διὰ τούτων αὐτοὺς ἐπαξόμενοι πρὸς συμμαχίαν μᾶλλον. ὑπηρε-
τεῖν δὲ προθύμως, οἷον εὖ ποιεῖν καὶ ἐπιδιδόναι ⟨καὶ παρέχειν⟩ ἢ
ὑπηρετεῖν τοῖς δεομένοις αὐτοῦ. καὶ ἐν ἐκείνοις μὲν σεμνύνεσθαι 40
οὐκ ἀγεννές. πρὸς τοὺς ἐν ἀξιώματι λέγει τὸν μεγαλόψυχον, οὐκ ἐν τῷ
σεμνά τινα λέγειν περὶ αὐτοῦ (φορτικὸν γὰρ τοῦτο), ἀλλ' ὅτι τὴν σεμνότητα
οὐκ ἀφαιρήσει αὐτοῦ τὸ ἐντυγχάνειν τοῖς ἐν ἀξιώματι, ἢ οὗ πρωτεύουσιν
ἄλλοι, ἵνα μὴ ἐναυθάδη τὸ δεύτερον ἀποφέρωνται. καὶ ἀργὸν εἶναι καὶ
μελλητήν, ἀντὶ τοῦ ὀξυκίνητον μὴ εἶναι μηδὲ πρὸς πᾶσαν πρᾶξιν ἕτοιμον. 45
ἢ γὰρ ὑφ' ὧν μεγάλαι αἱ τιμαί, τούτων πρακτικός. ἢ ὅπως μέρη τὸ
προκείμενον ἔργον καὶ ὑπὲρ μεγάλου τινὸς αἱ πράξεις. καὶ ὀλίγων μὲν
πρακτικόν. οὐ γὰρ ἔργων πλήθει, μεγέθει δὲ τὴν ἀξίαν ὁρίζεται.

p. 1124b30 Εἰρωνεία δὲ πρὸς τοὺς πολλούς.

30 Ἀντὶ τοῦ οὐκ ἐξαγγελτικὸς πρὸς τοὺς πολλοὺς καὶ τυγχάνοντας τῶν 55r

2 τὸ B: τοῦ a 3 an τινας? 4 ἡδέως ἀκούουσιν a 8 λέγων] Hom. B. A 396
9 οἷη Homer: εἴη Ba 10 καὶ τὰ ἑξῆς B: ὁλόμπιοι ἤθελον ἄλλοι. ἤρτο δ' ἡδὲ ποσειδάων
καὶ παλλὰς ἀθήνη a 11 διὸς B: τοῦ διός a λέγουσα] Λ 503 13 καλλισθένης a:
δημοσθένης B. cf. Callisthenis frg. 12 Müller πρώτῃ B: πρώτῳ a: πέμπτῃ Müller
14 ὅτι a: om. B 15 ἀθηναίους a: τοὺς ἀθηναίους B περὶ συμμαχίας B: συμμαχίας
δεόμενοι a λέγοντας Diels καὶ B: ἐπὶ τῶν Ἀθηναίων a 16 οἱ Λακεδαιμό-
νιοι πεποιήκασιν a ἑκόντες ἐπελανθάνοντο B: ἐπελάθοντο ἑκόντες a 17 χρηστὰ πρὸς
Ἀθηναίων a ἐπεπόνθεσαν Müller 18 συμμαχίαν B: τὴν συμμαχίαν a 19 καὶ
παρέχειν a: om. B 22 τὴν B: τὸ a 23 post ἀφαιρήσει add. τις a: om. B
τὸ ἐντυγχάνειν B: ἐντυγχάνον a 24 καὶ ἀργὸν B: ἐναργὸν a 25 μελλητὴν Arist. vulg.:
μελητὴν Ba et Arist. codd. HaLbMbOb 29 εἰρωνεία Ba et Arist. codd. praeter Nb:
εἴρωνα Nb et Arist. vulg. rhesis usque ad ὥσπερ εἴρηται (p. 1125

προσόντων αὐτῷ, τῷ καταφρονεῖν αὐτῶν καὶ μὴ ἀξίους οἴεσθαι
κατ' αὐτόν· διὸ καὶ τῆς παρ' αὐτῶν δόξης καταφρονητικός· π
τοὺς σπουδαίους ἀγαθικούς, οὐχ ὑποστελλομένους (τὴν) τῶν οἰκεί
μηνυσιν πρὸς αὐτούς. ἀλλ οὐδὲ πρὸς ἄλλον ζῆν δυνατόν φησι
πρὸς ἄλλον δοῦλος καὶ δουλοπρεπές, ὡς ἐν Πολιτείαις δέδεικται.
εἰπὼν ὅτι οὐδὲ τοιοῦτος ὁ μεγαλόψυχος οἷος πρὸς ἄλλον ζῆν
τυμπεριφέρεσθαι καὶ ὑπηρετεῖσθαι, ἀλλ' ἢ πρὸς φίλον (φίλος
τύ ἂν ὁ ἀγαθός τε καὶ ὅμοιος· δουλικὸν γὰρ τὸ πρὸς ἄλλον ζ
σημεῖον παρέθετο τό τε πάντας τοὺς κόλακας πρὸς ἄλλους ζῆ
ταπεινοὶ διὸ τοῦτο καὶ θητικοί, καὶ τὸ τοὺς ταπεινοὺς κόλακας
οὐδ' ἐπαινετικός, φησίν, ἐστί, διόπερ οὐδὲ κακολόγος, τουτέσ
αὐτὴν αἰτίαν. οἱ ἂν οὐκ ἔστι κακολόγος, οὐδὲ ἐπαινετικός·
ὅτι μηδ' ἀνθρωπολόγος, ὅτι μήτε ἑαυτὸν ἐπαινῶν μήτε ἄλ
ἀλλ' οὐδὲ τὸν ἐχθρόν, εἰ μή ὅτι ὕβριν, τουτέστιν εἰ μή
παρόντας γὰρ ὑβρίζει καὶ διαβάλλει ‹(τοιοῦτον γὰρ ἡ ὕβρις)›. ὁ
οὐ βλασφημεῖ. καὶ ἄκαρπα ‹τῶν› καρπίμων καὶ ὠφελί
κερδοῦς γὰρ τοῦτο, οὐκ αὐτάρκους οὐδὲ μεγαλοψύχου. οὐ γὰρ σπ
ὁ περὶ ὀλίγα σπουδάζων, ὡς ὁ περὶ πολλά. ἐκεῖνος γ
πλῆθος ἐπείγεται ‹καὶ σπεύδει›. ἡ δ' ὀξυφωνία καὶ ἡ ταχυ
τούτων, ἤτοι διὰ ταῦτα, διά τε τὸ σπουδάζειν καὶ διὰ τὸ φέ
τοῦτο ὑπὲρ οὗ ἐπιταχύνεται καὶ ὀξεῖα χρῆται τῇ φωνῇ. εἰπὼ
τοῦ μεγαλοψύχου ἓξις λέγει περὶ τοῦ μικροψύχου καὶ χαύνου.
τὸν μικρόψυχον ἄξιον ὄντα ἀγαθῶν ἑαυτὸν ἀποστερεῖν. ἐπεὶ ὁ
ὧν οὐκ ἀεὶ τούτῃς ἑαυτὸν διὰ μικροψυχίαν καὶ εὐτέλειαν καὶ τ
ὑπὲρ οὗτόν εἰναι τὰ ἀγαθά· διὸ καὶ κακία· κακοῦ γὰρ καὶ οὐκ
δότος τὸ μὴ ἀξιοῦν ἑαυτὸν ἀγαθοῦ. ἀλλὰ καὶ τὸ ἀγνοεῖν ἑαυ
ὅτι δὲ ἀγνοεῖ ἑαυτόν, δῆλον. ὠρέγετο γὰρ ἂν ἀγαθῶν καὶ α
τοιούτων ὄντα ἄξιον. οὐ μὴν ἠλίθιοι οἱ τοιοῦτοι κακοῦσιν
μᾶλλον νοεροί, τουτέστι ὀριμεῖς καὶ ἐπινοητικοί. οὐ γὰρ ω
αὐτοὺς τὸ νοεροὶ προσέθηκε· χείρους γοῦν φησιν αὐτοὺς τῶν χα
καὶ μᾶλλον ἀντικεῖσθαι τοῖς μεγαλοψύχοις. καίτοι τοὺς χαύνο
λέγει. ἡ τοιαύτη δὲ δόξα, ἤτοι ὑπόληψις, ἣν ἔχουσι περὶ
μικρόψυχοι. χείρους ποιεῖ τῶν κατ' ἀξίαν ἐφιεμένων. μηδενὸς αὐ

1 -ῶ B: τὸ a οἴεσθαι B: αὐτοὺς ἡγεῖσθαι τοῦ a 2 καταφρονητικός B
4 ἢ ν a: om. B 5 δουλοπρεπὲς a: δουλοπρεποῦς B πολιτείαις B: τ
A 1 p. 1254a15 6 ζῆν καὶ ante ὑπηρετεῖσθαι inserit a: om. B 1
αὐτὴν Ba 13 post ἀνθρωπολόγος addit τί δὲ τοῦτο, ἐπάγει a: om. B
ὑβρίζει B 15 διαβάλλει καὶ ὑβρίζει a τοιοῦτον γὰρ ἡ ὕβρις a: om
B 18 ὡς B: ὥσπερ a τὸ B: om. a 19 καὶ σπεύδει a:
om. B 20 ἤτοι B: τουτέστι a ἐπιταχύνεται Diels: ἐπιταχύνει τε
a 21 καὶ εὐτελείαν B: τὲ καὶ εὐτελείαν a 26 ἀγαθοῦ
Ba: ἠλίθιοί γε Arist. οἱ τοιοῦτοι a: τοιοῦτοι οἱ B
M1 L codd. Lb Mb: ἀνεροί Arist. vulg. χείρους B: χείρονας a 32 ἡ
γ B B

ἀγαθοῦ ἡγεῖσθαι. καὶ τῶν πράξεων τῶν καλῶν καὶ τῶν ἐπιτηδευ- 55r
μάτων ἀφίστανται ὡς ὄντες αὐτῶν ἀνάξιοι· ὁμοίως δὲ καὶ τῶν
ἀγαθῶν ἀναξίους αὑτοὺς ὑπολαμβάνοντες ἀφίστανται, οἷον τιμῆς ἀρχῆς
προεδρίας. οἱ δὲ χαῦνοι ἠλίθιοι. ἠγνόουν μὲν γὰρ καὶ οἱ μικρόψυχοι 10
5 ἑαυτούς ἀλλ' ἀφανεῖς ἦσαν ἀποκρύπτοντες ἑαυτούς (τοῦτο γὰρ ἦν ἴδιον
αὐτῶν), οἱ δὲ ἠλίθιοι ἐπιφανῶς ἑαυτοὺς ἠγνόουν. καρύσσουσι γὰρ ἢ εἰς
μέσον αὐτῶν φέρουσιν τὴν ἠλιθιότητα ἐπιχειροῦντες τοῖς ἐντίμοις, ὧν οὐδὲν
αὐτοῖς μέτεστι. διὸ καὶ ταχέως κατάφωροι γίνονται. ὅτι δὲ ἀντίκειται
μᾶλλον τῇ μεγαλοψυχίᾳ ⟨ἡ μικροψυχία⟩ τῆς χαυνότητος καὶ δι' ἃ, σαφῶς
10 εἶπε. καὶ γὰρ διότι μᾶλλον γίνεται καὶ ἔστιν ὥσπερ σύμφυτον διὸ καὶ 15
δυσαποτριπτότερον ⟨διότι χεῖρόν ἐστι τῆς χαυνότητος. καὶ γὰρ γίνεται
μᾶλλον καὶ χεῖρόν ἐστιν, ἐπεὶ καὶ ὥσπερ συμφυτόν ἐστιν καὶ δυσαπο-
τριπτότερον. ὥσπερ ἐκεῖ ἡ ἀνελευθερία τῆς ἀσωτίας δόξαι μᾶλλον χεῖρον.
καὶ μᾶλλον ἀντικεῖσθαι τῇ ἐλευθεριότητι διὰ τὸ καὶ ταύτης συμφυῆ μᾶλλον
15 εἶναι καὶ διὰ τοῦτο δυσαποτριπτοτέραν [μᾶλλον εἶναι].

p. 1125b1 Ἔοικε δὲ καὶ περὶ ταύτην εἶναι ἀρετή τις.

Εἰπὼν τὴν μεγαλοψυχίαν περὶ τιμὴν εἶναι μεγάλην, φησὶ περὶ τιμὴν 55v
καὶ τὴν ἄλλην εἶναι ἀρετήν, ἣν ἐν τῷ δευτέρῳ λέγει τὸν αὐτὸν ἔχειν
λόγον πρὸς τὴν μεγαλοψυχίαν, ὃν λόγον ἔχει ἡ ἐλευθεριότης πρὸς τὴν 5
20 μεγαλοπρέπειαν. ὥσπερ δὲ ἐν δόσει καὶ λήψει· ὥσπερ ἐν λήψει χρη-
μάτων, ἐν οἷς ἐστιν ὑπερβολὴ καὶ ἔλλειψις, ἐν τούτοις ἐστὶ καὶ μεσότης.
καὶ ὅτι γε ἔστι πάλιν δείκνυται ἐκ τοῦ ποτὲ μὲν ἡμᾶς τὸν φιλότιμον
ἐπαινεῖν ὡς ἀνδρώδη καὶ φιλόκαλον, ποτὲ δὲ τὸν ἀφιλότιμον ὡς
μέτριον καὶ σώφρονα, ὅπερ εἶπε καὶ ἐν τῷ δευτέρῳ. ἔστι γὰρ ἡ τῶν 10
25 πολλῶν ἔννοια κατὰ φύσιν πως κρίνουσα τό τε ἐπαινετὸν καὶ τὸ μή. ὃ
καὶ περὶ τιμὴν πεπόνθασι. φαμὲν γὰρ ὄντος τινὸς καλοῦ τῆς τιμῆς εἰ ποτὲ
μὲν ἐπαινοῦμεν τὸν φιλότιμον, ποτὲ δὲ ψέγομεν, δῆλον ὡς οὐχὶ ἓφ' ἓν τι
σημαινόμενον φέρομεν τὸ ὄνομα, ἀλλὰ πολλαχῶς ἂν ὁ φιλότιμος λέγοιτο.
ὡς καὶ πᾶς ὁ φιλεῖ τι λεγόμενος καὶ ἀπ' αὐτοῦ φιλοτιμοῦτος λεγόμενος.
30 λέγεται γὰρ φιλόπαις καὶ ὁ ὡς δεῖ φιλῶν τὰ τέκνα καὶ ὁ ἀμέτρως ὑπερ-
βάλλων ἐν τῇ περὶ αὐτὰ σπουδῇ, καὶ φιλότιμος δὲ ὁ μὲν ἐπαινούμενος εἴη,

6 αὐτῶν B: ἑαυτῶν a ἀγνοοῦσι B: ἀγνοοῦντες εἰσί a 7 φέρουσιν αὐτῶν a ἐπιχειροῦντες a: ἐπιχειροῦσι B 8 κατάφωροι a 9 ἡ μικροψυχία a: om. B διὸ B: om. a 10 καὶ γὰρ — χαυνότητος (11) excluserim 11 διότι — δυσαποτριπτότερον (13) a: om. B 12 χεῖρον B: χείρων a 14 ταύτης a: ταύτη B συμφυῆ Ba μᾶλλον Ba: τε μᾶλλον a 15 μᾶλλον εἶναι B: om. a 16 rhesis usque ad πρώτοις εἴπομεν (p. 1125b14) a 18 ἀρετὴν εἶναι a ἣν a: ὡς B ἐν τῷ δευτέρῳ] c. 7 p. 1107b24 19 ἡ B: om. a τὴν B: om. a 20 ἐν λήψει καὶ δόσει Aristoteles ἐν (altero loco) B: δ' ἐν a 24 ὅπερ B: ὥσπερ a ἐν τῷ δευτέρῳ] c. 9 p. 1109b16 26 περὶ B: παρὰ a καλοῦ τινὸς a 28 ἀλλὰ B: ἀλλὰ καὶ a
29 ὡς καὶ B: ὥσπερ [illegible] B: [illegible] a

ὁ μᾶλλον τιμῆς ἀντιποιούμενος παρὰ τοὺς πολλούς, ὁ δὲ φε
μᾶλλον ἢ δεῖ τῇ τιμῇ προστετηκὼς καὶ τὸ παρ' ὧν μὴ δ
σπουδάζων καὶ ἐφ' οἷς μὴ δεῖ καὶ ἐφ' ὅσον μὴ δεῖ ἢ ὅτε μὴ δ
δὲ ὁτὲ μὲν τὸν φιλότιμον ἐπαινούμενον, ὁτὲ δὲ τὸν ἀφιλότιμον.
τούτου τὴν αἰτίαν. τῷ γὰρ ἀνώνυμον εἶναι τὴν μέσην ἕξιν,
καὶ ἐν τῷ δευτέρῳ, ἀμφότερα τὰ ἄκρα ταύτης ἀντιποιεῖται.

p. 1125b15 Ἀλλ' ἐπαινοῦντες μὲν ἐπὶ τὸ μᾶλλον.

Μᾶλλον γὰρ [ἢ] ὡς δεῖ ἐφίενται ἢ οἱ πολλοί, οἱ ἐπαίνου
τῶν φιλοτίμων ἢ οἱ πολλοί (ἀπὸ κοινοῦ τὸ φέρομεν). μᾶλλον
τιμῆς ἀντιποιοῦνται ἤπερ οἱ πολλοί. οὐ γὰρ ὡς δεῖ οἱ πολλοὶ
ποιοῦνται, διὸ καὶ ψέγονται, διότι μᾶλλον ἢ δεῖ ταύτῃ τετήκασι
ὧν οὐ δεῖ τιμᾶσθαι καὶ ὅσα ἄλλα. ἀνωνύμου δ' οὔσης τῆς
τῷ ἀνωνύμῳ τοῦ μέσου τὰ ἄκρα τοῦ μέσου διαμφισβητεῖσθαι πρ
ἀρνήσει φύσεως τὸ μέσον ἀρούμεθα, ἢ ἀνάστασιν φύσεως οὐσ
βουλόμεθα. ὑστέον δὲ ὅτι οὔτε ὁ φιλότιμος ὡς μᾶλλον τῶν πρ
τιμὴν μεταδιώκει οὔτε ὁ ἀφιλότιμος ἀποστρέφεται. ἀλλ' οὐδὲ
ψυχὴν ὁμοίως μεταδιώκει τῷ φιλοτίμῳ. οὐ γὰρ τῆς τιμῆς χάριν
ὃ αὐτὸ (δὲ) τὸ καλόν. οὐ βουλομένοις ὁ αὐτοῖς ἢ ἐπὶ τοῖ
πράξεσι σύμμετρος καὶ εὔλογος τιμὴ ἐπακολουθεῖ. ἔστι δὴ καὶ
χάριν καὶ τὸ μέσον ἔστι τε καὶ γίνεται. εἰὴ ἂν καὶ ἐπὶ τούτω
τιμᾶ μᾶλλον ἀπὸ μέσης τῇ μέσῃ διαθέσει τῆς φιλοτιμίας τῷ
εἶναι, πρὸς μηδὲν καλὸν ἐγειρούσῃ τὴν ψυχήν, καὶ τῷ τοὺς πολλοὺ
ἔχειν πρὸς αὐτὴν ἢ τὴν φιλοτιμίαν. πρὸς ἀμφότερα δ' ἀμφότ
καλῶς. αἱ γὰρ μέσαι οὖσαι πρὸς μὲν τόδε συγκρινόμεναι τὴν
ὑποδύονται, πρὸς δὲ τόδε τὴν ἔλλειψιν ὑποκρίνονται, τὸ ἀντικε
ἀντικειμένου γινομένων.

p. 1125b26 Πραότης ὁ ἐστι μὲν μεσότης περὶ ὀργάς.

Ἐπε[ι]δὴ καὶ τῷ ὀνόματι τὴν πραότητα ἀρετὴν καὶ μεσό
περὶ ὀργάς, δῆλον ὡς ἐξ ὧν λέγει, ὅτι μητε πᾶσα ἀρετὴ περ

3 καὶ ἐφ' οἷς μὴ B: ἐφ' οἷς οὐ a 5 τὴν αἰτίαν τούτου a 6 ἐν τ
p. 1100—0 7 thesis inde a ὅλιον ὁ ὅτι (p. 1125b14) — τὸ μέσον (p
8 ἢ (prius) canc. Diels ἢ οἱ B: ἢ γὰρ οἱ a 11 διότι B: ὅτι a τα
αὐτῆς ὀρέγονται a: ταύτῃ προστετήκασι (collato v. 2) Diels 13 ἀνωνύμου
14 γὰρ post ἀρνήσει add. a: om. B 16 οὐδὲ B: οὔτε a 17 ὁμοίω
18 ἐστι a 18 δὲ a: om. B 19 συμμετρος a: συμμετρ
E. ... εὔλογος a δὴ Ba et Arist. codd. K b L 90e: ἤδη N: ἡ
Aret. vulg. 20. 21 ἀφιλοτιμία a: φιλοτιμία B 21 γείρων B: γ

πάθη οἰκεῖα. περὶ [οἰκεία] μὲν γὰρ ἡδονὴν καὶ λύπην κοινῶς πᾶσα, καὶ 55v
ταύτῃ δύο παθῶν μεσότης πᾶσα ἀρετή, οὐ μὴν ὡς περὶ οἰκεῖά τινα δύο
πάθη, ἃ ῥυθμίζει, ὡς ἡ ἀνδρεία περὶ φόβους καὶ θάρρη. ταῦτα γὰρ ἴδια
δύο πάθη περὶ ἃ ἥδε ἡ ἀρετὴ τοῦ μέσου ἐστὶ στοχαστική, ἡδομένη μὲν ἐπὶ
τῇ εὐλόγῳ περὶ αὐτὰ ἐνεργείᾳ καὶ αἱρουμένη ταύτην, ἀχθομένη δὲ ἐπὶ
ταῖς | ἀλόγοις καὶ ἀμέτροις σπουδαῖς ἢ φυγαῖς τῶνδε τῶν παθῶν καὶ 56r
ἀποστρεφομένη αὐτά. ὁμοίως ἡ σωφροσύνη περὶ δύο πάθη· ἡ γὰρ δι'
ἁφῆς ἡδονὴ καὶ λύπη τὰ ὑποκείμενα πάθη ταύτῃ. ἡ δὲ πραότης οὐκέτ'
ἔχει δύο πάθη τὰ ὑποκείμενα, εἴ γε περὶ ὀργήν ἐστι. τῇ δὲ ἐλευθεριότητι
οὐδὲ τὴν ἀρχὴν πάθος τι ἴδιον ὑπέκειτο ἀλλὰ πρᾶξις· δόσις γὰρ καὶ λῆψις
χρημάτων. περὶ πάθη δὲ ἦν τὸ ἥδεσθαι παρὰ τὴν εὔλογον περὶ ταῦτα 5
λῆψιν καὶ δόσιν καὶ ἄχθεσθαι ἐπὶ τῇ ἀλόγῳ δόσει, ὡς εἶπε. μεσότητος
οὖν πᾶσαι περὶ πάθη κοιναί, ἡδονὴν καὶ λύπην, τὰς ἐπὶ ταῖς ἐνεργείαις ταῖς
γινομέναις ἐπὶ ταῖς πράξεσιν. ὃ δὲ εἶπεν ἐν τῷ δευτέρῳ καὶ νῦν λέγει,
τὸ ἀνώνυμον εἶναι τήν τε μέσην ἕξιν τὴν περὶ τὸ πάθος τοῦτο καὶ τὰ
ἄκρα αὐτοῦ. αὐτὸς δέ φησι πραότητα ὀνομάζειν αὐτὴν μᾶλλον πρὸς τὴν
ἔλλειψιν τὴν αὐτῆς ἀποκλίνουσαν, οὖσαν καὶ αὐτὴν ἀνώνυμον. οὐχὶ δὲ
Ἀριστοτέλους τὸ τῆς πραότητος ὄνομα ἢ τὸ τῆς ὀργιλότητος, ὡς ἐν τῷ 10
δευτέρῳ εἴρηται. ἦν γὰρ καὶ πρὸ αὐτοῦ, ὡς Πλάτων φησὶ περὶ τῶν φυλά-
κων ἐν Πολιτείᾳ 'θυμοειδῆ μὲν δὴ χρὴ πάντα ἄνδρα εἶναι πρᾶόν τε
μάλιστα,' ὡς οὐκ ἐχούσης τῆς πραότητος ἐν αὐτῇ τὸ θυμοειδὲς καὶ διεγ-
γερμένον. τὸν γὰρ ἡσύχιον καὶ σώφρονα πρᾶον ἔλεγον, οὐ τὸν ὀργιζόμενον
ἐφ' οἷς ὁ λόγος αἱρεῖ, ἡσυχάζοντα δὲ ἐφ' οἷς καλόν. τὸ μὲν γὰρ πάθος
ἐστὶν ὀργή. εἰπὼν τὸ πάθος ὀργὴν εἶναι καὶ τοῦτο σημεῖον τοῦ τὴν
ὑπερβολὴν ὀργιλότητα ἂν εὐλόγως λέγεσθαι ποιησάμενος, οὐκέτι προσθεὶς 15
τὸ οὐ χάριν εἶπε τὸ μὲν γὰρ πάθος ἐστὶν ὀργή, μέτεισιν ἐπὶ τὸ
λέγειν τίνα τὰ ποιητικὰ τοῦ πάθους τῆς ὀργῆς, καὶ φησὶ πολλὰ καὶ
διαφέροντα.

p. 1126a8 Ἡ δ' ὑπερβολὴ κατὰ πάντα μὲν γίνεται.

Καὶ τὴν ὀργιλότητά ⟨φησιν⟩ ἐφ' ἑτέρων κειμένην· ἐπὶ γὰρ τῆς δυνά- 40
μεως καὶ τῆς πρὸς ὀργὴν ἐπιτηδειότητος καὶ εὐεμπτωσίας ἤδη κειμένην.

---

1 οἰκεία (alterum) B: om. a 2 ὡς περὶ scripsi: ὥσπερ Ba 6 ἀμέτροις καὶ ἀλόγοις a
7 ὁμοίως B: ὁμοίως πάλιν a καὶ αὐτὴ post σωφροσύνη ins. a: om. B 8 ἡδονὴ καὶ
B: ἡδονή τε καὶ a 11 παρὰ a: περὶ B 12 λῆψιν καὶ δόσιν B: δόσιν τε καὶ λῆψιν a
ἄχθεσθαι B: ἄχεσθαι a 13 πάθη κοινὰ ἡδονὴν καὶ λύπην B: πάθη τὰ κοινὰ ἡδονήν
τε καὶ λύπην a τὰς B: τὰ a 14 ὃ B: ὅπερ a 15 τε B: om. a 18 ἀρι-
στοτέλους B: ἀριστοτέλης a post ὀργιλότητος add. ἔθετο a: om B ὡς B: ὡς
καὶ a 18. 19 ἐν τῷ δευτέρῳ] c. 7 p. 1108a7 19 πρὸ B: om. a πλάτων
B: καὶ πλάτων a 20 ἐν Πολιτείᾳ II p. 375 C πάντα χρὴ a 21 ἐν αὐτῇ τῆς
πραότητος a 22 ἡσύχιον B: ἥσυχον a 23 αἱρεῖ a: ἐρεῖ B 28 post διαφέροντα
add. τὰ ποιητικὰ αὐτῆς a: om. B 29 rhesis usque ad ἕξεις εἰρήσθωσαν (p. 1126b10) a
30 φησὶν a: om. B 31 κειμένην B: κειμένα a

ἀλλ' οὐ τῆς λέξεως καὶ κακίας, ἐφ' οὐ αὐτο τέταχεν οὗτος· τοῦ
ὠνόμασεν οὗτος, κατὰ πλεόνας φησι γίνεσθαι, οὐ μὴν πάντα
ὑπερβολῆς τρόπους δύνασθαι τῷ αὐτῷ ὑπάρχειν. μηδὲ γὰρ
εἶναι τὴν ὀργὴν ἐν πᾶσιν ὑπερβάλλοντα τῷ τὸ κακὸν καὶ αὐτο
εἶναι καὶ ἀφόρητον ὁλόκληρον γινόμενον ἐν ἑνί. εἰσὶ γὰρ ὀργιλότη
ὀνόματον καὶ ἐναντίαι, ἃς ἅμα οὐκ οἷόν τε ἐν τῷ αὐτῷ εἶνα
πάντας ὁ ὀργίλος. ὁ μὲν γάρ τινες αὐτῶν ὀργίλοι καὶ ἀκρόχολο
οἱ δὲ χαλεποί. ὀργίλοι μὲν οἱ ταχέως ὀργιζόμενοι καὶ μάλ
παύσασθαι δὲ ταχέως. ὅπερ πάσχουσι τῷ μὴ κατέχειν τὴν
ταχέως αὐτὴν ἀποδιδόναι· διὸ καὶ φανεροί εἰσιν οἱ τοιοῦτοι.
γὰρ εἰσι τοιοῦτοι οἱ ἀκρόχολοι· δεῖξις γὰρ καὶ πρὸς τὸν κα
ὀργίλοι καὶ οὕτως ὀνομάζονται ὡς ἄκροι ὄντες ὀργῆ. πικρο
πολὺ ὀργιζόμενοι καὶ δυσθιάστοι. ὃ πάσχουσι τῷ κατέχειν τὸν
κρυπτειν ἐπὶ πολὺ τὴν ὀργήν, παύονται δὲ ὅταν φανερὰν τὴν
σωσι καὶ ἀποδῶσιν αὐτὴν ὡς ἡ χρεὼ ἀπαιτοῦσα. ἡ γὰρ
παυει τῆς ὀργῆς οὐδεὶς χρόνος ἀπὸ τοῦ ἐμποιῆσαι.
τοῦτο παύονται. τούτου δὲ μὴ γινομένου φανεροῦσι τὸν
γὰρ μὴ φανερὸν ἔχον μηνύοντας οὐδὲ συμπαθεῖν τε αὐτο
ὀργὴν ἐπιχειροῦ μεταπεσεῖν. αὐτοὺς δ' ἐν αὐτοῖς μετὰ χρόν
πεῖραν τὴν ὀργήν. εἶναι δέ φασι τοὺς τοιούτους μάλιστα ἑαυτο
εἶτα δὲ καὶ τῶν φίλων τοῖς μάλιστα συνοῦσι, σκυθρωποὺς καὶ β
ὑπαντιῶντας δὲ αὐτοὶ τοῖς ὀργίλοις ἰδίως καλουμένοις καὶ ἀκρο
ὀργὴν ἔχουσι. διὸ οὐκ οἷόν τε ἅμα τὸν αὐτὸν ἀκρόχολον εἶναι
χαλεπὸν δὲ εἶναι οὐ φησὶν ὃς μὴ δεῖ χαλεπαίνειν καὶ πάν
καὶ πλεῖω χρόνον καὶ μὴ διαλλαττομένοι χωρὶς τιμωρίας
οἱ αὐτοί εἰσιν οἱ χαλεποὶ τοῖς ὀργίλοις (μικρὰ γὰρ ἐκείνοις δι
τὴν ἐπίτασιν) ἢ διαφέρουσιν ἂν οἱ χαλεποὶ τῶν πικρῶν. ὁ μὲν
τοιοῦτος τῷ πολυχρόνιον τὴν ὀργὴν καὶ ἐμμονὴν καὶ κεκρυμ
ὁ δὲ χαλεπὸς πρὸς τούτῳ προσείληφε τὸ τε ἐφ' οἷς μὴ δεῖ
καὶ οἷς μὴ δεῖ καὶ μᾶλλον ἢ δεῖ. ἔτι φανερώτεροι καὶ τιμω
οὗτοι, καὶ ἦν ὁ χαλεπὸς ἔχων ὡς ἐνδέχεται ἀμφοτέρως ὑπερβ
τοῦ ὀξυχόλου καὶ πικροῦ· διὸ καὶ ὠνόμασται οὕτως. τὸ δὲ ἀ
ρίας καὶ κολάσεως, εἰ μὲν οὕτως εἴη γεγραμμένον, ἐκ παρ

1 καὶ B: τὲ. καὶ a ἦν B: ἤν τινα a 3 τῷ αὐτῷ a: τὸ αὐτὸ
ἐσθόντων iterat εἶναι B: om. a 7 αὐτῶν B: om. a 9. 10
11 B:
ὥσπερ a 16 λύπης B: τῆς λύπης a et Arist. 17 τούτῳ scripsi: οὗτ
λ B et Arist.: γὰρ a τὸν θυμὸν B: τὸ τοῦ τιμοῦ βάρος ἐπ' αὐτοῖ
λόντας B: μηνόντας καὶ θυμουμένους a συμπεῖθαι B: συμπείθειν a
B: μάλιστα μὲν a σκυθωποὺς a: σκυθωποὶ B ὄντας a: ὄντες
0 φανεώτεροι καὶ B: φανερώτ
ΑΠΟΥ

λέγωσιν, εἰ δ' ὡς ἔν τισι γράφεται ἄνευ τιμωρίας ἢ κολάσεως, ἀντι- 56ᵛ
διαστέλλοιτ' ἂν ἡ κόλασις τῇ τιμωρίᾳ καὶ εἴη ἂν τιμωρία μὲν ἡ ἄμυνα
ἀνθ' ὧν δοκεῖ πεπονθέναι ὡς τοῦ κατ' ἀξίαν ἀνταποδόσις, κόλασις δὲ
γαλεπότητος προσθήκη τῆς ὀργῆς καὶ κακώσεως τῆς μετὰ τὴν ἄμυναν. 5
ἡ γὰρ τιμωρία πάυει τῆς ὀργῆς· οἷον γάρ τι χρέος ἀνταποδίδοται. καὶ
πρὸς τὸ τυφθῆναι οὐ χαλεπῶς φέροντες οὐδεὶς καὶ δὶς τοῦτο ἢ ὑπερ-
βολὴ κατὰ τὴν ὀργὴν τῇ πράξει ἀντίκειται. εἶδος γάρ ὀργιλότητος ἡ
χαλεπότης, ὡς καὶ τοῦ ἁπλῶς ὀργίλου ὁ χαλεπός. ὃ δὲ ἐν τοῖς πρό-
τερον εἴρηται. εἶπε γὰρ ὅτι περὶ τῶν πρακτῶν τύπῳ τε λέγειν καὶ 10
καθόλου δυνατόν, διορίσαι δὲ λόγῳ περί τινος πότε καὶ πῶς καὶ πόσον καὶ
μέχρι τίνος δεῖ γίνεσθαι, οὐ ῥᾴδιον. 20

p. 1126ᵇ11 Ἐν δὲ ταῖς ὁμιλίαις καὶ τῷ συζῆν.

Εἶπεν ἐν τῷ δευτέρῳ εἶναι τρεῖς μεσότητας, ἐχούσας μέν τινα κοινω-
νίαν, διαφερούσας δὲ ⟨ἀλλήλων⟩ τῷ τὴν μὲν αὐτῶν περὶ τὸ ἀληθὲς τὸ ἐν
αὐτοῖς εἶναι, ἣν ἀλήθειαν εἶπε καὶ ἀληθῆ τὸν ἔχοντα αὐτήν, τὰς δὲ δύο 30
περὶ τὸ ἡδύ, ὧν τὴν μὲν περὶ τὸ ἐν παιδιᾷ εὐτραπελίαν, τὴν δὲ περὶ τὸ
ἐν πᾶσι τοῖς κατὰ βίον φιλίαν. περὶ ταύτης τῆς ἕξεως νῦν λέγει. ἔστι γὰρ
αὕτη ἡ περὶ λόγων καὶ πραγμάτων κοινωνία, διαιρεῖ δὲ ταύτην τῷ τοὺς
μέν τινας τὰ πρὸς ἡδονὴν καὶ χάριν τῶν κοινωνούντων αὐτοῖς ἐν τούτοις
20 πειρᾶσθαι ποιεῖν, συγκατατιθεμένους καὶ αἰνοῦντας καὶ μὴ λυπεῖν θέλοντας 40
καὶ πρὸς μηδὲν ἀντιτείνοντας, οὓς ἀρέσκους καλεῖ ⟨ἀπὸ τοῦ πᾶσιν ἀρέσκειν
σπουδάζειν ὠνομασμένους⟩, ὑπερβάλλοντας κατὰ τὸ ἡδύ, τοὺς δὲ ἐξ
ἐναντίας τούτοις πρὸς πᾶν ἀντιβαίνοντας καὶ μηδένα λόγον τοῦ λυπεῖν
ποιουμένους, οὓς δυσκόλους καὶ δυσερίδας καλεῖ ἐν ψεκτῶν ὄντας ἕξει.
25 εἶναι δέ φησι καὶ μέσην ἕξιν ⟨καὶ ἐπαινετήν⟩, ἀποδεχομένην ἃ δεῖ καὶ μὴ
ἀποδεχομένην ἃ μὴ δεῖ, ⟨ἀλλὰ δυσχεραίνουσαν πρὸς αὐτά⟩ οὖσαν ⟨καὶ
αὐτὴν⟩ ἀνώνυμον· τῷ δὲ ἐοικέναι φιλίαν καλεῖ, διαφέρειν δὲ τῆς κυρίως
φιλίας ⟨τήνδε τὴν ἕξιν⟩, ὅτι ἡ μὲν κυρίως φιλία μετὰ πάθους ἐστὶ καὶ 45

1 ὡς B: ὥσπερ a 3 post ἀξίαν add. οὖσα a: om. B 4 καὶ B: τὲ καὶ a 7 post
ὀργιλότητος add. ἐστὶν a: om. B 8 ὃ δὲ Ba: ὃ δὲ καὶ Arist. 9 post εἴρηται adiungit
Aristotelia καὶ ἐκ τῶν λεγομένων δῆλον a: om. B post γὰρ addit ἐν τοῖς ἔμπροσθεν a:
om. B 10 λόγῳ B: om. a post τινος add. τῶν καθ' ἕκαστα τῷ λόγῳ a: om. B
11 δεῖ B: δέοι a οὐ ῥᾴδιον B: τοῦτο μηδαμῶς ῥᾴδιον εἶναι a 12 rhesis usque ad ἡ
συνηδύνειν (p. 1126ᵇ30) a 13 ἐν τῷ δευτέρῳ] c. 7 p. 1108ª9 τρεῖς B: τινὰς τρεῖς a
14 διαφερούσας a: διαφέρουσι B ἀλλήλων a: om. B τῷ B: τῷ τε a 15 ἣν B: ἣν
καὶ a εἶπε B: ὠνόμασεν a τὰς B: ἃς a 16 περὶ τὸ (prius) B: περὶ τῷ a
post εὐτραπελίαν add. καλεῖσθαι a: om. B 17 βίον B: τὸν βίον a λέγει B: τὸν λόγον
ποιεῖται a 20 αἰνοῦντας καὶ μὴ λύπειν B: ἐννοοῦντας, καὶ ἀλύπους εἶναι a 21 ἀπὸ
τοῦ—ὠνομασμένους (22) a: om. B 23 πᾶν B: πάντα a 23. 24 μηδένα—ποιου-
μένους a: λυποῦντας B 24 καλεῖ B: ὀνομάζει a 25 καὶ ἐπαινετήν a: om. B
ante ἃ δεῖ add. τὲ a: om. B 26 ἀλλὰ—αὐτά a: om. B 26. 27 καὶ αὐτὴν a:
om. B 27 καλεῖ B: ὀνομάζει a 28 τήνδε τὴν ἕξιν a: om. B

τοῦ στέργειν τούτους οἷς δεῖ καὶ κοινωνεῖν. ἡ δὲ τοιαύτη
πάθους καὶ τοῦ στέργειν τούτους οἷς ὁμιλεῖ ὃ ἀποδέχεται
ἄξια ἡγεῖται καὶ μέμφεται τοῖς μὴ τοιούτοις. διὸ καὶ πρὸς πά
ὁμοίως γνωρίμους καὶ ἀγνώστους. οὐχ οἷόν τε δὲ πᾶσι προσ
φιλικῶς ἐφ' ἑκάστῳ τὸ εἶλογον (καὶ ἁρμόζον) ποιοῦσαν· ἄλλα
τοῖς οἰκείοις καὶ συνήθεσιν, ἄλλα δὲ τοῖς (ἀλλοτρίοις καὶ) ἀθνε
μὲν νέοις, ἄλλα δὲ πρεσβύταις, ἄλλα ἀγροίκοις καὶ ἄλλα ἀστείοις
καὶ ὁμοτρόποις· ἐπεὶ δὲ καὶ τὰ ἐπὶ τούτοις λεγόμενα, τὸ
προσκαθῆκον, ἤτοι τὸ φιλεῖν ὁ τῷ φιλεῖν ἀνήκοντα, ποῖά ἐ
τοῦ ἐπιεικοῦς.

Καὶ προαιρήσεται λυπεῖν τῷ ἐναντιοῦσθαι ἐν οἷς δεῖ, κ
φέρῃ τῷ ᾧ ἐναντιοῦται ὁ τὴν ἕξιν ἔχων· τοῦ καλοῦ χάριν
μενος αὐτῷ· καὶ ταύτην μὴ μικρὰν ἢ βλαβήν, μεγάλην
ἀπὸ κοινοῦ δὲ τὸ προαιρήσεται λυπεῖν. ἡ δ' ἐναντίωσι
λυπεῖν. ἡ ἐναντίωσις ἡ πρὸς ὃν συνηδύνειν δυσχεραίνει ὁ κατὰ
ἔχων τὴν ἕξιν ἐπαινοῦν, τῷ φέρειν μεγάλην ἀσχημοσύνην ἢ βλαβ
δυσχεραίνει· τοιοῦτοι δὲ ἐν τοῖς οὐκ ὀρθῶς γινομένοις. διαφερ
ὁμιλήσει. ἐὰν δυνατόν. καὶ καθ' αὐτὸ μὲν αἱρούμενος
δύνειν. λυπεῖν δὲ εὐλαβούμενος. ἁπλῶς μέν φησι τὸν ἔ
μέσην ἕξιν τὸ συνηδύνειν καθ' αὐτὸ αἱρεῖσθαι, πρὸς δὲ τὰ σ
ἁρμοζόμενον, καὶ λυπήσειν ποτὲ τοῦ καλοῦ χάριν. εἰ μὴ τοιαῦτα ἄ
ἢ τὸ λεγόμενον. καὶ τοῦ συμφέροντος λόγου ἢ ποιῶν, καὶ ἡνίκ
ὅταν οὕτως λυπήσειν φησὶν αὐτόν. ὃν μέντοι τὸ παρὸν λυπῆν
χρόνῳ εὐποιΐᾳ αὐτὸν ἐπεῖδεν. ἐπιστρέψει ὑποτύπωσιν τοῦ
τοῦ νόμου ἢ ἐπὶ ἄκρον ἢ τοῦτο καὶ ἔδωκε ἢ ὤφλ. λ
τοῦ ἁρμόττοντος, ἀπὸ κοινοῦ τὸ καθ' αὐτό. τοῖς δὲ ἀπαίδ
ὃν ἡ μείζων, συνεπιτίθεται. τὸ ἀπαιδεύτοις εἶναι κακὸν ἐ
λυπῆσαι τὸν οὐκ ἐναντιούμενον φῆσι τοῦ μείζονος κακοῦ τοῦ ἀπο
ἢ φῆσι τοῦ μὴ μείζονος ἀγαθοῦ στερῆσαι. ὁ δὲ πάσι δυσχ

1 καὶ οἷς συνεστι τε κοινωνειν a ὁ ἡ
καὶ B: τὲ καὶ a δὲ B: δὴ a
6 αλλοτριοις τε και αι: om. B 8 καὶ ἄλλα μεν ει και αλλα αργουσι a
10 post ἐπιθυμητικοῦ rhesis Ari
12 ω αι: ἐν ᾧ B 13 μὴ αι
15 συνηδύνειν αι: συνη ια
17 τουτέστιν B: om. a post
τοὺς ἐν ἀσωματοις, ανει του a
πῶς δὲ B: καὶ μὴ λυπεῖν. ὁ μὴν
γινόμενα Ba: an γινόμενα? 2
Aristotelia ὁμοίως δὲ καὶ κατὰ τας
αὐτό B: ὁμονοεῖ καθ' αὐτό. απο
28 ante ενα
τε κακον εἴτε ἀγαθὸν a

ὁ τοῖς ὑπὸ τῶν κωμῳδῶν ⟨παραγομένοις⟩ ὅμοιος. ⟨ἀληθής τις πᾶσιν⟩, ὃν 57r
καὶ δύσκολόν φασιν οὗτοι.

Περὶ τὰ αὐτὰ δὲ σχεδόν ἐστι καὶ ἡ τῆς ἀναλγησίας μεσότης, ἤτοι περὶ τοὺς λόγους καὶ τὰς ἐν ὁμιλίαις πράξεις καὶ τὸ τοῖς ὁμοίοις
5 τὸ δὲ σχεδόν, ὅτι μὴ πάντῃ. ἡ μὲν γὰρ προειρημένη περὶ τὸ ἡδὺ ἦν 35
τὸ ἐν λόγοις καὶ πράξεσιν, ἡ δὲ νῦν λεγομένη περὶ τὸ ἀληθές. οὐ χεῖρον δὲ καὶ τὰς τοιαύτας ἐπελθεῖν. τὸ περὶ πασῶν λέγειν τῶν ἕξεων σαφῶς εἶπε τὴν αἰτίαν τοῦ τε μᾶλλον εἰδέναι τὰς περὶ τὸ ἦθος γινομένας καὶ συνιστωμένας ἕξεις καὶ τοῦ μᾶλλον πιστεύειν ὅτι πάσαν ἡ ἦθος
10 ἀρετὴ μεσότης ἐστίν. ὁμοίως ἐν λόγοις καὶ πράξεσι καὶ τῷ προσ- 10
ποιήματι. ἐπεὶ τὸ ψεῦδος πολλαχῶς, ἔδειξε διὰ τούτου τὸ πῶς ψευδομένων καὶ πῶς ἐστι κἂν ταῖς πράξεσι καὶ τοῖς λόγοις τὸ ψεύδεσθαι, ἤτοι τῷ προσποιήματι. τὸ γὰρ μὴ ὑπάρχειν τινὶ ταῦτα, τοῦτο τὸ ἐν πράξει ψεῦδος. τὸν μὲν οὖν ἀλαζόνα καὶ ὑπερβάλλοντα ψεύδεσθαι ἐν τῷ προ-
15 σποιεῖσθαι τὰ ἔνδοξα καὶ μείζω τῶν ὑπαρχόντων, τὸν δὲ ἐλλείποντα, τὸν εἴρωνα ἀναπαλιν τῷ ἀρνεῖσθαι καὶ τὰ ὑπάρχοντα ἐλάττω. ὁ δὲ μέσος αὐθέκαστος. τὸ αὐθέκαστον ⟨οὕτω ἐπί⟩ τοῦ ἀληθευτικοῦ καὶ ἀληθοῦς ὄνομα ἔθηκε. δηλωτικὸν ὂν τοῦ αὐτὸ ἕκαστον οἷον ἐστὶ λέγειν τε καὶ δεικνύναι. τοιοῦτος γὰρ ὁ ἀληθής, οὐ προσποιητικὸς οὔτε ἐν λόγοις οὔτε 15
20 ἐν τῷ βίῳ, ἀλλ' αὐτῷ τῷ ἀληθεῖ ἀρεσκόμενος.

p. 1127ª26 Ἔστι δὲ τούτων ἕκαστα καὶ ἕνεκά τινος ποιεῖν καὶ μηθενός. |

Ταῦτα περὶ τῶν ἀληθευόντων καὶ τῶν προσποιουμένων καὶ ψευδομένων 57
λέγει. καὶ γὰρ καὶ ἀληθεύειν καὶ ψεύδεσθαι γίνεται ἕνεκά τινος καὶ διὰ
25 τὴν ἕξιν ἣν ἔχει τις. δύναται γάρ τις καὶ μὴ ἀληθευτικὸς τὴν ἕξιν ἀλη- 5
θεῦσαι διά τι, ὡς οἱ διὰ συνήθκας καὶ ζημίας ἀληθεύοντες καὶ ἐμμένοντες

1 restituit Diels: ὁ δὲ πᾶσι δυσχεραίνων ὁ τῆς ὑπὸ τῶν κωμῳδῶν ομ. insequente spatio duarum litterarum, ὃν καὶ κτλ. B: ὁ ὥσπερ ὑπὸ τῶν κωμῳδοποιῶν παραγόμενος ὅμοιος ἀληθής τις πᾶσιν ὃν καὶ κτλ. a: ὥσπερ ὁ ὑπὸ τῶν κωμῳδοποιῶν παραγόμενος Ὅμοιος κτλ. Usener Mus. Rhen. XXVIII, 405 2 post φασὶν οὗτοι sequuntur Aristotelia Περὶ τὰ αὐτὰ—οὔτε ἐλάττω (p. 1127ª13—26) a 3 ἀλαζονίας a 4 ἤτοι B: τουτέστι a τὰς ἐν ὁμιλίαις πράξεις B: τοις πράξεσι τοις ἐν τοις ομιλοις a τὸ ἡδὺ B: τοῦ ἡδέος a 6 λόγοις καὶ B: λόγοις τὲ καὶ a 7 τὸ Diels: τοῦ Ba λέγειν τῶν ἕξεων scripsi: λεγόντων ἕξεων B: τῶν ἕξεων τὸν λόγον ποιεῖσθαι a [illegible] B: τοῦτο γ[illegible] B: τοῦτο γ[illegible] γινομένας καὶ B: γινομένας τὲ καὶ a 11 πολλαχῶς a: πολλαχοῦ B τούτου τὸ B: τούτων a 12 καὶ τοῖς B: κἂν τοῖς a ἤτοι B: ὅτι a 13 πράξει B: ταῖς πράξεσι a 15 μείζω B: τὰ μείζω a 15. 16 τὸν εἴρωνα B: ὁ εἴρωνα λέγει a 17 post αὐθέκαστος adiungit τίς ὢν a: om. B οὕτω ἐπί a: lacuna B καὶ B: τε καὶ a post ἀληθοῦς addit ὡς αὐτὸς ὀνομάζει om. B 18 ἔθηκε B: [illegible]θηκε a οἷον B: ὅποιον a 19 τοιοῦτος a: τοιοῦτον B 20 τῷ βίῳ B: [illegible] αὐτῷ a: ἐν αὐτῷ B 21 rhesis usque ad ὑποβολὰς εἶναι (p. 1127ᵇ9) a [illegible] τῶν B: περί τε τῶν a καὶ τῶν B: καὶ περὶ τῶν a καὶ ψευδομένων B: τὲ, καὶ ψευδομένων a 24 γίνεται a: γίνεσθαι B

τῇ ὁμολογίᾳ τῶν συνθηκῶν, οἱ δικαιοσύνης μᾶλλον ἔχονται· ὁμοίως
μὴ ψευδῆς ψεύσασθαι. ἁπλῶς μὲν γὰρ ἕκαστος ἀνάγκη τὸν ἐστὶ
καὶ λέγει καὶ ποιεῖ, διά τι δὲ παραβαίνουσι τὰς οἰκείας ἐνεργ
ψεύδονται καὶ ἀληθεύουσιν, ὡς εἴρηται, ἀλλὰ καὶ αὐτὸς ἐρεῖ), ὁ
τι προκείμενον. ὥσπερ οἱ διὰ τὸ δίκαιον ἀληθεύοντες ἢ ψευδό
ἀδικήσωσιν, οἱ δὲ διὰ τὴν ἕξιν ἣν ἔχουσιν. περὶ τῶν οὕτως ἀλη
καὶ ψευδομένων ὁ λόγος αὐτῷ καὶ τῶν τοιούτων ἕξεων, αἳ οὐ δι
ποιοῦσιν. ἐκεῖναι γὰρ καὶ ἄλλαι τινὲς ἀρεταὶ ⟨καὶ κακίαι⟩. τῶν
αὐτὸ ἀληθῶν καὶ ψευδῶν καὶ οὐ διά τι τὸ μὲν ἀληθὲς καλὸ
10 ἐπαινετόν, τὸ δὲ ψεῦδος ψεκτόν ⟨τε καὶ ψευκτόν. καὶ⟩ αὐτὰ γ
ζώσης τὸ ἀληθεύειν καὶ ψεύδεσθαι, τὸ μὲν ἐπαινετόν ἐστι, τὸ δ
διὸ καὶ ὁ μὲν ἀληθευτικὸς καὶ τοιαύτην ἔχων ἕξιν μέσος ὢν
ἑκάτερα ψευδομένων ἐπαινετὸς ἂν εἴη. ἀλλ' ἐν οἷς γράφονας
διαφέροντος ἀλλὰ διαφόρου ὄντος, ὡς μὴ διὰ ⟨τὴν τοῦδε τυ
15 γίαν καὶ συνθήκην δοκεῖν τὸ τοιοῦτον ποιεῖν, ἀλλὰ καὶ' αὐτό
εὐλαβούμενος τῷ τοιοῦτος εἶναι, λέγω δὴ τῷ ἀληθευτικός. κα
μὴ διαφέρει. διὰ τῆς προσθήκης ταύτης ἔδειξε τὸν τοιοῦτον
ὁ γὰρ καὶ ἐν οἷς οὐδὲν διαφέρει ἀληθεύων ἔτι μᾶλλον ἀληθεύ
διαφέρει τι, οἷον συνθήκαις ⟨καὶ⟩ συναλλάγμασιν, ἔτι μᾶλλον ὅπ
20 τὸ ψεῦδος φυλάξεται αὐτό, ὃς καὶ ἁπλῶς αὐτὸ φυλάξεται αἰσχ
ψεῦδος ἐν τῇ τῆς ἀληθείας παραβάσει, ὃ ἐν ταῖς συνθήκαι
ἔστι γάρ τινα καὶ ψευσάμενον μὴ αἰσχρὸν φανῆναι, εἰ διὰ σωτη
ῥύσαιτο. λέγει δὲ τὸν τοιοῦτον ἐπαινετὸν ἐπὶ τὸ ἔλαττον ⟨ὂν
ψεύδων ἀπλῶνων ἐπὶ τὸ ἔλαττον τοῦ ἀληθεύειν· τοῦτο γὰρ ἐμφ
25 διὰ ⟨γὰρ⟩ τὸ τὰς ὑπερβολὰς ἐπαχθεῖς εἶναι πόρρωθεν αὐτὰς φ
διὸ καὶ τῶν περὶ αὐτὸν μεγάλων οὐ πάνυ ἐστὶν ἐγγιστικός.

p. 1127b9 Ὁ δὲ μείζω τῶν ὑπαρχόντων προσποιούμενο

Λέγει μὲν περὶ τοῦ ἀλαζόνος ὅτι ἐστὶ ψεύστης τῷ τὰ μ
ὑπαρχόντων αὐτῷ προσποιεῖσθαι. ὥσπερ δὲ ἦν ἀληθεύων ὁ
ὥσπερ τὰ συναλλάγματα καὶ τὰς ὁμολογίας (ὑπὲρ γὰρ τοῦ μὴ

1 τῇ ὁμολογίᾳ τῶν συνθηκῶν a: καὶ ὁμολογοῦντας τὰς συνθήκας B οἱ
post ἔχονται add. οὐ τοῦ τρόπου a: om. B 2 ψευδὴς B: ψευδὲς a
B: ᾗδη δὲ διάτι a 5 προκείμενον a: προσκείμενον B 6 post ἐργου
ποιοῦσι a: om. B 7 καὶ B: τε. καὶ B 8 καὶ ἄλλαι B: αλλαι a: a
9 κακίαι a: om. B 10 ψεῦδος B (et Aristoteles): ψευσες a τε
om. B 12 μέσος scripsi: μέσον Ba 14 τὴν a: om. B
τοῦτο a 19 καὶ a: om. B 20 ὃς—φυλάξεται B: om. a
a: ψεύδεται B τὸν B: τὸ a διὰ τὸ—ἔλαττον (21) a: om. B 25
9 ἐπαχθεῖς addit καὶ φευκτὰς a: om. B φυλάσσεται B: φυλάξεται

ὁ δὲ ἁπλῶς διὰ τὸ μὴ ἔχειν τοιαύτην (ὃς ἦν κυρίως ἀληθευτικὸς καὶ 57
ἀληθής), οὕτω καὶ τῶν ψευδομένων καὶ προσποιουμένων μείζω τῶν ὑπαρχόντων οἱ μὲν τινὸς ἕνεκεν τοῦτο ποιοῦσιν, οἱ δὲ οὐδενός. οἱ μὲν οὖν μηδενὸς ἕνεκα ψευδόμενοι καὶ τοιαύτην ἕξιν ἔχοντες ὡς (αὐτῷ) τῷ ψευδεῖσθαι χαίρειν, τοῦτο μὲν οὐ κυρίως ἀλαζόνες, μᾶλλον δὲ) ἠλίθιοι καὶ μάταιοι ἢ κακοί (οὐ γὰρ μετ' ἐπιβουλῆς τοῦτο ποιοῦσιν), οἱ δὲ ἕνεκά 5
τοῦ ψευδόμενοι χείρους μὲν τούτων. διαφορὰ δέ τίς ἐστι καὶ ἐν τούτοις. ὁ μὲν γὰρ διὰ δόξαν τοῦτο ποιεῖ, ὁ δὲ διὰ κέρδος· ὁ μὲν οὖν διὰ δόξαν τινὰ ψευδόμενος οὐ μᾶλλον ψεκτός (ἐν ἀλαζονείᾳ γὰρ οὗτος), ὁ δὲ ἀργυρίου
10 χάριν ἢ ὅσα ἀργύριον πορίζει, ἀσχημονέστερος καὶ κάκιστος τῶν ἀλαζονευομένων. πάντες γὰρ ἀλαζόνες καὶ κυρίως ὁ πρῶτος, ὁ μέντοι τελευταῖος ἔχει ἄν τι καὶ ἀδικίας. οὐκ ἐν τῇ δυνάμει δ' ἐστὶν ὁ ἀλαζών, ἀλλ. ἐν τῇ προαιρέσει.

p. 1127b15 Κατὰ τὴν ἕξιν γὰρ καὶ τῷ τοιοῦτος εἶναι ἀλαζὼν ἐστίν. 40

15 Τουτέστιν οὐκ ἐν τῷ δύνασθαι προσποιήσασθαι τὸ μεῖζον καὶ μὴ 50
προσόντα αὐτῷ (τοῦτο γὰρ παντός) ἀλλὰ τῷ ἕξιν τοιαύτην ἔχειν καὶ τοιοῦτος εἶναι ὡς προαιρεῖσθαι ταῦτα (καὶ τούτοις ἀρέσκεσθαι). οὐ γὰρ αἱ δυνάμεις αἴτιαι τοῦ τοίους ἢ τοιους εἶναι ἀλλ' αἱ προαιρέσεις, ὅπου γε δυνάμεις αὐτοί εἰσι τῶν ἀντικειμένων, οὐ δύναται δὲ ἅμα τὰ ἀντικείμενα
20 εἶναι. εἰπὼν δὲ τὸν ἀλαζόνα ἐν τῇ προαιρέσει μᾶλλον εἶναι, διορίζων τοῦτο ἔδειξε μεταλαβὼν τὸν ἀλαζόνα εἰς τὸν ψεύστην. ψεύστης γὰρ οὐχ ὁ δυνάμενος ψεύδεσθαι ἀλλ. ὁ προαιρούμενος καὶ ψευδόμενος καὶ τῷ 55
χαίρειν αὐτῷ τῷ ψεύδεσθαι. εἰσὶ γάρ τινες τοιοῦτοι ἢ δόξης ἢ κέρδους θήρᾳ, δόξης μὲν οἱ ἐπὶ τοῖς ἐκ φύσεως ἢ τύχης προσυπάρχουσι προσποιού-
25 μενοι, οἷον καλοὶ ἢ ἰσχυροὶ ἢ πλούσιοι ἢ τι τοιοῦτον, οἱ δὲ διὰ κέρδος ἀναζωννύμενοι ταῦτα προσποιοῦνται ἔχειν οἷς ἥδεται ὁ πέλας. διὰ γὰρ ταῦτα ἀργύριά τε ἐκεῖνοι πράττονται καὶ αὐτοὶ κομῶνται. καὶ τούτων ὁ αὐτὸς τοῦτα προσποιοῦνται. ὁ ῥᾳδίως γοητεύσας δύναται μὴ ὄντα· ἡ δὲ μαντικὴ [δὲ] ταῦτα καὶ ἰατρικὴ καὶ σοφία. διὸ καὶ οἱ πλεῖστοι τῶν διὰ
30 κέρδος ἀλαζονευομένων ταῦτα προσποιοῦνται. λανθάνουσι γὰρ οἱ ταῦτα ἐπαγγελλόμενοι τῷ μὴ φανερὸν τὸν ἔλεγχον εἶναι. ὁ μὲν γὰρ κάλλος ἢ ἰσχὺν προσποιούμενος εὐέλεγκτος. ὁ δὲ τῶν προειρημένων τι ῥᾴδιως

1 διὰ τὸ ἕξιν B: ὁ διὰ τὴν ἕξιν a καὶ B: τε καὶ a 3 μὲν οὖν B: δὲ a 4 τοιαύτην a: ταύτην B αὐτῷ a: om. B 5 καὶ κυρίως– μᾶλλον δὲ a nisi quod δὲ scripsi pro μὲν: lac. B 7 τοῦ B: τινος a 9 ψεκτός a: ψεκτέον B 10 καὶ κάκιστος B: τε καὶ κάκιστος a 14 τοιοῦτος B: τοιόσδε a et Arist. vulg.: ποιὸς Arist. codd. HaMbOb rhesis usque ad χαίρειν φαίνονται (p. 1127b31) a 16 ἔχειν τοιαύτην a 17 καὶ τούτοις ἀρέσκεσθαι a: om. B 19 αὐταὶ B: αἱ τοιαῦται a 22 ψεύδεσθαι B: ψεύσασθαι a προαιρούμενος καὶ B: προαιρούμενος τε καὶ a 25 τοιοῦτον B: τῶν τοιούτων a 27 ταῦτα B: τὰ τοιαῦτα a ἀργύρια B: ἀργύριόν a 28 μὴ ὄντα· ἡ δὲ scripsi: μὴ ὂν τὸ ἡδὺ Ba 29 δὲ Ba: cancellavi ταῦτα B: τὰ τοιαῦτα a: τοιαύτη Diels 31 post ἔλεγχον add. αὐτὸν B: om. a 32 τι post προειρημένων B: post ὁ δὲ a

ἀνάλωτος. ὁ δὲ ἀλαζὼν οὐ τοιοῦτον ἐπαγγελλόμενος. καὶ γὰρ τ
τούτου τὰ χρήσιμα οὐδεὶς οὕτως ἀπὸ ὑπερ αὐτῶν ἀγνοεῖ
μισοῦσιν γὰρ οἱ πολλοὶ, καὶ ἡ ἰατρικὴ πρὸς πολλὰ χρήσιμ
πάντα προσδέχεται διὰ τὸ θαυμασία εἶναι. ἔστι γὰρ ἐν αὐ
εἰρημένα, τουτέστι δόξα ἀπόλαυσις τὸ καθεῖν. οἱ δὲ εἴρωνες
ἔλαττον. διὰ τοῦτο οἱ εἴρωνες χαριέστεροι, ὅτι τὰ ἐνδόξα κ
μᾶλλον ἀρέσκουσι. βαυκαλῶνται γὰρ ἐπαινούμενοι βαυκαλῶνται
ὡς ἐν ἀνὴ ἑνὸς εἰπεῖν τοὺς σεμνοπανούργους. βαῦκος γὰρ ὁ
ὡς ὁ ποιητὴς Ἀραρὼς ἐν Καμπυλίωνι "βαυκὰ μαλακὰ τερπνὰ τ
μετήνεγκται δὲ τὸ ὄνομα ἀπὸ τῶν βαυκίδων, ὅ ἐστιν εἶδος ὀπ
Ἰωνιάδων, οἷς αἱ Ἰάδες χρῶνται. οὗ καὶ Ἀριστοφάνης ἐν Θεσμοφορ
μέμνηται. Κλείταρχος μέντοι ὁ γλωσσογράφος τὸ τοιοῦτον κοσμίων
ἡ τῶν Λακώνων εσθὴς· εὐτελὴς αὕτη ἱστορεῖται Ξενοφῶντι.
καὶ σκώπτουσιν αὐτοὺς οἱ κωμῳδοί, ὡς Πλάτων ἐν Πρέσβεσι
οἷμαι μεταπεπτευσας αὐτον διακλμακισας τε, τον υπηνῶπον σπαρ
ρυποκόνδυλον ελκετρίβωνα· τοῦτο γὰρ Λακωνικὸν ἐσθῆμα. σχεδὸν
καὶ καρτερίαν ἐπιδεικνύμενοι. διὰ δὲ τὴν τοιαύτην ἐπίνοιαν πρ
δόκει καὶ ἀλαζονεία τις εἶναι. καὶ παρὰ τὸ μὴ κίνδυνοποιεῖ
τὸ εμπορῶν ελαφε. μεταφορὰν φησὶν ἐπομένως.

p. 1127b31 Ἀντικεῖσθαι δ' ὁ ἀλαζὼν φαίνεται τῷ ἀληθ

ἐν ἀνάγκῃ μᾶλλον ἀντικεῖσθαι τῷ ἀληθευτικῷ. χεῖρον γὰρ
κοτέρων τῶν ὁ μὴ ὢν τις καὶ μείζω ἢ ἃ ἔχει τις προσ
ἔχειν ἑαυτὸν τοῦ ἃ ἔχει ἐλαττοῦν ἢ ἀρνεῖσθαι μὴ ἔχειν διὰ τὸ
ἀναγκαίως. τὸ μὲν γὰρ μετρίως, τὸ δὲ ὑπερβαλλόντως. ὥστε
μᾶλλον ἀντίκειται ἐν τῷ βίῳ. περὶ τὸ ἦθος τὸ ἐν λόγοις καὶ πραξ
εἶναι τρεῖς διαφορὰς καὶ τούτων τὴν μὲν εἰπὼν ἀλήθειαν, τὴν δ
νῦν περὶ τῆς λοιπῆς λέγει, ἣν εὐτραπελίαν καλεῖ. καὶ διὰ τί οὔ
ὀνομάζει τὴν αἰτίαν λέγει. ἐκεῖναι μὲν οὖν αἱ δύο, ἡ μὲν φιλία π

2 ante ἀγοήτων ins. ἴδεσθαι καὶ a: om. B 4 σπουδάζεται B: om. a
8 Ἀραρώς] Com. Att. Frag. II 217 Kock Καμπυ
9 Θεσμοφοριαζούσαις] I 182 Kock 13 Ξενοφῶντι] de rep. Laced. c. 2, 4
κωδοὶ B: κωμῳδοποιοὶ a Πλάτων ἐν Πρέσβεσι] I 634 Kock πρέσ
B: χαίρουσι a 15 μεταπεπτεύσας a: καταπυκτεύσας Kock ὁ
17 ἐπιδεικνύμενοι B: ἐπαγγελλόμενοι a 20 rhesi
(p. 1128a4) 21 χεῖρον B: χείρων a 21. 22
ττερος a 22 μεῖζω B: μείζων a ἢ a scripsi: ἢ

καὶ πράξεις τὰς κατὰ τὸν βίον τὸ χρειῶδες δεικνύουσιν, ἡ δὲ ἀλήθεια τὸ 58r
περὶ λόγους. αὕτη δὲ τὸ ἐν παιδιᾷ ἡδὺ αἱρεῖται. δεῖ γὰρ τῷ σπουδαίῳ
καὶ ἀναπαύσεως, ὡς ἂν μὴ διὰ παντὸς κάμνουσα αὐτῷ ἡ διάνοια ἄχρηστος
γένηται τῷ ἀεὶ ἐντετάσθαι κατὰ τὰ τόξα, ἃ μὴ ἀνέμενα τοῦ οἰκείου παρα-
λύεται τόνου. ὅπως δὲ γένοιτο τὸ ἐν παιδιᾷ ἡδὺ καὶ ἐλευθέριον ἑκατέρας
χωριζόμενον ἀμετρίας, νῦν διδάσκει.

p. 1128a4 Οἱ μὲν οὖν τῷ γελοίῳ ὑπερβάλλοντες.

Βωμολόχοι λέγεται τὰ τῶν ὀρνέων λίχνα καὶ ἀδηφάγα, ἃ χάριν 58v
τροφῆς λοχῶσιν ⟨ἐπὶ⟩ τοῖς βωμοῖς τὰ καταλειφθέντα τῶν θυσιῶν λιχμώμενα.
τοιοῦτοι καὶ οἱ τὸ σκώπτειν μεταδιώκοντες ὑπερβαλλόντως. ὡς γὰρ ἐκείνοις
οὐδὲν ἔργον ἢ περισκοπεῖν τοὺς βωμούς, ἀφ' ὧν εὐπορήσει τροφῆς, οὕτω
καὶ αὐτοῖς ἐπιμελὲς μηδὲν τῶν ἀσχημόνων ἀπέχεσθαι, εἰ μόνον κινοῖεν
γέλωτα. οἱ δὲ ἐμμελῶς παίζοντες· τὸ μέσον καὶ μέτριον ἐνδείκνυται.
ἐκ τῶν κινήσεων κρίνεται, εὔρυθμα δηλονότι ἢ ἄρρυθμα ⟨καὶ⟩ ὑγιεινὰ
ἢ νοσερὰ καὶ ἀσθενῆ ἢ εὔρωστα. οὕτω καὶ τὰ ἤθη, δηλονότι ἀπὸ
τῶν κινήσεων τῆς ψυχῆς. ἐπιπολάζοντος δὲ τοῦ γελοίου, διὰ τὴν
τῶν πολλῶν σπουδήν. φιλογέλωτες γὰρ ὡς ἐπίπαν οἱ ἄνθρωποι καὶ ⟨τῇ
παιδιᾷ μᾶλλον προσανακείμενοι⟩. ἐκ τῶν εἰρημένων δῆλον, διότι οἱ μὲν
τοῦ μέσου στοχάζονται, οὗτοι δὲ καθ' ὑπερβολὴν αὐτῷ χρῶνται. τῇ δὲ
μέσῃ ἕξει οἰκεῖον ἡ ἐπιδεξιότης. δεῖ γὰρ ἐπιδεξίως ἔχειν πρὸς τὸ
ἀκοῦσαί τε καὶ ποιῆσαί τι. διαφέρει δὲ τῆς τοῦ ἀνδραποδώδους, ἤτοι
ἄπρεπῶς· ἤτοι ἀνδραποδώδους, ἢ τοῖς ἐλευθέροις ἀντίκειται. ἔστιν
ἄρα ἡ ἐλευθερίοτης ἢ τῇ ἀνδραποδώδει ἀντίκειται. ἢ τῷ μὴ λυπεῖν
τὸν ἀκούοντα. οὐ ταὐτὸν τὸ μὴ λυπεῖν τῷ τέρπειν. ἐπὶ πλέον γὰρ τὸ
μὴ λυπεῖν. εἰ γὰρ τέρπει, οὐ λυπεῖ· οὐ μὴν εἰ μὴ λυπεῖ, τέρπει πάντως.
ὑπάρχει γάρ τι τὸ μὴ λυπεῖν. τοιαῦτα δὲ καὶ ἀκούσεται, ἅτινα τοῦ
τοιούτων ἀνέξεται εἰς αὐτὸν λεγομένων σκωμμάτων οἷς αὐτὸς κέχρηται.
οὐ γὰρ εὐσχήμων τῶν ὁπωσοῦν λεγομένων ἀνέξεσθαι· οὐ γὰρ πᾶν ποιῆσαι,
ὥσπερ οὐδ' εἰς πᾶν ἀνάσχοιτο σκώπτεσθαι. οὐ γὰρ εὐσχήμων οὐδ' ἀκούειν
τῷ ἀγαθῷ τῶν ὁπωσοῦν λεγομένων ἀνέξεσθαι, ἐπεὶ ἐνδεχόμενον δόξει
πως χαίρειν αὐτοῖς καὶ πράττειν αὐτὰ οὐκ ἀπεχθανόμενος πρὸς αὐτά.

1 δεικνύουσιν B: δεικνύει a 1. 2 τὸ περὶ a: περὶ B 5 post γένοιτο praebet τοῦτο, δεόντως φησὶ a: om. B 7 rhesis usque ad βίον ὁμιλίας (p. 1128b9) a 9 ἐπὶ add. Diels coll. Etym. m. p. 218 τὰ καταλειφθέντα B: τὸ περιλειφθὲν ἀπό a 12 μηδὲ B: τὸ μὴ a κινοῖεν B: ἂν οἷδε κινεῖν a 13 ante τὸ μέσον inserit διὰ τοῦτο a: om. B [illegible] B: [illegible] a 14 [illegible] B: [illegible] a γελοίου a: γέλωτα B 17. 18 τῇ παιδιᾷ—προσανακείμενοι a: om. B 20 ἡ ἐπιδεξιό-[illegible] B: [illegible] et Arist. vulg.: [illegible] et Arist. vulg.: om. B et Arist. cod. Ha ἐπιδεξίως B: τὸ ἐπιδεξίως a πρὸς τὸ—ποιῆσαί τε Diels: πρός τι ἀφ' οὗ τι καὶ ποιῆσαί τις Ba 22 ἀπρεπῶς B: τοῦ ἀπρεποῦς a ἤτοι B: ἢ καὶ a ἢ B: ἃ a 22. 23 ἔστιν—ἀντίκειται B: om. a 25 τέρπει (altero loco) B: καὶ τέρπει a 29 εἰς πᾶν ἀνάσχοιτο B: εἰσάπαν ἀνέχοιτο a

λοιπὸν ὁ ἴσως καὶ σκωπτεύειν, διὰ τὸ ἀσχήμον δηλονότι καὶ ὃ
ἐχεσθαι. προεῖπε δὲ τὸ ἔνια δὲ οἱ νομοθέται λοιδορεῖν κωλύουσ
ὑπακουομένου τῷ ἔνια 'καὶ οὐ πάντα'. ὁ δὴ χαρίεις καὶ ἐλευ
οὗτος ἐξει. τοιοῦτόν ἐστιν οὔτε πάντα σκώπτων οὔτε παντὸν ἀπε
πάντα χαίρων ὁμοιοῖ τῶν αὐθαδῶν. τίνων οὖν.

p. 1128a30 Περὶ δὲ αἰδοῦς ὡς τινος ἀρετῆς οὐ πρέπει

Ὅτι μὴ ἕξις ἡ αἰδώς, δείκνυσιν ἀπὸ τοῦ ὁρισμοῦ καὶ τοῦ συμπ
τοῦ περὶ αὐτήν. ὡς γὰρ ὁ φόβος διατίθησι τὸ σῶμα, οὕτω καὶ ἡ
ἀμείβεται γὰρ ἐπ' αὐτῆς τὸ τοῦ σώματος χρῶμα, ὡς καὶ ἐπὶ τοῦ
καὶ πῶς, δῆλον ἐφ' ὧν ἐρεῖ ⟨καὶ αὐτός. εἰ δ' ἔστι τὰ μὲ
αἰσχρὰ αἰσχρῶς· κατ' ἀλήθειαν αἰσχρὰ ὡς ἡ ἀκολασία, κατ
δὲ ὡς τὸ ἐν ἀγορᾷ ἐσθίειν· ἔστι γὰρ ταῦτα τῇ τῶν πολλῶν πρόλ
διὰ τὰ ἔθη καὶ αἰσχρὰ δοκεῖ εἶναι. τὰ δὲ κατὰ δόξαν οὐδὲ
ῥέρει καλῶς. οὐ γὰρ εἰ τὰ μὲν αἰσχρά ἐστιν ἀληθῶς, τὰ δὲ δ
ἦθη τὰ κατὰ δόκησιν πράξει. οὐ γάρ τι τούτων πράξει ὁ ἐπιεικ
ὕστερα γὰρ πρακτέον. τοιοῦτόν οὐδὲν τούτων κινήσει τὸν σπουδαῖον

p. 1128b25 Φαύλου δὲ καὶ τὸ εἶναι τοιοῦτον.

Ὁ λέγει τοιοῦτόν ἐστιν· εἰ καὶ μὴ ἐπὶ τοῖς πεπραγμένοις
ἡ αἰδὼς φαύλοις οὖσιν, ἀλλ' ἐπὶ τοῖς πραχθεῖσιν ἀναγκαίοις τε πρᾶ
οὐδ' οὕτω τοῦ ἐπιεικοῦς ἂν εἴη. φαύλου γὰρ καὶ τὸ τοιοῦτον εἰ
πράξαι ἂν τι τῶν αἰσχρῶν. ἀτοπον γὰρ τὸ ἡγεῖσθαι ἐπιεικῆ τ
αἰδήμονα, καίτοσγε οὕτω διακείσει ὡς εἰ πράξαι τι τῶν αἰσχρ
γοῦν ἐπαισχυνεῖται. ἡ γὰρ αἰδὼς ἐπὶ τοῖς ἑκουσίως γινομένοις.
ὁ δὲ ἐπιεικὴς ἑκὼν πράττει τὰ αἰσχρά. ἢ λεκτέον ἂν ἄτοπον τὸ λέ
τοῦτο εἶναι ἐπιεικῆ τὸν αἰδήμονα, διότι οὕτως ἔχει ὡς ἐάν τι πρ
αἰσχρὸν αὐτῷ αἰσχυνεσθαι. ἡ γὰρ αἰδὼς οὐκ ἐπὶ τοῖς ἀκο
προαιρουμένοις γίνεται· ἄτοπος δὲ ὁ ἑκὼν τὰ αἰσχρὰ πράττων. ἐν τ
τῷ δευτέρῳ τὴν αἰδῶ ἀρετὴν μὲν οὐκ ἐφῆ εἶναι, σπου δαίαν δέ
μέντοι, νῦν δὲ ἐοικεν αὐτὸ διαβαλλειν ὡς οὐδαμῶς ὄντος τῷ ἐ
ἐπεὶ ὁ παθητέως γὰρ φησιν εἶη ἂν ἡ αἰδὼς πάθος ἐπαινετόν καὶ ἐ

a ὦ a: τοῦ B 5 τίνων ἀφέξεται, τίνων οὔ B: τίνων μὲν ἀφέξεται, τίνων
isque ad οὐκ αἰσχυντέον (p. 1128b25) a 7 τοῦ συμπτώματος B
πτώματος a 9 ἀμείβεται B: ἀμειβήσεται a ἐπ αὐτῆς B: καὶ ἐπ αὐ
(11) a: om. B 11 post αἰσχρὰ add. εἶπεν a: om
12 ἐν ἀγορᾷ a: ἐναγῆ B γὰρ B: δὲ
14 καλῶς B: καὶ καλῶς a 17 rhesis usque ad τὰ φαῦλα (p. 11
ἐπὶ a: om. B 19 πραχθῆναι a: πραχθεῖσιν B
a: εὐδαίμονα B 21 δὲ B: γὰρ a 28 τῷ δευτέρῳ] c. 7 p. 11

ἀλλ' οὐχ ἁπλῶς. εἰ γὰρ πράξαι ἐπιεικής τοιοῦτόν τι, αἰσχύνοιτ' ἄν. 59r
οὐ μὴν πράξαι ἄν ποτε τοιοῦτόν τι, ὥστε οὐδ' ⟨ἂν⟩ αἰσχύνοιτο. εἴη δ' ἂν 5
ἐξ ὑποθέσεως. δηλοῖ δὲ πάθος καὶ οὐχ ἁπλῶς, ὡς καὶ ἡ μικρὰ ἀναίσχυντος οὐχ
ἁπλῶς ἀλλ. ἐξ ὑποθέσεως. καὶ πῶς ἐπαίνει, ὡς καιρὸν ἔχοντα. τὸ γὰρ
πρᾶον εἴη. δεῖ σκηρὸν εἶναι. ἐξ ὑποθέσεως ἄρα ἐκεῖ τὸ ἀναγραῖον. ἐν
ταὐτὰ δὲ τῇ αἰδοῖ καὶ τῷ τοιούτῳ πάθει τὸ ἐπιεικὲς ἔσται. οὐκ ἔστι 10
δὲ τοῦτο περὶ τὰς ἀρετάς. αὗται γὰρ ἀγαθὸν καὶ ⟨καθ' αὑτὸ καὶ⟩ ἡ
αὐτό εἰσιν. ἡ δ' αἰδὼς ἐξ ὑποθέσεως ἐπιεικές· καλῶς· οὐ γὰρ δι'
αὐτὴν πρῶτον οὐδὲ καθ' αὐτὴν οὐδὲ καθὸ αἰδὼς ἐπιεικές. ὑποτεθέντος
γὰρ τοῦ ὅτι εἰ τάδε πραχθείη, αἰσχύνη παρέπεται, τὸ δὲ αἰσχύνεσθαι
αἰδεῖσθαί ἐστι, τὸ δὲ αἰδεῖσθαι οὐκέτι. διὰ τοῦτο ἐξ ἀνάγκης τῇ αἰδοῖ τὸ
ἐπιεικὲς ἀκολουθεῖ.

p. 1128b31 Εἰ δὲ ἡ ἀναισχυντία φαῦλον.

Ὃ λέγει τοιοῦτόν ἐστιν. οὐ φαῦλον τὸ μὴ αἰσχύνεσθαι ἐπὶ τοῖς
αἰσχρῶς πεπραγμένοις· αὐτὸ γὰρ τὸ αἰσχρὰ πράττειν φαῦλον. δοκεῖ δὲ
διὰ τούτων ἀναιρεῖν τὸ τῷ κακῷ τὸ ἐναντίον ἢ ἀγαθὸν ἢ κακὸν εἶναι,
ἐν οἷς πλείω τῷ αὐτῷ ἐναντία, καὶ ἔστι τις καὶ μέση αἴσθησις, ἢ εἰ μή τι
μεταξύ, πάντως τὸ τῷ κακῷ ἐναντίον ἀγαθὸν εἶναι. τῇ μὲν γὰρ δειλίᾳ 20
κακῷ ὄντι τῶν ἐναντίων τὸ μὲν ἀγαθόν ἐστι (ἀνδρία γάρ), τὸ δὲ κακόν, ἡ
θρασύτης. τῇ δὲ νόσῳ κακῷ ὄντι τὸ ἐναντίον ἀγαθόν· ὑγίεια γάρ. γίνεται
δὴ καὶ τῇ ἀναισχυντίᾳ τὸ μὲν ὡς κακὸν ἐναντίον (ἡ γὰρ κατάπληξις ἀφ'
ἧς οἱ καταπλῆγες οἱ ἐπὶ πᾶσι καὶ πάντα αἰδούμενοι), ἡ δὲ αἰδὼς μέσον τι
πάθος. ὡς ἀμφοτέρωθεν ὂν ἀγαθόν τε καὶ ὡς ἀγαθὸν ἐναντίον τῇ ἀναι-
σχυντίᾳ εἴη ἄν. καὶ γὰρ εἰ ἐν οἷς ἐστιν ὑπερβολὴ καὶ ἔνδεια, ἐν τούτοις
ἐστὶ καὶ μεσότης, ἔστι δὲ περὶ τὸ αὐτὸ πάθος ὑπερβολή τε καὶ ἔνδεια, 25
ὑπερβολὴ μὲν ἀναισχυντία, ἔνδεια δὲ κατάπληξις, εἴη ἂν καὶ μεσότης ἐν
τούτοις, ἡ αἰδώς, ἥτις, εἰ ψέκται ἐκεῖναι, ἐπαινετὴ ἂν εἴη. ἢ τοῦτο λύοιτ'
ἂν τῷ ἐξ ὑποθέσεως ἀγαθὸν εἶναι. τὸ κεῖσθαι μὲν γὰρ πράττειν τὰ
αἰσχρὰ φαῦλον, εἰ δὲ πραχθείη, ὁ μὲν αἰσχυνόμενος ἐπ' αὐτοῖς χαρίεις
ἂν εἴη, μοχθηροὶ δὲ οἱ ἀναίσχυντοι, καὶ διὰ τοῦτο οὐ διὰ τὰ πεπραγμένα. 30
οἱ δὲ καταπλῆγες μοχθηροὶ τῷ καὶ μὴ τὰ αἰσχρὰ ὑπολαμβάνειν. μήποτε
ἐνδείκνυται ἡμῖν διὰ τούτων ὅτι μὴ ἔστιν ἁπλῶς ἐπὶ τῇ τῶν κακῶν πράξει 30

2 μὴν Diels: μὴ Ba ἂν a: om. B post αἰσχύνοιτο rhesin inserit εἴη δ' ἂν—τὰς ἀρετάς (p. 1120b29—31) a 2 post ἂν (extremum) inserit ἡ αἰδὼς B: om. a 5 ἐκεῖ B: ἐκεῖ μὲν a 7 καθ' αὑτὸ καὶ a: om. B 8 ἡ δ' αἰδὼς—ἀκολουθεῖ (12) B habet transposita post ἐπιεικὲς δεικνύναι (p. 204,11) ἡ δ' αἰδὼς—ἐπιεικές B: ἄλλως a οὐ γὰρ B: οὐδὲ γὰρ a 9 πρῶτον B: πρώτως a ἐπιεικές B: ἐπιεικής a 10 εἰ τάδε B: εἶτα εἰ a 12 ἀκολουθεῖ B: παρακολουθεῖ a 13 rhesis usque ad διαιτοσύνης εἴπωμεν (p. 1128b35) a 14 οὐ B: οὐχὶ a 16 ἢ κακόν, ἡ ἀγαθὸν a 19 μὲν B: μὴ a ἀνδρία γάρ B: ἡ ἀνδρία a 23. 24 εἴη ἂν τῇ ἀναισχυντίᾳ ἐναντίον a 28 κεῖσθαι expellendum videtur 31 μήποτε B: μήποτε δὲ a

γινομένη μόνον. καὶ ἐπὶ τούτων μὲν γὰρ ἂν τὸ μὲν πράξαί τι αἰ
φαῦλον ἂν εἴη, τὸν μέντοι πράξαντα αἰδεῖσθαι ἐπ' αὐτῷ ἐπιεικ
ὑποβλέψαντος εἶπεν. ἀλλ' οὐ μόνον ἐπὶ ταῖς αἰσχραῖς πράξεσιν ἡ
γνοιτ' ἂν ἀλλὰ καὶ ἐπὶ ἄλλοις τισί. κεῖται γὰρ εἶναι φόβος
ἀδοξία δὲ οὐ τοῖς πραχθεῖσιν ἕπεται μόνοις ἀλλὰ τοῖς οὐκ οὖσι
αὐτῶν φύσει τοιούτοις, δοκοῦσι δέ, ἀλλὰ καὶ ἐπ' ἀκουσμασιν αἰσχ
ῥάμασιν ἐρυθραίνεται ὁ ἐπιεικὴς καὶ αἰδεῖται. δοκεῖ δὲ ταύτῃ δι
αἰδὼς αἰσχύνης, ὅτι ἡ αἰσχύνη ἐπὶ πεπραγμένοις γίνεται κακοῖς
αἰδὼς φόβος ἐστὶν ἀδοξίας ἐπ' αἰσχρῶν ὑπόνοια. ἔοικε δὴ Ἀρισ
ἀπὸ τῆς αἰδοῦς ἐπὶ τὴν αἰσχύνην μεταβὰς τὸ τοιοῦτον πάθος μὴ ἐπ
μηδ' ἐπιεικὲς δεικνύναι. καὶ τὸ μὴ αἰδεῖσθαι τὰ αἰσχρὰ πρ
ἀπὸ κοινοῦ τὸ φαῦλον. οὐκ ἔστι δὲ οὐδὲ ἡ ἐγκράτεια ἀρετή. εἶπε μὲν
δευτέρῳ μήτε τὴν αἰδῶ μήτε τὴν νέμεσιν ἀρετὰς εἶναι ἀλλὰ πάθη ἐ
τῷ ἐν μεσότητι εἶναι. ὅτι δὲ ἡ νέμεσις λύπη ἐπὶ τοῖς τῶν κακῶν
γμοις. νῦν δὲ περὶ αἰδοῦς μὲν εἴρηκε, περὶ δὲ νεμέσεως οὐδὲν προσ
εγκρατείας προλέγει, ὅτι μή ἐστιν ἀρετή. ὕστερον δὲ ἐπὶ πλέον ἐρ
ἐγκρατείας καὶ καρτερίας καὶ μαλακίας, μετὰ τὸ θεῖς ἡρῶνα. ἐν
μετὰ τοῦτο περὶ δικαιοσύνης τὸν πάντα κατατείνει λόγον.

1 μὲν πρᾶξαι B — ἂν ἀ — αὐτῷ καὶ αὐτοῖς B — δ — B — 1 γμοις — B — 1 γμοις — B — 2 δὴ B — 3 — B — 13 — 15 τὸν περὶ δικαιοσύνης —

ΕΙΣ ΤΟ ΠΕΜΠΤΟΝ ΤΩΝ ΗΘΙΚΩΝ ΝΙΚΟΜΑΧΕΙΩΝ ΣΧΟΛΙΑ. f. 41r

p. 1129a5 Ἡ δὲ σκέψις ἡμῖν ἔστω κατὰ τὴν αὐτὴν μέθοδον.

Εὕρηκεν ἤδη πολλάκις ὅτι τὴν ἀκρίβειαν τὴν ἀποδεικτικὴν οἱ τοιοῦτοι τῶν λόγων οὐκ ἐπιδέχονται· οὗ καὶ νῦν ἡμᾶς ὑπομιμνήσκει. εὕρηκε δὲ καὶ ὅτι δεῖ ἄρχεσθαι ἀπὸ τῶν φανερωτέρων, οὗ καὶ αὐτοῦ ἔοικεν ὑπομιμνήσκειν ἡμᾶς. οὕτω γοῦν καὶ τὴν ἀρχὴν ποιεῖται λέγων ὁρῶμεν δὴ πάντας τὴν τοιαύτην ἕξιν λέγειν βουλομένους δικαιοσύνην, καὶ προελθὼν ἐπιφέρει διὸ καὶ ἡμῖν ὡς ἐν τύπῳ ὑποκείσθω ταῦτα. οὐδὲ γὰρ τὸν αὐτὸν ἔχει τρόπον, ὑποθέμενος δικαιοσύνην μὲν ἕξιν εἶναι ἀφ' ἧς πρακτικοὶ τῶν δικαίων εἰσὶ καὶ βούλονται τὰ δίκαια, ἀδικίαν δὲ ἕξιν ἀφ' ἧς ἀδικοῦσι καὶ βούλονται τὰ ἄδικα, καὶ ταύτας αὐτῶν ἀποδοὺς ὑπογραφάς τινας· οὐ γὰρ ὡς ὁρισμοὺς εἶπεν αὐτά· οὐ γὰρ οἷόν τε ἕνα λόγον ἀποδοθῆναι οὔτε τῆς δικαιοσύνης οὔτε τῆς ἀδικίας, ἐπεὶ πρῶτον δείξει ὅτι πολλαχῶς λέγονται, ἐπεὶ δοκοῦσιν αἱ αὐταὶ ἐπιστῆμαι τῶν ἐναντίων. ὁμοίως καὶ αἱ δυνάμεις· ἡ τε γὰρ ἰατρικὴ τῶν ὑγιεινῶν καὶ τῶν νοσωδῶν ἐστι γνωστική, ὁμοίως καὶ μουσικὴ μουσικῶν καὶ ἀμούσων καὶ οὐκ ἐν τῷ βούλεσθαι τὰ μουσικὰ ποιεῖν ἔστι τὸ μουσικῷ εἶναι· καὶ γὰρ τὰ ἄμουσα βουληθεὶς ὅμως μουσικὸς ὢν μένει· ὡσαύτως καὶ ἰατρὸς κἂν τὰ ἀνίατα βουληθῇ οὐ πέπαυται τοῦ ἰατρὸς εἶναι. ἀλλ' οὐδὲ αἱ δυνάμεις, οἷον ἡ ῥητορικὴ ἡ διαλεκτικὴ ἐν τῷ τὸ ἕτερον τῶν ἀντικειμένων βούλεσθαί τε καὶ δύνασθαι ἢ δεικνύναι εἰσί· πρὸς γὰρ τὰ ἀντικείμενα αὐταῖς ἡ τε παρασκευὴ καὶ ἡ βούλησις ὁμοία. μὴ ὡσαύτως ἔχειν φησὶ καὶ ἐπὶ τῆς δικαιοσύνης. ἀλλ' ἔστι καλῶς εἰρημένον τὸ εἶναι τὴν δικαιοσύνην ἕξιν ἀφ' ἧς δίκαια πράττονται καὶ βούλονται. διὰ γὰρ τούτων δείκνυσι τὴν τῶν ἕξεων πρὸς

1 εἰς τὸ πέμπτον τῶν ἠθικῶν Νικομαχείων σχόλια F: om. G, ubi a manu recentissima: *Est altera interpretatio in quintum librum quae continuo haec sequitur fere eisdem verbis cum ista, nisi quod ista altera cedat claritate et cura* 3 πολλάκις] c. g. Λ 1 p. 1094b13 4 εὕρηκε] Λ 2 p. 1095b3 5 φανερωτέρων F in ras.: ἀφωτέρων G corr. in marg. κοινοτέρων 8 ἡμῖν πρῶτον ὡς Aristoteles 10 ἀδικίαν scripsi: ἀδικίας FG 18 ὅμως scripsi: ὁμοίως FG 21 πράττονται FG: expectaveris πράττουσι

τὰς τέχνας καὶ ἐπιστήμας καὶ τὰς δυνάμεις διαφοράν· αἱ μὲν γὰρ ἐ
τε καὶ δυναμεις αἱ αὐταὶ τῶν ἐναντίων, αἱ δὲ ἕξεις αἱ ἐναντίαι τῶν
οὐκ ἰσως δὲ νῦν ἕξεις τὰς ἀρετάς τε καὶ κακίας λέγει τῆς τε ψ
τοῦ σωματος· ἐπει κοινότερόν γε καὶ αἱ ἐπιστῆμαι ἕξεις λέγονται
δὲ αἱ ὡς ἀρεταὶ ἕξεις λεγόμεναι οὐκ εἰσὶν αἱ αὐταὶ τῶν ἐναντίων
ὁμοίως ὅτι τῆς ὑγιείας ἀπο γὰρ τῆς ὑγιείας τὰ ὑγιεινὰ πράσσετα
ὁ καὶ τὸ νοσῶδες, ὥσπερ γε καὶ ἀπὸ τῆς νόσου τὰ νοσώδη, ο
οὐδ' τ. καὶ τὰ ὑγιεινα· ὑγιεινῶς γὰρ βαδίζει ὁ οὕτως βαδίζων ὡ
ὑγιείαν ἔχων, καὶ νοσωδῶς ὡς ὁ τὴν νόσον. ὁμοιως καὶ ὁ τὴν ὑγ
ἔχων τῶν δικαίων μόνων ἐστὶ καὶ ταύτης μόνης ἀποδεκτικός, ὁ δ
τῶν αὐλειαν ἔχόντων· οὐδεὶ δὲ ὁ μὲν μουσικὸς τὰ μουσικα, ὁ δὲ
τὰ ἄμουσα, ἀλλ' ὁ μουσικὸς καὶ ταῦτα.

p. 1129a17 Πολλάκις μὲν οὖν γνωρίζεται.

Ἀποδοὺς λόγον τῆς δικαιοσύνης ἕξιν ἀφ' ἧς δικαιοπραγοῦσι
λονται τὰ δίκαια καὶ ἐνδειξάμενος τὴν οὐσίαν αὐτῆς ἀπὸ τῶν
καὶ τῶν ἐνεργειῶν τῶν ἀπ' αὐτῆς οἷον τῶν δικαιων, περὶ ὧ
αὐτῆς, ὅτι μή ἀσαφὴς ἡ τοιαυτη ἀπόδοσις δείκνυσι νῦν δὲ ὧν λέ
ὅτι ὁ νόμος χρῆσθαι ταῦτα πρῶτον δείκνυσι. πολλάκις γὰρ γνω
ἡ ἐναντια ἕξεις ἀπὸ τῆς ἐναντίας, οἷον ὁ εἰδὼς τί ποτέ ἐστιν
οὐδεν, ὡς καὶ αὐτὸς ἐπάγει, τί ἐστιν ἡ κακοξέα. ὁμοίως καὶ ἡ ἕξις
ἀπ αὐτὴν δείκνυται.

p. 1129a26 Καθολοῦ δ' ὡς ἐπὶ τὸ πολύ. ἐν ἁπάντων πρ
λέγεται.

Πάνυ ἀκριβῶς προσέθηκε τὸ ὡς ἐπὶ τὸ πολύ· ἔστι γὰρ
οὐχ οὕτως ἔχει. τοῦ γοῦν φιλεῖν, ὡς καὶ αὐτός φησι, πολλαχῶς
τὸ μισεῖν ἐναντίον αὐτῷ ὃν οὐκ ἔστι πολλαχῶς. ἀλλὰ καὶ τοῦ
πολλαχῶς λεγομένου ὅτι ἔστι τὸ ἀκούσιον τὸ βίᾳ καὶ τὸ δι' ἀγν
μενον, τὸ ἑκούσιον ἐναντιον αὐτῷ ὂν οὐ λεγεται πολλαχῶς. ἀλ
τῶν πλειστων συνδιαιρεῖται τὸ ἕτερον τῷ ἑτερῳ· τοῦ γὰρ ὀξέως
λεγομένου ἰσαχῶς καὶ τὸ βαρὺ λέγεται· καὶ τοῦ λευκοῦ δὲ τὸ μελ
λέγεται τῷ λευκῷ. ὁμοιως, φησι, καὶ εἰ τὸ αὐτὸν καὶ ἡ αὐτὴ
δὲ ταῦτα· ἐκειτο δὲ καὶ ἐπὶ τούτων τὸν ἓν τι αὐτῶν αἰσθα
ποιῶ αὐτὸν.

2 αἱ αὐταὶ G: ἑαυταὶ F 2. 3 ἐναντίων. οὐκ Brandis: ἐναντίων οὐ

p. 1129ª27 Ἀλλὰ διὰ τὸ σύνεγγυς εἶναι τὴν ὁμωνυμίαν αὐτῶν λανθάνει.

Τὴν αἰτίαν λέγει τοῦ ⟨τὴν⟩ κατὰ τὴν δικαιοσύνην ὁμωνυμίαν μὴ εἶναι γνώριμον· διὰ γὰρ τὸ σύνεγγυς εἶναι ἀλλήλων καὶ ὁμοιότητα ἔχειν τὰς δικαιοσύνας λανθάνει ἡ κατ' αὐτὰς ὁμωνυμία. τῶν γὰρ ὁμωνύμων ὅσα μὲν ἀλλήλων πολὺ ἀφέστηκε γνώριμα ταῦτα ὄντα ὁμώνυμα· πολὺ δὲ πόρρω ἀλλήλων τὰ κατὰ τύχην ὁμώνυμα, ὡς ἔχει ἡ κλεὶς, ἣν παρέθετο· ὅσα δὲ σύνεγγύς ἐστιν ἀλλήλων ταῦτα οὐκέτι δοκεῖ μόνον ὄνομα κοινὸν ἔχειν, ὡς τὰ ὄντα, ὡς αἱ κινήσεις, ὡς τὰ ἀγαθά. οὕτως καὶ αἱ δικαιοσύναι δειχθήσονται πρὸς ἀλλήλας ἔχουσαι· ἡ μὲν γάρ τίς ἐστιν ὥσπερ γένος δικαιοσύνη, κατὰ πάσης ἀρετῆς κατηγορεῖσθαι δυναμένη, ἡ δὲ ταύτης εἶδος. καθ' ὅσον μὲν οὖν γένος καὶ εἶδος, συνώνυμά εἰσι. καθ' ὅσον δὲ καὶ ἡ ὡς εἶδος λαμβανομένη ταὐτὸν ὄνομα τὸ δίκαιον ἔχον τῇ δικαιοσύνῃ, κατὰ τοῦτο δὲ ἔσονται ὁμώνυμοι· ἄλλο γὰρ ἀφ' ἑκατέρας αὐτῶν ὑπὸ τοῦ ὀνόματος τῆς δικαιοσύνης σημαίνεται. ὁ αὐτὸς λόγος καὶ ἐπὶ ἀδικίας. γνωριμώτερον δέ ἐστι τὸ λεγόμενον πρῴτοντος τοῦ λόγου.

p. 1129ª31 Εἰλήφθω δὴ ὁ ἄδικος ποσαχῶς λέγεται.

Ὡς γνώριμον καὶ ἐναργὲς πρῶτον τὸ ἄδικον λαμβάνει ὁσαχῶς λέγεται, εἶτα τὸ δίκαιον. δοκεῖ δὲ ὅ τε παράνομος ἄδικος εἶναι. διὰ τούτων δείκνυσιν ὅτι μέσον ὁ δίκαιος καὶ ἡ δικαιοσύνη, ὅ ἐστιν ἀρετῆς γνώρισμα. εἰ γὰρ ὁ ἄδικος παράνομος καὶ πλεονέκτης, ἔσται δὲ τῷ πλεονέκτῃ πρὸς τῷ παρανόμῳ καὶ ἀνίσῳ εἶναι, ὁ δίκαιος ἄρα μέσος τούτων ὑπάρχων καὶ ἴσος ἂν εἴη ἐν ἰσότητι τῇ δικαιοσύνῃ.

p. 1129ᵇ1 Ἐπεὶ δὲ καὶ πλεονέκτης ὁ ἄδικος.

Εἰ ὁ ἄδικος πλεονέκτης, οὗτος δὲ ἄνισος, ὡς δείξει, συμπέραινε· καὶ γὰρ τὸ πλέον καὶ ἔλαττον ἄνισά ἐστι· διὸ καὶ ὁ ἄδικος ἄνισος. ἐπεὶ καὶ πλεονέκτης. ἃ αἰεὶ ἔστι μὲν ἁπλῶς ἀγαθά, τῇ μὲν αὐτῶν φύσει ἀγαθά, [f. 29ᵛ] ἁπλῶς τε καὶ αἰεὶ τῇ αὐτῶν φύσει ἀγαθὰ ὄντα, ἀπὸ τοῦ ὠφέλιμά τε εἶναι τοῖς ἀγαθοῖς τε καὶ κατὰ φύσιν ἔχουσι καὶ τὴν χρηστικὴν αὐτῶν ἔχουσι δύναμιν καὶ προσέτι αἱρετὰ τοῖς αὐτοῖς· τὸ γὰρ τούτοις ἀγαθὸν καὶ ἁπλῶς αἱρετόν, τὸ δ' ἁπλῶς αἱρετὸν τῇ αὐτοῦ φύσει τοιοῦτον· οὐκ αἰεὶ δ' ἔστι τὰ τοιαῦτα τῶν ἀγαθῶν ἀγαθά, ὅτι τοῖς μὴ εἰδόσιν αὐτοῖς χρῆσθαι πρὸς

3 τὴν add. Diels: om. FG 4 σύνεγγυς F: σύνεγγες G 16 ἐστι FG: ἔσται praefuleris 17 ποσαχῶς Aristoteles: πολλαχῶς FG 21 παράνομος corr. ex παράνομον F: παράνομον G 23 ἰσότητι] ἰσότητα mut. in ἰσοτητι, ut videtur: ἰσοτ' G 28 ὠφέλιμα FG 31 αὐτοῦ FG

ὁ πλεονάκτης πάντας πρὸς κακὸν ἕκαστον. ὥσπερ καὶ τὰ τῶν
ὀργανα τοῖς οὐκ ἔχουσι τὰς τέχνας τοιαῦτα βλάβερα, τοιοῦτο
ἐστιν ὄγκος ἰσχὺς κάλλος εὐγένεια πλοῦτος οὐδὲ δύναμις πολιτική,
θησι δή τινα τῷ περὶ τῶν τοιούτων ἀγαθῶν λόγῳ, ἅμα μὲν δεικ
καὶ ὑπὲρ τῆς προσθήκης ταύτης τινὰ ἔστιν ἀγαθά, ἅμα δὲ καὶ διδάσ
πῶς χρὴν περὶ τούτου διὰ. διὰ γὰρ τούτων τινὰ τὲ ἐστι πάντ
ἀγαθὰ ἐδήλωσε· περὶ γὰρ ὧν εὐχόμεθα τοῖς θεοῖς· οὐ γὰρ περ
καὶ τῶν κατ' αὐτὴν εὐχεταί τις [illegible] ἀλλὰ μὴν [illegible]
ὅτιν ἡ εὐχὴ αἴτησις ἀγαθῶν παρὰ τῶν θεῶν· ταῦτ' ἄρα ἐστὶ π
εὐχὴ ἀγαθά. σπουδάζομεν οὖν ταῦτα αἱρεῖσθαι καὶ εὐχεσθαι μ
ἁπλῶς τὰ ἀγαθὰ ἀλλὰ τὰ αὐτοῖς· καὶ γὰρ τοῖς νοσοῦσιν οὐ
ὑγιεινὰ ἀγαθὰ καὶ αἱρετὰ ἀλλ' ὅσα τοῖς οὕτως ἔχουσιν ὑγιεινά·
οἷς μᾶλλον ἀσθένεια ὑγείας καὶ νόσος ἰσχύος ὠφελιμώτερα, τοῖς
μὴ μελλουσιν [illegible] χρήσθαι καλῶς. καὶ πενία πλούτου καὶ
καὶ οὐδὲν ταναντία· πολλάκις γὰρ ὑπὸ τῶν τοιούτων ἐκωλύθη
πονηρεύ τε καὶ παιδεῦ μειζω κακα. εἰπὼν δὲ ταῦτα ἐπάνεισ
ὁτικνυναι πῶς ὁ ἄδικος ἀνισος ἐστι· καὶ ὅτι γε κυριώτερος ὁ
ὁ πλεονέκτης ἐνδείκνυται. αἱρούμενος γὰρ ὁ ἄδικος τῶν μὲν ἀ
πλεον. τῶν δὲ κακῶν τὸ ἔλαττον. εἴη ἂν ἄνισος. κινεῖται δὲ μό
ο νέκτης οὐδὲν ὁ καὶ μειονέκτης, ὅτι δοκεῖ καὶ τὸ ἐν τοῖς κακοῖ
πλεονεῖν τε ἀγαθῶν εἶναι, ὡς ἄρχων. ἡ δὲ πλεονεξία τοῦ ἀγαθ
διὰ μὲν τοῦτο καλεῖται πλεονέκτης ὁ ἄδικος, ὡσανεὶ πλεῖον ἀγαθ
ἑαυτῷ· ἔστι μέντοι ταῖς ἀληθείαις ἄνισος. τοῦτο γὰρ περιέχ
ἐν τοῖς ἀγαθοῖς πλεονεξίαν καὶ τὴν ἐν τοῖς κακοῖς μειονεξίαν κα
ἴσον καὶ γενικὸν αὐτό. ὁ δὲ ἀναίρωσι ταῦτα ἔχοντες καὶ ὁ
τουτέστιν αἱ ἀρεταὶ ἐπ' αὐτοῖς εἰσιν οὐχὶ τοῖς θεοῖς δοῦναι μόνοι
καὶ ἔλαττον ἐπὶ τῶν ἁπλῶς κακῶν. τίνων ἔλαττον ἐπ
κακῶν ἁπλῶς· κακὰ εἶπεν ἁπλῶς ἀντιδιαστέλλων αὐτὰ τοῖς μ
ἀγαθοῖς, οὐ πᾶσι δὲ τούτοις οἷς ἔστιν ἐναντίον· καὶ γὰρ ταῦτα ἀ
ο καὶ τῇ αὐτῶν φύσει ἐστὶ κακά, ἔστι δὲ οἷς πρὸς ἀγαθόν τισι γ
γὰρ τὰ ἐναντία αὐτοῖς ὄντα ἁπλῶς ἀγαθὰ κακά ἐστι, τούτοις τ
κακὰ ὄντα ἁπλῶς κακὰ ἀγαθὰ ποιεῖ. τοῦτο γὰρ περιέχει καὶ
δηλονότι τὸ ἄνισον. περιέχει γὰρ τὴν ἐν τοῖς ἀγαθοῖς πλεο
τὴν ἐν τοῖς κακοῖς μειονεξίαν. ὁ δὲ νόμιμος δίκαιος. δείξας τ
ἄνισον, πιστούμενος ὅτι καὶ ὁ δίκαιος ἴσος, ἐπὶ τὸ τὴν διαφορὰν
τοῦ δικαίου τοῦ τε ὡς νομίμου καὶ τοῦ ὡς ἴσου πρόεισι· καὶ
ὁ νόμιμος λέγει. τὸ μὲν οὖν ὅτι νόμιμός ἐστι λαμβάνει πάλιν ἐκ
ἄδικον παράνομον εἶναι, εἰ δὲ ὁ νόμιμος δίκαιος, ὅλον ὡς καὶ τ
πάντα δίκαια ἂν εἴη. προσέθηκε δὲ τὸ πῶς δίκαια, ὅτι μὴ

ὁ ὄγκος G: ἰσχὺς corr. ex ὑσχὺς F 8 ἐστιν εὐχὴ καὶ FG: ego cano
[illegible] G: ἀγαθὰ corr. ex ἀγαθὲ F 11 αὐτοῖς FG 13 ὡσανεὶ
[illegible]

ἰδίως λεγομένην δικαιοσύνην πάντα τὰ νόμιμα δίκαια ἀλλὰ κατὰ τὴν κοινῶς καὶ διότι καθ' ὅσον πειθόμενός τις τοῖς νόμοις αὐτὰ ποιεῖ. κατὰ τοῦτο λέγεται δίκαιος. αὐτὰ μέντοι καθ' αὐτὰ ἡ ἀνδρεία ἐστὶν ἢ σωφροσύνη | ἢ ἐξ οἵας ἂν καὶ ἀρετῆς εἴη. ἀλλὰ μὴν περὶ πάντων οἱ νόμοι ὁρίζουσι τῶν κατὰ τὰς ἀρετὰς καὶ προαγορεύουσι τὴν ἀναφορὰν αὐτῶν ποιεῖσθαι ἢ ἐπὶ ἐστὶ τῆς καθεστώσης πολιτείας εὐδαιμονία τε καὶ σωτηρία, ἡ μὲν δημοκράτεια, καθά φησιν αὐτός, τοῦ κοινῇ πᾶσι συμφέροντος στοχαζομένη· ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων πολιτειῶν. τῷ γὰρ τοιοῦτος τῆς ἕνεκα ἡ πολιτικὴ τε καὶ νομοθετικὴ διαφέρει· ἀμφοτέραις μὲν γὰρ περὶ ἀρετῶν ἡ πραγματεία, ἀλλὰ τῇ μὲν ἠθικῇ ἑνὸς ἑκάστου ἡ διὰ τῶν ἀρετῶν εὐσταθεία τε καὶ εὐταξία σκοπός, τῇ δὲ πολιτικῇ ἡ τῆς πόλεως. ἣν οὐχ οἷόν τε διοικεῖσθαι καλῶς χωρὶς ἀρετῶν καὶ τῆς κατ' αὐτὰς ἐνεργείας. ὁ δὲ τούτοις πειθόμενος νόμιμός τε καὶ δίκαιος· καὶ τὰ νόμιμα ἄρα δίκαια. ἀλλὰ μὴν τὰ κατὰ τὰς ἀρετὰς πάντα ποιητικά τέ ἐστιν εὐδαιμονίας καὶ φυλακτικὰ τῶν μορίων αὐτῆς (μόρια γὰρ αὐτῆς αἱ κατ' ἀρετὴν ἐνέργειαι), καὶ τὸ δίκαιον ἄρα ποιητικόν τε καὶ φυλακτικὸν εὐδαιμονίας ἐστὶ καὶ τῶν μορίων αὐτῆς. μόρια δὲ τῆς εὐδαιμονίας ἐστὶ τὰ κατὰ πάσας τὰς ἀρετάς, ψυχικάς φημι καὶ σωματικὰς καὶ τὰς ἐκτός, ἃ τὴν εὐδαιμονίαν αὐτῷ βούλεται συγκροτεῖν. πρόσκειται δὲ τῇ πολιτικῇ κοινωνίᾳ, ὅτι οἱ νόμοι περὶ τῶν κατὰ τὰς ἀρετὰς διαγορεύουσιν οὐχ ἁπλῶς ἀλλὰ στοχαζόμενοι τοῦ ἐν τῇ κοινωνίᾳ συμφέροντος καὶ ἐπ' ἐκεῖνο τὴν ἀναφορὰν ποιούμενοι, ἀλλ' οὐ κατὰ τὰ καθ' αὐτὰ ἐξετάζοντες αὐτά, οἷον τίς φύσις αὐτῆς. χεῖρον δὲ ὁ ἀπεσχεδιασμένος, ὁ μὴ μετ' ἐπιστάσεως καὶ ἐξετάσεως.

p. 1129b25 Αὕτη μὲν οὖν ἡ δικαιοσύνη ἀρετή ἐστι τελεία ἀλλ' οὐχ ἁπλῶς.

Ἡ δικαιοσύνη, φησί, τελεία ἀρετή, ἀλλ' οὐχ ἁπλῶς· λέγεται μὲν γὰρ καὶ ἡ ἀντιδιαστελλομένη πρὸς τὴν φυσικήν τε καὶ κατ' εὐφυίαν λεγομένην ἀνδρείαν, ἀλλ' ἀτελὴς αὕτη. ἀτελὴς μὲν ἡ ἐν τῷ Ἀχιλλεῖ, τελεία δὲ ἡ μετὰ φρονήσεώς | τε καὶ ὀρθοῦ λόγου ὑπομενητικὴ τῶν μεγίστων κινδύνων· αἱ οὖν τέλειαι ἀντακολουθοῦσιν ἀλλήλαις· ὁ γὰρ τούτων ἔχων μίαν πάσας ἔχειν λέγεται. τελεία δὲ ἀρετὴ καὶ τὸ ἐκ πασῶν ἄθροισμα, ἧς καὶ νῦν μνημονεύει λέγων ἀρετὴ μέν ἐστι τελεία, ἀλλ' οὐχ ἁπλῶς. ἡ γὰρ ἁπλῶς τελεία ἀρετή ἐστιν, ἣν προειρήκαμεν, τελεία οὖσα κατά γε τὸ τέλειον ἔχειν ἤδη καὶ τὸ πᾶσαν ἔχειν ὡς ἑκάστην αὐτῶν. τρίτη δέ ἐστιν, ἣν νῦν προτίθησιν, ἡ κατὰ τὴν νομιμότητα. ἥτις ἐστὶν ἄθροισμα μὲν ἁπασῶν τῶν ἀρετῶν, ἀλλ' οὐχ ἁπλῶς οὐδὲ ἐφ' ἑαυτὸν καὶ πρὸς ἑαυτοὺς λαμβανομένη ἀλλ' ἐν τῇ πρὸς ἕτερον χρήσει. ἡ γὰρ κατὰ πάσας τὰς ἀρετὰς

---

5 ἐπεὶ ἔστι FG: ἐπὶ συστάσει Michael f. 61,7 10 ἡ add. F in marg.: om. G 18 συγκροτεῖν F: προσκροτεῖν G 11 τῇ δὲ πολιτικῇ Mich.: τῆς δὲ πολιτικῆς GF 21 ἐκεῖνο F: ἐκείνη G 22 ἐξετάζοντες αὐτά F: om. G 25 ἀλλ' F: rasura G, in marg. ἀλλ 28 ἀτελὴς αὕτη. ἀτελὴς G: ἀτελῶς αὕτη. ἀτελῶς F 35 μὲν G: om. F

λήρησις ἐπὶ σωτηρίαν γινομένη τῆς πολιτικῆς κοινωνίας ἐστὶν ἡ
μὴ τελεία ἀρετὴ καὶ ὡς νομιμότης δικαιοσύνη. ταύτην γὰρ φη
ὁρᾶσθαι καὶ ἐπὶ πασῶν συγκεῖσθαι, τὴν ὅταν μὴ ἁπλῶς ἀλλ' ὅτα
πολιτικὴν κοινωνίαν τὴν χρῆσιν ἀναφερομένην ἔχῃ. τῇ προσ
ταύτῃ τῆς τελείας ἀρετῆς ἡ τοιαύτη δικαιοσύνη διαφέρει, καθ
ὀκεῖ τελειότερον. τελειότερον γάρ ἐστιν ἕξις καὶ ἀρετή, ἣν ὁ
καὶ πρὸς ἄλλον χρῆσθαι δύναται, ἀλλ' οὐχὶ μόνον καθ' ἑαυτό
δὲ ἡ κατὰ τὴν νομιμότητα δικαιοσύνη. καὶ διὰ τοῦτο, διὰ
ἕτερον δίκαιον. καὶ οὔθ' ἕσπερος. τοῦτο ἐξ Εὐριπίδου Σοφ
εἶπεν· λέγει γὰρ ἐν αὐτῇ "δικαιοσύνας τὸ χρύσεον πρόσωπ
παρθένου ὄμματ' ἔχουσ'. τοῦτο Θέογνίδης εἴρηται δὲ οὕτω

βούλεο δ' εὐσεβέων ὀλίγοις σὺν χρήμασιν οἰκεῖν
ἢ πλουτεῖν ἀδίκως χρήματα πασάμενος·
ἐν δὲ δικαιοσύνῃ συλλήβδην πᾶσα ἀρετή·

χώραν μέντοι παροιμίας ἔσχηκε καὶ μέμνηται αὐτῆς ὡς παρο
φραστος ἐν τῷ πρώτῳ Περὶ ἠθῶν, ἐν δὲ τῷ πρώτῳ τῶν Ἠ
Φωκυλίδης αὐτῷ ἐχρήσατο, ἣ καὶ ὁμοίως ἀμφότεροι χρῶνται
καὶ Θέογνις τούτῳ.

p. 1129b33 Πολλοὶ γὰρ ἐν μὲν τοῖς οἰκείοις τῇ ἀρετῇ
χρῆσθαι.

Οὐ γὰρ ὥσπερ | ἐν ταῖς θεωρητικαῖς ἐπιστήμαις ἐν γνώσει
ἐστὶν ὅμοια ἡ γνῶσις αὐτῷ τε [καὶ] ἐφ' ἑαυτοῦ καὶ ἐπ' ἄλ
καὶ ἐπὶ τῶν πρακτικῶν ἀρετῶν ἔχει καὶ ὅλως τῆς πολιτικῆς
ἐξαρκεῖ καθόλου εἰδέναι τίνα πρακτέα ἢ τίνα μή, ἀλλὰ καὶ ὑπ' ὧν κ
πραχθείη εἰδέναι (χρή). ἡ γνῶσις περιγίνεται δι' ἐμπειρίας· διὸ δ
καὶ πεπονθόσι συνετυχηκέναι πράγμασι τὸν μέλλοντα πολιτικὸ
ὡς καὶ κυβερνήτην καὶ ἰατρόν. οὐ γὰρ αὐτάρκεις τούτοις οἱ καθ
ἀλλὰ καὶ ἐμπειρίας αὐτοῖς δεῖ. διὰ τοῦτο οὖν τῷ πολιτικῷ δεῖ
ἐν δὲ τοῖς πρὸς ἕτερον ἀδυνατοῦσιν, ἐν κοινωνίᾳ, διὰ τὸ
ρίαν ἔχειν τῶν πραγμάτων. δεῖται οὖν ὁ πολιτικὸς καὶ πρακτικ
τῶν πραγμάτων ἐμπειρίας ὡς καὶ ἰατρὸς καὶ κυβερνήτης πεῖρα
πὸ τῆς τῶν πραγμάτων τριβῆς ἐμπειρίαν. ὅτι ἀρχὴ τὸ
ορεύεται· εἰς οὗτος ὁ Βίας τῶν ἑπτὰ σοφῶν, εἰς ὃν ἀναφέρεται τὸ
ὡς ἐπὶ Πιττακὸν μὲν τὸν Μιτυληναῖον τὸ 'χαλεπὸν ἐσθλὸν ἔμ

1 κοινωνίας F: σωτηρίας suprascr. κοινωνίας G 5 κἀκείνῳ scripsi
G 9 Εὐριπίδου] frg. 486 p. 512 Nauck² Σοφῆς Usener: s
FG 11 Θεόγνιδος] 145—147 16 ἠθῶν F: ἠθῶν corr.
Φωκυλίδης FG, quod cum a Michaele quoque prodatur in Φωκυλίδου
sum ἀμφότεροι F: ἀμφότερα G 18 τούτῳ Usener: τοῦτο F
ego cancellavi 23 τῶν G: om. F ὅλως F: ὅλης G 2
om. FG 28 κοινωνῶν F 30 δεῖται F: δεῖτε G 32 τόν

Χίλωνα δὲ τὸν Λάκωνα τὸ 'τὴν κατὰ σαυτὸν ἕλα'. πρὸς ἕτερον δέ φησι τὸν ἄρχοντα Ἀριστοτέλης· ὁ γὰρ ἄρχων ἤδη πρός ἕτερόν τινῶν γάρ ὁ ἄρχων καὶ ἐν κοινωνίᾳ, ἐν ᾗ χαλεπώτεραι αἱ ἐνέργειαι.

p. 1130a5 Κάκιστος μὲν οὖν καὶ πρὸς αὑτὸν καὶ πρὸς τοὺς φίλους
χρώμενος τῇ μοχθηρίᾳ.

Ὃ λέγει τοιοῦτόν ἐστιν· οὐχ ὥσπερ κάκιστος ὁ πρὸς τοὺς κοινωνοὺς καὶ φίλους χρώμενος τῇ πονηρίᾳ, οὕτω δὴ καὶ ἄριστος ὁ πρὸς ἑαυτὸν καὶ τοὺς κοινωνούς τε καὶ φίλους τῇ ἀρετῇ χρώμενος. τρόπον γάρ τινα καὶ τότε πρὸς αὐτὸν χρῆται τῇ ἀρετῇ, χρώμενος αὐτῇ πρὸς τοὺς φίλους. ἀλλ' ἔστιν ἄριστος ὁ καὶ πρὸς ἑτέρους μὴ μόνον πρὸς αὐτὸν καὶ τὰ αὐτοῦ. αὐτοῦ γὰρ οἵ τε φίλοι καὶ τὰ τῶν φίλων· καὶ ἔοικε τοῦτο μᾶλλον λέγειν· καὶ τοῦτο δὲ κατασκευαστικόν ἐστι | τοῦ μάλιστα τὴν τοιαύτην δικαιοσύνην τελείαν ἀρετὴν εἶναι. εἴ γε ἄριστος ὁ τῇ ἀρετῇ πρὸς ἄλλους χρώμενος. ἴδιον τῆς δικαιοσύνης. αὕτη μὲν οὖν ἡ δικαιοσύνη, ὡς ἡ ἀνδρεία φέρε καὶ ἡ σωφροσύνη· τοῦτο γὰρ βούλεται λέγειν. ὅτι ἡ δικαιοσύνη ὅλη καὶ πᾶσα ἀρετή ἐστιν, ἀλλ' οὐ μία τις καὶ μέρος. τί δὲ διαφέρει ἡ δικαιοσύνη αὕτη καὶ ἡ ἀρετή, δῆλον ἐκ τῶν εἰρημένων. τί δὲ διαφέρει ὅλη ἡ ἀρετὴ καὶ ἡ τοιαύτη δικαιοσύνη δῆλον ἐκ τῶν προειρημένων εἶναι. ἔστι μὲν γὰρ κατὰ τὸ ὑποκείμενον ἡ αὐτή (ἀμφότεροι γάρ εἰσιν ἡ ὅλη ἀρετὴ καὶ τὸ ἐκ πασῶν ἄθροισμα), κατὰ δὲ τὸν λόγον καὶ τὸ εἶναι διαφέρει ἀλλήλων, καθόσον ἡ ὅλη ἀρετή ἐστιν ἕξις ψυχῆς λογικῆς ἀρίστη, ἡ δὲ δικαιοσύνη χρηστή ἐστι τῆς τοιαύτης ἕξεως πρὸς ἕτερον. ὡς γὰρ διαφέρουσι καὶ κατηφάσεις ταύτην ὄντα κατὰ τὸ ὑποκείμενον τὸ εἶναι οὐ ταὐτὸν ἔχουσιν. οὕτω καὶ ἡ ὅλη ἀρετὴ καὶ ἡ τοιαύτη δικαιοσύνη. ἐπεὶ τοίνυν ἡ μὲν τοιαύτη δικαιοσύνη ἐστὶν ὅλη ἀρετή, ἡμεῖς δὲ ζητοῦμεν τὴν ἐν μέρει λεγομένην (οὕτω γὰρ καὶ περὶ τῶν ἄλλων ἀρετῶν ἑκάστης καθ' ἑαυτὴν εἰρήκαμεν), ὅλον ὡς περὶ ἄλλης ἡμῖν δικαιοσύνης ὁ λόγος λεκτέος ἐστίν, ἀλλ' οὐ περὶ ταύτης. ὁμοίως δὲ καὶ περὶ ἀδικίας. καὶ πρῶτον μὲν δείκνυσιν ὅτι ἔστι τις ἄλλη δικαιοσύνη παρὰ τὴν προειρημένην, εἶτα τίς ἐστιν ἐρεῖ.

p. 1130a16 Κατὰ μὲν γὰρ τὰς ἄλλας μοχθηρίας ὁ ἐνεργῶν ἀδικεῖ μέν, πλεονεκτεῖ δὲ οὐδέν.

Θέλων δεῖξαι ἄλλην τινὰ δικαιοσύνην οὖσαν παρὰ ταύτην τὴν κοινήν τε καὶ προειρημένην ἀπὸ τοῦ ἀδίκου πάλιν δείκνυσι τοῦτο. δείξας γὰρ ἄδικόν τινα ὄντα παρὰ τὸν παράνομον ἄλλον, δείξει καὶ τὸν τούτῳ ἀντικείμενον δίκαιον ἄλλον τοῦ ὡς νομίμου δικαίου λεγομένου. ὅτι μὲν οὖν ἔστιν ὑπὸ τὴν κοινὴν ἀδικίαν, ἤτις ἐστὶ παρανομία, ἀδικία τις ἡ κατὰ τὴν

1 ἕλα F: ἕλαυνε suprascr. G 4 οὖν καὶ FG: οὖν ὁ καὶ Aristoteles αὑτὸν Arist.: αὐτὸν FG 7 ἄριστος G: ὁ ἄριστος F 10 αὐτοῦ scripsi: αὐτά FG 27 λεκτέος F: λεκτέον G 34 παρὰ G: παρὰ corr. ex περὶ F

πλεονεξίαν· αὕτη οὖσα ἑκείνης καὶ ὑπ' ἐκείνην, διὸ καὶ ὁμώνυμ
τρόπον μέν τινα οὕτω δίκαιον. εἰ μήτε ὁ κατὰ τὰς ἄλλας μ
πλεονεκτοῦντα διορίζοντες κατὰ ἀδικοῦντος καὶ παρανομοῦντος ὁ
ρ' ὅλως τὸν ἁπλῶς πλεονεκτεῖ. καίτοι διὰ δειλίαν τοῦτο ποιῶν
τοῦτο οὐδείς. οὐδὲ ὁ κακῶς εἰπών τινα, καίτοι ὁ ὕβριν τοῦ
κατὰ ὁ μὴ ἀποτιμήσας ἀξίῳ τινὶ εἰς χρήματα, καίτοι δι' ἄνεσ
ποιήσας τοῦτο, ἀλλὰ μηδὲ οἱ πλεονεκτοῦντες κατά τινα τῶν προ
κακῶν μίαν τοῦτο ποιοῦσιν ἀλλὰ μηδὲ κατὰ πάσας ἅμα τὰς κακ
κακίαν μέντοι τινὰ τοῦτο ποιοῦσι καὶ κατὰ πονηρίαν· ψέγομεν γὰ
καὶ λέγομεν ἀδίκους τε καὶ κατ' ἀδικίαν τοῦτο ποιεῖν). εἴη ἂν
αὐτὴ οὖσα, καὶ ἡ μὲν πλεονεξία τῆς κοινῆς ἐκείνης κοινωνεῖ * *
ἀμφοτέρους ἅμα καὶ τῷ ἄδικοι εἶναι καὶ πλεονέκται κατά τι.
ὧν τοῦ κοινοῦ ἀδίκου τοῦ περὶ τὸν νόμον ταῖς ἄλλαις κακίαις
ἔχουσα πρὸς τὴν κακίαν (ἡ γὰρ δειλία, ἡ ὑβριστής, ἡ ἀκολα
τῷ κοινῷ ὀνόματι κέκληται· ὁμώνυμός ἐστιν αὐτῇ, οὐ δοκεῖ δὲ
αὐτῇ εἶναι διὰ τὸ καθόλου εἶναι ὡς μέρος καὶ ὑποτετάχθαι αὐτῇ
μᾶλλον. οὐκ ἐπαγεῖ ἀλλὰ μὴν οὐδὲ κατὰ πάσας· οὕτω γ
χωρίσει καὶ τῆς ἄλλης ἀδικίας, οὐ μόνον τῶν ἄλλων ἀδικιῶν ἀπ
αὐτὴ μέρος. ἡ ἄν τις ἀδικία παρὰ πάσας τὰς ἄλλας κακίας, τί
καὶ τὰς ἄλλας τὰς ὑπὸ τὴν κοινήν. ὅτι οὖν μὴ κατὰ πασας,
τοῦτο· εἰ κατὰ πάσας καὶ κατὰ τὴν κοινὴν ἰδίως· τούτῳ γὰρ ε
πάσας, κατηγοροῖτ' ἄν καὶ κατὰ τῶν ἄλλων πασῶν ἡ πλεονεξία· κ
τῶν κατὰ τὰς ἄλλας κακίας ἁμαρτανόντων ὡς ἀδικος. οὕτω καὶ π
ταῦτα. ὅταν δὲ πλεονεκτῇ, πολλακις κατ' οὐδεμίαν
πρόσκειται τοῦτο· οὐ γὰρ ἅπαξ ἤδη καὶ πλεονέκτης· ἔθει γὰρ ἡ
νεται· τὸ δὲ ἅπαξ οὐ δυνατὸν ποιεῖν τὸ ἔθος.

p. 1130a24 Ἔτι εἰ ὁ μὲν τοῦ κερδαίνειν ἕνεκα μοιχεύ

Ἡ δευτέρα ἐπιχείρησις | τοιαύτη ἐστίν· εἰ ἡ αὐτὴ πρᾶξις οἷον
διὰ μὲν κέρδος καὶ πλεονεξίαν γινομένη δι' ἀδικίαν γίνεται, διὰ δ' ἄ
δι' ἀκολασίαν καὶ οὐχὶ δι' ἐπιθυμίαν ἄδικον, τὴν δὲ πλεονεξίαν
ἡ διὰ κέρδος, ἄλλη δηλονότι ἐστὶν ἀκολασία καὶ ἄλλη ἀδικία ἡ δ
διαστέραί τε τῆς κοινῆς ἀδικίας διαφέρουσιν, ὅτι ἐκείνη μὲν κατ' ἀ
λέγεται, τούτων δὲ οὐδετέρα κατὰ τῆς ἑτέρας. τὸ δὲ δῆλον ἄρα
τὸ κερδαίνειν ἴσον ἐστὶ τῷ ὡς εἰ ἔλεγε, δῆλον ἄρα ὅτι διὰ τὸ
ὅτι ἄδικος ἀλλ' οὐ διὰ ἀκολασίαν· ἄλλως ἄρα τὸ κερδαίν
καὶ ἄλλως ἡ ἀκολασταίνειν· ἀλλ' εἰ τῶν κατὰ διαφόρους αἰτίας ἀ

ἰαν scripsi ex Aristotele: δ' ἀδικίαν FG 11 lacunam indicavi
ripsi: οὐ FG 18 ἀδικιῶν G: κακιῶν F 19 ἀδικία F: ἀδικίαν
F 23 κακίας F: κακίας corr. ex πλεονεξίας G 24 τού

ὁ ἕτερος ἐν οἰκείᾳ κακίᾳ ἐστὶ παρὰ τὴν κοινὴν κακίαν. δῆλον ὡς καὶ ὁ ἕτερος.

p. 1130a28 Ἔτι παρὰ μὲν τἆλλα πάντα ἀδικήματα γίνεται ἡ ἐπανάφορά.

5 Ὁ νοῦς τῆς τρίτης ἐπιχειρήσεως τοιοῦτος· εἰ δὲ αἱ μοχθηρίαι τε καὶ κακίαι πάσαι πρὸς τῷ κοινῷ τῷ τῆς ὅλης ἀδικίας ὀνόματι καὶ νόμῳ τινὶ κεῖνται κακίας ὑπάγονται καὶ ἡ πλεονεξία ὁμοίως (ὑπάγεται δὲ καὶ κατὰ τὸ προσῆκον ὅλως τῇ ἀδικίᾳ). ἔστιν ἄρα τις καὶ τὴν κοινὴν ἀδικίαν ὅλην ἀδικίαν ἐν μέρει οὖσα ἑκείνης ἀναφορὰν ἔχουσα πρὸς αὐτὴν ὡς καὶ πᾶσα
10 λασία δειλία τῶν ἄλλων ἑκάστη κακιῶν ἑκάστῃ συνώνυμος. ὅτι ὁ ὁρισμὸς ἐν τῷ αὐτῷ γένει. τὴν ἐν μέρει κακίαν τῇ καθόλου ἀδικίᾳ οὖσαν ὁμώνυμον· ἐπὶ τοσοῦτόν φησιν αὐτὴν ὁμώνυμον εἶναι καὶ λόγου πως τοῦ αὐτοῦ κοινωνεῖν, καθόσον ἑκατέρα αὐτῶν ἐν τῷ αὐτῷ γένει ἐστί. πῶς δὲ ἐν τῷ αὐτῷ γένει καὶ ἐν τίνι, αὐτὸς ἐδήλωσεν εἰπὼν ἄμφω γὰρ ἐν τῷ
15 πρὸς ἕτερον, καὶ εἰ κατὰ πλεονεξίαν, ἐν τῷ πρὸς ἄλλους ἁμαρτάνειν τὸ εἶναι αἱ κακίαι ἔχουσιν. εἰπὼν δὲ κοινὸν γένος αὐτῶν καὶ ὁ ἑκάστου συνώνυμοι, ἐφεξῆς πάλιν διαφορὰν αὐτῶν λέγει καθ' ἣν ὁμώνυμα γίνεται. ἡ μὲν γὰρ ἐν μέρει ἀδικία, ἡ κατὰ πλεονεξίαν, περὶ τιμήν, | φησίν, f. 6r
ἐστὶν ἢ χρήματα (εἴη δ' ἂν λέγων τὰ τυχηρὰ τῶν ἀγαθῶν ἐν οἷς δι'
20 ἡδονὴν τὴν ἀπὸ τοῦ κέρδους ταῦτα γίνεται. ἡ δὲ ἑτέρα περὶ ἃ ὁ σπουδαῖος πρακτικός· καὶ τοῦτό ἐστι τὸ ἔμπροσθεν εἰρημένον, ἀλλ' ὅσα τῷ σύνεγγυς αὐτῶν εἶναι δι' ὁμωνυμίαν λανθάνειν δύναται καὶ κατὰ τὸ μὴ ἐν τῷ αὐτῷ γένει εἶναι λέγεσθαι· οὕτω γὰρ ἂν συνώνυμα ἔσται καὶ τὰ ἐναντία. ἀλλὰ καθόσον ἀμφοτέροις ὁ αὐτός πως λόγος κοινός. ἔξεις γὰρ πρακτικαὶ ἄμφω,
25 διαφέρουσι δὲ ὅτι αἱ μὲν τῶν αἰσχρῶν πρακτικαί, αἱ δὲ τῶν περὶ ἃ ὁ σπουδαῖος. ὅτι μὲν οὖν εἰσὶ δικαιοσύναι πλείους ἀπὸ τοῦ ἐναντίου τοῦτο ἔδειξεν· ἀπὸ γὰρ τῆς ἀδικίας· ὡς γὰρ ἐκείνη διχῶς, οὕτω καὶ αὕτη λέγεται· καὶ ὡς ἐκείνη διαφέρει ἑτέρα τῆς ἑτέρας, οὕτω καὶ αἱ δικαιοσύναι. διώρισται δὲ τὸ ἄδικον, ὅτι ἡ κατὰ τὴν πλεονεξίαν ἀδικία ὑπὸ τὴν
30 ἀνισότητα ἦν· ἡ μὲν γὰρ ἡ αὐτὴ οὖσα περὶ τὰ ἀγαθὰ πλεονεξία ἐν τοῖς κακοῖς, πάλιν ἐν τοῖς ἀντικειμένοις ἐκείνοις τοῖς ἀγαθοῖς μειονεξία. τοῦτο δὴ πρῶτον ἔδειξε. διὸ δικτὸν τὸ ἄδικον, τὸ παράνομον καὶ τὸ ἄνισον. καὶ κατὰ μὲν τὸ παράνομον ἡ πρότερον ῥηθεῖσα ἀδικία περιεκτικὴ πασῶν, κατὰ δὲ τὸ ἄνισον ἡ δευτέρα καὶ ὑπ' ἐκείνην.

35 p. 1130b10 Ἐπεὶ δὲ τὸ ἄνισον καὶ τὸ πλέον οὐ ταὐτὸν ἀλλ' ἕτερον.

Τὴν διαφορὰν δείκνυσι τῆς κατὰ τὸ παράνομον ἀδικίας ἥτις ἐστὶν ὅλη

3 παρὰ FG: περὶ Aristoteles 18 ἡ κατὰ G: ἡ δὲ κατὰ, addito δὲ supra lin. F 21 ἔμπροσθεν] c. 2 p. 1129a27 22 λανθάνειν corr. ex λανθάνει F: λανθάνει G 28 ἐκείνη G: ἐν ἐκείνῃ F 29 δὲ F et Arist. codd. KbMb: δὴ G et Arist. vulg.

τε καὶ καθόλου, καὶ τῆς ἐν μέρει ἥτις ἐστὶ κατὰ τὸ ἄνισον· καὶ
τοῦτο δῆλον· ὁ γὰρ τοῦ δεῖνα τὴν διαφορὰν τοῦ ἀνίσου τε
πλεονεκτεῖν πῶς ἔχει. διὸ τούτου φανερὰν ποιεῖ καὶ τὴν τῶν
ἀνίσων. ὡς γὰρ ἐπὶ τούτων ὁ μὲν πλεονέκτης πᾶς ἄνισος, οὐ μὲ
νισος ἤδη καὶ πλεονέκτης (καὶ γὰρ ὁ μειονεκτῶν τινος ἄνισος
μὴν καὶ πλεονέκτης, τὸ γὰρ ἄνισον κατὰ ἀμφότερα κατηγορεῖται,
τὸ μὲν ἄνισον κοινὸν καὶ καθολικώτερον. τὸ δὲ πλέον ὅτι ἐκ
μερικώτερον), οὕτως | οὖν καὶ τὰς ἀδικίας ἔχειν φησίν. ὁ γὰρ
παράνομον τοῦτο καὶ ἄνισον. παράνομον γὰρ ἡ δειλία. οὐκ ἄν
ὁμοίως δὲ καὶ ἡ δικαιοσύνη τῆς δικαιοσύνης. ἡ γὰρ κατὰ
δικαιοσύνη μέρος τις ὡς κοινότητος δικαιοσύνης. καθὼς πρ
ὥστε περὶ τῆς ἐν μέρει δικαιοσύνης. δείξας ὅτι τις ἐν μέρ
σύνη ἀρετὴ καὶ ἐν μέρει ἀδικία κακία, περὶ τούτων, φησί, τὰ νῦν
τῶν τε ἕξεων καὶ τῶν κατὰ τὰς ἕξεις λεγομένων. τοῦ μὲν δικαίο
πόσων ἐστὶν

p. 11 [illegible] II δὲ τῆς κοινῆς ἀρετῆς.

Ἀπὸ κοινοῦ τὸ 'τῆς ὅλης οὖσα χρῆσις'· σχεδὸν γὰρ τὰ πολ
νομίμων. εἰπὼν ὅτι τὰ πολλὰ τῶν νομίμων τὰ ἀπὸ τῆ
ἀρετῆς προσταττόμενά ἐστιν καθ' ἑκάστην γὰρ ἀρετὴν π
τει ζῆν καὶ καθ' ἑκάστην μοχθηρίαν κωλύει ὁ νόμος,
δεικνυσι οὐσι τοῦ τὴν ὡς νομιμότητα λεγομένην δικαιοσυνην πα
ἀρετῶν χρῆσιν εἶναι πρὸς ἄλλον καὶ διὰ τοῦτο τελείαν ἀρετήν. π
τὸ ἔχειν τοῦ σχεδὸν ὄντα ἐξηγητικά, λέγων τὰ πλεῖστα τ
ἀρετῆς ἐστι τῶν νομίμων ὅσα νενομοθέτηται περὶ παιδ
πρὸς τὸ κοινόν. ἔστι γάρ τινα τῶν νομίμων ἃ οὐ περὶ τοῦ
ζῆν ἀλλὰ περὶ τοῦ πῶς ἐν ἀρετῇ γίνοιντ' ἂν οἱ πολῖται εἰσηγ
γὰρ ἔμφρων νομοθέτης οὐ μόνον περὶ τούτων νομοθετεῖ, καθ' ἃ
τοὺς ἀνδρας ἤδη καὶ τῆς πολιτείας μετέχοντας. ἀλλὰ πολὺ πρότε
τῆς [illegible] τῶν τοιούτων ἐγράφη τι καὶ νομίμων πολλῶν πρ
α ὁπόσοι ποιητικὰ τῆς ὅλης τε καὶ πάσης καὶ τελείας ἀρετῆς.
οὐ τούτων [illegible] πρὸς καθ' ἑαυτὸν πρὸς τὸν κοινὸν
διότι γὰρ τῷ [illegible] τοῦτο συμβαίνει. τοῦτο ὁρίσασθαι ὁ νομοθέ
παιδευεσθαι τοὺς [illegible] καλῶς τε καὶ ὁρθῶς πολίτας. ποιη
κῆς καὶ τελείας ἀρετῆς· ἃ καὶ τῆς τοιαύτης δικαιοσυνης εἴη ἂν
δὲ τὰ ποιητικὰ τῆς ὅλης ἀρετῆς, ὅτι ἐστὶ τῶν νομίμων ἃ νενομ
περὶ παιδείας τῆς πρὸς τοὺς πολίτας, | προστιθησι παλιν. περὶ

[illegible] 12 ὥστε περὶ FG et Aristot
[illegible] et Aristot. vulg. 19 προσταττόμενα FG et Aristot. cod. K
[illegible]

τῶν καθ' ἕκαστα. καθ' ἣν ἁπλῶς ἀνὴρ ἀγαθός ἐστιν ἐρεῖν ἐπαγγέλλεται· καὶ τοῦτο ποιήσει ἐν τοῖς Πολιτικοῖς. οὐ γὰρ ὁ ἀγαθὸς ἀνὴρ ἤδη καὶ πολίτης ἀγαθός· ἐν μὲν γὰρ ταῖς ἀγαθαῖς καὶ καλῶς ἐχούσαις πολιτείαις ὁ αὐτός ἐστιν. ἐν δὲ ταῖς μὴ οὕτως ἐχούσαις οὐκέτι. ἀγαθῶς γὰρ καὶ καλῶς ἐχούσης πολιτείας καὶ ὁ πολίτης ἀγαθὸς τοῖς τῆς σωτηρίας τῆς πολιτείας ἐχομένοις συντελῶν καὶ ἔσται ἀνήρ τε καὶ πολίτης ἀγαθὸς ὁ αὐτός· μοχθηρᾶς δὲ πολιτείας ὁ τὴν σωτηρίαν σπουδάζων πολίτης μὲν ἀγαθός, ἀνὴρ δ' ἀγαθὸς οὔ, ὥσπερ καὶ ἀνὴρ ὢν ἀγαθὸς οὐκ ἔσται πολίτης ἀγαθός, περιφρονῶν φαύλην πολιτείαν καὶ μὴ κατ' αὐτὴν πολιτευόμενος. ὥστε εἰ τοῦτο, οὐδὲ εἷς ἀεὶ καὶ ὁ αὐτὸς ἔσται νομοθέτης τοῦ τε ἄνδρα ἀγαθὸν καὶ πολίτην ἀγαθὸν εἶναι.

p. 1130b30 Τῆς δὲ κατὰ μέρος δικαιοσύνης.

Σημειωτέον ὅτι μέρος τῆς ἀρετῆς τὴν δικαιοσύνην, οὐκ εἶδος πανταχοῦ λέγει, ὡς τῆς ἀρετῆς οὐ γένους ἀλλ' ὅλου. πῶς οὖν ἡ ὅλη ἀρετὴ κατηγορεῖται δικαιοσύνης ἀνδρείας σωφροσύνης καὶ τῶν λοιπῶν συνωνύμως; καὶ γὰρ καὶ ὀνόματος καὶ ὁρισμοῦ τούτοις μεταδίδωσιν, ὃ οὐκ ἔστιν εὑρεῖν ἐπὶ τοῦ ὅλου· οὐ γὰρ κεφαλὴ λέγεται τὸ οὖς ἢ ἡ ῥίς. ἀλλά φαμεν ὡς ἐπὶ τῶν ὁμοιομερῶν οὐδὲν κωλύει τῷ τοῦ ὅλου ὀνόματι καὶ τὰ μέρη λέγεσθαι καὶ τὸν λόγον ἐφαρμόζειν τοῦ ὅλου τοῖς μέρεσιν, ὡς ἐπὶ σαρκὸς καὶ ὀστέων. ἢ καί φαμεν ὡς καλῶς τοῦτο λέγει. μέρος γάρ ἡ τις ἀρετὴ τῆς ὅλης καὶ οὐκ εἶδος· οὐ γὰρ ὅλη ἡ ἀρετὴ κατηγορεῖται τῆς τινός, ὁμωνύμως οὗ ὡς ἐπὶ τῶν ἀνομοιομερῶν ἡ ὅλη ἀρετὴ τῶν ἑαυτῆς μερῶν κατηγορεῖται· ἀρετὴ γὰρ καὶ ἑκάστη καὶ ὅλη· ὥσπερ καὶ ἡ δικαιοσύνη ἡ μὲν ὅλη κατηγορεῖται ἑκάστης, οὐ μὴν ὡς ὁμοιομερὴς οὖσα, ἀλλὰ διὰ τὴν ἀντακολουθίαν τῶν ἀρετῶν. ἑκούσια δὲ λέγεται· ἑκούσιος μὲν ἡ ἀρχή, βίᾳ δὲ τὸ τέλος, ἐν οἷς ἐπακολουθεῖ ἡ ἀδικία· οὐδεὶς γὰρ ἑκὼν ἀδικεῖται. τῶν δ' ἀκουσίων. εἶπε γὰρ ἐν τῷ τρίτῳ, ὅτι διττὸν τὸ ἀκούσιον, τό τε ἀγνοούμενον | καὶ τὸ βίαιον· τὰ οὖν λαθραῖα δι' ἄγνοιαν καὶ ἀκούσια τῶν ἀδικουμένων. λέγει δὲ τούτων εἶναι καὶ τὴν προαγωγίαν, οὐ τὴν τοῦ ἀνδρὸς τῆς αὐτῆς γυναικός, ὃ δοκεῖ σημαίνειν καὶ τὸ ὄνομα, ἀλλ' ὅταν ἀγνοοῦντος καὶ τοῦ ἀνδρός· διττὴ γὰρ καὶ ἡ προαγωγία· οὐ μόνον δὲ ἐπὶ τῆς προαγωγίας ἀγνοοῦντος τοῦ ἀνδρός, ἀλλὰ καὶ ἐπὶ πάντων τῶν λοιπῶν· εἰ γὰρ λαθραίως πάντως ἀγνοοῦντος τοῦ πάσχοντος τὴν βλάβην ταύτην συμβαίνειν καὶ ἔστι τὸ παραίτιον τοῦ ἀκουσίου ἡ ἄγνοια, ὥσπερ ἐν οἷς μετ' ὀλίγον ἐρεῖ, τὸ αἴτιον τοῦ λοιποῦ ἀκουσίου κατὰ βίον γινόμενον.

1. 2 ἐπαγγέλλεται corr. ex ἐπαγγέλεται F: ἐπαγγέλεται G 2 τοῖς F: τοῖς corr. ex ταῖς G ἐν τοῖς Πολιτικοῖς] Γ 4 5 ἐχούσης πολιτείας G: ἐχούσαις πολιτείαις F 18 ὀνόματι Usener: ὀνόματος F: ὄνομα G 27 ἐν τῷ τρίτῳ] c. 1 30 τῆς αὐτῆς FG: ἀγνοούσης τῆς coni. Usener 34 συμβαίνειν FG: συμβαίνει Brandis 35 γινόμενον G: γίνεται F

1131a9 Ἐπεὶ δ' ὅ τε ἄδικος ἄνισος.

Μέσον διὰ τοῦ ἀδίκου τε καὶ ἀνίσου μεσον τὸ ἴσον. ἐρεῖς δ
τοῦτο τὸ ἴσον τὸ μέσον τοῦ ἀδίκου δίκαιόν ἐστιν. ἡ δὲ θεῖτε
τόπου τοῦ ἐὰν δύο ἐναντιώσεων οὐσῶν τῷ ἑτέρῳ τῆς ἑτέρας ἐναν
μενον τὸ ἕτερον τῶν τῆς ἑτέρας ἐναντιώσεως ἀκολουθήσει τὸ κα
μενον τῆς ἑτέρας ἐναντιώσεως τῷ τῆς ἑτέρας καταλειπομένῳ ἢ ἐπ
ἡ ἀνάπαλιν. διὰ τούτου δὴ τοῦ τόπου δείκνυσι καὶ τὴν δικαιοσύνην
ανισότητα. εἰ γὰρ ἀδικία μεν καὶ δικαιοσυνη ἐναντιαι α
ανισοτης δε καὶ ἰσοτης πάλιν ἀλλήλοις ἔπεται, τῇ ἀδικίᾳ ἡ ἀνισ
10 καὶ τὸ ἄνισον καὶ τῇ δικαιοσύνῃ ἀκολουθήσει ἰσότης τε καὶ τὸ ἴσ
μη ἀναπαλιν· οὐ γὰρ παν ἴσον δίκαιον.

1131a12 Εἰ οὖν τὸ ἄδικον ἄνισον, τὸ δίκαιον ἴσον.

Εἰ ἡ ἀδικία καὶ ἡ δικαιοσύνη ἐναντία ἀλλήλοις, ὁμοίως δὲ
ἰσότης καὶ ἡ ἀνισότης, δῆλον ὡς εἰ τῇ ἀδικίᾳ ἕπεται ἡ ἀνισότης
15 ἄνισος ἄδικος καὶ τὸ ἄνισον ἄδικον, ὁμοίως καὶ ἡ δικαιοσύνη ἀντ
τῇ ἀνισότητι ὃ ἔστιν ἡ ἰσότης καὶ διὰ τοῦτο καὶ τὸ δίκαιον. τὸ
μέσον τί ἂν εἴη, εἴ γε ἴσον ἐστί, τῷ γένει δηλονότι. τὸ δ' ἴσ
ν ἐλαχίστοις δυσίν, ὡς ἐπάγει. δύο γάρ εἰσι τὰ ἴσα τοῦ
τὸ γὰρ τοῦ ἴσῳ ἴσον ἐστὶ καὶ τισὶ καὶ πρός τι· πρὸς ἕτερον
προειρήκαμεν ἅμφω αἱ δικαιοσύναι εἰσί. δύο ἔστι δηλονότι ἐν ἐ
ἐν οἷς τὰ πράγματα | τὰ ἐκείνοις πεπραγμένα· ὡς γὰρ ἐκεῖνα ἔ
πράττει, δηλονότι καὶ τὰ πράγματα. ἀλλ' ἐπεύδουσι μάχαι, τ
ἴσοι· οἱ μὲν δημοκρατικοὶ ἐλευθερίαν· ἐλευθερία γὰρ
τὴν ἀξίαν καὶ τὸ ἴσον· τοὺς γὰρ ὁμοίους ἐλευθέρους καὶ ἴσους ὑπολη
οἱ δ' ὀλιγαρχικοὶ πλοῦτον· τούτῳ γὰρ μετροῦσι τὴν ἀξίω
ἀριστεῖαν· ὁμοίως φησὶ καὶ ἐπὶ τῶν ἄλλων πολιτειῶν· οἱ δ
αρατικοὶ ἀρετήν· ἀρετὴν γὰρ οὐτοι μέτρον τίθενται τῆς ἀξίας
ἄνισον τὸ καὶ ἴσον τὸ κατὰ τοὺς πολίτας καὶ ἀναγκ
ἴσον φασὶ τὸ δίκαιον ἀναγκαῖον εἶ. δῆλον γὰρ κα
ἀρ[illegible] ἡ τοῦ ἴσου φύσις ἀναγκαίου ὑπάρχειν, ὅτι τὸ δί
ἀναγκαῖον τι καὶ ἐν μέσῳ.

[illegible] Τὸ γὰρ ἀνάλογον οὐ μόνον ἐστι μοναδικοῦ
ἀριθμοῦ·

[illegible] τοῦ ἐν μονάσιν συγκειμένου τε καὶ ὡς μετρουμένου κα
[illegible] ὡς δὲ τοῦτο ἔλαβεν· οὐ γὰρ μόνου τοῦ ὡς ἀριθμοῦν

[illegible] 22 ἐστι F: ἐγεί

ἀριθμοῦμεν ἀριθμοῦ, ὃς καὶ κυρίως ἀριθμός, ἀναλογία τίς ἐστιν, οἷον ὡς ἔχει ὁ ὃ β̄ ā, ἀλλὰ καὶ τοῦ ὡς ἀριθμητοῦ, τυχὸν ἵππων βοῶν κυνῶν καὶ ἁπλῶς ὧν ἔστιν ἀριθμός, οἷον γραμμῶν ἐπιπέδων σωμάτων ἁπλῶς μεγεθῶν. καὶ γὰρ καὶ τούτων ἐν τούτοις ἀναλογία τίς ἐστιν· ἔχουσι γὰρ ἀριθμόν. δεῖ γὰρ ἕνα ἀναλογία τις ᾖ, ἀριθμόν τινα εἶναι· τῷ γὰρ ἑνὶ οὐκ ἀναλογία, ἀλλ', ὡς ἔφη, τὸ ἐλάχιστον ἡ ἀναλογία ἐν τέτρασίν ἐστι. καὶ ἐν τέτρασιν ἐλαχίστοις. τούτων γὰρ ἐλάχιστον λαβεῖν πρὸς τὸ ποιῆσαι ἀνάλογον οὐχ οἷόν τε. λόγος γάρ ἐστι δύο μεγεθῶν ἢ ἁπλῶς τινῶν (καὶ γὰρ καὶ ἀριθμῶν εἶναι δυνατὸν λόγον τινὰ ὁμογενῶν) ἡ πρὸς ἄλληλα ποιὰ σχέσις· εἶναι δὲ τοῦτο ἐπεὶ ἀνάλογόν ἐστιν ἡ τῶν λόγων ὁμοιότης. διὰ δὲ τοῦτο τὸ ἔλαχιστον τεττάρων τε καὶ ἐν τέτρασιν ἔσται ἡ ἀναλογία. διῃρημένη δὲ ἡ ἐν ἀριθμοῖς· καὶ γὰρ καὶ αὐτὴ ὁμοίως ἐν τέτταρσίν ἐστι τὸ ἐλάχιστον· συνεχὴς δὲ ἡ ὡς μεγεθῶν καὶ χρόνου κινήσεων ὑποκειμένη. ἢ | οὐχ οὕτως ἀλλ' ὡς ἔχει τὰ τέσσαρα πρὸς β, τὰ β πρὸς ἓν ἔχει. f. 9r
καὶ ὁ λόγος ὁ αὐτός. καὶ πῶς τοῦτο, δείκνυσι λέγων διῄρηται γὰρ ὁμοίως οἷς τε καὶ ā. εἰ δὲ ὁμοίως διῄρηται οἷς τε καὶ ā, τουτέστιν οἷς τε νέμεται καὶ δίδοται καὶ ἃ νέμεται, ἔστιν ὡς τὸ ἕτερον τῶν νεμομένων πρὸς τὸ ἕτερον, οὕτω καὶ τὸ ἕτερον τῶν ἐν τῇ νεμήσει πρὸς τὸ ἕτερον. ἀλλὰ μὴν τέσσαρα ἄν τινα ἀνάλογα ἢ καὶ ἐναλλὰξ ἀνάλογά εἰσιν. ἔστιν ἄρα καὶ ὡς τὸ ἡγούμενον πρὸς τὸ ἡγούμενον καὶ τὸ ἑπόμενον πρὸς τὸ ἑπόμενον. καὶ μέσον τὸ δίκαιον· τουτέστι τοῦ ἀνίσου ἐν ᾧ μὴ κατὰ τὴν προειρημένην ἀναλογίαν ἡ νομὴ γίνεται. ὅτι δὲ τὸ τοιοῦτον δίκαιον καὶ μέσον ἐστί, δείκνυσι διὰ συλλογισμοῦ οὕτως· τὸ δίκαιον τοῦτο ἀνάλογόν ἐστι, τὸ δὲ ἀνάλογον μέσον· συμπέρασμα· τὸ δίκαιον ἄρα μέσον, τὸ γὰρ ἀνάλογον μέσον. καλῶς. ἴσον γὰρ καὶ ὅμοιον καὶ ταὐτὸν κατὰ τὴν τοῦ λόγου ποιὰν σχέσιν, εἴτε διπλάσιός ἐστιν εἴτε ὁστισοῦν· μέσον δὲ δηλονότι καὶ ἴσον. καλοῦσι δὲ τὴν τοιαύτην ἀναλογίαν γεωμετρικὴν οἱ μαθηματικοί. γεωμετρικὴ ἀναλογία ἐστὶν ἡ ἐν ἰσότητι λόγων τὴν ὑπεροχὴν ἔχουσα. ἔστι δὲ ἡ ἐν ἰσότητι λόγων ἡ ὡς ᾱ ὃ β. ὅμοιος γὰρ ὁ λόγος αὐτῶν καὶ ἴσος· ὡς γὰρ διπλάσιος ὁ τοῦ γ̄ πρὸς τὸν δ̄, οὕτω διπλάσιος καὶ ὁ ὃ πρὸς τὸν β. ἀριθμητικὴ δέ ἐστιν ἀναλογία ἡ ἐν ἰσότητι ἀριθμῶν· ἀναλογία δέ ἐστιν ἡ τῶν λόγων ὁμοιότης. τὰ γὰρ ἐν διπλασίονι λόγῳ ὄντα ὁπόσα ἂν ᾖ, καθὸ τοιαῦτά ἐστι, τοῦ ἴσον τε καὶ τὸν αὐτὸν ὅμοιον ἔχουσι λόγον, τὸν ὡς διπλασίονα ᾖ ἐστι διπλάσια. ἐν γὰρ γεωμετρικῇ. καλῶς· ὡς γὰρ θάτερον τῶν ἡγουμένων πρὸς θάτερον τῶν ἑπομένων τῶν ἐν τῇ ἀναλογίᾳ, οὕτως καὶ τὸ ὅλον τὸ ἐκ τῶν ἡγουμένων ἀμφότερον πρὸς ὅλον ἔχει· οἷον ὡς ἔστιν ἰδεῖν ἐπὶ λόγου διπλασίου τοῦ ὡς τὰ δέκα ἔχει πρὸς τὰ πέντε, οὕτω τὰ ξ̄ πρὸς τὰ τρία· καὶ ὡς τὰ δέκα καὶ ξ̄ πρὸς τὰ ὀκτώ, ὁμοίως καὶ τὸ ὅλον τὸ ἐκ τῶν ἡγουμένων ὅ ἐστι τὰ ις̄ f. 9v

6 τέτταρσιν Aristoteles 7 ἐλάχιστον FG: an ἔλαττον? 9 ἄλληλα F: ἄλλα G 13 συνεχὴς G: συνεχὲς F 15 λέγων Diels: λέγει FG διῄρηται FG et Arist. codd. $K^b M^b O^b$: διήρηνται Arist. vulg. 16 οἷς τε καὶ ā bis FG 18 νεμήσει G: νεμέσει F 30 ὡς γὰρ F: ὡς γὰρ corr. ex καὶ γὰρ F

ἔχει πρὸς τὸ ὅλον τὸ ἓν τῶν ἑπομένων, τῶν τε πέντε καὶ τριῶν
ὀκτώ· πάλιν γὰρ τὰ τῶν ὀκτὼ διπλάσια. συμβαίνει καὶ
πρὸς τὸ ὅλον, τὸ ἐκ τῶν ἡγουμένων δηλονότι τῷ ἐκ τῶν ἑ
οὐ γὰρ γίνεται εἷς ἀριθμῷ ὅρος, ᾧ καὶ ὅ. ἐπεὶ γὰρ δύο
ἡ νομὴ γίνεται, δύο δὲ τὰ ἑπόμενα, καὶ ἀδύνατον ἓν κατ' ἀρι
ταὐτὸν εἶναι ᾧ νέμεται, οἷον ἄνθρωπον καὶ τὸ νεμόμενον τούτ
δέ ἐστι τὸ πρᾶγμα), διῃρῆσθαι τοὺς ὅρους ἀπ' ἀλλήλων δεῖ· οὔ
ἄνθρωπος δύναται ἄνθρωπος ὢν τὸ νεμόμενον πρᾶγμα γενέσθαι οὔτε
μενον πρᾶγμα ἄνθρωπος. πῶς γὰρ οἷόν τε τὸν ἄνθρωπον ἢ ἴσον
σιον πράγματός τινος ληφθῆναι τοῦ νεμομένου; τὸ δ' ἀδικον τὸ
ἀναλογον· τουτέστιν ὃ μεῖον. ὅταν μὴ τηρῆται ἡ προειρημέν
ἀλλ' ὁ μὲν πλέον, ὁ δὲ ἔλαττον ἔχῃ τῆς ἀξίας. εἰ γὰρ ἰσότης ἡ
τὸ ἕξω τῆς ἀναλογίας καὶ τῆς ἰσότητος ἄνισον· ἄνισον δὲ ᾧ τὸ μ
τὸ δὲ ἔλαττον. ἐπὶ δὲ τοῦ κακοῦ ἀνάπαλιν. διὰ τί; ἢ ὅτι πλ
ἀδικῶν, ἔλαττον δὲ ὁ ἀδικούμενος ἀποφέρεται. πλεονέκτης γὰρ ὢν
τῶν ἀγαθῶν, ἐπεὶ καὶ τὸ ἔλαττον κακὸν πρὸς τὸ μεῖζον ἀγαθὸν
μενον ὡς ἐν κακοῖς ἐστι καὶ αἱρεῖται αὐτὸ ὡς ἀγαθοῦ ὑπεροχήν. ἐ
γὰρ γίνεται λόγῳ τὸ ἔλαττον κακόν· συγκρινόμενον γὰρ τὸ ἔλατ
πρὸς τὸ μεῖζον, ἀγαθόν πώς ἐστιν, ὃ γίνεται ἐν τοῖς συναλλάγμ
τούτοις γὰρ τὸ εἶναί ἐστι τῷ τοιούτῳ εἴδει τῆς δικαιοσύνης καὶ
τίοις. καὶ πῶς ἔσται ἀκούσια συναλλάγματα, ζητήσαι ἄν τις. ἢ
ἃ πρὸς ἀλλήλους συντίθενταί τινες περὶ ὧν δεῖ ποιεῖν ἑκόντε
συναλλάγματα, ἀλλὰ καὶ τὰ ὑπὸ τῶν νόμων διηγορευμένα καὶ κ
καθ' ἃ χρὴ ζῆν τε καὶ συναλλάσσειν ἀλλήλοις, συναλλάγματα κα
κατὰ τοῦτον τοῦτο συνάλλαγμα λέγεται, καὶ πρὸς ἕτερον ἔχει τὴν
οὐ κατὰ τὸ ἑκούσιον· οὐδεὶς γοῦν ἔχει κατὰ συνάλλαγμα οὐδὲ (ὁ
λῶν κατὰ συνάλλαγμα ἱεροσυλᾷ ἢ ὁ ὑβρίζων ὑβρίζει. τὸ μὲν γὰ
μητικον δίκαιον τῶν κοινῶν· καλῶς· παρὰ γὰρ τὴν τῶν κοινῶ
τοῖς πολίταις ἐκεῖνο τὸ δίκαιον καὶ πρὸς τὴν γεωμετρικὴν ἀναλο
νεμόμενον, ὡς δέδεικται. ἂν τε γὰρ χρήματα ἢ κοινὰ νεμόμενα τισ
ᾖ ἂν τε ἄλλο τι, πάντως κατὰ τον αὐτον λόγον διαιρεθήσεται.
καὶ συνηνέχθη, τῷ μὲν πλείω εἰς ταῦτα συντελέσαντι πλείων
ἔλαττον ἔλαττον. ἐὰν δικαία ἡ νομὴ ᾖ, κατὰ τὸν λόγον τῆς κατὰ τ
λειαν ἰσότητος ἡ ὑπεροχή * * *, ὅνπερ ἔχουσιν εἰς ἄλληλα
ἐνεχθέντα, δηλονότι ὑπὲρ τῶν συνεισενεγκαμένων εἰς τὸ κοινὸν κ
πλέον εἶναι συντελεσθέντων. τὸ δ' ἐν τοῖς συναλλάγμασι δ
τουτέστι τὸ διορθωτικόν, ἔστι μὲν ἴσον τι, τουτέστι δίκαιον,
δείχθη. ἀλλ' οὐ κατὰ τὴν ἀναλογίαν ἐκείνην, τὴν γεω
δηλονότι, ἀλλὰ κατὰ τὴν ἀριθμητικήν. ἔστι γὰρ αὐτῶν ὡς πρ

τε F: τῶν τῇ G 9 ἄνθρωπος inserui: om. FG 10 π
πρᾶγμα F 12 ἔχῃ scripsi: ἔχει FG 14 διὰ τί F: διότι G
F 17. 18 ἐν ἀγαθοῦ γὰρ F: ἐν ἀγαθῷ γὰρ G 22 ἐκόντας scribendu

ἐν ἰσότητι τῇ κατ' ἀριθμὸν ἢ ποσὸν ὅλον τὸ εἶναι, ἀλλ' οὐ τῇ κατὰ λόγον, ἤτις ὅπως γίνεται λέγει. ὁ γὰρ νομοθέτης ἐν τοῖς ἀδικήμασιν οὐκέτι τὴν τοῦ ἀδικοῦντος ἀναλογίαν καὶ τοῦ ἀδικουμένου ἣν ἔχουσι πρὸς ἀλλήλους ἐξετάζων οὕτω τὴν ἐπανόρθωσιν τῶν τοιούτων ἀδικημάτων ποιεῖται· οὐ γὰρ ἐξετάζει πότερον ἐπιεικὴς ὁ ἀποστερήσας ἢ φαῦλος, ὁμοίως οὐδ' ἐπὶ τοῦ ἀδικουμένου, ἀλλ' ὡς ἴσους τούτους τιθεὶς ἐξετάζει, εἰ ὁ μὲν ἠδίκησεν, ὁ δὲ ἠδικήθη, καὶ τίς ἡ κατὰ τὴν βλάβην διαφορά, καὶ ταύτην τὴν διὰ τὴν βλάβην ἢ τὴν ἀδικίαν ἀνισότητα [λέγει] γινομένην ἐπανορθοῦν πειρᾶται καὶ ἐς τὸ ἴσον ἐπανάγειν σπεύδει ἁπλῶς καὶ οὐ κατὰ τὴν ἀναλογίαν τῶν εἰπόντων προσώπων.

p. 1132a2 Οὐδὲν γὰρ διαφέρει εἰ ἐπιεικὴς φαῦλον ἀπεστέρησεν.

Οἷον ἐπὶ τῆς κατ' ἀξίαν νομῆς κατὰ τὰς τοιαύτας ὑπεροχὰς μετρουμένη | κατ' ἀξίαν γίνεται. ἀλλὰ πρὸς τοῦ βλάβους τὴν διαφορὰν μόνον ἐπιβλέπει ὁ νόμος· καὶ γὰρ εἰ ὅσοις τῷ ὑβρίσαντι τὸν ἄρχοντα πλείων ὡρίσθαι ἡ ζημία, ἀλλὰ καὶ ἐνταῦθα ἁπλῶς καὶ καθόλου ἐστίν· οὐ γὰρ τῷ μὲν τόνδε τὸν ἄρχοντα, τὸν εὐγενῆ φέρε εἰπεῖν, ὑβρίσαντι, ἄλλο τι πρόστιμον, τῷ δὲ τὸν μὴ οὕτως εὐγενῆ ἄλλο, ἀλλ' ἐπὶ πᾶσι κοινὴ καὶ ἡ αὐτὴ ζημία τῷ πάντως τὸν ἄρχοντα ὑβρίσαντι. ἐπεὶ δὲ τῶν εἰς ζημίαν τεινόντων φανερὰ ἡ πλεονεξία τοῦ βλάψαντος, ἐπὶ δὲ τῶν εἰς ὕβριν καὶ βίαν οὔ, παρατίθεται τὰ τοιαῦτα καὶ δείκνυσι πῶς καὶ ἐν τούτοις ἡ διόρθωσις κατὰ τὸ ἴσον γίνεται. ἄν τε γὰρ ὁ μὲν πλήξῃ ὁ δὲ πληγῇ καὶ κατὰ ταῦτα ἤ τι τοιοῦτον ἡ ἀδικία γένηται, διῄρηται καὶ ἐπὶ τούτων τὸ τοῦ παθόντος πάθος καὶ τὸ ἔργον τοῦ ποιήσαντος. διῄρηται τὸ πάθος, τοῦ παθόντος δηλονότι, καὶ τὸ ἔργον τοῦ ποιήσαντος εἰς ἄνισα καὶ ὁ μὲν πλέον, ὁ δὲ ἔλαττον ἔχει. ταύτην δὲ τὴν ἀνισότητα πειρᾶται δεῖξαι ἐξισοῦσαν τῇ ζημίᾳ ἣν ἐπιτίθησιν αὐτοῖς τοῦ κέρδους ὃ ἐκέρδανε καὶ ἐπλεονέκτησε. τοὺς ἴσους ἀναφέρων ὅσον ὑπερεῖχεν αὐτοῦ τοῦ ὃν ἠδίκησεν. ἰστέον δὲ ὅτι ὡς ἔχει ἡ συνεισφορὰ τῶν χρημάτων τοῦδε πρὸς τὴν τοῦδε, οὕτω καὶ ὁ συνενεγκάμενος πρὸς τὸν συνεισενεγκάμενον ὑπὲρ τῆς πόλεως, καὶ ὡς οἱ κίνδυνοι πρὸς τὸν κίνδυνον τῶν ἐν πολέμῳ στρατηγούντων καὶ ὁ κινδυνεύσας πρὸς τὸν κινδυνεύσαντα, καὶ ἁπλῶς ὡς τὸ εὖ πρὸς τὸ εὖ καὶ ὁ τούτου αἴτιος πρὸς τὸν αἴτιον. ἐπεὶ οὖν τοῦτο ἐν τῇ νεμήσει τῆς τιμῆς ἤ τινος ἄλλου τοιούτου, κατὰ τὸ ἀνάλογον τιμήσονται. κἂν εἰ μή τισιν οἰκεῖον ὄνομα εἴη, τὸ κέρδος, τουτέστιν ἐπεὶ τὸ κέρδος καὶ ἡ ζημία κυρίως ἐπὶ χρημάτων λέγεσθαι καὶ ὅλως ἐπὶ κτημάτων· ὁ μὲν γὰρ πλέον ἐπὶ τούτοις προσκτησάμενος ἐκέρδανεν, ὁ δὲ ἐπὶ τούτοις ἔλαττον ἔχον ἐζημιώθη. | ἐπεσημήνατο τοῦτο ὅτι κοινῶς καὶ ἁπλῶς τὸ κέρδος καὶ ἡ ζημία ἐπὶ τούτων λέγεται, οὐκ ἐπὶ τῆς εἰς χρήματα

8 λέγει FG: ego cancellavi 9 ἀναλογίαν Mich.: ἀναλόγως FG 14 ἐπιβλέπει FG: βλέπει Aristoteles 16 εὐγενῆ scripsi: ἀγενῆ FG 18 πάντως scripsi: πάντων FG 25 ἔχει G: ἔχων F 27 an αὐτὸς τούτου ὄν? 32 νεμέσει FG

ὑπερογὴς ἢ ἐναττώσεως μόνον ἀλλὰ καὶ ὕβρεως καὶ τῶν τοιούτ
διὰ τί προστίθησιν ἀλλ' ὅταν γε μετρηθῇ τὸ πάθος; τὸ γὰρ
σθαι τὸ πάθος καὶ τιμᾶσθαι τοῦτο καὶ ἡ ζημία καὶ τὸ κέρδος ἐπ
λέγεται· τιμηθέντος γὰρ τοῦ γινομένου, ὁσουπερ ἄξιον ἔπαθεν ὁ
τοσοῦτον ζημιοῦται ὁ ποιήσας. δείξας δὲ κοινῶς τὴν κατ' αὐτὴν
τὸ κέρδος καὶ ζημίαν ὁμοιοπαθοῦσαν, συλλογίζεται πάλιν καὶ τὸ ἐν
ὁμοίων ἴσον, ἐν οἷς κέρδος καὶ ζημία μέσον ἐστί. τὸ ἴσον μέσ
τοῦ πλείονος καὶ ἐλάττονος τὸ ἴσον μέσον. τὸ δὲ κέρδος καὶ ἡ ζ
οἷς τὸ ἀδικον. ταῦτα πλέον καὶ ἔλαττον ἐστι. πλέον μὲν τὸ κέρδος
δὲ ἡ ζημία. ἄρτιον δὲ ὡς καὶ κέρδους καὶ ζημίας τὸ ἴσον μέ
τουτέστι τὸ δίκαιον. ἐπεὶ δὲ πολλάκις καὶ ὁ τοῦ κακοῦ ἔλαττον
ᾠδικεῖ τε καὶ κερδαίνει, περὶ τούτων διορίζει μεταξὺ καὶ τοὺς λ
καί φησιν ἐναντίως τὸ κέρδος καὶ τὴν ζημίαν τὸ μὲν πλέον καὶ τὸ
ἔχειν. τὸ δὲ ἔλαττον ἐναντίως, κατὰ τὸ κακοῦ εἶναι καὶ ἀγαθ
νεξίαν, ἀγαθοῦ μὲν πλεονεξία κακοῦ δὲ μειονεξία τὸ κέρδος. κ
πλεονεξία ἀγαθοῦ δὲ μειονεξία ἡ ζημία, ὧν ἦν μέσον τὸ ἴσον. ἐπ
στιν ἐπανορθωτικὸν δίκαιον ἴσον· μεταλαβὼν τὸ δίκαιον ἴσον εἰ
δὲ τοῦτο, φησί, τὸ εἶναι τὸ δίκαιον τὸ ἐπανορθωτικὸν μέσον ζη
κέρδους. ὅταν ἀμφισβητῶσι τινες πρὸς ἀλλήλους ὡς οὐκ ἔχοντες
ἀλλὰ ζημιούμενοι ἐπὶ τὸν δικαστὴν καταφεύγουσι, τουτέστιν
δίκαιον καὶ ἴσον. ὥστε τὸ ἐπανορθωτικὸν δίκαιον ἂν εἴη. τοῦτ
συμπέρασμα τοῖς εἰρημένοις ἐπήνεγκε. τὸ δ' ἴσον μέσον ἐστὶ τοῦ
καὶ ἐλάττονος. τὴν ἀριθμητικὴν φησι | μεσότητα, ἧς καὶ ἔμ
ἐμνήσθη· αὕτη δὲ ἐν ἴσῃ ἐστὶν ὑπεροχῇ τοῦ μείζονος καὶ ἐλάτ
γὰρ ὑπερέχει τὸ ἔλαττον, τούτῳ ὑπερέχεται ὑπὸ τοῦ μείζονος, ὡ
ἡ ⟨μονὰς⟩ τὰ γὰρ τὰ δέκα ὀλίγα, τὰ δὲ ἑνδεκα πολλά, τὰ ἑπτὰ μ
τούτων γὰρ ἡ ὑπεροχὴ τοῦ τε μείζονος καὶ ἐλάττονος κατὰ τὴν
τικὴν ἀναλογίαν· ὁ γὰρ μεσος ὅρος ἐπὶ ταύτης ἴσῳ ὑπερέχει τε τ
ακρον καὶ ὑπο τοῦ ἑτέρου ὑπερέχεται.

30 p. 1132a32 Ἐπὰν γὰρ β ἴσα.

Δείκνυσιν ἡμῖν καὶ ἐπὶ διαγράμματος ὅτι ἡ διαίρεσις αὕτη
ἀριθμητικὴν ἀναλογίαν γίνεται. ἐστι δὲ τὸ δεδειγμενον ἐπὶ τῆς τῶν
τοις οὕτω καὶ ἐπ' ἀριθμῶν· τῶν γὰρ γ καὶ τῶν θ μέσος ἐσ
ἀριθμὸς· ἐὰν δὴ ὅσοις ὁ ἐννέα τῶν ἓξ ὑπερέχει τοσαῦτα ἀφελο
αὐτοῦ προσθῶμεν τοῖς τρισί, ἐγένετο ἰσότης αὐτῶν πρός τε αλλ
τὸ μέσον. ἔστω ἓξ καὶ ἓξ· ἀπὸ θατέρου τῶν ἓξ ἀφαιρείσθω τ
καὶ προστεθείσθω θατέρῳ |β|· δῆλον ὡς τὸ μὲν ᾧ προστεθη

1 ... G 22 τοῦ scripsi: τῆς FG 24 τοῦ F: τῆς G
... ἐπὶ τῶν ὁ· εἰ γὰρ τὰ ὁ ὀλίγα, τὰ δὲ ἑνδεκα πολλά, κτλ.
... scripsi: τοῦ ἑτέρου FG 29 ὑπερέχεται G in marg.: περιέχεται FG

ἑατέρου τῶν ἐξ ἀφαιρεθέν γενόμενον ἐννέα τοῦ λοιποῦ τοῦ ἑτέρου τῶν ἐξ ὃ ἐστι τριῶν. τὰ δ' ὀκτὼ ὑπερέχει ὀκτὼ δὲ ὀκτώκαι τρισὶ καὶ τρισί· τὸ γὰρ δ' πλεονεκτοῦν τὰ τρία τῶν ἐξ οἷς δὶς πλεονεκτεῖν ἔοικε τρισίν. οὐκοῦν εἰ τοσαῦτα ἀφελόντες ἀπὸ τῶν δ', ὅσοις πλεονεκτεῖ τὸ ε', προσθῶμεν τοῖς τρισίν, ἐξ ἔσται γινόμενα. ᾧ μὲν γὰρ τὸ ὀκτὼ ὑπερέχει, τριακοσίοις τοιούτοις ἐστίν, ὅτι ἡλίκῳ τὸ μέσον τοῦ ἐλαττονος ὑπερέχει, τριακοσίοις αὐτῷ δεῖ προστεθῆναι, ἵνα ἴσον τὸ μέσον γένηται. τούτῳ μὲν οὖν τηλικούτων δεῖ προστεθῆναι· τοῦ δὲ μείζοτος πάλιν ἀφαιρεθέντος ὅσῳ τοῦ μέσου ὑπερέχει (ἂν γὰρ τοῦ μὲν τηλικούτων ἀφαιρεθῇ, τῷ δὲ τηλικούτων προστεθῇ), γίνεται ἴσα τὰ τρία. τὸ δὲ δίκαιον καὶ | τὸ ἐπανορθωτικὸν καὶ τὸ ἴσον τὴν μέσου χώραν ἔχει καὶ κανών ἐστι καὶ μέτρον τοῦ ἰσωθῆναι τὸν ἠδικημένον τῷ ἀδικήσαντι.

p. 1132ᵇ9 Ἔστι δὲ καὶ ἐπὶ τῶν ἄλλων τεχνῶν τοῦτο.

Δείκνυσι κατὰ τὴν ἀριθμητικὴν ἀναλογίαν καὶ τὴν ἰσότητα ταύτην καὶ τὰς ἀντιδόσεις τὰς γινομένας ἔχειν τῶν ἔργων τῶν γινομένων ὑπὸ τῶν τεχνῶν. ὃ δὲ λέγει διὰ τῆς τάξεως ταύτης τοιοῦτον ἂν εἴη· ὡς γὰρ ἐπὶ τοῦ ἐπανορθωτικοῦ δικαίου ὁ δικαστὴς τὴν ὑπεροχὴν τοῦ πλέον ἔχοντος ἀφελὼν τῷ ἐλαττωμένῳ καὶ παθόντι προστίθησιν (ἧτις ὑπεροχὴ πόση τις ἐστι, γίνεται φανερὰ ἀπὸ τοῦ μέσου καὶ ἴσου), οὕτως φησὶν ἔχειν καὶ ἐπὶ τῶν τεχνιτῶν καὶ τῶν κατ' αὐτὰς κοινωνιῶν τε καὶ ἀποδόσεων. εἰ γὰρ ἐν τοῖς ἔργοις τοῖς διαφέρουσι μὴ ἦν τοῦ καλλίονος πρὸς τὸ χεῖρον ὑπεροχὴ ὡρισμένη καὶ μεμετρημένη (ὡς γὰρ ἐπὶ τοῦ ποιοῦντος καὶ πλεονεκτοῦντος καὶ τοῦ πάσχοντος καὶ πλεονεκτουμένου), οὐκ ἂν ἠδύνατο κοινωνεῖν ἀλλήλοις. ἢ οὕτως· εἰ μὴ κατ' ἀξίαν τῶν γινομένων ὑπὸ τῶν τεχνιτῶν κατά τε τὸ μέγεθος καὶ τὴν ποιότητα ἦν ἡ χρεία τῶν δεομένων αὐτῶν, οὓς πάσχοντας διὰ τὴν χρείαν εἶπεν, ἀνῃροῦντο ἂν αἱ τέχναι. οὐ γὰρ ἂν εἰργάζοντο, μὴ μέλλοντές γε τὸ ἴσον ἀνταπολήψεσθαι. εἰ μὴ οὖν ἐποίει τὸ ποιοῦν, τουτέστιν εἰ μὴ ἡ τοῦ καλλίονος πρὸς τὸ χεῖρον ὑπεροχὴ ὡρισμένη τε καὶ μεμετρημένη, ὡς ἐπὶ τοῦ πλεονεκτοῦντος καὶ πάσχοντος καὶ πλεονεκτουμένου. τῶν παρὰ τὸ ἑκούσιον, τὸ ἴσον ἔχειν πρότερον καὶ ὕστερον. τοῦτο ὅσαπερ εἴρηται, δηλωτικὸν δέ ἐστι τοῦ τὸ δίκαιον κέρδους καὶ ζημίας παρὰ τὸ ἑκούσιον γινομένων μέσον εἶναι ἐν τῷ ὃ πρότερον μέσον εἶχεν ἢ τε πλεονεκτῶν καὶ ὁ πλεονεκτούμενος πρὸ τῆς πλεονεξίας. τοῦτο καὶ ὕστερον αὐτοῖς γίνεσθαι παρὰ

4 ἀφελοῦντες G 20 τεχνιτῶν FG: τεγνῶν scribendum videtur 24 εἰ μὴ—ἀνταπολήψεσθαι (27) bis FG 27 priore loco ἀνταπολήψεσθαι corr. ex ἀνταπολήψασθαι G: ἀνταπολήψασθαι F; altero ἀνταπολήψεσθαι FG οὖν FG: om. Aristoteles 29 ante πλεονεκτοῦντος addendum censet ποιοῦντος καὶ Usener 31 πρότερον (om. καὶ) FG et Arist. cod. K^b: καὶ πρότερον Aristoteles vulg. 34 γίνεσθαι Usener: γίνηται FG

τοῦ δικαίου. τὸ ἴσον ἔχειν· εἰ προστεθείη τὸ δ, λυθείη ἂν ἡ
ἵν' ᾖ οὕτως τὸ ἔχειν ἴσον, ὁ καὶ πρότερον τοῦτο καὶ ὕστερον.
ἔχειν ἀντὶ τοῦ αὐτὸ ἔχειν ἑκάτερον ὃ καὶ πρὸ τῆς πλεονεξίας εἶ
μετὰ τὴν πλεονεξίαν τοῦ διαστοῦ ἐπαναγοντος πρὸς τοῦτο.

3 p. 1132a21 Δοκεῖ δέ τισι τὸ ἀντιπεπονθὸς δίκαιον.

Δύο εἴδη διδάξας τῆς δικαιοσύνης τῆς ἐν μέρει ἀρετῆς ἀλλ
κοινῆς τῆς ὡς νομιμότητος λεγομένης τό τε διανεμητικὸν καὶ τὸ
τικόν, ἑκάτερον ἐν ἀναλογίᾳ ὄν, τὸ μὲν διανεμητικὸν ἐν τῇ γεω
καὶ ἐν τέτρασιν ὅροις. ὁρᾶται γὰρ νεμόμενα δύο, ἐν οἷς ἐνέμο
οἷς δὲ ἐνέμετο ἡ νέμησις κατὰ ἀναλογίαν τῶν εἰσενεχθέντων ὑπ
τῷ γὰρ πλείω εἰσφέροντι ἢ ὁπωσοῦν συντελοῦντι πλείων τι εἰς τ
πλείω ἐν τῇ κοινῇ ἐνεμον, τῷ δ' ἐλάττω ἐλάττων, τὸ δὲ γε διορ
ἐν τῇ ἀριθμητικῇ ἀναλογίᾳ ἐδείχθη ὂν καὶ ἐν τοῖς τρισὶν ὅροις, τῶν
τοῦ πλεονεκτήσαντος καὶ τοῦ πλεονεκτηθέντος ἐξισουμένων πρὸς κ
μέσον· ὅσον γὰρ ὁ πλεονεκτήσας ὑπερέχει τοῦ μέσου τούτου ἀφ
αὐτοῦ καὶ προστιθέντες τῷ πλεονεκτηθέντι ἴσους αὐτοὺς ἐποιοῦντ
δὴ δείξας νῦν μνημονεύει τοῦ ἀντιπεπονθότος δικαίου καὶ ὃν ὅρον
γόρευσι τοῦ δικαίου ἐποιοῦντο, περὶ οὗ τί ποτέ ἐστιν ἐν τῷ πρώ
Μεγάλων Ἠθικῶν σαφέστερον εἰπεν· ἐκεῖνοι γὰρ ᾠοντο δίκαιον εἶν
ἐποίησε ταῦτα ἀντιπαθεῖν. τὸ δὴ τοιοῦτον οὐκ ἔστι πρὸς ἅπαντας
ἐστι δίκαιον οἰκέτῃ πρὸς ἐλεύθερον | ταὐτόν· οὐδὲ γὰρ ἂν
τὸν ἐλεύθερον, οὐκ ἔστι δίκαιον πληγῆναι ἅπαξ ἀλλὰ πολλάκις.
ὁ αὐτὸς σαφῶς ἐδήλωσε παραθέμενος τὸ τοῦ Ῥαδαμάνθυος· τ
ἔπος ἐστὶ παρ' Ἡσίοδῳ ἐν τοῖς Μεγάλοις Ἔργοις οὕτως ἔχον

"εἰ κακά τις σπείραι, κακὰ κέρδεα ἀμήσεται·
εἴ κε πάθοι τά κ' ἔρεξε, δίκη δ' ἰθεῖα γένοιτο."

αἰτιᾶται δὴ ὁ Ἀριστοτέλης καὶ ἐνταῦθα τῶν Πυθαγορείων τὸ ἁπλῶ
τὸ ἀντιπεπονθὸς δίκαιον καὶ μὴ διορίσαι μηδὲ προσθεῖναι τὸ κατ
γειν. τὸ γὰρ ἁπλῶς ἀντιπεπονθὸς ὡς ἕκαστον ὃ ἐποίησεν
χειν οὐδαμῶς δίκαιον· οὐ σημεῖον τὸ μὴ ἐφαρμόζειν αὐτὸ μ
διανεμητικῷ δικαίῳ μήτε τῷ διορθωτικῷ, εἰς ἃ τὸ δίκαιον δ
οὐδετέρῳ δὲ ἐκείνων λέγοι ἂν αὐτὸς ἐφαρμόζειν, ὅτι ἐκείνων μὲν
ἐν) ἀναλογίᾳ ἐστί, τὸ μὲν ἐν τῇ γεωμετρικῇ, τὸ δὲ ἐν τῇ ἀρι
τοῦτο δὲ ἐν οὐδετέρᾳ ἐστὶ τῶν ἀναλογιῶν ἁπλῶς λαμβανόμενον.

τισι τὸ FG: τισι καὶ τὸ Aristoteles 10 ἐγίνετο F: ἐγένετο G
κεκτηθέντος corr. ex πλεονεκτησαμένου F 17. 18 πυθαγόριοι FG
τῷ πρώτῳ τῶν Μεγάλων Ἠθικῶν] c. 34 p. 1194a29 23
marg. F παραθέμενος Brandis: περιθέμενος FG 24 παρ' Ἡσι
Rzach 26 εἴκε πάθος τά κ' ἔρεξε F: εἰκε πάθος τά κέρεξε G
corr. ex ἀντιπενθὸς F: ἀντιπενθὸς G 29 ἀντιπεπονθὸς FG 33 ἐ
M. [illegible] Fc

οὖν οὐκ ἔστι τῷ διανεμητικῷ ταὐτὸν οὐδὲ κατὰ τὴν γεωμετρικὴν ἀναλογίαν γνώριμον (ἐν μὲν γὰρ ἐκείνῃ τὸ ἴσον ἐν τῷ κατ' ἀξίαν) ἀλλ' οὐδὲ τῷ διορθωτικῷ· τὸ μὲν γὰρ ἐπανορθωτικὸν οὐ τὰ αὐτὰ ἀξιοῖ παρέχειν τοὺς ποιήσαντας ἃ ἐποίησαν ἀλλὰ τιμᾶσθαι τὴν ἀξίαν αὐτῶν εἰς ὅσον διαφέρει τῷ παθόντι καὶ ταύτην δίδοσθαι τοῖς πάθεσιν. ἐπὶ δὲ τοῦ ἀντιπεπονθότος ὅταν ἁπλῶς καὶ χωρίς τινος ἀναλογίας λαμβάνηται, δεῖ ἁπλῶς παθεῖν τὸν ὁράσαντα. τοιοῦτον γὰρ τὸ εἴ τι πάθοι τά κ' ἔρεξε. τοῦτο δ' οὐδαμῶς δίκαιον. καὶ αὐτὸς δὲ δείξει τῇ παραθέσει τῶν παραδειγμάτων οἷον εἰ ὀρχὴν ἔχων καὶ τὰ λοιπά. τὰ γὰρ αὐτὰ οὐκ ἴσην ποιεῖ τὴν βλάβην ἄρχοντί τε καὶ ἀρχομένῳ· ὁ γὰρ ἄρχων πλέον τι ἢ κατὰ τὸν πολίτην ἐστί, διὸ οὔτε πλήξας ἀντιπλήσσεται, ὅτι μηδὲ ἀδικεῖν δοκεῖ, | καίτοι τὸ f. 3v πέπονθεν ὁ πληγείς, μήτε πληγεὶς τοῖς ἴσοις ἀμύνεται· τὸ δὲ ἁπλῶς ἀντιπεπονθὸς τὸ αὐτὸ ἀντιγίνεσθαι βούλεται. ἔτι οὔτε αἱ ζημίαι οὔτε αἱ πλεονεξίαι ἴσαι ἐπί τε τῶν ἀκόντων καὶ τῶν ἑκόντων πλημμελησάντων, ὃ ἐν μὲν τῷ διορθωτικῷ δικαίῳ ἐξετάζεται ἐν τῇ ἐξετάσει τοῦ μέρους τῆς ζημίας· ἐπὶ δὲ τοῦ ἀντιπεπονθότος οὐδὲν τοιοῦτον ἐξετάζεται.

p. 1132b31 Ἀλλ' ἐν μὲν ταῖς κοινωνίαις.

Διὰ τούτων οὖν δείκνυσι καὶ πρὸς τίνα ἐστὶ χρήσιμον καὶ πῶς γινόμενον τὸ ἀντιπεπονθὸς δίκαιον ἔσται. εἰ γὰρ μὴ ἁπλῶς πρὸς τὸ πάθος γίνεται ἀλλὰ κατὰ ἀναλογίαν καὶ τὴν κατ' αὐτὴν ἰσότητα, δῆλον ὡς χρήσιμόν ἐστι πρὸς τὰς κοινωνίας τὰς ἀλλακτικάς· διαβαλὼν δὲ τὸ ἀντιπεπονθὸς δίκαιον λεγόμενον ὅτι μή ἐστι δίκαιον ἁπλῶς γινόμενον, νῦν πειρᾶται δεικνύναι πρὸς τίνα χρήσιμόν ἐστι καὶ πῶς γινόμενον εἴη ἂν δίκαιον. ἂν γὰρ μὴ ἁπλῶς γίνηται, ἀλλὰ κατὰ ἀναλογίαν καὶ τὴν κατ' αὐτὴν ἰσότητα, ἀλλὰ μὴ ἁπλῶς κατὰ τὸ πάθος, χρήσιμόν ἐστι πρὸς τὰς κοινωνίας τὰς ἀλλακτικάς, ἐν ᾧ καὶ τὸ τὰς πόλεις σώζεσθαί τε καὶ συμμένειν ἐστί· σύμφωνα δὲ ταῦτα τοῖς πρὸ ὀλίγου εἰρημένοις, ὅτε εἶπεν "ἔστι δὲ τοῦτο καὶ ἐπὶ τῶν ἄλλων τεχνῶν· ἀνῃροῦντο γὰρ ἄν". καὶ γὰρ καὶ νῦν διὰ τούτου δείκνυσι τοῦτο προσθεὶς τὸ τῷ ἀντιποιεῖν γὰρ ἀνάλογον συμμένει ἡ πόλις. ἀντιδιδομένων γὰρ τοῖς κακῶς ποιοῦσι τῶν κακῶν καὶ τοῖς καλῶς τῶν καλῶν οὐ δουλεία ἡ πολιτεία εὑρίσκεται ἀλλ' ἐλευθερία τε καὶ δημοκρατία. γινόμενον οὖν παρὰ τῶν νόμων τὸ κατὰ ἀναλογίαν τε καὶ ὡρισμένον συντηρεῖν παρέχει τὰς πόλεις καὶ οὐκ ἐκπολεμοῦσθαι οὐδ' ἀνατρέπειν τὴν πολιτείαν τε καὶ κοινωνίαν. ὅτι δὲ καὶ τοῖς εὖ πεποιηκόσι δεῖ ἀντιδιδόναι, σημεῖόν φησι καὶ τὸ ἱδρῦσθαι ἐν ταῖς πόλεσιν ἐμπεδῶν καὶ ἐν μέσῳ Χαρίτων ἱερόν, ὡς δεῖ πάντως τὸν εὖ παθόντα ἀνθυπηρετῆσαι τῷ f. 4r τοῦ προκατάρξαντος καὶ αὐτὸν πάλιν ἄρξασθαι χαριζόμενον. διὰ τοῦτο καὶ

7 εἰκ' ἐπάθος τὰ κ' ἔρεξε F (τὰ ex corr.): εἰκ' ἐπάθος τάκ' ἔρεξε G 21 διαβάλων FG 27 πρὸ ὀλίγου] c. 7 p. 1132b9: verborum ordo idem atque in Arist. codd. Kb Ob 28 ἀναιροῦντο FG 36 ἱερὸν G: ἱερῶν F 37 τοῦ προκατάρξαντος FG: τῷ προκατάρξαντι coni. Usener

ἡ μέση τῶν Χαρίτων ἔοικεν ἔστραπται καὶ δεξιοῦσθαι τὴν ἑτέραν
ἐπιστρεφθῆναι τὸ πρὸς τὸν εὖ πεποιηκότα ὑπηρετικόν, τῷ δεξιοῦσθ
πάλιν ἀρχὴν αὐτὴν ποιεῖσθαι τοῦ ἀντευεργετεῖν ἐνδεικνυμένη.
τὸ ἀντιπεπονθὸς δίκαιον γινόμενον κατὰ ἀναλογίαν σωστικὸν εἶναι
τικῆς κοινωνίας (οὐ γὰρ ἄγοιτο ἂν τῷ νεμητικῷ δικαίῳ κατὰ
γινόμενον). λέγει πῶς γίνεται δείκνυσι καὶ τίς ἡ κατὰ διάμετρο
διαγράμματι σύζευξις καὶ πῶς οἱ τεχνῖται ἀλλασσόμενοι τὰ ἔρ
τὸ ἴσον καὶ τὸ δίκαιον ἂν ἔχοιεν. ἁπλῶς μὲν οὖν τῆς ἀμείψεως
οὐκ ἔστιν τὸ συναλλαγμα ἴσον οὐδὲ συσταίη ἂν οὕτως ἡ πόλ
ἀνάλογον γένοιτο, τότε καὶ ἴση εἴη. οὐ γὰρ ἴση ἡ οἰκία καὶ τὸ
διὰ τοῦτο δεῖ τὸ ἀνάλογον παραλαμβάνειν ἐν τούτοις. καὶ ὅλως
καὶ οὐκ ἴσων. τὸ καὶ οὐκ ἴσων προσέθηκε τῇ τιμῇ ἴσον τὸ
λέγων. διότι διαφέρουσι κατὰ τὰ ἔργα ἀλλήλων καὶ οἱ τεχνῖτ
γὰρ πόλις οὔτε ἄλλη τις κοινωνία γίνεται πάντων ταῦτα ἐρ
ἑκάστου γὰρ ἂν οὕτως ἔχοι τὰ ἑαυτοῦ καὶ ἐν τι πάντες ἔσοντ
χρεία πλειόνων· διὰ τοῦτο δεῖ διάφορα εἶναι τὰ γινόμενα ὑπὸ τ
νούντων ἀλλήλοις. ἡ γὰρ χρησίμων καὶ λειπόντων ἑκάστῳ λῆ
ὄυσις κοινωνίας αἰτία· ἐπεὶ δὲ μηδὲ οἷός τέ ἐστιν ἕκαστος παντα ἐ
οὕτως ὧν ἐστιν ἐν χρείᾳ, τὰ δὴ διαφέροντα ταῦτα δεῖ πρῶτον
ἀλλήλοις εἶθ' οὕτως αὐτὰ ἀμείβεσθαί τε καὶ ἀλλάσσεσθαι τοὺς κ
οὕτω γὰρ ἂν τὸ ἴσον ἔχοιεν.

p. 1133a19 Διὸ πάντα συμβλητά πως δεῖ εἶναι.

Συμβλητόν φησι τὸ ἕτερον ἑτέρου ἀλλασσόμενον· καὶ γὰρ το
τὰ ἀντεχβαλλόμενα τῆς ὕλης ἀλλήλοις. ἂν δὲ ἀσύμβλητον ᾖ, οὐ
στερος μετέχειν οἷον γραμμὴ καὶ χρῶμα.

p. 1133a31 Ἔσται δὴ ἀντιπεπονθὸς, ὅταν ἰσασθῇ.

ἰσοῦται τότε ἔσται ἀντιπεπονθὸς τοῦτο δίκαιον. ὅταν ἰσασθ
τον τοῦτο ἡ ἀντιπεπόνθασιν ἀλλήλοις κατὰ τὴν εἰρημένην ἀναλ
γενέσθαι γεωργὸς πρὸς σκυτοτόμον, τὸ ἔργον τὸ τοῦ σκυ
πρὸς τὸ ἔργον τοῦ γεωργοῦ· εἰ ἴσα ἐκεῖνα. ἴσον ἄρα καὶ
εἶναι ἐκείνου ὃ ἔστιν ὑπερέχει τοῦ ἑτέρου. δεῖ καὶ τὸ ἔργο
των ὃ ὑπερέχων ἐν τῇ κοινωνίᾳ ὑπερέχων τοῦ ἔργου ὃ λήψεται
γόμενος. καὶ οὕτω ὅσῳ κακείνων ὁ τεχνίτης τοῦ τεχνίτου.
ἡ κατὰ τὸ ἀντιπεπονθὸς δίκαιον ἀναλογία, εἰ οὕτως γίνοιτο ἐν

1 [illegible] M[illegible] τὸν τὸ FG 2 τὸ δεξιοῦσθαι
δὲ δεξιοῦσθαι δὲ FG 4 σωστικὸν scripsi: σωστικὴν FG 10 [illegible]
[illegible] ex ὑπόδειγμα G 20 ἀλλάσσεσθαι G 26 ἰσασθῇ om.
ἰσασθῇ G 27 ἰσασθῇ F 30 ἔργον om. Aristot. 34 [illegible]
[illegible] F [illegible]

ὅροις καὶ κατὰ τὴν γεωμετρικὴν ἀναλογίαν, ἥτις ἦν κατὰ τὸ νεμητικὸν δίκαιον· δεῖξει μέντοι ὕστερον καὶ ἐν τρισὶν ὅροις γινομένην αὐτήν πως καὶ τῇ ἀριθμητικῇ ἀναλογίᾳ κατά τι ἐναγομένην. καὶ εἴη ἂν ἡ μὲν ἀντίδοσις κατὰ τὴν γεωμετρικὴν ἀναλογίαν γινομένη, ἡ δὲ εὕρεσις τῆς ἀναλογίας τε καὶ ἰσότητος τῶν ἐν τῇ ἀντιδόσει γινομένη διὰ τῆς ἀριθμητικῆς καὶ ἐκείνῃ προσχρωμένη. εἰς σχῆμα δὲ ἀναλογίας· αὕτη ἡ λέξις εἴρηται μὲν ἀσαφῶς, τὸ δὲ λεγόμενον διὰ τῆς λέξεως τοιοῦτον ἂν εἴη· τὴν ἀναλογίαν δεῖ ποιεῖν τῶν τε ἀλλασσομένων τεχνιτῶν καὶ τῶν ἃ ἀλλάσσονται πρὸ τοῦ ἀλλάξασθαι κατὰ τὸν ὑφηγημένον τρόπον· οὕτω γὰρ γινομένης τῆς ἀναλογίας ἡ ἀντίδοσις καὶ ἡ ἀναλογία ἀλλαγὴ ἴση τε καὶ δικαία ἔσται καὶ εἰς τὸ σχῆμα τῆς ἀναλογίας ἀναχθήσεται· ὡς εἶναι ὡς ὁ γεωργὸς πρὸς τὸν σκυτοτόμον οὕτω καὶ ὁ σκυτοτόμος πρὸς τὸν γεωργὸν μετὰ τῶν ὑποδημάτων ἕξει, καὶ ὡς ὁ οἰκοδόμος πρὸς τὸν σκυτοτόμον, οὕτω καὶ ὁ σκυτοτόμος μετὰ τῆς οἰκίας. καὶ γὰρ προεῖπεν ἔσται δὴ ἀντιπεπονθὸς δίκαιον ὅταν ἰσασθῇ· καὶ πῶς ἰσασθῇ προσέθηκεν εἰπὼν ὥστε ὅπερ γεωργὸς πρὸς σκυτοτόμον, τὸ ἔργον τοῦ γεωργοῦ πρὸς τὸ τοῦ σκυτοτόμου· εἰ μή, ἀμφοτέρας | ἕξει τὰς ὑπεροχάς. τῆς ὑπερ[illegible]γῆς ἡ μέν ἐστι καθ' ὑπερβολήν, ἡ δὲ κατ' ἔλλειψιν· γεωργὸς γὰρ καὶ ὑπόδημα καὶ τὴν ὑπεροχὴν ἕξει διότι γεωργός καὶ τὴν ἔλλειψιν διὰ τὰ ὑποδήματα· πάλιν σκυτοτόμος μετὰ τῆς τροφῆς ὁμοίως ἄμφω ἕξει, διὰ μὲν τὴν τροφὴν τὴν ὑπερβολὴν ὑπερεῖχεν ὅ τε γεωργὸς καὶ τὸ ἔργον αὐτοῦ τὸν σκυτοτόμον καὶ τὸ ἔργον αὐτοῦ, διὰ δὲ τὸ σκυτοτόμον εἶναι τὴν ἔλλειψιν. ἀμφοτέρας ἕξει τὰς ὑπεροχάς· τοῦτο ἴσον ἂν εἴη τῷ εἰ γὰρ πρὸ τοῦ ἀλλάξασθαι μὴ ἀνάλογα γένοιτο αὐτῶν τὰ ἔργα ἁπλῶς ἀλλαγέντων, ἀμφοτέρας ἕξει τὰς ὑπερβολὰς τὸ ἕτερον τῶν ἄκρων. οὕτως γὰρ ὑπεροχῆς τῆς μὲν καθ' ὑπερβολήν, τῆς δὲ κατ' ἔλλειψιν, ἂν ἀμείψωνται ὁ γεωργὸς καὶ ὁ σκυτοτόμος τὰ οἰκεῖα ἔργα πρὸ τοῦ ἐν ἀναλογίᾳ ληφθῆναι, τὸ ἕτερον τῶν συγκρινομένων γεωργὸς σκυτοτόμος ὑποδήματα τροφὴ πρὸς ἄλληλα ἀμφοτέρας ἕξει τὰς ὑπεροχάς· ὁ γὰρ γεωργὸς μετὰ τῶν ὑποδημάτων καὶ κατὰ τὴν ὑπερβολὴν ὑπεροχὴν ἕξει. ὑπερεῖχε γὰρ ὁ γεωργὸς τοῦ σκυτοτόμου καὶ κατὰ τὴν ἔλλειψιν· ὑπερείχετο γὰρ διὰ τὰ ὑποδήματα ὑπὸ τῆς τροφῆς· ἔμπαλιν δὲ καὶ τὸ ἕτερον ἄκρον καὶ τὸ αὐτὸ ἀμφοτέρας ἕξει τὰς ὑπεροχάς, τήν τε κατὰ τὴν ἔλλειψιν, (ἐλάττων γὰρ ὁ σκυτοτόμος τοῦ γεωργοῦ) τήν τε κατὰ τὴν ὑπεροχήν· ὑπερεῖχε γὰρ ἡ οἰκεία τροφὴ τῶν ὑποδημάτων). οὕτης δὲ τοιαύτης ἀνισότητος ἐν τῇ οὕτως γινομένῃ ἀναλογίᾳ, ἥτις ἦν ἐν τῷ ἀντιπεπονθότι δικαίῳ, εἰ ἁπλῶς γίνοιτο, οὔτ' ἂν δικαίως καὶ κατ' ἰσότητα γίνοιτο, μάταιόν τε καὶ ἄτοπον τὸ εἰς σχῆμα ἄγειν ἀναλογίας πειρᾶσθαι τοὺς ἁπλῶς ἀλλασσομένους τὰ ἴδια ἔργα καὶ μὴ κατὰ τὴν προειρημένην ἀναλογίαν πρῶτον αὐτῶν διαι-

6 λέξις et λέξεως scripsi: λύσις et λύσεως FG 13 ὁ οἰκοδόμος F: οἰκοδόμος G
15 ἰσασθῇ FG utrubique 16 τὸ ἔργον τοῦ FG et Arist. codd. $L^b M^b$: τὸ ἔργον τὸ τοῦ Aristot. vulg. 17 εἰ μή FG: εἰ δὲ μή Aristot. 24. 25 ἀλλαξαμένων F: ἀλλαμένων G
27 ἀναλογία G: ἀναλλογία F 29 ἕξει FG 30 ὑπεροχὴ FG 33 ἐλάττων G 38 εἰς σχῆμα ἄγειν ἀναλογίας scripsi ex Michaele: ἐν σχήματι ἄγειν καὶ ἀναλογία FG

γειέντων και ἰσασθέντων. οὐ γὰρ δύναται εἶναι ὡς γεωργὸς πρ
τοῦτο γεωργὸς μετὰ τῶν ὑποδημάτων πρὸς σκυτοτόμον οὐ
τοῦτος μετὰ τροφῆς πρὸς γεωργὸν διὰ τὴν τῶν ἀλλασσομένων ἀνι

p. 1133b4 Γεωργὸς ἀ. τροφὴ γ.

Ὑπογράφει πάλιν τὸ διάγραμμα ἐπὶ στοιχείων. | οὗ καὶ π
ἐμνημόνευσε λέγων περὶ τῆς κατὰ διάμετρον συζεύξεως. καὶ ἦ
πόσοις τοῖς κοινωνοῖς γίνεται. προειπὼν ὅτι δεῖ καὶ συμβλητά τ
τὰ ἀλλασσόμενα καὶ ἔχειν τι κοινὸν μέτρον. καὶ τοῦτο τὸ μέτρ
καθ' ὃ συμβλητὰ γίνονται, εἰπὼν κυρίως μὲν τὴν χρείαν ἐνοῦ
οὐκ ἂν τῶν ἔργων ἀλλήλων χρείαν ἔχουσι, τὸ νόμισμά φησιν
τῆς χρείας ἐνεχύρου, οὐ τῇ ποσότητι μετρητὸν ἡ χρεία τῶν ἐν τῇ
περὶ τούτων γὰρ ἐπέξεισι καὶ δείκνυσι ὅτι οὕτως ἔχει καὶ ὅτι ἡ
συνέχει τὴν κατὰ τὴν χρείαν ἀναλογίαν ἡ ὡς ἐνὸν παραμεταστῆ
δύνασθαι λαμβάνειν, ὅταν μὴ δέηται ἄτερος θατέρου μηκέτ' αὐτοὺς
τοῦτο γὰρ τὰ αὐτοῦ διδώσιν ὑπὲρ τοῦ λαβεῖν τι μὴ χρήσιμ
γὰρ ἀποστέλλουσιν ὅταν ὁ ἕτερος αὐτῶν δέηται τούτου οὗ ὁ ἕτερο
γει. οὐκ ἐν ὁ μὲν οἴνου δέοιτο ὁ δὲ σίτου, εἰ δὲ ὁ μὲν τις αὐτῶν
οἴνου ἔχων ὁ δὲ σίτου· καὶ αἱ πόλεις δὲ οὕτω τὰς ἀλλαγὰς ποιοῦ
παρ' αὐτοῖς γινομένων ἐξαγωγῶν διδόασι ὑπὲρ τοῦ ἀντεισαγεῖν
τὰ γινόμενα παρ' ἀλλήλων. τὴν χρείαν οὖν δεῖ ἔχειν τῶν
σιμὴ τοῖς ἀλλαξαμένοις, εἰ μέλλοιεν ἴσοι εἶναι οἱ ἀλλαξάμενοι
ησαν καὶ πρὸ τῆς ἀλλαγῆς· ὑπὲρ οὗ δὲ μὴ ἅμα πάντες χρείαν ἔχ
ἀλλήλων ἔργων, ἀλλ' ὁ μὲν νῦν ὁ δὲ ὕστερον χρείαν ἔχει, περι
λαβεῖν, ὅταν δεηθῇ παρὰ τούτου τὸ ἐκείνου ἔργον ᾧ διδῶσι τὸ
νόμισμα ὥσπερ ἐγγυητὴς καὶ ἐνέχυρον γίνεται τῆς ἀποστολῆς
ἀναδεχόμενον ὥσπερ πάλιν τοῦ εἰ χρεία γένηται ἐκείνου τοῦ
αὐτοῦ πάντως παρασχεθήσεσθαι αὐτῷ. τούτῳ γὰρ τὰς χρείας τῶ
σομένων μετοῦσι διδόντες τὰ ἔργα τότε λαμβάνοντες. ἡ διδόσ
ὅταν ἐν χρείᾳ γένωνται τοῦ ἀλλοτρίου ἔργου, λήψονται οὗτοι κ
πρὸς τὴν κοινωνίαν καὶ τὴν τῶν ἔργων ἀλλαγὴν χρήσιμον καὶ τὴν
τῆς χρείας. παρέχει μὲν οὖν καὶ τὸ νόμισμα τοῦτο ὅπερ κα
ὡς γὰρ ἐπ' ἐκείνης οὐκ ἀεὶ ὁμοίως ἀσφαλὲς καὶ ἐν χρείᾳ ἐσ
ἀλλοτρίων ἔργων, οὕτως οὐδὲ τὸ αὐτὸ νόμισμα ἀεὶ τῶν ὄντω
μεταπίπτει καὶ τὸ πρότερον πλεῖω δυνάμενον ὕστερον ἢ ἧττον
τυγχάνει οὕτως συνιέμενον. καὶ γίνεται τούτου κατὰ τοῦτο ζήμια τ
διομένων τὸ τῶν ἔργων νομισματι. μεταπεσόντος γὰρ αὐτοῦ
οἷός τε ἐστὶν αὐτῷ χρῆσθαι πρὸς ὧνῆς τοῦ ἔργου. ἢ οὐκ ἐπίπρ
αὐτοῦ ἀνταξίων ἐλαμβάνε νόμισμα. πλὴν τοῦτό γε ὑπὸν διαφέ

p. 1133a6 11 et 25 ἐνέγειεν FG 14 θατέρου Diels: ἕτε
15 ἀλλάττεσθαι corr. ex ἀλλάσσασθαι FG 16 τούτου οὖ FG: aut τοῦ
tum scribendum 17 εἴη δὲ Diels: ἤδη FG 19 ἀντισάγεσθαι FG
G: πέλσιεν F 36 νομίσματι corr. in νομίσμασι FG 37 εἰ καὶ

δεῖ μέτρῳ αὐτῷ χρῆσθαι τῶν ἀλλασσομένων καὶ πάντων προέχειν αὐτὸ καὶ τιμᾶσθαι. οὕτω γὰρ ἀλλαγή τε καὶ οἰκη καὶ πρᾶσις ἔσται ἡ ἰσοῦσα καὶ ἡ κοινωνία ἂν διαμένοι, ἐν ᾗ ταῖς πόλεσι τὸ εἶναι. τὸ δὴ νόμισμα ὥσπερ μέτρον γίνεται συμμετρίας· καὶ γὰρ σύμμετρά ἐστι τὰ τῷ αὐτῷ μέτρῳ μετρούμενα. γίνεται δὴ τὰ ἐν ταῖς ἀλλαγαῖς σύμμετρα τῷ ὑπὸ τοῦ νομίσματος μετρεῖσθαι· μέσον γὰρ τοῦτο γινόμενον ὥσπερ ὁ δικαστὴς ἐν τῷ ἐπανορθωτικῷ δικαίῳ ἑκατέρας ἀμετρίας ἀφαιρεῖταί τε καὶ κολάζει.

p. 1133b17 Οὔτε γὰρ ἂν μὴ οὔσης ἀλλαγῆς.

Εἰ γὰρ ἡ συμμετρία ὑπὸ τοῦ νομίσματος γίνεται, δῆλον ὅτι ἀναιρε-
10 θέντος τούτου ἀναιρεῖται συμμετρία. τούτῳ ἀναιρεθέντι ἴσως ἀναιρεῖται. ἴσως μὴ οὔσης οὐδὲ κοινωνίαν [τε] οἷόν τε εἶναι. ὥστε οὐδὲ πόλιν. τῷ μὲν οὖν ἀληθείᾳ ἀδύνατον· οὐ κυρίως φησὶ τοῦτο σύμμετρα. τὰ γὰρ σύμμετρα κοινῷ μορίῳ καταμετρεῖται. τὸ δὲ νόμισμα οὐδὲν τῶν ἐν ταῖς ἀλλαγαῖς ἔχει κοινὸν μόριον. τῆς δὲ κατὰ τὴν χρείαν αὐτῶν | συμμετρίας f. 6v
15 τὸ νόμισμα γίνεται μετρητικόν. ἓν δεῖ δή τι εἶναι. εἰ δεῖ, φησί, σύμμετρα εἶναι τὰ ἐν ταῖς ἀλλαγαῖς, δεῖ ἕν τι εἶναι τὸ μετροῦν αὐτά, τοῦτο δὲ δεῖ μὴ μόριόν τι εἶναι τῶν μετρουμένων. τοῦτο δ' ἐξ ὑποθέσεως καὶ κατὰ συνθήκην μέτρον λαμβάνεται, διὸ τὸ κατὰ συνθήκην μέτρον νόμισμα καλεῖται· τούτῳ γὰρ καταμετρεῖται τὰ ὦνια, διὸ νόμισμα καλεῖται. πῶς
20 τὸ νόμισμα μεσότης καὶ πῶς τοῦτο ἡ ἐν αὐτοῖς μεσότης εὑρίσκει μέσον λαμβανόμενον αὐτῶν, δείκνυσι διὰ τούτων. λαμβάνει γὰρ οἰκίαν μὲν ὅ ἐστιν ἔργον οἰκοδόμου ἐπὶ τοῦ α. δέκα μνᾶς νόμισμα ἐπὶ τοῦ β. κλίνην δὲ ἐπὶ τοῦ γ· καὶ ἐπὶ πάντα τετράγωνα τῷ νομίσματι. ἡ οἰκία ἔστω πέντε μνῶν. ὅ ἐστιν ἥμισυ τοῦ β, τουτέστι δέκα μνῶν, ἡ δὲ κλίνη ἔστω μνᾶς μιᾶς
25 ἀξία· τῷ δὴ νομίσματι γνωρίζομεν, πόσαι κλῖναι ἀνταξιοί εἰσι καὶ ἴσοι εἰσὶν οἰκίᾳ. ἐὰν μὲν γὰρ ἡ οἰκία πέντε μνῶν, πέντε κλῖναι ἔσονται ἴσαι οἰκίᾳ· εἰ δὲ δέκα μνῶν εἴη, δέκα κλῖναι ἴσαι ἔσονται οἰκίᾳ. ἐνδεέστερον δὲ δοκεῖ ἡ λύσις ἔχειν, λείπει γὰρ τῷ ἡ δὲ κλίνη τὸ μιᾶς, ἐπειδὴ ἡ κλίνη μιᾶς γίνεται, τὸ γ τοῦ β δέκατον μέρος. οὕτω δὲ καὶ σημαίνοντος
30 πρότερον οἱ ἀλλαγαὶ πρὸ τῆς τοῦ νομίσματος χρήσεως. οὐδὲν δὲ διαφέρει οἰκίαν λαμβάνοντας ἢ πέντε κλίνας δοῦναι ἢ πέντε μνᾶς, εἰ εἴη ἡ οἰκία πέντε μνῶν τετιμημένη. διωρισμένων δὴ τούτων εἴρηκε περὶ τοῦ ὅτι τὸ δίκαιον μέσον ἐστὶ τοῦ πλείονος καὶ ἐλάττονος· τῆς γὰρ πλεονεξίας καὶ τῆς μειονεξίας μέσον τὸ δίκαιον, καὶ τὸ δίκαιον δεῖ πράττειν καὶ τὸ
35 δικαιοπραγεῖν εἴη ἂν μεταξὺ τοῦ πλεονεκτεῖν καὶ τοῦ πλεονεκτεῖσθαι· ἡ δικαιοπραγία ἄρα μέση πλεονεξίας καὶ μειονεξίας. δείξας δὲ καὶ τὸ δίκαιον πῶς μέσον τῇ τοῦ ἐπανορθωτικοῦ παραθέσει εὐλόγως ἐπῆνεγκε, ὅτι ἡ f. 7r
δικαιοσύνη μεσότης εἴη οὐ τὸν αὐτὸν τρόπον ταῖς προειρημέναις ἀρεταῖς. αἱ μὲν γὰρ δύο κακιῶν τῆς τε κατὰ τὴν ὑπερβολὴν καὶ τῆς κατὰ τὴν ἔνδειαν

1 δεῖ δή τι FG et Arist. cod. Ob: δή τι δεῖ Aristot. vulg. τῷ Diels: τὰ FG 11 τε FG: exclusi 15 δεῖ δή τι FG cum Aristot. Ob: δέ τι δεῖ Lb: δὲ δεῖ τι Mb: δή τι δεῖ Aristot. vulg. 21 τούτων Usener: τοῦτο FG 32 δή] δὲ Aristot.

ἴσον μέσον. τοῦ μέσου οὖσαι πρακτικαί τε καὶ προαιρετικαί, οὐ κα
ἡ μὲν κατὰ τὴν ὑπερβολὴν ἡ δὲ κατὰ τὴν ἔνδειαν ἦν, ἡ δὲ δ
οὖσα δύο κακιῶν ἐστι μέση· μία γὰρ αὐτῆς ἐστι κακία ἐναντία,
καὶ ἔστι μεσότης τούτων· ἐν οἷς γάρ ἐστιν ἡ ἀδικία, τὸ μέσον
ἔστι γὰρ ἡ ἀδικία τῷ πλείονι καὶ τῷ ἐλάττονι· ἐν γὰρ ἀδικουντι
ἀνωμάλῳ ἡ ἀδικία· ὧν ὁ μὲν ἀδικῶν πλέον ἔχει, ὁ δὲ ἀδικούμενος
μέσον δὲ τοῦ πλείονος καὶ τοῦ ἐλάττονος τὸ ἴσον· οὐ ἡ δικαιοσ
πρακτικὴ κατὰ τοῦτο καὶ μεσότης ἐστίν. οὐ τὸν αὐτὸν δὲ τρό
γὰρ δύο κακιῶν ἐστι μεταξύ· μία γὰρ ἡ ταύτῃ ἐναντία, ἡ ἀδικ
ἀδικοῦντι καὶ ἐν ἀδικουμένῳ θεωρεῖται. ἐν τῷ πλείονι καὶ ἐλα
εἶναι ἔχουσα. ἀλλ' ὅτι μέσον ἐστί. τοῦ γὰρ ἴσου τοῦ δ' ἐσ
τοῦ πλείονος καὶ ἐλάττονος. οὐ μέσον λέγω δὴ τοῦ ἴσου. ἐπει
δικαιοσύνη πρακτικὴ κατὰ τοῦτό ἐστι μεσότης· οὐ γὰρ ἡ ὁρισθεῖσ
κακῶν. καὶ ἡ μὲν δικαιοσύνη καθ' ἣν ὁ δίκαιος λέγεται πρα
τὸ κατὰ προαίρεσιν εὐλόγως προσέθηκε· τούτῳ γὰρ μάλιστα
ται χαρακτηρίζων τὸ τῇ προαιρέσει καὶ κατὰ ἀρετήν τι ἐνεργεῖ
γὰρ λέγεται τὸ κατ' ἀρετήν, ὅταν μετὰ προαιρέσεως τὰ κατ'
πράττῃ. ὑπογράφει δὲ δι' ὧν λέγει καὶ τὸν τῆς δικαιοσύνης ὅρ
γὰρ αὐτὴν λέγει καθ' ἣν πρακτικοὶ κατὰ προαίρεσιν γίνονται τῶν
κοινωνίαις ἴσων. τὸ γὰρ τοῦ δικαίου ἴσον τῷ τοῦ ἴσου. τι δὲ
ἴσον τὸ ἐν κοινωνίᾳ, δι' ὧν προστίθησι δηλοῖ. λέγει γὰρ καὶ ὃ
τικὸν καὶ αὐτῷ πρὸς ἄλλον καὶ ἑτέρῳ | πρὸς ἕτερον
λοιπά. διὰ γὰρ τούτων μνημονεύει μὲν φανερῶς τοῦ ἐν τοῖς νομ
ἐνδεικνυοῦτο δ' ἂν καὶ περὶ τοῦ ἐν τοῖς ἐπανορθώσεσιν. ὅρα δὲ
τινων καὶ διά τι ἡ δικαιοσύνη μεσότης ἐστὶ φανερὸν ποιεῖται. κα
ἡ δικαιοσύνη συναμφότερα εἶπεν εἶναι ἕξιν ἀφ' ἧς πρακτικοὶ καὶ προαιρε
νονται τοῦ ἐν ταῖς διανομαῖς καὶ ταῖς ἐπανορθώσεσιν ἴσου. ἡ δὲ
τουναντίον τοῦ ἀδίκου· ἄμφω γὰρ τὸ πρακτική τε καὶ προαιρετ
ἁπλῶς ὠφελίμου, δηλονότι τοῦ πλείονος καὶ ἐλάττονος.

p. 1134a11 Ἐπὶ δὲ τῶν ἄλλων τὸ μὲν ὅλον ὁμοίως.

Ὑπὲρ τῶν ἀδίκων ἕξιν εἶναι ἐναντίαν τῇ δικαιοσύνῃ (τοῦ γὰρ
τοῦ ἐν ταῖς κοινωνίαις ὅ ἐστι πλέον τε καὶ ἔλαττον τοῦ ὠφελίμου
λόγ. τοῦ παρὰ τὸ ἀνάλογον), προαιρετικήν τε αὐτὴν καὶ πρακτι
καὶ τὸν ἄδικον ὁμοίως φησὶ τὸν ἐφ' ἑαυτοῦ μὲν οὕτως ποιοῦντα
ἀγαθῶν τὰ πλεῖω νέμειν ἑαυτῷ, τῶν δὲ κακῶν τὰ ἐλάττω. ἐ
ἄλλων φησί, λέγει δὲ τῶν παρ' ἑαυτῷ, οἳ καὶ κοινωνοὶ αὐτῷ
ὅλον ὁμοίως ἀντὶ τοῦ ἀνίσως· οὐ γὰρ ὡρισμένως, ὥσπερ ἐφ
τῶν ἀγαθῶν τὸ πλεῖον ἐκείνοις, τῶν δὲ κακῶν τὸ ἔλαττον, ἀλλ

1 καὶ Diels: οὐκ FG 4 αἰσεῖται Usener: αἰσεῖσθαι FG 14 κακιῶν ex
15 . . . τό τε ποσαχῶς ἔστι Diels 17 τὰ F: καὶ G 18 πράττῃ sc
FG 21 τὸ scripsi: τοῦ FG 28 τε καὶ G: τε F 32 sententia restitu

ὡς εἴρηται. ὅλον δὲ τὸ διανεμόμενόν φησιν ἀγαθὸν καὶ κακὸν καὶ τοῦτο δὲ ὡς πολλάκις εἴρηκεν ἀνίσως καὶ ὁποτέρως ἔτυχε, τοῖς μὲν τῶν κακῶν τὰ πλείω, τῶν ἀγαθῶν δὲ τὰ ἐλάττω, τοῖς δὲ τὸ ἀνάπαλιν, καὶ οὐκ ἀφωρισμένως ὥσπερ ἐφ' ἑαυτοῦ, ὡς ἤδη λέλεκται· ὡς εἶναι τοῦ ἀδίκου τὴν ἀνισότητα, ἣν καὶ παρὰ τὸ ἀνάλογον ἐκάλεσε, τυχηράν τε καὶ ἀσταθμητον καὶ κυριώτερον εἰπεῖν ἄλογον τὸ παρὰ τὸ ἀνάλογον, ὅτι καὶ ἡ ἀνισότης τοῦ ἀδίκου οὐκ ἀφωρισμένως ὡς ἐφ' ἑαυτοῦ ἀλλ' ὡς ἂν τύχοι. τοῦ γὰρ ἀδικήματος τὸ μὲν ἔλαττον. ὑπομιμνήσκει διὰ τούτων, ὅτι ἀνωτέρω | ὑπερβολὴν εἶπε καὶ ἔλλειψιν τί ταῦτα εἰσί. περὶ μὲν οὖν δικαιοσύνης καὶ ἀδικίας. εἴρηκε γὰρ ὅτι τὰς ἕξεις ἐκείνας ἔχοντες τοιοῦτοι· τὸ δὲ καθόλου προσέθηκεν, ὅτι μὴ ἐπεξῆλθε τὰ καθέκαστα καὶ ὅτι ἐν τοῖς τῶν πρακτῶν λόγοις τὸ μὲν καθόλου ὁποῖόν τι δεῖ εἶναι ὑπογράφειν οἷόν τε. οὐκέτι μέντοι ἐπεξιόντα τὰ καθέκαστα οἷόν τε ὁρίσαι, μέχρι πόσου ἕκαστον αὐτῶν γινόμενον πλεῖον ἢ ἔλαττόν ἐστιν. οἱ γὰρ περὶ πρακτικῶν λόγοι οὐ δέχονται τὴν τοιαύτην ἀκριβολογίαν τῷ ἐν πλάτει ἕκαστον τούτων τὸ εἶναι ἔχειν. ἐπεὶ δὲ ἔστιν ἀδικοῦντα μήπω ἄδικον εἶναι. ἀσαφῶς καὶ ὑπομνηματικῶς μέμνηται τοῦ προβλήματος· πλὴν τὸ λεγόμενον σαφές· οὐ γὰρ τὴν πρᾶξιν ἀποσκοποῦντες τὰ πράγματα κρίνομεν ἀλλὰ τὸ οὗ ἕνεκα. ἐπεὶ δὲ μηδὲ κλέπτης ὁ τοῦ μαινομένου κλέψας τὸ ξίφος, σωτὴρ δέ, οὐδὲ μοιχὸς ὁ τὴν πλουσίαν διαφθείρας ἀλλὰ φιλόπλουτος, καὶ ὁ παρ' Ὁμήρῳ Φοῖνιξ πεισθεὶς τῇ μητρὶ ἐμίχθη τῇ τοῦ πατρὸς παλλακίδι, ἣν ἐχθήρετε γέροντα· οὕτως καὶ Ἀβεσαλώμ.

p. 1134a25 Δεῖ δὲ μὴ λανθάνειν.

Εἰπὼν περὶ τοῦ δικαίου καὶ διελὼν αὐτὸ καὶ δείξας τὸ μὲν νεμητικὸν αὐτοῦ τὸ δὲ ἐπανορθωτικόν. ἐπεὶ πολλαχῶς ἡ δικαιοσύνη λέγεται καὶ τὸ δίκαιον, περὶ ποίας δικαιοσύνης καὶ περὶ ποίου δικαίου τὸν λόγον πεποίηται, λέγει, ὅτι περὶ τοῦ πολιτικοῦ περὶ οὗ καὶ ἡ ζήτησις. ἐπεὶ καὶ τὸ ἁπλῶς καὶ κυρίως δίκαιον τοῦτό ἐστιν ὃ ὁρίζομεν κατὰ κοινωνίαν αὐτὸ εἶναι βίου πρὸς τὸ εἶναι αὐτάρκειαν ἐλευθέρων καὶ ἴσων ἢ κατ' ἀναλογίαν ἢ κατ' ἀριθμόν· κατ' ἀναλογίαν μὲν ἴσων τῶν νεμομένων, κατ' ἀριθμὸν δὲ τῶν ἐπανορθουμένων· τοιοῦτον δὲ τὸ πολιτικὸν δίκαιον. συντηρητικὸν γάρ ἐστι καὶ σωστικὸν τῶν κατὰ κοινωνίαν ἐλευθέρων καὶ | ἴσων ἢ κατ' ἀναλογίαν ἢ κατ' ἀριθμὸν γινόμενον πρὸς αὐτάρκειαν βίου. κατὰ ἀναλογίαν μὲν οὕτως ὡς προείρηται ἐπὶ τοῦ νεμητικοῦ δικαίου, ὃ κατὰ τὴν γεωμετρικὴν ἀναλογίαν ἔδειξε γινόμενον, ἣ καὶ κυρίως ἀνάλογον καλεῖται, τὸ δὲ κατ' ἀριθμὸν ἐπὶ τοῦ ἐπανορθωτικοῦ· τὸ γὰρ κατ' ἰσότητα τὴν κατ' ἀριθμὸν κατὰ τὴν ἀριθμητικὴν ἀναλογίαν φησί· διὰ δὲ τούτων διὰ βραχέων διαίρεσιν τῶν πολιτειῶν ἐποιήσατο. κατὰ μὲν γὰρ

2 τῶν κακῶν mutatum in τῷ κακῷ FG 7 γὰρ FG: δὲ Aristoteles 8 ἀνωτέρω scripsi: ἀνωτέραν FG 15 τῷ Michael: τοῦ FG 16 ἀσαφῶς F: σαφῶς G 20 παρ' Ὁμήρῳ] Il. 1452 35 ἣ scripsi: ἢ FG

ἀριθμὸν ἴσοι οἱ κοινωνοί [illegible] δημοκρατίᾳ (πάντες γὰρ οἱ ἐν τῇ το
λιτείᾳ ἴσους ἑαυτοὺς ὑπολαμβάνουσι), κατ' ἀναλογίαν δὲ ἴσοι
ὀλιγαρχίαις καὶ οἱ ἐν ταῖς ἀριστοκρατικαῖς πολιτείαις. ὡς εἶναι
ἀναλογίαν ἢ κατ' ἀριθμὸν μὴ περὶ τοῦ δικαίου λεγομένου ἀλλὰ
κοινωνῶν. καὶ τὸ πολιτικὸν δίκαιον, τουτέστι περὶ οὗ ὁ λόγος
ἀναλογίαν ὡς ἐπὶ τῶν νεμομένων, ἢ κατ' ἀριθμὸν ὡς ἐπὶ τῶν
μένων. ὅταν ἐστὶ τοῦτοι πρὸς ἀλλήλους, τουτέστιν ἴσοι
νωνία βίου τοιαύτη πρὸς ἀλλήλους διὰ τὸ κυρίως δίκαιον περὶ οὗ
ἀλλά τι δίκαιον καὶ καθ' ὁμοιότητα παρὰ τὸ πολιτικόν.
νόμων οὐδὲ διὰ τῆς ἐκ τῶν νόμων δίκης καὶ κρίσεως ἴσου τε καὶ
καὶ τοῦ δικαίου καὶ ἀδίκου.

p. 1134b18 ὅτι γὰρ δίκαιον, οἷς καὶ νόμος.

Ὅτι πλεοναχῶς τὸ δίκαιον καὶ οὐ περὶ παντὸς δικαίου τὰ
εἴρηται. προστίθησι δὲ καὶ προσκατασκευάζει, ὅτι κυρίως δίκαιό
πολιτικὸν τὸ περὶ οὗ εἰρηκε. τούτοις γάρ φησιν εἶναι δίκαιον π
λους καὶ κοινωνεῖν, τούτοις δὲ νόμοι πρὸς ἀλλήλους, οἳ καὶ ἀδικ
λους ὑφανται. καὶ γάρ ὁ νόμος τηρητικὸς τῆς ἰσότητος τῆς
κοινωνίαν ἧς ἀδικία φθαρτική· ἐπεὶ μὴ ἐφ' οἷς ἀδικᾶσαι οἷόν
πρὸς γίνεται ἡ ἀδικία, οὗτοι οὔτε νόμου δέονται οὔτε τι ἔστιν αὐτοῖ
ἢ κεμητικὸν ἢ ἐπανορθωτικόν· ἡ γὰρ δίκη ἡ γινομένη κατὰ τοῦ
κρίτης ὡς φησι τοῦ δικαίου καὶ ἀδίκου ἐν οἷς ἐστι τὸ πολ
τὸν πολιτικόν· τὸ γὰρ κατὰ προαίρεσιν τοῦτο δίκαιόν τε καὶ ἀδι
ἐστι καὶ ἐν ἀγνοίᾳ καὶ ἐν ἄλλῳ τινὶ τρόπῳ ἀδικοῦντα ἢ δικαιο
οὔτ' ἀδικεῖν οὔτε δικαιοπραγεῖν. αἱ γὰρ κατὰ προαίρεσιν ὁρμ
τῶν ἐπαινῶν ἢ ψόγων, ὡς καὶ ἀνωτέρω ἐπὶ τοῦ μοιχείας ἐργάζ
μέντοι μοιχείας κρινομένου ὑπεμνήσεν. εἰπὼν δὲ ταῦτα προστίθη
πλέον αὐτῷ νέμειν τῶν ἁπλῶς ἀγαθῶν, ἕλαττον δὲ τῶν κακῶ
δὲ λέγει ἀγαθὰ καὶ κακὰ τὰ τῇ αὐτοῦ φύσει ταῦτα. ἃ οἷς ἐσ
ὡς δυνάμεις λεγόμενα ἀγαθὰ καὶ κακά, οἷον πλοῦτος ὑγίεια πεν
νεια ἀγαθὰ ἢ κακὰ ἐστι· συντελεῖ γὰρ καὶ τῷ σπουδαίῳ ἢ τ
πρὸς τὰς προηγουμένας κατ' ἀρετὴν ἢ κακίαν ἐνεργείας, ἐν αἷ
εὐδαιμονεῖν ἢ κακοδαιμονεῖν ὁρᾶται, εἰ γε ἐν μὲν ταῖς κατ' ἀρε
γείαις ἡ εὐδαιμονία τῷ σπουδαίῳ· τούτων δὲ ἐν ταῖς αἱρετωτέρ
τωτέραι τῷ σπουδαίῳ αἱ προηγούμεναι τῶν περιστατικῶν, ἃς
ανευ τῶν τοιούτων ἀγαθῶν γίνεσθαι. περὶ γὰρ ὡς [illegible] καὶ
ὀργάνων αἱ προηγούμεναι κατ' ἀρετὴν ἐνέργειαι γίνονται. ταῦτα
σκευαστὰ ἀγαθὰ. [illegible] ἐστι τὸ ἀδικεῖν, ὃν τοῦτο

ἐῶμεν ἄνθρωπον ἄρχειν, ὡς τῶν ἀνθρώπων ἀεὶ τὰ πλείω δυναμένων τῶν νόμων
τῶν ἀγαθῶν τὸ πλεῖον ἑαυτοῖς, τῶν δὲ κακῶν τὸ ἔλαττον καὶ ὑπὲρ τοῦ
ἀκόλουτον τούτους τὴν ἐξουσίαν ἔχειν ἐπιτιθεμένων τῇ τυραννίδι, ἀλλ' ἀντὶ
ἀνθρώπου τὸν λόγον, τουτέστι τὸν ἄρχοντα καθίσταμεν, | ὃς οὐκέθ' οἷός τέ f. 9v
ἐστιν ἀδικεῖν. ὁ γὰρ ἄρχων φύλαξ ἐστὶ τοῦ δικαίου, τοῦ ἴσου κατ'
ἀναλογίαν ἢ κατ' ἀριθμὸν ἐν κοινωνίᾳ βίου ἐλευθέρων γινομένῃ ὑπ' αὐταρ-
κείας. διὰ δὲ τούτων ἀποδίδωσι τὴν αἰτίαν τοῦ ῥηθέντος τοῦ διὰ οὐκ
ἐῶμεν ἄρχειν ἄνθρωπον ἀλλὰ τὸν λόγον. λέγει γὰρ ὅτι ἦν αὐτῶν
δοκεῖ ἡ δικαιοσύνη ἀλλότριον εἶναι ἀγαθόν· ἐπεὶ γὰρ ὁ δίκαιος ἄρχων
καὶ φύλαξ τοῦ δικαίου καὶ ἴσου, τούτων δὲ ὁ φύλαξ οὐδὲν πλέον νέμει
αὐτῷ εἰ μὴ ἀνάλογον αὐτῷ πλειόνων τυχεῖν, ἃ καὶ ἄλλου νέμοντος ἦν
ποιεῖν· ὁ δὲ τῆς δικαιοσύνης φύλαξ ἀλλότριον ἀγαθὸν συντηρεῖ καὶ ἐργά-
ζεται· διὰ τοῦτο μισθὸς αὐτῷ ὡρίσθη. καὶ τίς οὗτος λέγει, ὅτι τιμὴ
καὶ γέρας.

p. 1134ᵇ8 Τὸ δὲ δεσποτικὸν δίκαιον.

Ὃ ἀνώτερον εἴρηκε παρὰ τὸ πολιτικὸν δίκαιον καὶ καθ' ὁμοιότητα
τούτου, νῦν διασαφεῖ τοῦτο καί φησιν εἶναι αὐτὸ τὸ δεσποτικόν τε καὶ
πατρικόν· ἕτερον γὰρ τοῦτο παρὰ τὸ πολιτικόν· ἐκεῖνο μὲν γὰρ ἐν ἰσότητι
θεωρεῖται τῇ πρὸς ἀλλήλους· οὔτε δὲ δούλου ἰσότης ἐστὶ πρὸς δεσπότην,
ἔστ' ἂν ᾖ δοῦλος, οὔτε υἱοῦ πρὸς πατέρα, ὑπὸ τῷ πατρὶ μένοντι· τότε
γὰρ ὥσπερ μέρη αὐτῶν εἰσι, τοῦ δεσπότου φημὶ ὁ δοῦλος καὶ τοῦ πατρὸς
ὁ υἱός, οὓς οὐχ οἷόν τε βλάπτειν, ὅτι μηδέ τις ἑαυτόν. ἀλλὰ καὶ ἐν οἷς
ἐστι νόμος, ἐν τούτοις ἔφασκεν εἶναι τὸ πολιτικὸν δίκαιον· ὁ δὲ νόμος καὶ
ἐν οἷς δύναταί τις βλάπτειν· ἐπανορθωτικὸς γὰρ τῶν παρὰ τὸ προσῆκον
ὁ νόμος. οὐκ οὖν υἱῷ δίκαιον πρὸς πατέρα, οὐ δοῦλῳ πρὸς δεσπότην.
μέχρις ἂν ὑπὸ τὸ κράτος εἶεν, ὅτι ἐκλείπει τότε ἐν οἷς τῷ πολιτικῷ
δικαίῳ, ἰσότης φημὶ καὶ βλάβη, ὧν τὸ μὲν κατὰ τὴν ἀριθμητικὴν ἀναλο-
γίαν, τὸ δὲ κατὰ τὸ ἐπανορθωτικόν. ὅταν δὲ ὁ αὐτὸς δοῦλος ἀπολυθῇ τῆς
δουλείας, ὁ δὲ υἱὸς τῆς διὰ τὴν ἡλικίαν ὑποταγῆς καὶ γένηται αὐτοῖς ἰσό-
της πρὸς τὸ τέως κράτος, τότε καὶ ὑπὸ τὸ πολιτικὸν πίπτουσι δίκαιον.
πέφυκε γὰρ ὁ νόμος ἐν τούτοις εἶναι, ἐν οἷς ὅλως ἐπιφύκει νέμεσθαι ἰσό-
τητος πρὸς ἀλλήλους ὑπαρχούσης τοῦ τε ἄρχειν | καὶ ἄρχεσθαι παρὰ f. 10r
μέρος, ὧν οὐδὲν ἐπὶ τῶν ὑπ' ἐξουσιῶν. διὰ τοῦτό φησι μᾶλλον πρὸς
γυναῖκα εἶναι ἢ πρὸς τέκνα καὶ οἰκέτας. τὰ μὲν γὰρ κτήματά φησιν, ἀνδρὶ
δὲ πρὸς γυναῖκα ἰσότης, καθ' ὃ ἐλεύθεροι. καὶ ἔστιν ἐν τούτοις πρὸς
ἀλλήλους τὸ οἰκονομικὸν δίκαιον, ἄλλο καὶ αὐτὸ ὂν τοῦ πολιτικοῦ· οὐ γὰρ
ἐν τοιαύτῃ ἰσότητί εἰσι πρὸς ἀλλήλους ὡς παρὰ μέρος ἄρχειν τε καὶ ἄρχε-
σθαι· ἀεὶ γὰρ δεῖ τὸν ἄνδρα ἄρχειν· δεῖ μέντοι τινῶν ἔχειν ἐξουσίαν καὶ

1 ἄρχειν corr. ex ἀρχὴν FG 4 οἷός Diels: οἷόν FG 11 ἄλλου corr. ex ἀλλοις F: ἄλλοις ex ἄλλου G 16 ἀνώτερον] p. 1134ᵃ29 19 δούλῳ et 20 υἱῷ scribas 20 μένοντι Michael: μέντοι FG οὐ F: om. G 26. 27 fort. τὸ πολιτικὸν δίκαιον 37 ἰσότητι scripsi: ἰσότητας FG

τὴν γυναῖκα, ἧς ἡ τῶν εἰσκομιζομένων σωτηρία καὶ φυλακή,
πλέον περὶ τούτων ἐν τοῖς Πολιτικοῖς. ἰσότης τοῦ ἄρχειν κα
σθαι, δηλονότι παρὰ μέρος. ἥτις ἰσότης ἐν οὐδετέρῳ τούτων ὑ
αμεσο ἐλευθέροι εἰσι. καὶ διὰ τοῦτο ἰσότης τις ἐστιν ἐν αὐτοῖς.
τοῦ πολιτικοῦ δικαίου. ἢ ὅτι οὐ γὰρ δὴ παρὰ μέρος ἄρχειν καὶ
τοῦ εἶναι καλῶς ἐπὶ τοῦ πολιτικοῦ. τοῦ δὲ πολιτικοῦ δικαίου
τὸ πολιτικὸν δίκαιον εἰς τὸ φυσικὸν καὶ νομικόν, ὁριζόμενος τι
καὶ φησι τὸ μὲν τὸ πανταχοῦ τὴν αὐτὴν ἔχον δύναμιν.
δὲ φησιν ὅτι τοῦ παρὰ τοῖς πλείστοις· εἰσὶ γάρ τινα ἔθνη ἃ
τοῦτο νομίζει. ἐν γὰρ τοῖς ὀλιγιστόροις καὶ κατὰ φύσιν ἔχουσι
τοῦτο τοῖς πλείστοις ὅσιόν ἐστι τὸ θεοὺς σέβειν, γονεῖς τιμᾶν, πα
ὁρᾶν ἐπιδεικνύειν. πρόσκειται δὲ οὐ τῷ δοκεῖν ἢ μή διὰ τὸ
οὐ γὰρ τῷ δόξαι τισιν ἢ μὴ τὸ φυσικὸν δίκαιον, ἀλλὰ τὸ πολιτικ
γὰρ ἐξ ἀρχῆς μὲν οὐδὲν διαφέρει, τεῖνον δὲ καὶ νομισθὲν πολ
φορον ἔχει, οἷον τὸ μνᾶς λυτροῦσθαι. τοῦτο γὰρ Ἀθηναῖοι
δαιμόνιοι ἐν τῷ πρὸς ἀλλήλους συνέθεντο πολέμῳ, τὸ μνᾶς
τοὺς αἰχμαλώτους. μνημονεύει τῆς συνθήκης ταύτης Ἀνδροτίων
μων Κυδαθήναιος. | ἐπὶ τούτου ποιήσεις ἦλθον ἀπὸ Λακεδαίμονος
Μερμνος καὶ Πυθὼς καὶ Φιλοχαρίδας καὶ ἐπῆρε τῶν δὲ περι
απέκτειναν μνᾶν ὑπὲρ ἑκάστου ἀφέντες. προεῖπον γὰρ ἂν
συνέθεντο ἐπὶ τῶν ἁλισκομένων. τὸ δὲ αἶγα θύειν ἀλλὰ μὴ
βατα οὐκ ἀπὸ ἱστορίας τινὸς εἴρηται. τὸ δὲ Βραυρῶνι θύειν
ποιοῦσιν, ὡς ἥρωϊ τούτῳ θύοντες. τὸ δὲ δοκεῖ δὲ ἐνίοις
εἶναι τοιαῦτα τοιούτων ἐστιν· τινές εἰσι οἳ οὐδὲν οὕτω φύσ
εἶναι, ἀλλὰ πάντα θέσει τε καὶ νόμῳ. καὶ τῆς δίκης τὴν αἰτ
λήκει. τοῦτο δὲ οὐκ ἔστιν οὕτως ἔχον ἀλλ' ἔστιν ὡς
εἴρηκεν ἡμῖν περὶ τοῦ δικαίου, ὅτι μὴ πᾶν δίκαιον κινεῖται καὶ
κεῖσθαι· ἔστι γάρ, ὡς τὸ δίκαιον ἀκίνητον καὶ παρὰ τιθ. παρ
κατὰ φύσιν ἔχουσιν. ἢ πρὸς τὸ ὅτι τὸ φύσει πᾶν κίνητον. οὐ
τοῦτο οὕτως ἔχει. πῶς γὰρ κίνητα τὰ φύσει, οὐχ ἁπλῶς τὰ
φύσει κίνητα, ἀ καὶ μὴ παρὰ τοὺς χρωμένους αὐτούς. ἅμα δὲ δ
γνώμονα εἶναι εἰπὼν καὶ τὸ πῶς εἰπε φυσικὸν εἶναι τὸ παν
αὐτὴν δύναμιν ἔχον. ἔστι γὰρ ὡς τὸ φύσει δίκαιον καὶ παρὰ
τιθέμενον· πάντα γὰρ τὰ κατὰ φύσιν ἔχοντα οὐχ ἁπλῶς πα
ὥσπερ τὸ πῦρ καυστικὸν καὶ τὸ τῇ αὐτοῦ φύσει σῴζων ὡφελῶ
πάντας ὠφελεῖν τοὺς κατὰ φύσιν ἔχοντας, ἀλλ' οὐχ ἁπλῶς πάντ
κατὰ φύσιν γλυκὺ γλυκάζον ἐστὶν ὡς πάντας γλυκάζειν τοὺς

τοῖς Πολιτικοῖς] Γ 4 p. 1277b25 5 γὰρ F: om. G 7 τὸ (ante φ
FG 11 ὅσιόν Diels: οἷόν FG 18 Κυδαθήναιος Usener Annal. phil

τὸ δὲ καίτοι παρά γε τοῖς θεοῖς ἴσως οὐδαμῶς ἔχον εἶπεν ἐνδοξον· εἰ γὰρ ἔστι τι παρὰ τοῖς θεοῖς δίκαιον, τοῦτο οὐδέποτε μεταπίπτει οὐδὲ ἄλλοις μὲν αὐτῶν ἐστι τοιοῦτον ἄλλοις δ' οὔ τῷ πάντας αὐτοὺς ὁμοίως ἔχειν. συγχωρῶν δὲ καὶ τὸ φύσει δίκαιον εἶναι μετακινητικὸν καὶ ἐνδέχεσθαι καὶ ἄλλως γίνεσθαι παρά τινα δρίζεται αὐτὸ τῷ τοῖς κατὰ φύσιν ἔχουσι δοκεῖν τοιοῦτον· οὕτω γὰρ λέγομεν καὶ τὴν δεξιὰν χεῖρα φύσει κρείττονα | καὶ ἐχυρωτέραν εἶναι, ὅτι ἐπὶ τῶν κατὰ φύσιν ἐχόντων οὕτως ἔχει. οὕτω γὰρ καὶ φύσει δίπους ἄνθρωπος καὶ φύσει δύο ὀφθαλμοὺς ἔχει. καίτοι ἐνδέχεται καὶ ταῖς χερσὶν ἀμφοτέραις ἴσον τινὰ ἰσχύειν ὡς τὸν Ἀστεροπαῖον [ὅτι] καὶ τῇ ἀριστερᾷ πλέον καὶ ἕνα πόδα ἢ ἕνα ὀφθαλμὸν ἔχειν. καὶ τὰ ψηφισματώδη, τὰ διὰ ψηφισμάτων κυρούμενα πρὸς καιρόν, ἃ οὐκ ἦν δίκαια πρὶν τεθῆναι, ὡς τὸ τὰς ἀρχὰς ὠνητὰς εἶναι. ἀλλ' ἔστιν ὅτε, τουτέστιν ἔστι τι καὶ ἀκίνητον· κινητὸν μέντοι πᾶν, διότι τῆς τοῦ ἐνδεχομένου οὐσίας ἐστίν. ὅπερ ἄρχῃ ἀκρῶς ὁμοίως· παρὰ γὰρ τοῖς ἀδιαστρόφως ἔχουσιν ὄντα ὡς προεῖπεν ἦδη. καίτοι ἐνδέχεται πάντας ἀμφιδέξιους γενέσθαι· τοῦτο οὖν ἀκρῶς προσέθηκεν, ἵνα ὑπὲρ τοῦ τὴν κρίσιν ἡμᾶς μὴ ἀπὸ τοῦ πλήθους ἀλλ' ἀπὸ τῶν κατὰ φύσιν ἐχόντων ποιεῖσθαι. οὐ γὰρ ὅτι τοῖς πλείστοις ὁ πλοῦτος κακόν, διὰ τοῦτο οὐ τῇ φύσει αὐτοῦ ἀγαθόν, ἀλλὰ τοιοῦτος ὅτι τοῖς κατὰ φύσιν ἔχουσιν ἀγαθόν. πῶς δὲ ἔχει τὸ κατὰ συνθήκην δίκαιον, ὃ καὶ συμφέρει. εἶπε τῷ διὰ τὸ συμφέρειν δοκεῖν τῷ κοινῷ τίθεσθαί τε τὴν ἀρχὴν καὶ πάλιν μετατίθεσθαι τοῖς μέτροις. ἃ πρὸς τὸ χρήσιμον ἀλλάσσεται, σαφῶς ἐπεδείξατο. ἐπεὶ οὐδὲ πολιτείας. οὐ γὰρ πανταχοῦ καὶ παρὰ πᾶσιν ἡ αὐτὴ πολιτεία, οὐδὲ παρὰ τοῖς αὐτοῖς ἡ αὐτὴ αἰεί, ὅτι μὴ φύσει αἰεὶ ἀλλὰ νόμῳ τε καὶ κατὰ συνθήκην συνίστανται καὶ τοιούτοις χρῶνται δικαίοις. ἡ μέντοι ἀρίστη αἰεὶ καὶ παρὰ πᾶσι τοῖς κατὰ φύσιν ἔχουσιν ἡ αὐτή· φύσει γὰρ αὕτη· καὶ γὰρ εἰ μὴ κατ' αὐτὰ πολιτεύονται ἀλλὰ κατὰ φύσιν τέ ἐστιν αὐτοῖς ὡς καὶ τὸ τὴν δεξιὰν χεῖρα ἔχειν κρείττω τοῖς ἔχουσιν· αὕτη δ' ἂν εἴη ἐν ᾗ τὰ φυσικὰ δίκαια καὶ νόμιμά ἐστι. τῶν δὲ δικαίων καὶ νομίμων. φησὶν ἔχειν τὰ νόμιμα καὶ δίκαια πρὸς τὰ κατ' αὐτὰ πραττόμενα οὕτως ὡς ἔχει τὰ καθόλου πρὸς τὰ καθ' ἕκαστα. ὡς γὰρ ἄνθρωπος εἷς ὢν τῷ εἴδει καὶ κοινόν τι | καὶ καθόλου εἶδει ἐνυπάρχει ὅλα ἐν ὑποστάσει ὄν, καθὸ κοινῶς κατὰ πλειόνων τῶν καθέκαστα ἀνθρώπων κατηγορεῖται, οὕτω καὶ τὰ μὲν δίκαια ἢ νόμιμα καθόλου ἐστὶ τοιαῦτα ὑπὸ τῶν νόμων ὡρισμένα, τὰ δὲ πραττόμενα καθέκαστά τε καὶ ὑπ' ἐκείνα. κοινὸν γὰρ δίκαιον καὶ νόμιμον τὸ παρακαταθήκην φέρειν ὑπὸ ἀποδιδόναι. καθ' ἕκαστα δὲ καὶ ὑπ' ἐκεῖνο πραττόμενον τὸ ὑπὸ τοῦδε ἀποδοθῆναι ἢ ὑπὸ τοῦδε· αἱ γὰρ πράξεις ἐν τούτοις, ὧν πάντως κοινὸν ἐν τούτῳ κατηγορεῖται, ἐν τούτοις τὸ εἶναι ἔχον. ἐκείνων δὲ ἕκαστον ἕν. περὶ τῶν

7 ἐχυρωτέραν FG 10 Ἀστεροπαῖον] cf. Homer. Il. Φ 163 ὅτι FG: ego concellavi 11 ἔχειν scripsi: ἔχων FG 15 ἀδιαστρόφως F: διαστρόφως G 16 πάντας FG: τινας Aristoteles 20 ὃ F: ὅτι G συμφέρειν G: συμφέρον F 23 πολιτείας FG: αἱ πολιτεῖαι Aristoteles

καθόλου φησί· καθόλου γὰρ καὶ κοινὸν ὡς εἶδος. τὰ γὰρ ὑπὸ τ
ωρισμενα καθολου ἐστί, τὰ δὲ καθ' αὐτὰ πρασσόμενα τάδε τινά
καθ' ἕκαστα. διαφέρει δὲ τὸ ἀδίκημα καὶ τὸ ἄδικον. εἰπὼ
τῶν νομίμων καὶ δικαίων καθόλου πως εἶναι πρὸς τὰ κατ' αὐτὸ
μενα. νῦν τι μεν ἐστι το καθολου, τι δὲ το κατ αὐτο πρασσο
οτι κατά νουνομα διαφερον λεγει. διαφοραν γαρ δεικνυσιν αδικ
ἀδικήματος καὶ δικαίου καὶ δικαιώματος ἢ δικαιοπραγματος. ὁ
γάρ ἐστι τῇ τάξει, ὃν καθόλου τε καὶ ωρισμένον καὶ τεταγμένον
ὅταν δὲ πραχθῇ καὶ ἐν πράξει γένηται, ἀδίκημά ἐστιν, ὃν ἐν
ἕκαστα. ὁμοίως τὸ δίκαιον ὡρισμένον τε καὶ καθόλου δίκαιον.
δὲ τοῦτο δικαίωμα ἀναλογον τῷ δικαιώματι. εἰπὼν δὲ δικαίωμα
τὸ ὡρισμένον τε καὶ καθόλου δίκαιον πραχθὲν ἐπανορθοῦται αὐτὸ
καθόλου μὲν τὸ κατὰ τὸ ὡρισμένον δίκαιον πᾶν πραχθὲν δικαι
καλεῖται ἀλλ' οὐ δικαίωμα, ἄν τε ἐν νομῇ ᾖ ἄν τε περὶ τὰ συνα
ἰδίως δὲ δικαίωμα | τὸ ἐπανορθωτικὸν τοῦ ἀδικήματος, τουτέστ
τῷ ἀδικήματι τιμωρία τε καὶ ζημία. τοιοῦτόν ἐστι καὶ τὸ "δικ
Κόρινθον", ἴσον τῷ ἐπανορθώσει καὶ κολάσει· τὸ γὰρ εἰς τὸν ἀ
γινόμενον δικαιοπράγημα τοῦτ' ἐστὶ τὸ δικαίωμα. ὁ μὲν γὰρ
καταιτήκην ἀποδιδοὺς δικαιοπραγεῖ, ὁ δὲ τῷ μὴ ἀποδιδόντι ἐπεὶ
τὸν ἀδικήσαντα, καὶ τὸ τοιοῦτο δικαιοπράγημα δικαίωμα. τίνα δὲ
πόσα εἴδη δικαιοπραγημάτων τε καὶ ἀδικημάτων καὶ ἐν τίσι καὶ
ταῦτα τοιαῦτά ἐστιν. ὕστερον ἐρεῖν φησι· δοκεῖ δέ μοι ὁ ὢν ἐπιφ
τούτων λόγος. λόγου γὰρ τῶν τὰ δίκαια ἢ ἀδικα ποιούντων
εἰσὶν οἱ δικαιοπραγοῦντες ἢ ἀδικοῦντες κυρίως, τινὲς δὲ καὶ κα
κατὰ συμβεβηκός· καὶ δίκαιοι τῶν ἀδίκως γινομένων τὰ μὲν
χήματα, τὰ δὲ ἁμαρτήματα. τὸ δὲ ἀδικήματα, τὰ δὲ ἤδη καὶ με
γινόμενα. ἐστι γὰρ ταῦτα προσαρμόζειν ἃ ἴσως τοῖς ὑπερτίθεται
μὲν γάρ ἐστι τὸ φύσει ἢ τῇ τάξει ἀντὶ τοῦ καθόλου καὶ τετα
ωρισμένον τῷ λόγῳ, ὅτι ὅταν πραχθῇ ἀδίκημα ἐστιν, ἀντὶ τοῦ
γένηται. ὁμοίως δὲ καὶ δικαίωμα, τουτέστι τὸ διορθούμενον
δικαιοπράγημα φησι λέγεσθαι μᾶλλον εὔλογον ἂν εἰη δικαίωμα τ
ίωμα τοῦ ἀδικήματος, ὅ ἐστιν ἢ ἐπὶ τῷ ἀδικήματι τιμωρία κα
τοιοῦτον δὲ τὸ "δικαιώσει δὲ Κόρινθον" ἀντὶ τοῦ ἐπανορθώσει καὶ
τὸ γὰρ εἰς τὸν ἀδικήσαντα γινόμενον δικαιοπράγημα, τοῦτό ἐστι δ

p. 1135a15 Ὄντων δὲ τῶν δικαίων καὶ ἀδίκων.

Εἰπὼν περὶ τοῦ ἀδικεῖν καὶ τοῦ δικαιοπραγεῖν νῦν προσ
λόγου, ἅμα δὲ καὶ διορίζει περὶ τοῦ προβλήματος ὃ εκίνησε πρὸ ὀλ
πειστον εστιν ανικουντα μηπω ανικον ειναι, ο ποια αδικηματ

ἢ δὴ ἀδικός ἐστιν ἑκάστην ἀδικίαν;" τὸ δὲ ἀλλ' ἢ κατὰ συμβεβηκὸς τοῦτο τί ποτέ ἐστι δι' ὧν ἐπάγει δηλοῖ. ὅταν γὰρ πράττων τὰ δίκαια ἄκων κατὰ συμβεβηκὸς δικαιοπραγῇ, ὁμοίως δὲ καὶ ὁ τὰ ἄδικα πράττων εἰ ἄκων πράττοι, † ταῦτα δὲ καὶ τῷ ἑκουσίῳ. ὄντων δὲ δικαίων καὶ ἀδίκων τῶν εἰρημένων, τουτέστι τοῦ νεμητικοῦ καὶ ἐπανορθωτικοῦ, ὁμοίως δὲ καὶ τῶν ἐναντίων αὐτοῖς. λέγω δὲ ἑκούσιον μὲν ὥσπερ καὶ πρότερον εἴρηται. εἰπὼν τῷ ἑκουσίῳ ὁρίζεσθαι τό τε δικαιοπράγημα καὶ τὸ ἀδίκημα. εἰκότως ἡμᾶς ὑπομιμνήσκει τῶν εἰρημένων αὐτῷ περὶ ἑκουσίου τε καὶ ἀκουσίου ἐν τῷ τρίτῳ. ὄντος γὰρ διττοῦ τοῦ ἀκουσίου. τοῦ τε βίᾳ καὶ τοῦ δι' ἄγνοιαν γινομένου, τὸ ἑκούσιον ἦν ὃ μήτε βίᾳ μήτε δι' ἄγνοιαν γίνεται, ὅ ἔστιν οὐ βίᾳ μέν, οὗ ἡ ἀρχὴ ἐν αὐτῷ, οὐ δι' ἄγνοιαν δέ, εἰ μὴ τὰ καθ' ἕκαστά τις εἴη ἀγνοῶν δι' ὧν καὶ ἐν οἷς ἡ πρᾶξις· ὁ γὰρ τῷ τὸ καθόλου ἀγνοεῖν ἁμαρτάνων οὐ δι' ἄγνοιαν ἁμαρτάνει, ὡς ἔδειξεν ἐν τῷ τρίτῳ. διὰ τούτων δι' ὧν γίνεται τὸ ἑκούσιον, οὗ ἡ ἀρχὴ ἐπ' αὐτῷ ὅ- δότι τὰ καθ' ἕκαστα ἐν οἷς ἡ πρᾶξις, τοῦτο δὴ καὶ νῦν τὸ ἑκούσιον λέγει εἶναι· ὃ γὰρ ἄν τις τῶν ἐπ' αὐτῷ ὄντων, τουτέστιν ὧν ἡ ἀρχὴ ἐπ' αὐτῷ· τῶν γὰρ βίᾳ γινομένων οὐκ ἐν τοῖς πράττουσιν ἡ ἀρχή· ὃ δὴ ἄν τις τούτων τῶν ἐπ' αὐτῷ ὄντων, ἃ ἔστιν ὧν ἡ ἀρχὴ ἐπ' αὐτῷ, εἰδὼς καὶ μὴ ἀγνοῶν πράξει, τοῦτ' ἔστι τὸ ἑκουσίως γινόμενον· ἐπεὶ δὲ ἦν τὸ διὰ τὴν τῶν καθ' ἕκαστα ἄγνοιαν γινόμενον ἀκούσιόν τε καὶ δι' ἄγνοιαν γινόμενον, τότε φησὶ τοῦτο τοιοῦτον εἶναι, ὅταν τις μηδὲν τῶν καθ' ἕκαστα ἐν οἷς ἡ πρᾶξις ἀγνοῇ· τὰ δὲ καθ' ἕκαστα ἐν οἷς ἡ πρᾶξις ὧν ἀγνοήσας τις ἐπάγει δι' ἄγνοιαν ἦν τοῦτο. ὁ πράττων. περὶ ὃ πράττει. ὃ πράττει. δι' οὗ πράττει. οὗ ἕνεκα πράττει, ὡς πράττει. ὧν τὸν μὲν πράττοντα οὐδεὶς δύναται ἀγνοεῖν· οὐδεὶς γὰρ ἂν αὑτὸν ἀγνοήσαι "μὴ μαινόμενος", ὡς εἶπεν ἐκεῖ. | συνέστειλε δὲ καὶ τὰ ἄλλα εἰς τρία, ὧν καὶ νῦν μνημονεύει· ὁ γὰρ γνωρίζων τόν τε περὶ ὃν ἡ πρᾶξις γίνεται καὶ τὸ ὄργανον δι' οὗ καὶ τίνος ἕνεκα γίνεται, οὗτος ἑκουσίως ποιεῖ. καὶ γὰρ τὸ δι' ἄγνοιαν γινόμενον, παρά τινος ἀγνοίας τῶν τριῶν τούτων γίνεται. ἐδείχθη γὰρ ὑπαγόμενα καὶ τὰ ἄλλα τούτοις. καὶ εἴη ἂν διὰ τοῦτο μήτε οὗ λέγων τὸ τίνος ἕνεκα. ὥσπερ γὰρ ἐπεξηγούμενος τὰ προειρημένα προσέθηκε τὸ τίνα τύπτει· ἢ καὶ τίνων ἕνεκα. μὴ κατὰ συμβεβηκὸς δὲ τούτων ἑκάτερόν φησι τῶν ἐν οἷς δηλονότι τὸ ἑκούσιον ἦν, ὧν τὸ μὲν ἦν τὸ ἐπ' αὐτῷ ἐστι † τὸ συμβεβηκός· μηδὲ βίᾳ, τουτέστι μὴ τὸ μὲν αὐτῷ κατὰ συμβεβηκός, τὸ δὲ βίᾳ· οὐ γὰρ ἀμφότερα μὴ κατὰ συμβεβηκὸς καὶ ἀμφότερα μὴ βίᾳ, ἀλλ' ἐπὶ μὲν τούτου τῷ τὴν ἀρχὴν μὴ ἐπ' αὐτῷ εἶναι τὸ

2 πράττῃ et 3 δικαιοπραγεῖ scribendum videtur 4 δὲ καὶ τῷ G: δὲ τῷ F δικαίων (om. ων) FG (sed vide p. 234,35) et Aristot. cod. Mᵇ: τῶν δικαίων Aristot. vulg. 6 λέγω FG: fort. λέγει 7 τῷ scripsi: τὸ FG 11 μὴ F: om. G 12 τὰ scripsi: τὸ FG ἀγνοῶν scripsi: ἀγνοούμενος FG 13. 14 ἐν τῷ τρίτῳ] c. 3 15 λέγει scripsi: λέγειν FG 17 τῶν γὰρ—ἐπ' αὐτῷ (18) F: om. G 21 τότε scripsi ex Michaele: τοῦτο FG 26 ἐκεῖ] Γ 2 p. 1111ª7 συνέστειλε FG 28 ἕνεκε FG 30 μήτε οὗ scripsi: μήτε ὁ νῦν FG 32. 33 ἑκάτερον FG et Aristot. cod. Kᵇ: ἕκαστον Aristot. vulg. 34 ἐστι] εἶναι scribendum videtur

μὴ βίᾳ ἁρμόζοι ἄν. δύναται γὰρ δι' αὐτοῦ τις οὐ τὴν ἀρχὴν μὲν
ἄγει. βασιλεύς τι ποιήσαι, ὡς αὐτὸς παρατίθεται τὸ ἐπὶ τῶν χειρο
ἐπὶ τοῦ βιβλίου τὸ καθ' ἕκαστα. τὸ μὴ κατὰ συμβεβηκός. τὸ
χείρας κινεῖν τινα τοῦ ἰδίας ἐν αὐτῷ ἡ ἀρχὴ καὶ ἐπ' αὐτῷ
εἶναι ὅλως· ἀπὸ ἄλλου τις βίᾳ λαβὼν τινος τὴν χεῖρα τύπτ
ἐπ' αὐτῷ ἦν καὶ οὐ τὴν ἀρχὴν ἐπ' αὐτῷ εἶχε, τοῦτο βίᾳ πάσχ
μέντοι λέγειν τις. κατὰ συμβεβηκὸς τοῦτο ἐπ' αὐτῷ εἶναι τὸ τ
κινεῖν. ὅτι ὁ διὰ τούτου βιαζόμενος ποιεῖ οὐ συμβέβηκε τὴν ἀ
κίνησιν ἐπ' αὐτῷ εἶναι· καὶ ἡ ἀρχὴ τοῦτο κινῆσαι αὐτὸς καὶ ἐν
ἀρχὴν καὶ αὐτὸς ἂν εἴη τὸ βίᾳ γινόμενον κατὰ συμβεβηκός
κατὰ συμβεβηκὸς δὲ γνωρίζοι ἄν τις ταῦτα. ὧν ἡ ἄγνοια ἀκουσ
τὸ γινόμενον οὕτως ὡς αὐτὸς ὠθεκινοῦσιν. ὁ γὰρ τὸν πατέρα τύ
γνωρίζων μὲν ὅτι ἄνθρωπος, ἀγνοῶν δὲ ὅτι πατήρ, κατὰ συμβε
εἴη γνωρίζων τὸν περὶ ὃν ἡ πρᾶξις. ἀλλὰ καὶ ὁ τὸν ἐλλέβορον
τι καὶ διδοὺς τινι, οὐκ εἰδὼς δὲ οὗ ποιητικός, κατὰ συμβεβηκὸς
οὕτος γνωρίζοι τὸ οὗ ἕνεκα. ὁμοίως δὲ καὶ ὁ εἰδὼς τὸ ἀκόντιον
μὴ εἰδὼς δὲ ὅτι λελόγχωται, κατὰ συμβεβηκὸς ἂν γνωρίζοι. τ
ἄλλων οὐδὲ τῶν οὕτως γνωριζομένων καθ' αὑτό. διὸ οὐδὲ ἑκ
πρᾶξις γίνοιτο ἄν, ἐν ᾗ τὰ καθ' ἕκαστα ἐν οἷς ἡ πρᾶξις κατὰ συ
γνωρίζεται. ὧν γὰρ ἡ καθ' αὐτὸ γνῶσις τὴν πρᾶξιν ἑκούσιον ποιεῖ
εἰ κατὰ συμβεβηκός τι γνωρίζοιτο, οὐχ ἑκούσιον τὸ γινόμενον.
αὐτὸ καθόλου εἶπε διὰ τοῦ εἰπεῖν ὁμοίως δὲ τὸ τοιοῦτον δι
καὶ ἐπὶ τῶν οὗ ἕνεκα καὶ περὶ τὴν πρᾶξιν αὐτήν. τὸ δὲ
μενον τί ἐστι. τὸ ἑκούσιον πρότερον ἀποδοὺς, νῦν πάλιν τὸ ἀκ
πως ἔστι λέγει καὶ φησι τοῦτο εἶναι ἀκούσιον τὸ δι' ἄγνοιαν πρ
ἢ βίᾳ τῶν ἐφ' ἡμῖν ὄντων. λέγει δὲ τὰ φυσικὰ καὶ ἀγνοούμε
μὴν τῶν δι' ἡμῶν γενομένων ἐφ' ἡμῖν δὲ ὄντων, οὔτε ἑκού
ἀκούσια. ἔστι δὲ τοιαῦτα ὅσα κατὰ φύσιν γίνεται, οἷον ἡ τῆ
ῥίσις καὶ πέψις (καὶ) ἡ τῶν τραφομένων αὔξησις. ἐν γὰρ τοῖς
τὸ ἑκούσιον καὶ τὸ ἀκούσιον. ὕστα δὲ ἐφ' ἡμῖν οὐχ ἑκούσια μέν
ἤδη καὶ ἑκούσια· οὐ γὰρ βίᾳ γίνονται· ὡς εἶναι τὸ ἀκούσιον ἐν
ἡμῖν, ὅταν ἡ δι' ἀγνοιάν τι πράττωμεν τούτων καὶ μὴ κατὰ τὴν
ἀρχὴν μηδὲ ἑκόντες. ὅτι γὰρ ὀεὶ τῷ ἑκουσίῳ ὥσπερ τὸ μὴ ἀγνοεῖ
δὲ καὶ τὸ μὴ βίᾳ ἀλλὰ καὶ τὸ ἐπ' αὐτῷ προσκεῖσθαι ἐδήλωσεν
ἐστὶ γνῶναι τὰ ἐφ' ἡμῖν. ἡ κατὰ ταῦτα ζήτησις οὐ
ἑκούσιον. ὅτι μὴ τὸ ἐφ' ἡμῖν ἐστιν ἡ ἀρχὴ τῆς ἐπ' αὐτὰ κινήσεως.
τὸ ἀγνοούμενον ἀκούσιον ἐστι. τοῦτο ἐστὶν ἀκόλουθον τῷ ἀρχαίῳ
ἀγνοεῖσθαι καὶ μὴ ἐπ' αὐτῷ ὂν ἐστι τοιοῦτόν μὴ κατὰ τὴν ἐν αὐτ
γίνεται ἀγνοεῖ ὡς ἀνεν τοῦ ἡ τὸ ἀγνοεῖ ἐπιστῆσαι καὶ μὴν ἀγ
ἐστὶν ἐν ᾧ ἐστ αὐτῷ ὁ ἐστ. πῶς εἶπε τοῦτο. δείκνυσιν ἐπεν

βία, ὃν ἴσον ὡς εἰπεῖν τῷ ἀλλὰ βίᾳ· ὡς γὰρ τῷ μὴ ἐπ' αὐτῷ ἀντὶ τοῦ βίᾳ κεχρημένος ἐδήλωσεν οἷον τὸ ἐγγηρᾶν ἢ ἀποθνήσκειν διὰ τὸ μὴ ἐν ἡμῖν εἶναι τὴν ἀρχὴν τῆς ἐπ' αὐτὰ κινήσεως. φύσεως γὰρ ὄντες θνητῆς οὐ κύριοί ἐσμεν τοῦ ἐπὶ τοῦτο μὴ ἐλθεῖν· ἀνάγκη γὰρ ἥκομεν.

5 p. 1135b2 Ἔστι δὲ ὁμοίως ἐπὶ τῶν ἀδίκων καὶ τῶν δικαίων.

Εἰπὼν πρὸ ὀλίγου τὸ ἀδικεῖν καὶ τὸ δικαιοπραγεῖν ἐν τοῖς ἑκουσίως γινομένοις εἶναι καὶ διὰ τούτων τί ποτέ ἐστι τὸ ἀκούσιον ὑπομνήσας ἡμᾶς καὶ εἰπὼν ὅτι κατὰ συμβεβηκὸς γίνεται, ὃ κατὰ τὴν ἐν αὐτῷ ἀρχὴν ποιήσας τις ἢ γνωρίζων τι τούτων ἐν οἷς ἐστιν ἡ πρᾶξις οὐχ ἑκὼν ποιεῖ, τοῦτο 10 λέγεται καὶ ἐπὶ τῶν δικαίων καὶ ἐπὶ τῶν ἀδίκων εἶναι τὸ κατὰ συμβεβηκός. ὁ γὰρ ποιῶν τι τῶν ὄντων ἄδικον καὶ διὰ φύσιν κατὰ συμβεβηκὸς δικαιοπραγεῖ· ὅτι γὰρ οἷς συμβέβηκε δίκαιοις εἶναι ταῦτα ποιεῖν λέγει, οὐ μὴν ἁπλῶς οὐδὲ κυρίως καὶ μὴ ἑκών. οὐ γὰρ ἐν τούτῳ τὸ δικαιοπραγεῖν· ὁμοίως καὶ ὁ μὴ ἐκ τῶν ἀδίκων τι ποιήσας ὡς ὁ ἀναγκασθεὶς μὴ ἀπο- 15 δοῦναι τὴν παρακαταθήκην, κατὰ συμβεβηκὸς ἀδικεῖ (ὅτι γὰρ συμβέβηκε τῷ ὑπ' αὐτοῦ πρασσομένῳ ἀδίκῳ εἶναι), οὐ μὴν ἁπλῶς· τὸ γὰρ ἁπλῶς ἦν ἐν τῷ ἑκόντα ποιεῖν αὐτά. λαβὼν δὲ ὅτι ἐν τοῖς ἑκουσίως γινομένοις ἐστὶ τό τε δικαιοπραγεῖν καὶ ἀδικεῖν, ὥσπερ καὶ τὸ ἑκουσίως ἢ ἀκουσίως τι ποιεῖν ἐν τοῖς ἐφ' ἡμῖν, ἐξῆς τῶν ἑκουσίως γινομένων διαφοράς τινας 20 δείκνυσι. τῶν γὰρ ἑκουσίως πρασσομένων τὰ μὲν προελόμενοι καὶ μετὰ προαιρέσεως ποιοῦμεν, τὰ δὲ οὐ προελόμενοι, ὥσπερ τὰ διὰ θυμόν. καὶ ὅτι γε ἔστι τινά, ἃ ἑκόντες ποιοῦμεν, οὐ προελόμενοι δέ, ἐνεδείξατο διὰ τὸ ὑπομνῆσαι ἡμᾶς ὅτι ἔνια ὧν ἑκόντες ποιοῦμεν οὐ προβουλευόμενοι ποιοῦμεν ἀλλ' ἀπροβουλεύτως· ἦν δὲ ἡ προαίρεσις | τῇ βουλῇ· ὄρεξις τε f. 4v 25 γάρ ἐστιν αὕτη βουλευτική, ὥστε οὐδὲ κατ' ἀρετὴν καὶ κακίαν ταῦτα ἂν γένοιτο. τριῶν δὲ οὐσῶν βλαβῶν. διελὼν πρὸ ὀλίγου καθ' ἑκάστας γε αὐτῶν ὁποῖά τε εἴδη καὶ ὁπόσα καὶ περὶ ποῖα ὄντα τυγχάνει ὕστερον ἐπισκέπτεσθαι, νῦν τοῦτο ποιεῖ. διελὼν γὰρ τὸ ἑκούσιον εἴς τε τὸ κατὰ προαίρεσιν καὶ εἰς τὸ χωρὶς προαιρέσεως, ἐπεὶ τῶν γινομένων τὰ μὲν 30 ἀκουσίως γίνεται, τὰ δὲ ἑκουσίως, ἔστι δὲ ἡ ἀδικία βλάβη τις, ἀποδίδωσι νῦν ἡ πῶς γινομένη βλάβη ἀδικία. τῶν γὰρ βλαβῶν αἱ μὲν μετ' ἀγνοίας τοῦ γινομένου γίνονται καὶ εἰσιν ἀκούσιοι, αἱ δὲ ἑκούσιος καὶ εἰδότων. καὶ τῶν μετ' ἀγνοίας αἱ μὲν παράλογοι καὶ ἐκ παραδόξου γίνονται, αἱ δὲ τὸ μὲν ἀκούσιον ἔχουσιν, οὐ μὴν καὶ κατὰ ⟨τὸ⟩ παράλογον καὶ παράδοξον γί- 35 νονται. τὰς δὲ κατὰ ἄγνοιαν γινομένας βλάβας κοινῶς εἶπεν ἁμαρτήματα. μετὰ δὲ ταῦτα ὑποδιαιρέσεις αὐτῶν ποιεῖ· τὰς μὲν παραλόγως αὐτῶν γι-

4 κύριοι F: κυρίως G 10 λέγεται FG: scripseris λέγει 13 μὴ scripsi: μὴν FG 15 κατὰ F: ταῦτα G 23 προβουλευόμενοι F: προελόμενοι G 24 post προαίρεσις intercidisse videtur σύνεγγυς cf. F 4 p. 1111b20 26 γένοιτο F: λέγοιτο G τριῶν Aristoteles: τρίτον FG διελὼν FG: immo εἰπὼν 32 περὶ scripsi ex Aristotele p. 1135a14: παρὰ FG ἑκουσίως corr. ex ἀκουσίως G: ἀκουσίως F 34 τὸ Michael: om. FG

νομένας ἀτυχήματα καλῶν, τὰς δὲ μὴ παραλόγως ἁμαρτήματα δὲ
τῷ κοινῷ. εἰ δ' ὁ ἂν παραλόγως γινόμενα τὰ σφόδρα καὶ ὑπερβο-
ὀδὸν εἰ τὴν θύραν ἀνοίξαντος αὐτοῦ τινὸς ὁ πατὴρ παρεστὼς ἐπλή-
γησόμενον ἐν τῷ τοιούτῳ χωρίῳ καὶ ἀκοντίζοντος ἐν ᾧ οὐδεὶς
χανεν ὧν εὐσεβῆ τις τῶν ἀνετῶν ἀπὸ τυχῆς ὢν ἐν αὐτῷ καὶ περι-
τῷ ἀκοντι. τὰ γὰρ τοιαῦτα παράλογα τε καὶ ἀπροσδόκητα. ὅσα
ἐγ' ὧν ὁ παραλογισμὸς γίνεται, ταῦτα ἁμαρτήμα-
γὰρ οὐ τὴν ἀκοντίζουσαν. εἰ δ' εἰκὸς εἶναί τινα, καὶ τυχὸν τινος ἡμ
καὶ αἱ τοιαῦται τῶν βλαβῶν ἁμαρτήματα καλοῦνται. Θεόφραστος
τὸ πεπραγμένα μὴ πάντα ὡς ἀκούσια δοκεῖ δεῖσθαι λόγου
τῶν δὲ τὰ μὲν ἐξαίφνης γινόμενα ἔστιν ἃ καὶ οὐδὲ ὀνόματος κα
πεντε. οὐ τοῦτο δὲ λέγει, ὅτι τὰ μὲν ἐξαίφνης γινόμενα περὶ τ
πάντων τῶν προειλημμένων ἐξαίφνης γίνεται, ἀλλ' ὅτι περὶ τοῦτων
ἱκανὸν γὰρ καὶ ἐν τι τούτων πρὸς τὸ γίνεσθαι ἐξ ἀγνοί
ταῦτα δέ, φησιν, ἐστὶ τό τε ὑφ' ὧν καὶ ὃ καὶ ὃ χάριν καὶ ὡ
τὸ πῶς ... περὶ τὸ ὑφ' ὧν. ὃ δὲ ἡ πρᾶξις ἐ
ὃ χάριν τὸ τέλος, ὡς σῴζειν ἢ τὴν πό... ὅταν μηδὲν ὦν τοιούτων πα
πρᾶξις ᾖ ὡς τὸ τὸν πατέρα ἀποκτεῖ... ἐπὶ τὸν ἐχθρὸν ἀπο
δὲ ἡ πρᾶξις, ἢ τῶν μυστηρίων τυχὸν ἔκφορα, ὡ δὲ τὸ ὄργανον, τ
ἀκόντιον ἢ ὁ καταπέλτης, οὗ δὲ τὸ τέλος, τυχὸν φιλτρον ἢ ὑπνωτι
ὁ ἀποκτείνας τὸν πατέρα ἐπὶ ἀποκτείνῃ ἀποκτείνας ἐφάνη.
ον ἢ οὐχ ὡς. ἀλλὰ γὰρ οὐ τοῦτο πλήττειν ἔπληξε σφοδρῶς
μεν οὖν παραλόγως, τουτέστι παραλογισμὸς τὸ πρὸ τῆς τοῦ
ραίωμα γινόμενη τὸ ἐξωθεῖσθαι εἰκὸς τὴν θύραν καὶ τὸν πατέρα
ὁάσκειν ἐνθα οὐδεὶς ἦν. εἶτα ἐπεὶ ἐπὶ τὸν ἐχθρὸν ἀπο... ἐπὶ τυχὸν
ἀλλ' ὀργισθεὶς. τὸν θυμούμενον δεῖ τῶν λοιπῶν εἶναι. τῶν γὰρ
ποιούντων, οὓς καὶ εἰρήκαμεν ἐν τοῖς ἔμπροσθεν καὶ προαιρουμένων πολλὰ
ὧν. τὰ μὲν οὖν μὴ προπεπονθότα γινόμενα ἀδίκημα λέγει.
δὲ τὰ ὑπ' ὀργὴν γινόμενα φησι. τὰ γὰρ περὶ τὰς ὀργὰς ἁμαρ
παραλογισμοῦ γίνεται. τὰ δὲ ... ἢ
ἂν οὖν εἴποιτε λυπεῖ καὶ σφόδ... ἐστὶ γὰρ πολὺ πλέον καὶ πο
τοῦτα ἀποσοβοῦντος ἁμαρτάνειν ... ἐπιφορὰ δὲ ὑπὸ ὀργῆς.
βεὶς τις ὑπὸ τρωθεὶς πολλαβὼν ... ἐπὶ τὸν τρώσαντα πορευθεὶς
καὶ εἰδὼν ἐπείσυρτ' κελεύσαντα τ... ἐπὶ τὸν τρώσαντα ἐπορεύθη
λησθεὶς παρ' αὐτὴν τὴν λυπ... ἐπὶ τὸ ἐργάσασθαι τὸ
... ἐπὶ τὸν τρώσαντα ... ἢ ἐπὶ τὸ
...ων, ὧν εἰ ἐβουλεύσατο ... ὁ δὲ τούτων τι παθὼ
... ἐπὶ τὸ ...

ὁ δὲ ἐκ προαιρέσεως βλάπτων οὐ μόνον ἀδικεῖ ἀλλ' ἤδη μοχθηρὸς καὶ ἄδικος ἔσται· ὡσαύτως καὶ ὁ διὰ θυμὸν τι ποιήσας εἰδὼς μὲν ἐποίησε καὶ ἑκών, οὐ προβουλεύσας δὲ οὐδὲ προλόγισας. ὁ γὰρ ὀργισθεὶς καὶ ὁτιοῦν τοῦτο τρώσας οὐκ ἐν ἑαυτῷ τὴν ἀρχὴν ἔσχεν ἀλλ' ἐν τῷ ὀργικότι. ὁ γὰρ ὀργίσας τὸ πᾶν εἰργάσατο. τοῦτο δὲ προσέθηκεν ἐπεὶ προεῖπεν ὅτι τὰ διὰ θυμὸν πραχθέντα ὑπὸ εἰδότων μὲν γίνεται, οὐ μὴν κατὰ προαίρεσιν, οὐδὲ γὰρ προβουλευσαμένων.

p. 1135ᵇ27 Ἔτι δὲ οὐδὲ περὶ τοῦ γενέσθαι ἢ μή.

Καὶ τοῦτο σημεῖον παρέχεται τοῦ τοὺς διὰ θυμόν τι πράξαντας μὴ ἐπιβούλως μηδὲ ἀπὸ κακίας πεποιηκέναι, ὃ οὐ ποιοῦσιν οἱ ἐξ ἐπιβουλῆς ἀδικοῦντες. ὁμολογοῦντες γὰρ τὸ γεγονέναι διαμφισβητοῦσι περὶ τοῦ δικαίως αὐτὸ πεποιηκέναι. ὡς γὰρ ἠδικημένοι οἱ δι' ὀργήν τι ποιοῦντες καὶ ἀμυνόμενοι τοὺς πράξαντας ποιοῦσιν. ἐπὶ φαινομένῃ γὰρ ἀδικίᾳ ἡ ὀργή ἐστι. διὸ καὶ ἐπὶ τοῦ δικαίως πεποιηκέναι ἀμφισβητοῦσιν. οἱ μὲν γὰρ ἐν τοῖς συναλλάγμασι βλάπτοντες περὶ τοῦ γεγονέναι ἀμφισβητοῦσιν· τὸ γὰρ δρᾶμα ἀμφισβητοῦσιν ἅτε ἐξ ἐπιβουλῆς ποιοῦντες τοιοῦτον, οἱ μὲν ἀποδεδωκέναι τὸ ὀφειλόμενον λέγοντες, οἱ δὲ μὴ κεκομίσθαι, ὧν ἀνάγκη τὸ ἕτερον εἶναι ψεῦδος. κακὸν μὲν γάρ τις [εἴη διὰ λήθην] ἢ ἀγνοιαν ποιῶν ἢ δι' ἄγνοιαν, ἐπὶ δὲ τῶν διὰ θυμὸν παθῶν περὶ μὲν τοῦ γεγονέναι τὸ πρᾶγμα ὁμολογοῦσιν οἱ πεποιηκότες, περὶ δὲ τοῦ δικαίως ἢ ἀδίκως ἢ μὴ δικαίως ἡ ἀμφισβήτησις τῷ πεποιηκότι καὶ τῷ πεπονθότι. οὐ γὰρ ὥσπερ ἐν τοῖς συναλλάγμασιν. οἱ γὰρ ἐν τοῖς συναλλάγμασι βλάπτοντες περὶ τοῦ γεγονέναι ἀμφισβητοῦσιν, οἱ μὲν ἀποδεδωκέναι φέρε εἰπεῖν τὸ ὀφειλόμενον λέγοντες, οἱ δὲ μὴ κεκομίσθαι. ἂν δ' ἐκ προαιρέσεως βλάψῃ, οὐκέτι· ὁ γὰρ μηδέπω ἄδικος μηδὲ ἀδικεῖ διὰ πάθος τι ποιήσας. διὰ πλειόνων περιστήσας τὸ τοῖς προειρημένοις ἀκόλουθον ἐπιφέρει, ὅτι ὁ ἐκ προαιρέσεως βλάπτων ἀδικεῖ. τὸ δὲ κατὰ ταῦτα ἤδη τὰ ἀδικήματα. τοιοῦτοι κατὰ τὰς τοιαύτας γνώμας γινόμενοι ἤδη καὶ ἄδικοι ἐστιν· ἀδικήματα γὰρ εἶπε τὰς βλάβας. ὅταν οὖν κατὰ προαίρεσιν βλάπτῃ τις ἢ νέμων αὐτῷ τὸ πλέον παρὰ τὸ ἀναλογὸν ἢ πλεονεκτῶν καὶ τὸ ἴσον παραβαίνων, οὗτος ἤδη ἄδικος. ὡς δὲ ἄδικος μὲν καὶ ἀδικεῖ ὁ κατὰ προαίρεσιν βλάπτων· ὁ δὲ εἰδὼς μέν, μὴ κατὰ προαίρεσιν δὲ πράττων οὐκ ἀδικεῖ· ἀδίκημα μέντοι τὸ γινόμενόν ἐστιν. οὗτος ἔχει καὶ ἐπὶ τοῦ δικαίου. ὁ μὲν γὰρ πρὸς τῷ εἰδέναι καὶ κατὰ προαίρεσιν δίκαια ποιῶν δίκαιος, ὁ δὲ εἰδὼς μέν, μὴ κατὰ προαίρεσιν δὲ ποιῶν, δικαιοπραγεῖ μέν, οὐ μέντοι καὶ δίκαιός ἐστι. τῶν δ' ἀκουσίων, πάντες γὰρ ὅσοι ἐξ ἐπιβουλῆς βλάπτουσιν, ἐπεὶ μὴ ἀγνοοῦντες ποιοῦσιν, ἤδη διὰ κακίαν καὶ μοχθηρίαν οὗτοι βλάπτουσιν. ἀκούσια δὲ νῦν ἔοικε λέγειν πάντα τὰ μὴ κατὰ

13 ἐπιφαινομένη F: ἐπιμεμφομένη G 21 τῷ F: om. G 25 ἀδικεῖ scripsi: [illegible] FG 34. 35 δίκαιος — ποιῶν (35) F: om. G 38 λέγειν corr. ut videtur ex [illegible] F: λέγει G

προαιρετὰ γινόμενα. τὰ γὰρ διὰ παῖδας γινόμενα πρὸ ὀλίγου ἐκ
εἶπεν ἀπροαίρετα δέ. ὧν δὲ τοῖς ἀκουσίοις ὑποτάσσει καὶ ταῦτα.
μὲν γὰρ οὐ δι' ἄγνοιαν γίνεται ἑκουσίως γίνεσθαι δοκεῖ, καθὸς
κατὰ προαίρεσιν ἀκουσίως· τῶν δὲ ἀκουσίως γινομένων ὅσα
ἀγνοεῖν καὶ δι' ἄγνοιαν γίνεται, ταῦτα συγγνώμης ἄξια. δι'
εἶπε γίνεσθαι ἐφ' ὧν τὸ καθ' ἕκαστά τι ἐν οἷς ἡ πρᾶξις, (ἃ
κρίνει ἀκούσια. ὅσα δὲ οὐ δι' ἄγνοιαν γίνεται ἀγνοούντων
ταῦτα τὰ περὶ τὴν τοῦ καθόλου καὶ τοῦ προσήκοντος ἄγνοιαν ἁμ
ταῦτα δὲ ἦν τὰ διά τι πάθος γινόμενα), τούτων φησὶν ὅσα
ἢ κατὰ μὴ ἀνθρωπίνων μήτε φυσικῶν οὐ συγγνωμονικά. ἐπεὶ
τις ὁμοίως τ' μὲν τὰ φυσικὰ τ' δὲ τὰ ἀνθρωπικὰ πάθη λέγ
μὲν ταῦτα οἷον ὀργὴν ὕβριν ὕπνον καὶ τὰ τούτοις ὅμοια, οὐ
λέγοι συγγνώμης ἄξια εἶναι τὰ δι' ἄγνοιαν γινόμενα, ἃ καὶ
ἀκούσια. ἀλλὰ καὶ τῶν ἑκουσίων πολλά τε καὶ πολλοὶ τῶν ἐν τ
τούτοις ὄντων εἰδότες καὶ ἑκόντες ἁμαρτάνουσιν, ὡς ἔδειξεν ἐν
ἡ διαφέροι ἂν καὶ ἐν τούτοις τὸ προαιρούμενον αὐτὰ πράττειν ἢ
μενον καὶ διὰ τοῦτο καὶ ἡ μὲν ἀκρασία οὐκ ἀδικία, ἡ δὲ ἀκολα
φυσικὰ δὲ καὶ ἀνθρώπινα λέγοι ἂν πεῖναν δίψαν καὶ ὅσα τοιαῦ
γάμους καὶ περὶ τὰ ἀναγκαῖα ἐστιν ὧν χωρὶς ἀδύνατον εἶναι.
λιμὸν καὶ τὴν τῶν ἀναγκαίων ἐπιθυμίαν τε καὶ ἀπορίαν ἁμαρ
χωστός, ὁ δὲ τοιάσδε τινος ἐπιθυμίᾳ τροφῆς καὶ τοιοῦδε τινος
οἴνου, οὐκ ἔστι συγγνώμης ἄξιος. οὐκέτι γὰρ ἡ τῶν τοιούτων
φυσικῶν παίδων καὶ συναδόν ἂν οὕτως λεγόμενα τοῖς ἐν τῷ τρ
μη διαφωνίαν ἔχει τινὰ νῦν· τῶν δὲ ἀκουσίων ἔφην ὅτι τοῦ
γινομένων ἀκουσίων· οὐ γὰρ ἀληθῶς ἀκούσια τὰ διὰ παῖδας γ
τοῦ μὴ ἀπορεῖν συγγνώμης ἀξιοῦσθαι.

11 [10] Ἀπορήσειε δ' ἄν τις.

Εἰπὼν ἐν τοῖς ἔμπροσθεν τί τὸ ἀδικεῖν καὶ ἀδικεῖσθαι καὶ
ἀπορεῖ εἰ ἔστι καὶ ἑκόντα ἀδικεῖσθαι. καὶ τὰ τοῦ Εὐριπίδ
δεται ταμβεῖα ἐκ τοῦ Βελλεροφόντου μαρτυρίαν· ὃ μὴ ἀποδεχόμ
ἀπὸ ἑκόντος ἀναιρεῖται τοῦ παθόντος ἢ μὴ θέλοντος ἢ θέλοντος
καὶ ἑκόντος ἀναιρεῖται τοῦ παθόντος· τοῦτο δὲ ἡ τοῦ Εὐρ
ψεῦμα ἐστιν· οὐδαμῶς γὰρ ἑκόντος τὸ ἢ θέλοντος οὐδ
κόντος παραπλησίως ὡς ἀγαθὸν τὸ εἶναι ἑκόντα τινὰ οὐκ

Μ Μ Μ Μ Fu
Μ
Fu
Fu
Fu

αἰτία οὐκ εὔλογος συνέστηκε. διὰ δὴ τοῦτο αὐτὸ τὸ εἰρημένον ὑπεύθυνόν ἐστι. ζητεῖ δὲ ὅλως εἰ ἔστιν ἑκόντα ἀδικεῖσθαι ἢ ὥσπερ τὸ ἀδικεῖν ἀκούσιόν ἐστι (τοῦτο γὰρ ὁ ἀδικῶν ὁρίζεται τῷ ἑκὼν καὶ κατὰ προαίρεσιν βλάπτειν), οὕτω καὶ τὸ ἀδικεῖσθαι πᾶν ἀκούσιον ἀντικείμενόν τε τῷ ἀδικεῖν ἢ καὶ τὸ αὐτὸ πᾶν ἑκούσιον καὶ τὸ ἀδικεῖν. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ δικαιοῦσθαι τὴν αὐτὴν ἀπορίαν φησὶ καὶ ζήτησιν εἶναι ἥνπερ ἐπὶ τοῦ ἀδικεῖσθαι. καὶ διὰ τί, λέγει· ἐπεὶ γὰρ τὸ δικαιοπραγεῖν πᾶν ἑκούσιον, ὥσπερ καὶ τὸ ἀδικεῖν ἀντικείμενον (ἀντίκειται δὲ ὡς τὸ ἀδικεῖν τῷ ἀδικεῖσθαι, οὕτω τὸ δικαιοπραγεῖν τῷ δικαιοῦσθαι, ὁμοίως δ' ἂν καὶ τὸ ἀδικεῖσθαι ἔχοι ἂν ἑκάτερον αὐτῶν), ἢ ὡς ἀκούσιον εἴη ἀντικείμενον τούτῳ ὡς ἀντίκειται ὄντι ἑκουσίῳ ἢ ὡς ἑκούσιον ἑκουσίῳ. ἔστι δὲ δικαιοῦσθαι τὸ ὑπὲρ τοῦ δικαίου ἀνισοῦσθαι κατὰ τὸ ἐπανορθωτικὸν δίκαιον. αὐτὸς μὲν οὖν φησιν, ὁμοίως ἔχει τὸ ἀδικεῖσθαι πρὸς τὸ ἀδικεῖν καὶ τὸ δικαιοῦσθαι πρὸς τὸ δικαιοπραγεῖν· καὶ γὰρ ἐν τούτῳ ὁ μέν τίς ἐστι τὰ ἀλλότρια λαμβάνων καὶ πλεονεκτῶν, ὃς οὐκ ἄκων ἔχει ταῦτα, ὁ δὲ ἐλαττούμενος, ἐφ' οὗ τὸ | ἑκούσιόν τε καὶ τὸ ἀδικεῖσθαι κατηγορεῖται. εἰ δὲ ἰδίως f. 7v
δικαιοῦσθαι λέγοιτο οἱ ἡδικημένοι ὑπανορθούμενοι καὶ ἐπιτιμώμενοι τῇ αἱρουμένῃ οὐ ἐπλεονέκτησαν καὶ ὥσπερ κολαζόμενοι, καὶ οὕτως ἂν ὅμοιον εἴη τὸ ἀδικεῖσθαι καὶ τὸ δικαιοῦσθαι· ἄμφω γὰρ ἀκούσια. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ δικαιοῦσθαι. ἡ αὐτὴ φησι ζήτησις καὶ ἐπὶ τοῦ ἀδικεῖσθαι εἰπεῖν ἔστιν ἀκούσιον ἢ οὔ ἢ μᾶλλον ἑκούσιον, ἐπεὶ τὸ δικαιοπραγεῖν πᾶν ὅ ἐστιν ἀντικείμενον αὐτῷ ἑκούσιον εἶναι λέγει.

p. 1136ª21 Ἄτοπον δ' ἂν δόξειεν.

Ὅτι μὴ οἷόν τε λέγειν πᾶν τὸ δικαιοῦσθαι ἑκούσιον, προστίθησι λέγων ἔνιοι γὰρ δικαιοῦνται οὐχ ἑκόντες. εἶεν δ' ἂν οὗτοι ἠδικηκότες ὧν πλέον ἐχόντων ὁ δίκαιος ἀφαιρεῖται. ἔοικε δὲ διὰ τούτων συγχωρεῖν τὸ μὴ μόνον τοὺς ἠδικηκότας ἐπὶ τῇ ὑπὲρ τοῦ δικαίου ἐπανορθώσει δικαιοῦσθαι ἀλλὰ καὶ τοὺς ἠδικημένους· οὗτοι γὰρ εἶεν μὴ ἄκοντες ἀλλ' ἑκόντες δικαιούμενοι ὅσοι ἐλαττοῦνται, οἱ δὲ ἄκοντες ὅσοι ἐπλεονέκτουν· οἱ δὲ ἄκοντες οὐδένα ἐπλεονέκτουν. ἢ εἰπεῖν δεῖ ὡς τὸ ἀδικεῖν πᾶν ἑκούσιον ὁμοίως καὶ τὸ δικαιοπραγεῖν, οὕτω τὰ τούτῳ ἀντικείμενα τό τε ἀδικεῖσθαι καὶ τὸ δικαιοῦσθαι ἔχειν ὡς ἑκάτερον αὐτῶν, ἢ πᾶν ἑκούσιον εἶναι. ἢ πᾶν ἑκούσιον. δεικνὺς ὅτι μὴ οἷόν τε πᾶν τὸ δικαιοῦσθαι ἑκούσιον εἶναι· εἴη δ' ἂν δεδειγμένον, ἐκ τῶν ἐπιφερομένων σήμερον πότερον ὁ τὸ ἄδικον πεπονθὼς· ἀντὶ τοῦ ὁ δικαιωθείς, εἴ γε μὴ πᾶν τὸ δικαιοῦσθαι ἑκούσιον εἶναι δοκεῖ. οὐδὲ γὰρ τῷ πλεονεκτοῦντι καθ' αὐτὸ ἑκούσιον· ἢ ὥσπερ ἐπὶ τοῦ

4 ἀκούσιον F: ἑκούσιον G 12 κατὰ scripsi: καὶ FG [illegible] 19 καὶ addidi: om. FG 24 λέγων scripsi: λέγει FG 30 εἰπεῖ. del. scripsi. δεῖν FG 32. 33 ἢ πᾶν FG: εἰ πᾶν Aristoteles, cf. tamen lectionem codicis Mᵇ 33 δεικνὺς FG: an δείκνυσι? 36 μὴ Diels: μὴν FG 37 ὥσπερ καὶ ἐπὶ Aristoteles

πρακτέον καὶ ἐπὶ τοῦ πάσχειν ἐστίν. ἀπορήσας εἰ ἔστιν
αὐτὸ καὶ κοινοποιήσας τὸν λόγον καὶ ἐπὶ τοῦ δικαιοῦσθαι
ἔχοντος ἐκείνου τε πρὸς τὸ ἀδικεῖν καὶ τοῦ δικαιοῦσθαι πρὸς
πράξειν καὶ ὁρισάντων αὐτῶν ἢ ἀμφοτέρων ἑκούσιον εἶναι ἢ
καὶ ἐπεὶ μὴ οἷόν τε τὸ δικαιοῦσθαι ἑκούσιον πᾶν λέγειν. πῶ
πειράται δεικνύναι. πῶς οἷόν τε ἑκάτερον αὐτῶν [δεικνυμένων
ἀκούσιον. πῶς δὲ ἑκούσιον λεγειν· διό φησιν ωσπερ ἐπὶ τοῦ
ἔχει (πρακτέον δὲ ἦν τό τε ἀδικεῖν καὶ τὸ δικαιοπραγεῖν· οὕτω
ἐπὶ τοῦ πάσχειν (πάσχειν δέ ἐστι τό τε ἀδικεῖσθαι καὶ τὸ δ
ἐπει δε τοῦ ἀδικεῖν καὶ τοῦ δικαιοπραγεῖν ἦν τὸ μὲν καθ' α
κατὰ συμβεβηκός, τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τούτων ἐξε
ἐπ ἐκείνων λέγεται τὸ διττόν (ἀδικεῖν τε γὰρ ἦν τὸ μὲν καθ
δὲ κατὰ συμβεβηκός). ὁμοίως δὲ καὶ ἐπὶ τοῦ δικαιοπραγε
μὲν ἀδικεῖν καθ' αὑτὸ καὶ τὸ δικαιοπραγεῖν καθ' αὑτὸ ἑκούσια,
συμβεβηκός. ἑκούσια δὲ οὕτως φησὶν ἔχειν καὶ ἐπὶ τοῦ ἀδικεῖσθ
δικαιοῦσθαι καὶ ἔσεσθαι ἑκάτερον καὶ τούτων διττόν, καὶ τὸ ἀδ
τὸ δικαιοῦσθαι. ἐπεὶ γὰρ ἔστι τὰ ἀδικα πάσχειν τε καὶ βλάπτε
καὶ ἀκοντα, ὁ μὲν ἑκὼν ταῦτα πάσχων κατὰ συμβεβηκὸς ἂν
μενος. ὡς ὅταν καὶ εἰ ἄν οὕτος ἀντικείμενος τῷ κατὰ συμβ
κοῦντι. οὕτως ἔχων οὗτος τὸ πάσχειν τε καὶ ἀδικεῖσθαι ὡς
ποιεῖν καὶ ἀδικεῖν, κατὰ συμβεβηκός. ὁ τε ποιῶν ἀδικεῖ, ἄκω
ὁ πάσχων ἀδικεῖται, ἑκὼν γάρ. ὁ δὲ καὶ ἄκων τὰ ἄδικα π
βλαπτόμενος ἁπλῶς ἂν εἴη ἀδικούμενος, ἀντικειμενος τῷ ἁπλῶ
καὶ τούτων ὡς ὁ ἀδικῶν ἔχει τὸ ἀδικεῖν (ἁπλῶς γὰρ ὁ μὲν
καὶ ὁ ἀδικούμενος τὸ ἀδικεῖσθαι (ἁπλῶς γὰρ οὗτος· ἄκων δέ
λόγος καὶ ἐπὶ τοῦ δικαιοῦσθαι· ὁ μὲν κατὰ συμβεβηκὸς δικαιού
δηλονότι πάσχει τὰ δίκαια, ἀντικείμενος τῷ κατὰ συμβεβηκὸς
γοῦντι. ὃς ἐστιν ἄκων τὰ δίκαια ποιῶν. εἴη δ' ἂν οὗτος δικαι
νος, ὁ ἀδικήσας καὶ ἐπανορθούμενος.

p. 1136a31 Εἰ ο ἐστιν ἁπλῶς τὸ ἀδικεῖν.

Μετὰταῦτα περὶ τὸ δεύτερον πρόβλημα τὸ εἰ αὐτός τις α
καὶ ὁ μὴ τὸ ὑπ' ἄλλου πραττόμενον, ὃν εἶναι μὲν προτεθεὶς ὁ π
ἀπορία τῇ τοιαύτῃ· τὸ πρῶτον δὲ * * * δεικνυσιν δὲ ὅσον ἐπ
τῷ ἀποδοῦναι ὧν τοῦ ἀδικεῖν, ὡς ἀδικήσει τις αὐτὸς αὑτόν. τ
ἁπλῶς καὶ χωρὶς προσθήκης τὸ ἀδικεῖν τὸ βλάπτειν ἑκόντα
ἀδικεῖ ἕκαστος τῶν τοιούτων καὶ εἰδότα ταῦτα ἐν οἷς ἡ πρά
αὐτὸν ἀδικεῖν· ὁ γὰρ ἀκρατὴς ἑκὼν ἀδικεῖ αὐτόν. εἰ γὰρ εἰδό
καστα καὶ μὴ ἀγνοῶν τὰ εἰς βλάβην αὐτοῦ πράσσει, [εἰ δ'

δεικνυται G δεικνυμενον FG: ego cancellavi 7 ὥσπερ καὶ ἐπὶ FG
καὶ inserui Diels 16. 17 και το δικαιοῦσθαι scripsi
FG 33 post πρῶτον δὲ rasura 23 fere litterarum F: totidem sp

τῶν διανοητικῶν ἀρετῶν διδάξαι. ἱκανῶς ἡμῖν ἐν τοῖς πρὸ τούτου βιβλίοις
περὶ τῶν πρακτικῶν παραδούς, ὡς ἂν εἴη αὐτῷ ἐντελὴς ἡ περὶ ἀρετῶν
πραγματεία, μηδενὸς λειπομένης τῶν ἀνηκόντων αὐτῷ. ἀλλ' ἐπεὶ περὶ τῶν
πρακτικῶν ἀρετῶν λέγων πρὸ τούτου, τοῦ ὀρθοῦ λόγου πολλάκις ἐμνημό-
νευσεν, ὡς κατ' αὐτὸν καὶ ὑπ' αὐτοῦ κατορθουμένων τῶν πράξεων (οὐκ
ἦν δὲ αὐτόθεν γνώριμον, τίς τε ὁ ὀρθὸς λόγος ἐστὶ παὶ πῶς κατ' αὐτὸν
αἱ πράξεις εὐθύνονται καὶ ὑπ' αὐτοῦ κατορθοῦνται καὶ πῶς ταῖς τῶν ἀν-
θρώπων ψυχαῖς ὁδὸς παρέπεται πάρεσις), διορίσας ὁ περὶ τούτου λόγος
ἐπηκολούθησε. διὰ τοῦτο καὶ περὶ τῆς φρονήσεως διδάξαι προέθετο,
ἥτις ὁ ὀρθὸς λόγος ἐστίν. ὅπως δὲ διαιρετέα ἐστὶν ἡ φρονησις σοφίᾳ,
καὶ ὁμογενεῖς ἑαυτῇ ἔχει καὶ ἑτέρας τῆς ψυχῆς ἕξεις, ἀκολούθως διδάσκει
καὶ περὶ τούτων. αὗται δέ εἰσι τέσσαρες, ἵν' οὕτως ἐρῶμεν ὁλοσχερέ-
στερον, τέχνη ἐπιστήμη σοφία νοῦς. πρῶτον μὲν περὶ τοῦ ὀρθοῦ παραδί-
δωσι λόγου καὶ τῆς φρονήσεως, ἐπεὶ καὶ πολλάκις περὶ αὐτῆς ἐμνημό-
νευσεν, ἐν οἷς περὶ τῶν πρακτικῶν ἀρετῶν διελάμβανεν, ὀρθόν τε λόγον
κατονομάζων αὐτὴν καὶ φρόνιμον ἄνδρα τὸν κατ' αὐτὸν ἐνεργοῦντα καὶ
πράττοντα. ἵν' οὖν τά τε λεγόμενα συνεχῆ ὑπάρχῃ καὶ πρὸς ἄλληλα καὶ
μὴ ἐπὶ πλεῖον ὦμεν ἀνευρίσκειν τοῦ ὀρθοῦ λόγου, οὗ πολλάκις πρότερον
ἐμνημόνευσε, διδάσκει πρῶτον περὶ αὐτοῦ καὶ οὕτως ἐφεξῆς περὶ τῶν λοι-
πῶν διανοητικῶν ἕξεων τῇ προσηκούσῃ τάξει. ἐν ποίοις γράμμασιν ἀπὸ
τε ἐπεὶ καὶ ἡ φρόνησις μεταξὺ διανοητικῶν καὶ πρακτικῶν ἕξεων, καὶ πῇ
μὲν λογισμὸς καὶ λογιστικὸν ὀνομάζεται, πῇ δὲ νοῦς πρακτικός, ἐκεῖνο μὲν
ὅτι ἐν διανοίᾳ καὶ ἐκ διανοίας ἐστί, τοῦτο δὲ ὅτι περὶ τὰ πρακτὰ κατα-
γίνεται καὶ περὶ τῶν ἀρετῶν συλλογίζεται, ἔδει καὶ μέσην ταχυθῆναι τὴν
περὶ ταύτης διδασκαλίαν τῶν θεωρητικῶν καὶ πρακτικῶν ἕξεων. καὶ
ταῦτα μὲν περὶ τῆς διαθέσεως ἡ Ἀριστοτέλης χρήσεται, παρορῶν ὅπῃ
τῶν πρακτικῶν ἐπὶ τὰς διανοητικὰς ἀρετὰς ἐπανάβασιν ὁ πρὸς τὴν
λέξιν καὶ ἐρῶμεν περὶ αὐτῆς θεοῦ διδόντος τὰ προσήκοντα. βουλόμενος
τοίνυν ταύτην ἐμφανεῖς τὴν περὶ τοῦ ὀρθοῦ λόγου διδασκαλίαν Ἀριστο-
τέλης καὶ τῇ διαιρετικῇ χρήσασθαι μεθόδῳ, πρὸς τὸ εὑρεῖν τίς οὗτός
ἐστιν, ἀνατρέχει πάλιν ἐπὶ τὰ πρότερον εἰρημένα ἐν τῷ Β ταύτης τῆς
πραγματείας, ἔνθα διῄρει τὰς ἀρετὰς τῆς ψυχῆς εἰς τὰς ἠθικὰς καὶ διανοητικάς.
καὶ τὰς μὲν ἠθικὰς παραιτεῖται νῦν ὡς ἱκανῶς περὶ αὐτῶν εἰρηκώς, προ-
τίθεται δὲ περὶ τῶν ὑπολοίπων διδάξαι, λέγω δὴ τῶν διανοητικῶν· αἷς
καὶ τὴν φρόνησιν συνατταει, διότι λόγος τίς ἐστι καὶ αὐτὴ καὶ διάνοια
περὶ τῶν πρακτέων συλλογιζομένη καὶ τό τε | ἀληθῶς αἱρετὸν ἀνευρί- 82r
σκουσα καὶ τὸν τρόπον, δι' οὗ καταλαμβάνεσθαι πέφυκεν. ἐπεὶ δὲ καὶ
περὶ ψυχῆς εἶπεν ἐν τῷ Β ὅσα ἦν ἱκανὰ τοῖς περὶ ⟨τῶν⟩ ἀρετῶν αὐτῆς ἐξετά-

8 αὐτόθεν B: αὐτὸ a 14. 15 ὁλωσχερέστερον B 19 ὑπάρχει a 38 αἱρετὸν ἀνευρίσκουσα B: αἱρετὴ εὑρίσκουσα a 40 τῶν ἀρετῶν a: ἀρετῶν B

ζουσιν. ἀναμιμνήσκει νῦν ἡμᾶς ἐν συντόμῳ καὶ περὶ ἐκείνων. ἐ
τὴν διῄρει τὴν ψυχὴν εἰς τὸ λόγον ἔχον καὶ τὸ ἄλογον. ἐνταῦθ
ἄλογον καταλειπει ὡς περ αὐτοῦ καὶ τῶν κατ' αὐτο μερῶν. ἡμ
ἀντιπαρῆκε δὲ τοῦ λόγου ἕξεσι καὶ φησ'

p. 1139a3 Πρότερον μὲν οὖν ἐλέχθη ὅτι μερῆ εἶναι τῆ
τὸ λογον ἐχον καὶ τὸ ἀλογον· νῦν δὲ περὶ τοῦ λόγου
τὸν αὐτὸν τρόπον διαιρετέον. καὶ ὑποκείσθω δὴ τὰ
ἔχοντα, ἓν μὲν ᾧ θεωροῦμεν τὰ τοιαῦτα τῶν ὄντων,
αρχαὶ μὴ ἐνδέχονται ἄλλως ἐχειν. τὸ δὲ ᾧ τὰ ἐνδεχ

Καὶ τοῖς προτέροις χρῶνται εἰρήνευ ὁ συντάκτης. διττὸν
καθὸν καὶ ἐν τῷ ἀνθρώπῳ τὸ λογικὸν. τὸ μὲν ὡς λόγον ἔχον
μενον, τὸ δ' ὡς λόγῳ ἑπόμενον. ἅτε μὴ ἔχον αὐτὸ λογικὸν ἀλλὰ
τοῦτο οὐδὲ χρῆσθαι λόγῳ δυνάμενον· πῶς γὰρ τῷ λόγῳ τῷ
χαίρεται; καὶ ἐπειδὴ ὡς χεῖρον τῷ κρείττονι καὶ πειθόμενον
τοῦτο οὖ λογικόν. τὸ μὲν κατὰ πάτερον τῶν τρόπων. τὸ δὲ κατὰ
πρότερον μὲν οὖν περὶ τοῦ τῷ λόγῳ ἑπιπειθοῦς καὶ τῶν μετ' α
τοῦτο δὲ τοῦ λόγου ἐστὶν ἀρετῶν ὑπὸ τοῦ λόγου ἐθίσαξε. πειθόντος αὐτῷ κ
ἀγαθῶν καὶ κακῶν καὶ ὠφελίμων ἀγαθῶν. νῦν δὲ τὸ λόγον
διαιρεῖ τῆς ψυχῆς καὶ οὐ λαμβάνει ὅλην, ἥτις μερῆ αὐτοῦ. κ
λέγει διαφορὰς εἶναι διαφετικὰς κατὰ τὸ ὑποκείμενον. περὶ ἃ
ἀκατον. ὧν ὁ ἕκαστον τῶν μερῶν ἀστοχαστον. ἔστι γὰρ τῶν
των τὰ μὲν ἀναγκαῖα, τὰ δ' ἐνδεχόμενα. τὸ μὲν ἐναν ὑπὸ τῶν
μενον περὶ τὰ ἀναγκαῖα. τὸ δὲ περὶ τὸ ἐνδεχόμενον. ὡς γὰρ
τοῦ ζῴου διαιρέσεως κατα διαφορους τροπους λαμβανοντες τὰς
ἔστιν οὗ καὶ κατὰ τὰς κατὰ τόπους διαιρέσεις διαιρουμεν εἰς
αὐτῶν, τὰ μὲν τῶν ζῴων χερσαῖα λεγοντες, τὰ δ' ἔνυδρα, οὕτω
τῶν δυναμεων, ἤτοι μερῶν τῆς ψυχῆς οὐκ ἀνοικείων πο
ὑπὸ γένους εἰς εἴδη ἢ ἀπο ὁλικωτέρου εἰς μερικωτέρων κατὰ τ
μενα. περὶ ἃ ἐνεργεῖ τὸν περὶ ὁ καταστατον. ὅπου γὰρ ἐνε
μεσι διαιροῦσι τὰ ὑποκειμενα τοῖς ὀνόμασι. περὶ ὁ τὸν ἐνεργ
ὑδεικνυται. ἐπεὶ δὲ τοῦτο τῶν ἀστοχαστῶν ἢ τὸ ἐναρχον τῶν
των ἀρχουσεων, ἢ ὡς ἐνιοι λεγουσι ἐνοικοῦσα καὶ παρακολουθ
ποῦσα περὶ τὰ ἀναγκαῖα. τῆς τοιαύτης αὐτοῦ ἕξεως κα
σα τοῦτο ὑποκείσθω περὶ ὃ τὸ λογικὸν ἐγκατον. τὸν δὲ
ὡς ὁμολογουμενον. τὸν μὲν τῶν πραγματων τὸ μὲν ἐστι, τὸ δὲ κα
μένων τὰ μὲν ἀναγκαῖα, τὰ δ' ἐνδεχόμενα γίνεσθαι. ὁρᾶν πάντ

μικρὸν μετεσχηκότι συνέσεως. ὅτι γὰρ εἰσί τινα νοητὰ καὶ ἕτερα αἰσθη- 82r
τά, πάνυ ὀλίγοι ἠγνόησαν τῶν ἐπιστησάντων τοῖς πράγμασιν. ὥσπερ καὶ 30
ὅτι εἰσὶ τὰ μὲν ἀναγκαίως τὰ δ' ἐνδεχόμενα. ἀναγκαίως μὲν ὡς ἀνατολαὶ
καὶ δύσεις ἄστρων καὶ τινων ἐκ τούτων παρατροπαὶ καὶ ἀστάτους τοὺς
τὰ τῆς γῆς διάφορα κλίματα, ὥραι τε τοῦ ἔτους καὶ ἡμέραι καὶ νύκτες
ἀλλήλας διαδεχόμεναι καὶ ὅσα ἕτερα τούτοις σύστοιχα· νίκαι δὲ καὶ
ἥτται τῶν μαχομένων ἐνδεχόμεναι καὶ ἐξ ἑτέρων εἰς ἑτέρους μεταβαλλό-
μεναι καὶ ἐνέργειαι καὶ πράξεις ἀνθρώπιναι καὶ ἄλλα τοιαῦτα πολλά, ὧν
περιττὸν ἦν ἀπαριθμεῖν τὸ καθέκαστον. διὰ τοῦτο ὑποκεῖσθω ταῦτα 35
εἶπεν, ὡς μὴ ἀποδόσεως χρῄζοντα τοῖς μικρὸν παιδείας μετεσχηκόσιν. ὅτι
δὲ καὶ ἐπιστήμης τελεωτέρας καὶ μείζονος τοῖς ἐν λόγοις δεομένη δυνάμε-
ως ἡ περὶ τούτων συστήσεται καὶ ἀπόδειξις ὡς εἰς θεωρίαν ἄγουσα μείζω,
οὐδὲ τοῦτο ἄδηλον. διὰ ταῦτα οὖν ἅμφω ὥσπερ χαρισθῆναι αὐτῷ τὴν
περὶ τούτων ὁμολογίαν ἠτήσατο. γνώρισμα δὲ παραδίδωσι τῶν μὲν
ἀναγκαίων τὸ μὴ ἐνδέχεσθαι ἄλλως ἔχειν αὐτῶν τὰς ἀρχάς, τῶν δὲ ἐνδε- 40
χομένων οὐδέν, ἀλλὰ μόνον ὀνομάζει αὐτὰ ἐνδεχόμενα. τοῦτο δὲ πεποί-
ηκεν, ὡς προχείρου πᾶσι προκειμένης τῆς γνώσεως τῶν ἐνδεχομένων, ἅτε
καὶ οἰκείων ὄντων μᾶλλα τοῖς γενητοῖς ἡμῖν καὶ φθαρτοῖς. ἀρχὰς δὲ ὠνό-
μασεν ἢ τὰς τῆς γνώσεως ἢ τὰς τῆς ὑπάρξεως. τῆς μὲν γὰρ γνώσεως
ἀρχαὶ οἱ ὅροι καὶ τὰ ἀξιώματα ἐπί γε τῶν ἀναγκαίων, τῆς δὲ ὑπάρξεως
τὰ ποιητικὰ καὶ τὰ τελικά. ταῦτα γὰρ μόνα κυρίως αἴτια, ὅτι καὶ μόνα
τῶν αἰτιατῶν ἐξήρτηται. τῶν δὲ ἐνδεχομένων, εἰ καὶ μὴ αὐτὸς εἶπεν, ἐν- 45
δεχόμεναι καὶ αἱ ἀρχαὶ τῆς γνώσεως ἅμα καὶ τῆς ὑπάρξεως, τῆς μὲν
γνώσεως αἱ ἔνδοξοι τῶν προτάσεων, τῆς δὲ ὑπάρξεως ὅσα τῶν ποιητικῶν
καὶ τῶν τελικῶν καὶ μὴ εἶναι καὶ ἐνεργεῖν ἐνδέχεταί ποτε, ὡς τὸν οἰκο-
δόμον καὶ τὸν ἀνδριαντοποιόν· ἃ δὴ ποιητικά ἐστιν ἡ ταῦτά ἐστιν. εἰ
δὲ καὶ εἰδικὰ αἴτια ταῦτα λέγεται, οὐδὲν ἄτοπον· πολλάκις γὰρ εἰς αὐτὸν
ἅμφω ταῦτα συνέτρεχον. καὶ ἰατρὸς μὲν καὶ ὑγίεια, ὁ μὲν ποιητικόν, ἡ
δὲ τελικόν. τὸ δὲ τὸν αὐτὸν τρόπον διαιρετέον εἴρηται, διότι διάφοροι 50
τρόποι τῆς διαιρέσεως, οἷον ἀπὸ γένους εἰς εἴδη καὶ ἀπὸ εἴδους εἰς ἄτομα καὶ
ἀπὸ ὁμωνύμου φωνῆς εἰς διάφορα σημαινόμενα καὶ ἕτεροι πλείονες. ὧν εἷς
ἐστι τρόπος καὶ ὁ τὸ ὅλον εἰς τὰ μέρη διαιρῶν· ᾧ καὶ ἐνταῦθα ἐχρή-
σατο πρότερόν τε καὶ νῦν, ὡς ἀσώματον ὁλότητα συγκειμένην ἐξ ἀσωμά-
των μερῶν τῶν ἐν αὐτῇ θεωρουμένων δυνάμεων τὴν ψυχὴν διαιρῶν, ἃ δὴ τῆς
μὲν ψυχῆς μέρη καλοῦμεν. τῆς δὲ κοινοτέρας καὶ γενικωτέρας δυνάμεως εἴδη
τάττομεν· διὰ τοῦτο καὶ μέρη ταύτας | καὶ δυνάμεις καὶ εἴδη λέγομεν, πρὸς 82v
ἄλλο καὶ ἄλλο λαμβάνοντες, ἐπεὶ καὶ αὐτὴ ἁπλῶς ἡ ψυχὴ ἐντελέχεια πρώτη
σώματος λεγομένη φυσικοῦ ὀργανικοῦ δυνάμει ζωὴν ἐχόντος, ὡς τὸ ἐπίστα-
σθαι λέγεται ἐντελέχεια, ὅπερ ἐστὶν ὡς ἕξις ἀλλ' οὐχ' ὡς τὸ θεωρεῖν, ὅπερ

3 ἐνδεχόμενα B: ἐνδεχομένως γινόμενα a ἀνατολαὶ B: ἀνατολὴ a 5 τοῦ B: καὶ a
13 χαρισθῆναι B: χωρισθῆναι a 21 τὰ τελικὰ B: τελικὰ a 27 fort. εἰς ταὐτόν 31 ὁμω-
νύμου φωνῆς B: ὁμωνύμων φωνῶν a

[illegible]

p. 1139a8 Πρὸς γὰρ τὰ τῷ γένει ἕτερα καὶ τῶν τῆς ψ
ὄντων ἕτερον τῷ γένει τὸ πρὸς ἑκάτερον πεφυκὸς, εἰ
[illegible]

[illegible]

[illegible]

πρότερον ἐλέγομεν τῆς ψυχῆς. καὶ τὸ περὶ τὰ ἐνδεχόμενα καὶ τὸ περὶ 82
τὰ ἀναγκαῖα καταγινόμενον, ἃ νῦν ὡς τῆς ψυχῆς λαμβάνομεν μόρια, μέρη
λέγοντες εἶναι αὐτὰ τοῦ λόγον ἔχοντος αὐτῆς μέρους. εἰ γὰρ εἴδει δια-
φέρουσι καὶ πρὸς τὴν ψυχὴν ὡς ἐκείνης ὄντα λαμβάνονται, εἴδη ἔσονται
τῆς ψυχῆς. ἢ οὐδὲν ἄτοπον τοῦ αὐτοῦ καὶ ἄλλο λαμβάνεσθαι αὐτὸ
πρὸς μὲν τόδε μέρη λέγειν ἢ μόρια, πρὸς δὲ τόδε εἴδη. πρὸς μὲν γὰρ 85
τὴν ψυχὴν μέρη ἢ μόρια ὡς ἐπιστημονικὸν τὸ τοῦτο ἀνάλογον τῷ τοῦ
θέσει θεωρουμένου κατὰ τὰς ἀναλόγους ἕξεις καὶ ἐνεργείας αὐτῆς, ὡς
δὲ πράγματα καὶ ὡς δυνάμεις λαμβανόμενα τῷ εἴδει διάφορά εἰσιν. ἕτερα
γὰρ κατ' εἶδος ἀλλήλων τὸ λογιστικὸν καὶ ἄλογον, καὶ αὖθις ἕτερα τῷ εἴδει
τὸ περὶ τὰ ἀναγκαῖα καταγινόμενον καὶ τὸ περὶ τὰ ἐνδεχόμενα. ὡς καὶ
ἐπὶ τῶν ἐπιστημῶν ἔστι θεωρεῖν. μέρη γὰρ γεωμετρίας ἡ περὶ τὸ ἐπι-
πεδα θεωρία καὶ ἡ περὶ τὰ στερεά, ἀλλ' ὡς θεωρίαι ἁπλῶς τῷ εἴδει
διάφοροι· καὶ μέρη γραμματικῆς ἀναμφισβήτητον ἐστὶν ὁμοίως. ὡς δὲ
θεωρίαι τινὲς καὶ γνώσεις τῷ εἴδει ἀλλήλων διενηνόχασιν. ἀλλὰ καὶ
ἁπλῶς ἐπὶ τῶν ἀνομοιομερῶν μέρη ὄντα τὰ μέρη τοῦ ὅλου τῷ εἴδει ἀλλή-
λων διέστηκε. διὸ καὶ ἀνομοιομερὲς τὸ ὅλον λέγεται, ὡς ἐξ ἀνομοίων
ἀλλήλοις συνεχομένων ἀποτελούμενον. οὐδὲν ἄρα ἄτοπον εἰ τὰ αὐτὰ πῇ
μὲν μέρη λέγοιτο εἶναι, πῇ δὲ τῷ εἴδει διαφορὰ αὐτῶν ἀλλήλοις καὶ
ἄλλως λαμβανόμενα.

p. 1139ª11 Λεγέσθω δὲ τούτων τὸ μὲν ἐπιστημονικόν, τὸ δὲ λογι-
στικόν· τὸ γὰρ βουλεύεσθαι καὶ λογίζεσθαι ταὐτόν. οὐδεὶς
δὲ βουλεύεται περὶ τῶν μὴ ἐνδεχομένων ἄλλως ἔχειν, ὥστε
τὸ λογιστικόν ἐστιν ἕνα μέρος τοῦ λόγον ἔχοντος.

Ἐπεὶ διάφορα ὄντα τῷ γένει ἤτοι τῷ εἴδει τὰ δύο μέρη τοῦ διανο-
ητικοῦ ἔδειξεν ἐκ τῆς διαφορᾶς τῶν ὑποκειμένων περὶ ἃ καταγίνονται, ὡς
ἀναγκαῖον ἂν ἐξομοιοῦσθαι γνῶσιν ἑκάστην τοῖς ἰδίοις γνωστοῖς, τίθησιν
αὐτοῖς καὶ ὀνόματα, ὡς ἂν κἀκ τῶν ὀνομάτων ἡ διαφορὰ δηλούμενα.
καί φησι τὸ μὲν δόξαν εἶναι ἐπιστημονικὸν ὀνομάζεσθαι, τὸ δὲ λογιστικόν,
ὅτι τὸ μὲν ἐπίστασιν καὶ ὅρον ἄγει τὸν κατ' αὐτὴν διανοούμενον, τὸ δ'
ὅτι οὐ τὸ λογίζεσθαι καὶ βουλεύεσθαι τὴν περὶ τὸ ὀρεκτὸν εὑρίσκει ἀλή-
θειαν, ὡς μὴ πλανᾶσθαι περὶ αὐτὸ μηδὲ ὀρέγεσθαι οὐ μὴ δεῖ. τῆς μὲν
γὰρ τοῦ ἐπιστημονικοῦ κινήσεως τέλος ἡ ἀλήθεια καὶ οὐ χρεία προσθεῖ-
ναι ἐν τῷ ζητουμένῳ μετὰ τὴν αὐτῆς εὕρεσιν, εἰ μήπου, κατὰ συμ- 83
βεβηκός, ὡς ὅταν εἴη ἐπιστήμη προσλαμβανομένη ὡς ἐν πράξει χρησι-
μεύουσα, ὥσπερ ἡ κάθετος ἐπὶ τὸ ἄγειν πρὸς ὀρθὰς τὰ οἰκοδομούμενα
καὶ τὸ ὀρθογώνιον τρίγωνον πρὸς τὸ ἱστᾶν τοὺς κίονας ἐν ὀρθότητι καὶ

1 καὶ τὸ περὶ — τῆς ψυχῆς (2) bis B, priore loco omittens ἐνδεχόμενα καὶ τὸ περὶ τὰ et pro καταγινόμενον scribens καταγινόμενα 6 πρὸς μὲν τόδε B: πρὸς μὲν τὸ a 8 θεωρούμενα B: θεωρουμένης a 29 φησὶ B: φασὶ a 33 χρεία B: χρὴ a 37 πρὸς τὸ ἱστᾶν B: πρὸς ἱστᾶν a

ᾗ γεωμετρία πρὸς τὸ πεφυκέναι. τῆς δὲ τοῦ διαλογιστικοῦ καὶ
κοῦ οὐχ ἱκανὸν τὸ μόνον εὑρέσθαι τὸ ἀληθὲς ἀλλὰ δεῖ καὶ
ἀγαθὸν ὡς ἀληθῶς πράττοντα τὸν σπουδαῖον. καὶ αὐτὸς γὰρ ὁ
σησὶ περὶ τῆς ἠθικῆς πραγματείας λέγειν ἀρχόμενος. ὅτι τὸ
οὐ γνῶσις ἀλλὰ πρᾶξις. ἐναργεστέραν δὲ τὴν διαφορὰν ποιο
δυο τούτων εἰδῶν, τοῦ διανοητικοῦ καὶ ἐπιστημονικοῦ, μεταλ
λογίζεσθαι εἰς τὸ βουλεύεσθαι ὡς σαφέστερον. ταὐτὸν εἶναι λέγω
καὶ βουλεύεσθαι. ὡς δῆλον ὄν, ὅτι οὐδεὶς περὶ τῶν μὴ ἐνεργη
χειν βουλεύεται. περὶ γὰρ τῶν ἐφ' ἡμῖν αἱ βουλεύσεις καὶ ἃ
ἡμῖν δυνατὸν ὡς βουλόμεθα. καὶ οὗτος ἐκ τῆς τῶν πραγμάτω
ἡ ἀποδεῖξις γίνεται τοῦ εἶναι τῷ γένει ἕτοι τῷ εἴδει ἀλλήλω
ἐπιστημονικὸν καὶ βουλευτικόν. ὅτι μὲν γὰρ φύσει βουλευτικο
πός ἐστι, δῆλον. οὐκ ἂν δέ τις βουλεύσαιτο μὴ ἔχων περὶ
ἃ μὴ ἄλλως ἔχειν ἢ ἔξειν ἐνδέχεται, οἷον εἰ ἔσται ἡμέρα ἢλί
ὑπὲρ γῆν ἢ ὑπὸ γῆν αὐτὸς εἰ νύξ. εἶτα ἐπάγει καὶ τὸ συμπε
αὐτῷ εἰρημένοις, ἐπαρεσκόμενος ὡς τῇ φύσει τῶν πραγμάτων
ὥστε τὸ λογιστικόν ἐστιν ἓν τι μέρος τοῦ λόγον ἔχοντ
τὸ λόγον ἔχον ποιεῖ μὲν περὶ τὰ ἀναγκαῖα ἐνεργεῖ. ποιεῖ δὲ πε
χόμενα. καὶ περὶ μὲν τὰ ἀναγκαῖα οὐκ ἔστι βουλεύεσθαι κα
ἀλλὰ περὶ ὧνα τὰ ἐνδεχόμενα. ἔστι μέρος τοῦ διανοητικοῦ παρ
μενον ἕτερον. ὃ περὶ τὰ ἐνδεχόμενα καταγίνεται. ἀπορήσει
κῶς μηδαμῶν ἀναγκαίων ὄντων ἐν τοῖς ὅλοις μερίοις τὸ λόγ
ἔχοντι ἀπὸ τῆς τῶν ἀναγκαίων διαφορᾶς περὶ ὃ καταγιν
μὲν εἶναι λέγοντας μέρος τὸ περὶ τὰ ἀναγκαῖα καταγινόμενον
τὸ ἐνδεχόμενον ἕτερον. καὶ ὥσπερ αὐθὶς ἡ αὐτὴ τῶν ἐνα
ὧνα γινομένου καὶ μὴ γινομένου ὁράσις καὶ τῶν μετεῷ. καὶ ἀκ
ὁρᾶν τὸ καὶ βαδίζειν καὶ ὅσα τούτων ἐστὶν ἀνὰ μέσον κατὰ
καὶ αὖθις ἀριθμητικὴ περιττοῦ καὶ ἀρτίου. καὶ ἐπὶ τῶν ἄλλω
ὕστερον καὶ τὸ λογικὸν ἔχον τῆς ψυχῆς ἐνδέχεται ἓν ὑπάρχον κα
καταγίνεσθαι περὶ τὸ καὶ ὧνα διαφορα. ἤγουν τὰ τ ἀνα
ἐνδεχόμενα. καὶ ἐπὶ μὲν γινόμενα ὡς ἀεὶ ὄντα ὡσαύτως ἢ ὡς
γόμενα. τὰ δὲ ἐνδεχόμενα καὶ ἄλλως εἶναι ἢ γίνεσθαι.
ζητεῖ αὖθις. ἐπεὶ ὁ αὐτὸς κατὰ διαφόρους τρόπους ἐνοῖν τ
καὶ πρώτων μέν. ὧν αἱ ἐνεργειαι διαφοροι. τούτων καὶ αἱ δ
φοροι. καὶ ὧν αὐτῶν ταῦτα ἴσως. καὶ αἱ οὐσίαι ἄρα. ἀπο
μὲν ἐπιστημονικὸν τὸ δὲ ἀναγκαῖον ὕστερον συναριθμεῖσθαι καὶ τοῦ
τοῖς τελευταίοις ἐπάγοντα. τὸν δὲ λογιστικὸν τὸ δὲ ἐνδε
ἐνεχόμενα. δῆλον ὅτι διαφοροι τοῦ ἐπιστημονικοῦ καὶ βουλ
δυναμεις καὶ ἐνεργειαι. ἐξ ὧν τοῦτο. καὶ αἱ οὐσιαι. διαφορ
οὐσίαν μέρη τοῦ λόγου ἔχοντος τῆς ψυχῆς, τὸ ἐπιστημονικὸν

4 γόμενος] I 1 p. 1095a5 10 ἐναργείας scripsi: ἐνεργείας Ba
11 ἔστι B: ἔστιν a 22 ἔχον B: ἔχοντα a 28 ἀρ
[illegible] b [illegible] a

καὶ τοῦτο δὲ ἔπεται τοῖς ὑπὸ τῶν ἐναντίων ἐπιτηδευομένοις ἢ τῷ ἐναντίῳ ὑπάρχειν. μᾶλλον οὖν ἐστιν καὶ γυμνασάτω ἐπ' αὐτῶν τῶν πραγμάτων ὁ ἐνδεικνύμενος τὸ ἀγαθόν. ὡς γὰρ περὶ τὸ λευκὸν ἡ ὅρασις [illegible] ἐπιστήμη περὶ τὰ ὑπὸ τὸν ὀρθὸν λόγον τῶν περὶ τὰς ὁρατὰς ὕλας τὸ φησάντων, καὶ περὶ τὸ μέλαν ὡσαύτως. καὶ ἡ γεωμετρικὴ ἐπιστήμη ὡς περὶ τῶν εὐθυγράμμων σχημάτων ἀποδείκνυσιν αἰεὶ μέσῳ τῷ αἰτίῳ χρωμένη τοῦ πράγματος, ἀλλ' οὐ μόνον τοῦ συμπεράσματος, οὕτω δὴ καὶ περὶ τῶν περιφερογράμμων καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. ἀλλ' οὐδὲ οὕτως ὡς τὸ λευκὸν καὶ τὸ μέλαν ἀλλήλων ἀφίστανται καὶ ὡς τὸ εὐθύγραμμον καὶ περιφερόγραμμον, τὸ ἀναγκαῖον καὶ τὸ ἐνδεχόμενον. ἐκεῖνα γὰρ εἰ καὶ ἀλλήλων τῷ εἴδει ἕτερα, ἀλλὰ τῷ γένει ταὐτά, ταῦτα δὲ πάντῃ ἀλλήλων διέστηκεν, ὅταν καὶ τὸν τρόπον τοῦ εἶναι ἔχῃ διάφορον, ὡς καὶ τοὺς λόγους τοὺς περὶ αὐτῶν ἀναγκαίως ὑπεναντίως ἔχειν, τοὺς μὲν ἐξ ἀναγκαίων καὶ ἀναγκαίως παραινομένους, τοὺς δὲ ἐξ ἐνδεχομένων καὶ ἐνδεχομένως. ὡς ἀναγκαῖον εἶναι καὶ τὰς γνωστικὰς δυνάμεις διαφόρους κατ' εἶδος, αἳ τοῖς διαφόροις κατὰ γένος γνωστοῖς ἐφαρμόσουσι. καλῶς ἄρα ὁ Ἀριστοτέλης τοῦ λόγου ἔχοντος τῆς ψυχῆς ἄλλο καὶ ἄλλο εἴρηκεν εἶναι μόριον τὸ περὶ τὰ ἀναγκαῖα καταγινόμενον καὶ τὸ περὶ τὰ ἐνδεχόμενα. ἦν καὶ ἄλλα εἰπεῖν τὴν ζήτησιν ἐπιλύοντα, ἀλλ' ἀρκεῖ ταῦτα, ὡς μὴ ἀκαίρως φιλοτιμεῖσθαι δόξωμεν.

p. 1144a11 Λεκτέον ἄρα ἑκατέρου τούτων τίς ἡ βελτίστη ἕξις· αὕτη γὰρ ἀρετὴ ἑκατέρου. ἡ δ' ἀρετὴ πρὸς τὸ ἔργον τὸ οἰκεῖον.

Δείξας ὅτι δύο εἴδη τοῦ διανοητικοῦ, δείκνυσι νῦν ὅτι ἀναγκαῖόν ἐστι περὶ τῆς ἑκατέρου εἰπεῖν ἀρετῆς, εἴ γε καὶ τῶν κατὰ ψυχὴν ἀρετῶν καὶ τῶν κατὰ τὰς δυνάμεις αὐτῆς ἡ παροῦσα αὐτῷ πραγματεία ἐνέστηκεν. οὐ γὰρ δεύτερον τοῦ περὶ τῶν πρακτικῶν ἀρετῶν εἰπεῖν τὸ καὶ περὶ τῶν διανοητικῶν τὰ προσήκοντα ἐπεξελθεῖν, εἰ μὴ καὶ μᾶλλον τοῦτο πρῶτον καὶ κυριώτερον. διὰ γὰρ τὰς διανοητικὰς δεόμεθα καὶ τῶν πρακτικῶν, ὡς ἂν μὴ ὑπὸ τῶν παθῶν ἐνοχλούμενοι καὶ ἐπισκοτούμενοι ἐμποδὼν αὐτὰ θεωρεῖν βουλώμεθα τὴν ἀλήθειαν ἔχωμεν. ὅρα δὲ ὅτι καὶ τὰς πράξεις αἱρούμενοι κατορθοῦν τῆς τοῦ διανοητικοῦ ἐνεργείας ἐξ ἀνάγκης [illegible]. ὥστ' ἀναγκαῖον τὴν βελτίστην ἕξιν εὑρεῖν τίς ἐστιν ἑκατέρου τῶν μερῶν τοῦ διανοητικοῦ, ἥτις ἐστὶν ἡ ἀρετὴ ἑκατέρου. ἐπεὶ γὰρ δύο τὰ μόρια τοῦ διανοητικοῦ τῆς ψυχῆς ἀνεφάνησαν, δεῖ μὴ ἀρκεσθῆναι τῇ εἰδήσει μόνῃ τοῦ εἰδέναι δύο αὐτά, ἀλλὰ δεῖ καὶ τὴν ἑκατέρου μαθεῖν τελειότητα τίς ἐστιν, αὕτη δέ ἐστιν ἡ ἑκατέρου ἀρετή, ἣν μαθόντας δέον σπουδάζειν πρὸς τὴν κτῆσιν αὐτῆς. τὸ δὲ ἡ ἀρετὴ πρὸς τὸ ἔργον τὸ οἰκεῖον ὁ

4 ἐκπέμπουσα B 4. 5 φιλοσοφιστάτων Ba 10 περιφερόγραμμον B: περιφερόμετρον a 12 ἕξη corr. ex ἔχει B: ἔχει a 18 καὶ τὸ περὶ B: καὶ περὶ a 26. 27 διανοητικὰς a: νοητικὰς B 33 ἡ ἀρετὴ B: ἀρε[illegible]

δεσμός τις αὐτοῖς πρὸς τὴν συναίρεσιν γίνεται ἢ ἄλυτος πάντη, εἰ καὶ τοῦ 83v
πράγματός ἐστιν αἴτιος, οὐ μόνον τοῦ συμπεράσματος, καὶ ἀναγκαίως
ἔχων καὶ τὰ κατηγορούμενα κατηγορούμενα καὶ τὰ ὑποκείμενα ὑποκείμενα, 35
ἢ μόνου τοῦ συμπεράσματος αἴτιος καὶ ἐνδεχομένως ἔχων τὰς κατηγο-
ρίας καὶ τὰς ὑποθέσεις κἀντεῦθεν δυνάμενος λύεσθαι, τὸν δὲ νοῦν
ὑπερέχειν. ὅτι καὶ ὑπὲρ αἰτίαν τῶν γνωστῶν ἐντὸς γίνεται ἀμέσοις ἐπι-
βολαῖς καταλαμβάνων αὐτά, ὥσπερ αὐτόπτης αὐτῶν γινόμενος καὶ ἑαυ-
τῷ αὐτοῖς συγγινόμενος μηδενὸς μεσιτεύοντος. αἱ μὲν λογικαὶ οὕτως· 10
τῶμεν δὲ καὶ τὰς ἀλόγους καὶ γνωστικάς, ὅπως καὶ ἐπ' αὐτῶν ἡ κατὰ
10 γνῶσιν ἐνέργεια γίνεται. αἴσθησις μὲν γὰρ περὶ τὰ καθ' ἕκαστα καταγίνεται,
οὐσίας μὲν αὐτῶν οὐ καταλαμβάνουσα (τοῦτο γὰρ ταῖς λογικαῖς ἥρμοσται).
μόνας δὲ ποιότητας ἢ ποσότητας ἢ ἄλλο τι τῶν συμβεβηκότων αὐταῖς.
φαντασία δὲ τῶν αἰσθήσει φανέντων τύπους καὶ εἰκόνας ἐν αὐτῇ εἰσοι-
κίζουσα παραφυλάττειν αὐτὰς ἐντὸς πέφυκε. τίνες δή σοι δοκοῦσιν εἶναι
15 κρείττονες, αἱ λογικαὶ τῶν ἀλόγων ἢ τὸ ἀνάπαλιν; καὶ τίς ἀντερεῖ πρὸς 15
τὸ πρότερον τῷ δευτέρῳ συντιθέμενος, εἰ μὴ καὶ τὰ ἄλογα προκρίνει τῶν
λογικῶν καὶ τῶν ἀύλων τὰ ἔνυλα καὶ τῶν θείων τὰ φυσικὰ καὶ τὰ ἐν
γενέσει καὶ φθορᾷ τῶν εἰς ἀεὶ μενόντων ἐν τῇ ταυτότητι; τὰ μὲν οὖν
περὶ τῶν γνωστικῶν τῆς ψυχῆς δυνάμεων ταῦτα, μεταβῶμεν δὲ ἐπὶ τὰς
20 ὀρεκτικάς. διαιροῦνται γὰρ καὶ αὗται κατὰ τὸ λογικὸν καὶ ἄλογον εἰς τέσ- 20
σαρα συμπεσούμενα, βούλησιν καὶ προαίρεσιν, θυμὸν καὶ ἐπιθυμίαν· ὧν
ἡ μὲν βούλησις (καὶ) προαίρεσις λογική, ὅτι μόνοις τοῖς λογικοῖς ἐνυπάρ-
χουσι, θυμὸς δὲ καὶ ἐπιθυμία ἄλογοι, ὅτι καὶ τοῖς ἀλόγοις κοιναί. καὶ 50
ὅτι ἐκεῖναι μὲν οἰκεῖον ἔχουσαι τὸν λόγον κατ' αὐτὸν τὰς ἑαυτῶν ἐνερ-
25 γείας ἁπλῶς ἀποπληροῦσιν, αὗται δὲ παρὰ μὲν τοῖς ἀλόγοις ζώοις παντοίως τοῦ λόγου
ἀπέχουσιν, ἐπὶ δὲ τῶν ἀνθρώπων οὐδ' ἐπ' αὐτῶν μὲν οἰκεῖον ἔχουσι λό-
γον. ἀλλοτρίῳ δὲ λόγῳ ἐπιπειθεῖς πεφύκασι γίνεσθαι. ᾧ καὶ πειθόμενοι
κατορθοῦσι τὰς ἀρετάς, εἰ δ' οὖν ἀλόγως ἐνεργοῦσι, τοῖς ἁπλῶς ἀλόγοις
ὅμοιαι γίνονται. ὅτι μὲν κρείττους αἱ λογικαὶ τῶν ἀλόγων ἔν τε ταῖς γνω-
30 στικαῖς καὶ ταῖς ὀρεκτικαῖς, | οὐδεὶς ὁ ἀντερῶν, εἰ μὴ πάντῃ εἴη τοῦ 84r
λόγου ἀλλότριος, οὐδ' ὅτι αὗται πρὸς ἀλλήλας ὑπηναντίωνται, οὐδ' ὅτι
ἐπιστατοῦντος μὲν τοῦ λόγου ταῖς ἀλόγοις ὀρέξεσι καὶ ἑαυτῷ αὐτὰς ὑπο-
τάττοντος κατορθωτικὸς ὁ ἄνθρωπος τῶν ἀγαθῶν γίνεται. ἐνδιδόντος δὲ
ἐκείναις καὶ ταῖς ὁρμαῖς ἐκείνων ἑπομένου αἱ πρὸς κακίαν ἐκπτώσεις
35 ἐναργῶς ὁρῶνται ἀποτελούμεναι. τῶν δὴ σωματικῶν ἡδέων ἐκ ποίων ὁ
δυνάτων προσβολῶν ἡ ὀρέξ[illegible] ἐστὶν αἱ ἀπολαύσεις αὐτῶν
ἐφιέμεναι; οὐχὶ αἱ ἄλογοι; τὴν δὲ τούτων ἀπαχθῆ εἴτε τὴν [illegible]
τὴν θεωρητικὴν κατὰ τὸ μέτριον, ἐν τίσιν εὑρίσκομεν; οὐχὶ [illegible]

3 αἰσθήσει a: αἰσθήσεων B 16 συντιθέμενος B: συνθέμενος a 18 post ταυτότητι verba τὰ μὲν οὖν—ὧ καὶ πειθόμενοι (27), tum εἰ μὴ καὶ (16)—ταυτότητι, quibus deletis omnia recte repetit B 22 καὶ a: om. B 25 παρὰ B: ἐπὶ a 28 ἐνεργοῦσι scripsi: ἐνεργοῦσαι Ba 29 κρείττους B: κρείττονες a 36 ἀπολαύειν B: ἀπολαβεῖν a 37 τὴν δὲ B: τὰ δὲ a

κοῖς; εἰ οὖν ἐν μὲν τοῖς ἀλόγοις ἡ πρὸς τὰ ἡδέα τοῦ σώματος σ
ὁρμή, ἐν δὲ τοῖς λογικοῖς ἥ τε παντελὴς κατορθοῦται εὐπάθεια
μέτρῳ καὶ λόγῳ πρὸς τὰ πάθη κατάνευσις. πῶς οὐ κρείττων ἡ
κατ' αὐτὸν τὴν ἀνάτρεπτον πρὸς τὰ πάθη ὁρμῆς καὶ συννεύσε
ἀνάτρεπτον ὑπάρχειν πρὸς τὰς μέσεις καὶ ἀδιαφόρως πρὸς αὐτ
καὶ μηχανᾶσθαι καὶ ἀνδρίζεσθαι. ἄλογον πάντῃ καὶ ἀχαλίνωτον.
οὐχ ἕξει τὸ χειριστον καὶ τοῦ λόγου παντελῶς ἀποστήσεται,
ἀποστρεφόμενος τοῖς ἀλόγοις συντάττεται; ἢ εἰ δεῖ ταλήθη εἰπεῖ
κατὰ τὸ μοχθηρὸν ὑπερβέβηκεν ὁ τὸν λόγον ὑποτάττων τοῖς π
τὸ κρεῖττον τῇ φύσει τῶν χειρόνων τῇ φύσει ἀπορρόνων ἀνδρά
ὑπερβαλλόντων δεῖ τὸ ἐκείνοις ὄντα κατ' ὄρεξιν. λοιπὸν τίς οὐ
παγκάκιστον εἶναι καὶ παναισχρὸν τὸν νομοθετοῦντα τὰ χείριστα
φύσει λογικὸν ἐξιστῶντα τοῦ λόγου χείρω καὶ τῶν ἀλόγων κ
ἔτι τις οὐκ οἶδε τῶν μετασχόντων παιδείας, τρεῖς εἶναι κατὰ
πρακτικὰς ἀρετάς, ἀνδρείαν σωφροσύνην δικαιοσύνην, τῇ πρόστα
θυμίνας τὴν φρονεῖν πεφυκυίας δυναμέως καὶ μετρούσης τὰς ὁρ
καὶ ἐπιθυμίας; πῶς οὖν ἔσται σωφροσύνη, ἐν οἷς ἡ ἐπιθυμία τ
τοῦ χαλινῷ μὴ ὑπόκειται; μὴ οὔσης δὲ σωφροσύνης, πῶς ἂν
σύνη; τῆς τε ἐπιθυμίας τοῦ λόγου ἀποπτυούσης τὸν χαλινόν
ἑαυτῷ μητ' ἐκείνῳ τὸ καθῆκον ἐχούσης τηρούμενον ἀλλὰ τ
τοῦ πρὸς αὐτὴν φυσικὴν ὁσσποτείαν ἀπαρνουμένης καὶ τὴν ἐκ
χαλινὸν δουλωσιν, γάμων τε καὶ ἀλλοτρίων ἐξορτορομένων ὁ
θυμίαν ἀνάρετον καὶ τῆς φρονεῖν ἀνακυμένη φυτῆς ὁ
ἄρρεσι χρῆσθαι ἴσα καὶ θήλεσι; προσθήσω δέ τι καὶ τῶν ἄλλ
ἀφαιρουμένων διὰ τὸ πρὸς χρηματισμὸν ἀκρήστων τῆς ὀρέξ
καὶ φρονησις ἀναιρεῖται τῆς αἰσχύνης τοῦ λόγου καταρρατούσης
καταφερούσης εἰς ἀκρισιαν καὶ ἀνοιαν. ταῖς χειροὶ δυναμεσιν ὑ
τούτων δ' οὕτως ἐχόντων. ποῦ ἡ ἀνόρεια φανήσεται θυμὸν ε
λογῳ μετρουμένου, τοιούτου καταστάντος τοῦ λόγου καὶ αἰσχρ
σόντος τοῖς πάθεσι καὶ μὴ δυναμένου μηδ' αὐτῷ χρῆσθαι
οια τὸ ἀπολεσαι τὸ τῆς κατὰ φυσιν ἀρχῆς ἀξίωμα; ἀλλ' οὐδ
ἀναβαίνει ὑποκείσθαι ὡς δεσπότῃ, τῷ ὑποπεπωκότι τῷ χειρόν.
δὲ καὶ αὐτὸς καὶ ἀχαλίνωτος ἐνεργήσει τὰ ὕβια, ἢ καταπεσόντ
διὰ τὸ ὑπερβάλλον τῆς ἐκ φιληδονίας ἀνέσεως. καὶ οὕτως ἀ
μοῦ οὐδ' ὁ ἄνθρωπος κατ' ἐνέργειαν ἄνθρωπος. ἢ οὖν ὁ
ἀρετὰς εἶναι ἀνθρώπων τὰς ἀπηρτισμένας οἱ τὸν ἡδυπαθῆ β
πλημένοι καὶ τὸ ὑπερβάλλον τῆς κατ' αὐτὸν ἀπολαύσεως μακαρ
πρὸς ἑαυτοὺς ἐναντίωνται ἀρετὰς εἶναι ὁμολογοῦντες καὶ τὰ
ἀρετὰς ἐναντία τῶν ἀρετῶν ὑπεραίροντες ἢ τὸ εἶναι τὰς ἀρε
νονται καὶ ἴστωσαν ταναντία δοξάζοντες πᾶσι τοῖς ἔμφροσι κ

μετείας Ba πολεται οὐ πολις B 17 ἔστοι B: ἔσ
24 καὶ θήλεσι B: τοῖς θήλεσι a 27 ἀκαισίαν B: ἀκ

πρὸς τὸ ὀρθῶς φρονεῖν λεγχόμενοι. ἀλλ' ἴσως ἂν φήσαιεν ὅτι καὶ τίνος 84r
ἕνεκεν ὁ δημιουργὸς τας ἀλόγους δυνάμεις ταύτας τοῖς ἀνθρώποις ἐνέθετο,
εἰ μὴ κατὰ τοῦτο ἐνεργεῖν ἐμελλον καὶ ἐπιτείνειν τὰς ἐνεργείας, ἵν' αὐ-
ταὶ ἑαυτῶν ἐκ τῆς ἐπιτάσεως τελειότεραι γίνωνται. πρὸς ὃ φαμεν, ὅτι τῶν
ἐνεργεῖν αἱ δυνάμεις αὐταὶ πεφύκασιν ἢ τῷ λόγῳ ὑπήκοαι ἢ ὡς
τὴν πρὸς αὐτὸν ὑπαντᾶν ὑποπτεύουσαι. ἕνεκα μὲν οὖν ἐνεργοῦσαι μετὰ
χρόνου λογικαὶ γίνονται καὶ ὡς ἀνθρώπῳ πρέπον τὰς ἐνεργείας ἐνδείκνυν-
ται, οὕτω δὲ πρὸς ὑπήκοον ἐκλίνουσαι τῷ μὴ ὑπερπαθῶς τὰς ὁρ-
μὰς ποιεῖσθαι ἐλέγχονται ἀλλὰ καὶ χείρους ἢ κατὰ τὰ ἄλογα δείκνυνται
πρὸς τὴν οἰκείαν ἀφροσύνην καὶ τὸ λογιζόμενον καὶ φρονοῦν καταφέρουσαι
καὶ εἰς βυθὸν ἀπωλείας κατακρημνίζουσαι καὶ ὑπουργὸν αὐτὸ χρῶσαι πρὸς
ὑπερβολὰς κακῶν. ἔτι ἕκαστον τῶν τελειουμένων ἐκ τοῦ κρείττονος αὐτοῦ
τελειοῦται, ἀναφερόμενον πρὸς αὐτό· ὁ δὲ λόγος κρείττων τῶν ἀλόγων
δυνάμεων· πῶς οὖν τὰ χείρω τελειωθήσεται πρὸς τὸ κρεῖττον ἑαυτῶν
μὴ ἀναφερόμενα μηδ' ἐκείνῳ ὑποτασσόμενα, ἀλλ' ἐκεῖνο πρὸς ἑαυτὰ καταφέ-
ροντα καὶ οἱονεὶ ὑποτάττοντα; ὡς γὰρ ἡ λογικὴ ψυχὴ οὐκ ἂν τὸ τέλειον
ἕξοι ποτε μὴ πρὸς νοῦν ἀναφερομένη καὶ διὰ νοῦ πρὸς θεὸν καὶ ὑπ' αὐτῶν
ὡς κρειττόνων ἐλλαμπομένη καὶ δεχομένη τὴν τελειότητα, οὕτως οὐδὲ θυμὸς
καὶ ἐπιθυμία τὸ τέλειον ἕξοι ποτε μὴ πρὸς τὸν λόγον ἀναφερόμενα καὶ
ὑπ' αὐτοῦ βελτιούμενα καὶ μετρούμενα. οὐ γὰρ τῇ τῆς ἐνεργείας ὑπερ-
βολῇ αὐτοῖς ἡ τελείωσις, ἀλλ' ἐν τῷ ὀρθῷ λόγῳ ὡς μέτρῳ καὶ τούτῳ
ὑποβάλλεσθαι καὶ τῷ μετεχόντως λογικὰ γίνεσθαι. ὡς καὶ ἡ λογικὴ ψυχὴ
ἐν τῷ νοερὰ γίνεσθαι καὶ θεία τὸ τέλειον δέχεται. ἕκαστον γὰρ ὁ πε-
φυκὼς δέχεσθαι κρεῖττον ἑαυτοῦ τοῦτο δεχόμενον τοῦτον γίνεται. μὴ δε-
χόμενον δὲ μένει ἐν τῷ ἀτελεῖ πρὸς ὃ πρόσπτωτον πέφυκε μὴ προκεκοφός. |
πεπλάνηται ἄρα ὁ λέγων τὰς ἀλόγους τελειοῦσθαι δυνάμεις ἐκ τοῦ μᾶλλον 84v
καὶ μᾶλλον αὐταῖς τὴν ἀλογίαν ἐκτείνεσθαι. ἐπὶ γὰρ ταῖς ἀλόγαις δυνάμε-
σιν ἡ τελείωσις ἐν τῷ ἐπὶ πλέον τὴν ἀλογίαν ἐκτείνεσθαι, ἔσται αὐταῖς ἡ
τελείωσις ἐν τῷ τῷ λόγῳ ὑπείκειν καὶ τὴν ἀλογίαν αὐτῷ συστέλλεσθαι.
εἰ γὰρ τῷ ἐναντίῳ τὸ ἐναντίον, καὶ τὸ ἐναντίον τῷ ἐναντίῳ, εἰ δὲ τοῦτο,
κρεῖττον ἔσται ἡ ἀλογία τοῦ λόγου. διὸ οὐ γὰρ ἡ τελείωσις κρεῖττον τοῦ
ἀτελοῦς, οὐδ' ἡ τελεία. τί δ' ἂν γένοιτο ἀλογώτερον τοῦ τὴν ἀλογίαν τοῦ λόγου
ὑπερτίθεσθαι; ὅταν γὰρ καὶ τῇ λογικῇ ψυχῇ κρεῖττον τῆς τῶν θείων
καὶ τοῦ θεοῦ ἀπολαύσεως τὸ σωμάτων ἐπιστῆναι καὶ τοῖς γεγονόσι καὶ
προκοπὴ τοῖς οὖσιν ὑπάρξει πρὸς τὰ χείρω κατανεύουσιν, ὡς ὁδῷ προβαί-
νοντας καταντῆσαι ἡμᾶς εἰς τὸ τῆς ἀσωμάτου πασης οὐσιας κρειττονα
ἡγήσασθαι τῶν σωμάτων τὰ ἔσχατα καὶ τὴν ἐσχάτην ὕλην θεοῦ τοῦ
πρώτου καὶ πάντων ὑπὲρ σύγκρισιν ὑπερέχοντος. οὐ τί ἂν εἴη ἀνοητότερον

3 κατὰ B: καὶ κατὰ a 20 αὐτοῦ a: αὐτῶν B 21 αὐτοῖς B: αὐτῆς a
22 ὑποβάλλεσθαι B: ὑπερβάλλεσθαι 27 ἀλογίαν B: ἀναλογίαν a 29 ἀτέλεια
B: τελεία a τῷ τῷ B: τῷ a τὴν B: om. a 30 τὸ ἐναντίον τῷ
ἐναντίῳ a: τῷ ἐναντίῳ τὸ ἐναντίον B 32 ἀλογίαν a: ἀργίαν B 33 κρεῖττον B:
κρειττων a

καὶ τὰ ὅσα . . . ταῦτα μὲν οὖν ἔστιν ἐκ τῶν ὀρεκτικῶν δυνάμεων ὁ
ὧν τῶν ἐντυγχανόντων. πᾶν μὲν γὰρ τὸ πάθη καὶ τὰ ἤθεα τοῦ
αἰτίαν τοῦ φρονεῖν τὸ ἐνεργοῦν ἐστι, ταχὺ δὲ καὶ ὀξὺ ὁ
νοῦ δὲ καὶ διάνοια οὐδαμοῦ, εἰ μὴ ὅσον καταλαμβάνει τὰς αὐτὰς
τῶν ὧν ἐστιν ἀμείνων διαγειν λογικὸν ὄντα τὸν ἄνθρωπον κατὰ
μὲν γνωστὸς καὶ γεγραπται. ἀναπτύξαι ἐπιμηκύνοντα τῶν κρειττ
λογικῶν ἀποστήμασι; ὅτι νοῦς μὲν καὶ ἐπιστήμη, ἤτοι διάνοια,
ἐπιστῆμαι ἔφασαν δὲ καὶ αἰσθήσεις γνώσεις πλανητάς, ὁ γοῦν κ
τὰ ζῶα καὶ πλανᾶ ζῇ καὶ πλάνης ἐστί. πλάνης ἄρα νομοθέ
10 ὁ κατὰ ταύτας ζῆν προτρεπόμενος καὶ τὰ ταύταις τεθραμμένα διώκειν
πάρεσι. πῶς οὖν προφήτης καὶ πῶς ἐκ θεοῦ ὁ πρ
καὶ ἔφασαν, οὐκ ἐπιλαυστὴς τοῖς πειθομένοις; τίς δὲ καὶ ὁ σκ
ὁρμισθῆναι ἐν τῷ συνηρτῆσθαι τῇ λογικῇ ψυχῇ τὴν ἀλογον
τῆς φύσεως ἐπασώμεν, πότερον ἵνα ζῶσιν ἀλόγως οἱ λογικοὶ
15 οἰκείων λόγων δουλεύοντες τοῖς πάθεσιν ἔχωσιν. ἢ διὰ τὸν σύνδε
ψυχῶν πρὸς τὴν παχυτέραν ταύτην σάρκα καὶ ὑγρὰν καὶ ἀντιτ
μὲν διὰ τὸ πρότερον, αἴτιος ταῖς κρείττοσι ψυχαῖς ὁ δημιουργὸς
τὸ χεῖρω καταφορᾶς ἐλεγχθήσεται, ὡς συντεταχὼς τὰ χείρω τ
τοῦτο δὲ τὸ σῶμα συνῆψε κρείττονα· ἀλλὰ τοῦτο ἄτοπον.
20 ὃς ἡ ὑπόθεσις. ἢ τὸ ἄτοπον ἠκολούθησε. δεῖ ἄρα τὸ ἐναν
τῶν ἐναντίων συνάπτεσθαι. ὁ γὰρ σωτὴρ ἡμῖν
ὑπάρχοντα τὰ ἀγαθὰ διαστῆσαι τὰ κακά. ὁ γὰρ πανσ
ἵλεως διὰ τῆς αὐτοῦ ἀγαθότητος. ἔτοιμος καὶ τὸ ἥμισυ τούτου
καὶ πεφυκότα τοῦ ἑτέρου κακοῦ εἶναι παρέξειν. οὐκ ἐνέστιν τὰ
25 τὰ μετέχειν ἀγαθότητος ὁμοῦ καὶ λόγου καὶ τάξεως. διὰ τοῦτ
λογικὰς παρέχει δυναμένας συμπλέκεσθαι σώμασιν, ἃ ἐξ ἐναντίων σ
καὶ, τὸ δὲ τῆς συμπλοκῆς δυνατὸν ἀμέσως γίνεσθαι, μὴ δυναμέ
σωμάτων ἄνευ μέσου τινὸς ἐκ τῆς λογικῆς ψυχῆς ἀγαθύνεσθαι
ἀλλάψεις αὐτῆς παραδέχεσθαι. διὰ τοῦτο φυτικὴ ζωὴ καὶ α
30 συνείευκται ταύτῃ, ἀεστεύουσαι τῇ τῆς λογικῆς ψυχῆς καὶ τοῦ
σωμάτων πρὸς ἀλλήλα διὰ τὴν πρὸς ἄμεσον συγγένειαν. ταῖς ἑαυτ
μαις τῷ τῆς σαρκὸς χορηγοῦσαι πάσχειν τὴν ἐκ τοῦ λόγου α
λαιώτεραι μὲν οὖσαι τῆς λογικῆς, αὐλότεραι δὲ τῆς σαρκός. ἡ
λογικὴ ψυχὴ καὶ τῇ οὐσίᾳ καὶ τῇ ἐνεργείᾳ τοῦ σώματος χωρίζ
ἔσχεν. αὗται δὲ κατ' ἄμεσον ταῦτα τῶν σωμάτων οὖσαι ἀχωρίστ
τῇ ἐπινοίᾳ ὡς ἰδιοῖ γνωρίζονται, ἐνύλα ὄντα καὶ ἐν ὑποκειμένοις
ἀφιστάμενα. διὸ καὶ ἀχωρίστους ἐντελεχείας ταύτας εἰρήκασιν
αὐτὰ σπουδάζοντες. ὁ μὲν προηγούμενος οὗτος σκοπὸς τῇ
ἵνα δὲ μὴ τὸ κοσμεῖν καὶ ἀγαθύνειν λαχὸν ἀκόσμητον μᾶλλον καὶ
40 δέσμιον κακυνόμενον γένηται, ἐνταλμάτα καὶ νόμοι ἐκτέθεινται

---

5 πλανήτους B: πλανήτορες ac

φύσιν συντηροῦντες τῷ τε κρείττονι καὶ τοῖς χείροσιν ἡ βελτίωσις ἐκ τοῦ 84v
κρείττονος γίνοιτο, αὐτὸ δὲ συντηροῖτο ἄχραντον καὶ ἀκάκωτον πρὸς μὲν
τὰ κρείττω καὶ αὐτοῦ ἀνωτέρω ἐπιστρεφόμενον, ἤγουν νοῦν καὶ θεόν, καὶ
ὑπ' αὐτῶν τελειούμενον, τὰ δὲ χείρω ἄγον καὶ φέρον πρὸς ἑαυτὸ καὶ
δι' ἑαυτοῦ πρὸς τὰ κρείττω διὰ τῆς τῶν ἀρετῶν κατορθώσεως, ὧν οὐδὲν
ὁ ψευδοπροφήτης ἐκεῖνος εἰδὼς τὰ πάντων ἐνομοθέτησεν αἴσχιστα. οὗτος
γάρ ἐστιν, ὃν Ἄραβες καὶ Ἀγαρῆνοι καὶ Ἴσμαηλῖται καὶ ὅσα κατὰ τὸν βίον
τούτοις ὁμοιοπαθῆ. πρόμαχον ἑαυτῶν καὶ νομοθέτην κεκτήμενοι. πανουρ-
γίαν πάναισχρον καὶ ἀσελγείας ἀνάπλεων καὶ μηδ' ἃ Σοδόμοις καὶ Γο-
μόρροις συμβέβηκε ὑποπτεύειν θαρρεῖν κατασκευάζει πολλῷ γε τοσούτῳ
οἷα οὗτος νενομοθέτηκε διεπράττοντο, ὡς καὶ τὴν γῆν καταφλεχθῆναι αὐ-
τὴν καὶ εἰς αἰθάλην καταπεσεῖν, ἧς οἱ ἐν αὐτῇ κατοικοῦντες ἐπέβαινον
ἀσελγαίνοντες. καὶ τί δεῖ καὶ εἰσέτι προστιθέναι τοῖς εἰρημένοις, ἱκανῶς
ὄντων τῶν ἤδη ῥηθέντων πρὸς ἔλεγχον τῆς ἀλογίας τοῦ δόγματος, ἐπεὶ
μηδὲ περὶ τούτου ἡμῖν ὁ σκοπὸς ἐξ ἀρχῆς. ἀναλαβώμεθα δ' αὖθις τὰ
παρ' Ἀριστοτέλους λεγόμενα καὶ τὴν τούτων ὡς ἔνι ποιησώμεθα διά-
σαφησιν.

p. 1139a17 Τρία δ' ἐστὶν ἐν τῇ ψυχῇ τὰ κύρια πράξεως καὶ
ἀληθείας, αἴσθησις νοῦς ὄρεξις. τούτων δ' ἡ αἴσθησις οὐδε-
μιᾶς ἀρχὴ πράξεως. δῆλον δὲ τῷ τὰ θηρία αἴσθησιν μὲν ἔχειν,
πράξεως δὲ μὴ κοινωνεῖν.

Ἔτι περὶ θατέρου τῶν λόγων ἐχόντων. ὁ περὶ τὰ ἐνδεχόμενα κατα- 85r
γίνεται, τοῦτο δ' ἐστὶ τὸ λογιστικόν, ᾧ διδάσκει ἡμᾶς. ἐπεὶ αἰσθητικὴ
γνῶσις μὲν μετέχει πως καὶ αὐτὴ τῆς περὶ τὰ ἔνυλα καὶ ἄλλοτε ἄλλως
ἔχοντα κρίσεως, ἀπαριθμεῖται καὶ αὐτὴν καί φησι, τρία εἶναι ἐν τῇ ψυχῇ
τὰ κύρια πράξεως καὶ ἀληθείας, αἴσθησιν νοῦν ὄρεξιν. οὐχ ὅτι καὶ
ἡ αἴσθησις ἔχει τινὰ μετοχὴν ἐν ταῖς πράξεσιν ὡς προϊσταμένη αὐτῶν, ἀλλ'
ὅτι γνώσεως καὶ αὐτὴ εἰδός τί ἐστι καὶ ἀληθεύειν ἔν τισι δύναται τῷ περὶ
τὰ ἔνυλα καὶ ἐνδεχόμενα ἐνεργεῖν. περὶ ἃ καὶ ὁ πρακτικὸς νοῦς. ὁ δὲ
νοῦς, ἁπλῶς μὲν λαμβανόμενος, εἰς τὰ ἐνδεχόμενα καὶ εἰς τὰ ἀναγκαῖα
τὴν ἑαυτοῦ μερίζει ἐνέργειαν, πράττων μὲν περὶ τὰ ἐνδεχόμενα, θεωρῶν
δὲ τεχνικῶς μὲν εἴσεται περὶ τὰ ἐνδεχόμενα, ἐπιστημονικῶς δὲ περὶ τὰ
ἀναγκαῖα καὶ βέβαια. ἡ δὲ ὀρεκτικὴ ὥσπερ ὑπηρέτης ἐστι καὶ τῆς αἰσθή-
σεως καὶ τοῦ λογισμοῦ. ἤγουν τοῦ πρακτικοῦ νοῦ. τῆς μὲν προβαλλομέ-
νης τὰ ὀρεκτὰ καὶ φευκτὰ καὶ ὅλην προτιθεμένης αὐτῇ τὰ ἡδέα καὶ λυ-
πηρά. τοῦ δὲ κρίνοντος ἃ δεῖ ἐλέσθαι καὶ ἃ φυγεῖν καὶ μέτρον τιθέντος
προσῆκον ταῖς φυγαῖς τε καὶ ταῖς αἱρέσεσιν. ὅτι δὲ ἡ αἴσθησις οὐκ ἔστιν
αἰτία πράξεώς τινος, δῆλον ποιεῖται ἐκ τοῦ τὰ θηρία, ἤγουν τὰ ἄλογα ζῷα.

1 συντηροῦντες B: συντηροῦντα a 10 θεγλάτω B: θρυλλᾶται a 15 ὁ σκοπὸς
ἀρχῆς B: ἐξ ἀρχῆς ὁ σκοπός a 16 ποιησώμεθα B: ποιησόμεθα a

αἰσθησιν ἐχοντα μὴ κοινωνεῖν πραξεως. ταυτα γαρ αισθανόμεν
ἡδέων καὶ λυπηρῶν. ἃ ὑπόκειται ταῖς αἰσθήσεσιν, αποστέργει μὲν
ονται κυριειν η τῷ φ ... ουσα η τῷ προσιεσθαι καὶ αποστρέφ...
δὲ τῶν ἡδέων καὶ ἡ ... πρὸς ταυτὸ ἡ ἡ ταὐτοκατ αὐτον.
αὐταῖς οὐδεμία. διότι παρ' ... ἡ γὰρ πράξις ἐν οἷς τὸ βο
καὶ οὕτω τὸ αἱρετὸν ... ταυτησιν καὶ οὐκ ἐπὶ αὐτο τ
... πεκτείνεσθαι. οὐδεμιᾶς ἄρα ἡ αἴσθησις κυρία πράξεως, ἀλλὰ
ὅταν αὐτῆς νοῦς ἔχει καὶ ὄρεξις. ὁ μὲν κρίνων καὶ εὑρίσκων τ
ἐκ βουλεύσεως. ἡ δὲ ὄρεξις ἀντιπουουμένη ἐκείνου. ὁ νοῦς ἄρα
ἐπερᾶνατο, ὥστ' ἐν μὲν τοῖς ἀλόγοις ἡ ὄρεξις γνώσει καὶ κρίσε
... ἐν δὲ τοῖς λογικοῖς λόγῳ τε καὶ νῷ πρακτικῷ. καλῶς
ρηται, ως οὐδεμιας πραξεως αρχη η αισθησις, επει και εν τοις
ὅταν τὰ αἰσθήσει ἡδέα φαινόμενα καταδιώκῃ ἡ ὄρεξις, ἡ τοῦ λ
σις αρχη και ως αλογος ο φυσει λογικος ενεργει και τοις αλ
μοιοῦται κατ αισθησιν ζῶν, γνῶσιν ουσαν ἀλογον. τοιοῦτοι οι ὁ
οἱ φιλόπλουτοι, οἱ ἡδυπαθεῖς καὶ φιλήδονοι, μονων των αἰσθητ
μενοι, τῶν δὲ νῷ λῃπτῶν μὴ ...στρεφομένων.

p. 1139a21 Ἔστι δ' ὥσπερ ἐν διανοίᾳ κατάφασις καὶ α
τουτ' ἐν ὀρέξει ὄιωξις καὶ φυγή.

... Τὸν λογον ἡμὶν παραδιδωσιν, ὃν ἐχουσι πρὸς ἀλλήλας ἐν
τεσιν ἡ διανοια και ἡ ορεξις και την τουτων διαφορὰν. διανοιαν
τὸν πρακτικὸν νοῦν, ἤτοι τὴν θεωρίαν τὴν ἐνεργουμένην ὅτε
περὶ τοῦ αἱρετοῦ. πασα μεν γαρ διανοια περι του αληθους
νοῦ ὑεύδους, ὡς τὸ μὲν ελέγξαι, τὸ δὲ συστησασθαι, ἡ δε ὀ
την οιωσιν του αγαθου και την του κακου φυγην κατηγνεκαν.
πεσν πρακτεου τινος η ζητησις εστιν, ει αγαθὸν εστιν. ὅτε η
συλλογίζεται και αντιποιείται αὐτου, φευγει δε το κακὸν και αστ
αὐτοῦ. ὥσπερ οὖν ὑπηρέτου λόγον ἐπέχει πρὸς τὴν διανοιαν ἡ
δεσποτην, η και μαθητου προς διδασκαλον εκδεχομενη τι προστ
... ουσα η φασκουσα, ως ὃ μ ... ποιουσιν το αγαθὸν η εκφευγεται
ου τουτο φησιν, οτι οπερ εν διανοια καταφασις και α
τουτ' εν ορεξει οιωσις και φυγη, τουτεστιν οτι ωσπερ
το αναφανεν αυτη αγαθὸν ... του συμφερον ... καταφασιν ποι
ουτως η ορεξις οιωκει το ... αγαθὸν. ο ... τουτου ουσι ... ...
... και ωσπερ η διανοια αποφαινεται μη ειναι αγαθὸν τοῦτο, ο τοι
... η ειναι αγαθὸν, ουτως η ορεξις φευγει το μη ον αγαθὸν. τα
... ρων επι των ζωντων ανθρωπων ... εστιν ... ...

... B: ὄντα a ... καταδιώκῃ B: κατα
... ει ὥσπερ B (sed cf. v. 32) cf. A
... : a ... 28 ὑπηρέτου B: ὑπηρέτης a ... 29 μαθητοῦ B: μαθητης a

p. 1139 a 22 Ὅστε ἐπεὶ ἡ βούλευσις ἀρετὴ ἢ πρᾶξις τις, ἡ δὲ 85r
προαίρεσις ὄρεξις βουλευτική, δεῖ διὰ μὲν ταῦτα τόν τε λόγον
ἀληθῆ εἶναι καὶ τὴν ὄρεξιν ὀρθήν καὶ τὰ αὐτὰ τὸν μὲν φάναι,
τὴν δὲ διώκειν.

Οὗτος ὁ λόγος ἐκ τοῦ προλαβόντος ἔτι συνίσταται καὶ ἐκείνῳ ἀκο-
λουθεῖ. ἐπεὶ γὰρ ἡ ὄρεξις πρὸς τὴν διανοιαν αφορᾷ καὶ ἐπ᾽ ἐκείνης ἐκ-
δέχεται λαβεῖν πρόφασιν τοῦ διῶξαι ἢ φυγεῖν τὸ προκείμενον, διὰ τοῦτό
φησιν, ὅτι ἡ μὲν ἀρετὴ ἕξις προαιρετική ἐστιν. ἔστι γὰρ ἕξις καὶ ἡ ἐπι-
στήμη, ἀλλ᾽ οὐ προαιρετική· οὐ γὰρ περὶ τὰ ἐνδεχόμενα οὐδὲ περὶ ὧν
ἡ βούλευσις ἀλλὰ περὶ τὰ ἀναγκαῖα καὶ ἃ ὡσαύτως ἔχει ἀεί, κἂν μηδέν
τις ἐπ᾽ αὐτοῖς πραγματεύσηται. καὶ τὸ μὲν γνῶναι τὸ τέλος αὐτῶν, ἤγουν
τὸ ἀληθές, ἐφ᾽ ἡμῖν, τὸ δὲ οὐχ οὕτως ἔχειν αὐτὸν ἢ μή, οὐκ ἐφ᾽
ἡμῖν. καὶ ἀπὸ φύσεως μὲν πολλαὶ ἕξεις ἡμῖν, ὡς καὶ αἱ αἰσθήσεις. ἀλλ᾽
οὐ τοιαύτη ἡ ἀρετή, ἀλλ᾽ ἐφ᾽ ἡμῖν καὶ κατὰ προαίρεσιν, ὡς ἐκ προαιρέ-
σεως κτωμένη καὶ σπουδῆς ἡμετέρας. ὁρίζεται δὲ καὶ τὴν προαίρεσιν
ὄρεξιν ταύτην εἶναι λέγων βουλευτικήν. ὀρεκτικὴ μὲν γὰρ δύναμις ἡ προ-
αίρεσις, καὶ διὰ τοῦτο ὄρεξις· βουλευτικὴ δέ, ὅτι προηγησαμένης βουλῆ-
σεως ἐνεργεῖ τὸ οἰκεῖον, τὸ βέλτιον πρωτιμῶσα τοῦ χείρονος. τρια γαρ
ἔχει ταῦτα τὰ ἐν ταῖς πράξεσι θεωρούμενα, βούλησις προαίρεσις βούλευσις·
ἡ μὲν βούλησις τοῦ ἀγαθοῦ ἁπλῶς ὄρεξις, αὕτη ἐν μὲν ταῖς θείαις οὐσίαις
θεωρουμένη καταλήψιν ἔχει τοῦ ἀγαθοῦ ἀκριβῆ, οὐ καὶ αὐτόθεν ὀρέγεται,
μὴ δεομένη βουλεύσεως, διὰ τὸ ὅλως τὰ θεῖα μὴ λείπεσθαι φρονήσεως.
διὰ τὸ εἶναι κατὰ ταύτην ἀνενδεῆ, ἡ δὲ ψυχὴ συνδεδεμένη τῷ σώματι 85v
καὶ τὸ ὅμμα τὸ αὐτῆς τῇ γενέσει θολούμενον ἔχουσα, ἀγνοεῖ τὰ πολλά.
διὸ καὶ δεῖται φρονήσεως βουλομένης μὲν τὸ ἀγαθόν, δεδοικυῖα δὲ μὴ
πλάνην τινὰ ὑποστήσεται. ὥστε καὶ βουλεύεται κἀντεῦθεν εὑροῦσα τὸ
ἀγαθὸν προαιρεῖται αὐτὸ τοῦ μὴ ἀγαθοῦ καὶ γίνεται παρ᾽ αὐτῇ, μέση
βουλήσεως καὶ προαιρέσεως, ἡ βούλευσις, εὑρίσκουσα μὲν τὸ τῇ βουλήσει
ὀρεκτόν, οὐ ἐκείνη συγκεχυμένως ὀρέγεται. τοῦτο αὐτὴ ὡρισμένως ἐπὶ τοῦ
προκειμένου πρακτέου ἀπεργασαμένη. προτρέπουσιν δὲ τὴν προαίρεσιν
ἐλέσθαι αὐτό. ὥστε δύο ταῦτα δεῖ συνδραμεῖν τόν τε λόγον ἀληθῆ εἶναι.
ὃν ἡ διάνοια συνεστήσατο εἴτε τὸ ἀγαθὸν ἀγαθὸν εἴτε τὸ φαῦλον φαῦ-
λον περαίνουσα καὶ τὴν ὄρεξιν ὀρθήν, ἵνα μὴ διάστροφος οὖσα αὕτη οὐκ
ὀρέγηται ἐκείνου, ὃ ἡ διάνοια διωκτὸν εἶναι συνεπεράνατο, ἀλλὰ πρὸς τοὐ-
ναντίον ὁρμᾷ. πολλάκις γὰρ ἐπὶ τῶν ἐμπαθῶν τοῦτο γίνεται. οἷον ὅτι
καὶ ἡ Μήδεια. εἰδυῖα μὲν ἐκ τοῦ λόγου, ὅτι φαῦλα ἦν ἅπερ ἔμελλε ὀρᾶν,

1 ἐπεὶ B: ἐπειδὴ a et Aristoteles 2 μὲν ταῦτα Ba et Aristot. codd. LbOb: ταῦτα Aristot. vulg. 3 post ὀρθήν Aristotelia εἴπερ ἡ προαίρεσις σπουδαία om. Ba τὸν scripsi ex Aristotele: τὰ Ba 5 rhesis usque ad ἡ ἀληθεια πρακτική (p. 1138a26) a 11 τέλος B: τέλειον a 19 ταῦτα B: om. a 23 ἡ δὲ B: ἥ a 28 τὸ B: τὰ a 34 ὀρέγηται a: ὀρέγεται B 36 cf. Eurp. Med. 1078

ἤτοι τὴν προαίρεσιν, οὐκ ἔστι τὸ εὖ καὶ τὸ κακῶς μέχρι τοῦ ἀληθὴς 85r
καὶ τοῦ ψεύδους, ἀλλὰ καὶ πρᾶξιν ἀκολουθεῖν κατὰ τὸ σπουδαῖον ἢ φαῦ-
λον. ἔχει οὖν ἡ ἀλήθεια ἐν τῷ τοιούτῳ εἶδει τοῦ διανοητικοῦ ὁμολό-
γως, ἤγουν συμφώνως, τῇ ὀρέξει τῇ ὀρθῇ· οὕτω γὰρ κατορθοῦται τὸ ἀγα- 10
θὸν τῆς ἀληθείας εὑρισκομένης, ὅτι τὸ πρακτικὸν ἀγαθὸν ἀγαθόν ἐστι
καὶ τῆς ὀρέξεως ἐχούσης ὀρθῶς, ὥστε μὴ εὑρῆσθαι τὸ ἐναντίον τοῦ
συμπερανθέντος τῇ λογικῇ ἀνακύκλῃ. ὅτι οὕτως ὅπερ ὀρθῶς συμπε-
ράνανται.

p. 1139a31 Πράξεως μὲν οὖν ἀρχὴ προαίρεσις, ὅθεν ἡ κίνησις
ἀλλ' οὐχ οὗ ἕνεκα, προαιρέσεως δὲ ὄρεξις καὶ λόγος ὁ ἕνεκά
τινος.

Ἐπὶ τῶν πρακτικῶν ἀρετῶν καὶ τῶν κατ' αὐτὰς ἐνεργειῶν, αἳ καὶ 15
πράξεις ἰδίως λέγονται, τρία ταῦτα θεωρεῖται, διάνοια, ἢ καὶ λογισμὸς ὁ
δικῶς ὀνομάζεται, προαίρεσις, ὄρεξις. λέγει οὖν τίνα τὰ τρία ταῦτα λόγον
ἔχει πρὸς ἄλληλα, καὶ τὴν μὲν προαίρεσίν φησιν αἰτίαν τῆς πράξεως καὶ
αἰτίαν οὐ τελικήν (αὕτη γάρ ἐστι τὸ οὗ ἕνεκα). ἀλλὰ ποιητικήν. ὅθεν
γὰρ ἡ κίνησις τὸ ποιητικόν ἐστιν αἴτιον· ἐκ γὰρ τῆς προαιρέσεως ἡ πρᾶ- 20
ξις ἀπογεννᾶται. προαιρούμενοι γὰρ τὸ ἀπὸ τῆς διανοίας ἀποδειχθὲν ἀγα-
θὸν τοῦ ἀντικειμένου αὐτοῦ ἐνεργοῦμεν καὶ πράττομεν ὥστ' ἐρικέσθαι
αὐτοῦ. τῆς δὲ προαιρέσεως αὖθις αἴτιον ὄρεξίν φησι καὶ λόγον τὸν ἕνεκά
του, καίτοι πρότερον τὴν ὄρεξιν ἁπλῶς ὡς γένος τῆς προαιρέσεως εἰ-
ληφε καὶ τὸν λόγον ὡς διαφοράν συστατικήν, ὅτε τὴν προαίρεσιν ὁρίζετο
εἶναι ὄρεξιν βουλευτικήν. πῶς οὖν νῦν αἰτίαν ποιητικὴν φησι τὴν ὀρέξεως;
μᾶλλον γὰρ ἂν φαίη τις ταῦτα ἢ ἄμφω ὑλικὰ ὡς μέρη ὄντα τοῦ ἐξ αὐτῶν
ὅλου (τὸ γὰρ ὡς ἐκ μερῶν ὅλον εἰδός ἐστιν ὡς ἐν | ὕλῃ ἐνθεωρούμενον 86r
τοῖς ἐξ ὧν συντίθεται μέρεσιν) ἢ τὸ μὲν ὕλη, τὸ δὲ εἶδος. ἐν γὰρ τοῖς
ὁρισμοῖς ὕλῃ μὲν τὸ γένος ἀναλογεῖ, εἴδει δὲ αἱ διαφοραί. δόξειε δ' ἂν
ἐν τούτοις μὴ ἀκολουθεῖν ἑαυτῷ ὁ Ἀριστοτέλης. ἢ ἐνταῦθα μὲν τὴν ἁπλῶς
ὄρεξιν τῆς προαιρέσεως γένος εἴληφεν ὡς κοινὴν οὖσαν ἀλόγοις καὶ λογικοῖς
καὶ εἶδος αὐτῆς τὴν προαίρεσιν ἔταξεν ὡς μόνων οὖσαν τῶν λογικῶν. διὸ
καὶ βουλευτική ἐστιν. ἐνταῦθα δὲ ποιητικὴν αἰτίαν τῆς προαιρέσεως φησι τὴν ὄρεξιν, ὅτι προκειμένου τινὸς ὀρεκτοῦ, δεῖ προηγήσασθαι τὴν ὄρεξιν
ἔφεσιν οὖσαν τοῦ ὀρεκτοῦ ἁπλῶς καὶ λόγου χωρίς, εἶτα τὸν λόγον ἐπισχεῖν
τὴν ταύτης ὁρμήν, ὥστε συλλογίσασθαι αὐτὸν καὶ δεῖξαι, εἰ ἀξίως αὕτη

1 τὸ εὖ καὶ τὸ κακῶς scripsi: τοῦ εὖ καὶ τοῦ κακῶς Ba 2 τοῦ ψεύδους B: ψεύδους a
τὸ σπουδαῖον B: τὸν σπουδαῖον a 12 ἐπὶ B: ἐπεί a 18 προαιρούμενοι B: προαι-
ρουμένης a 22 post συστατικήν verba ὅτε τὴν προαίρεσιν — ὄρεξιν et ἁπλῶς — συστα-
τικήν habebat B quae rubro delevit, tum ὅτε τὴν προαίρεσιν e. q. s. ὅτε B: ὅτι a
23 ὀρέξεως B: προαιρέσεως a 24. 25 τοῦ ἐξ αὐτῶν ὅλου bis B 27 ἀναλογεῖ B:
ἀναλογοῦν a 33 ἔφεσιν B: ἔφεξιν a ἐπισχεῖν a: ἐπισχῇ B 34 ἀξίως B:
ἴξεως a

ὠρέξατο. καὶ οὕτω τὴν προαίρεσιν ἐπακολουθῆσαι, τὴν ἀρχὴν
ἀπὸ τῆς ὀρέξεως, καὶ τοῦ λόγου τοῦτο ἀληθὲς περὶ τὸ ὀρεκτὸν
τος. καὶ οὕτως ἕξει παρ' ἑαυτὴν ἡ προαίρεσις τὴν μὲν ὀρέξιν
τὸν δὲ λόγον ὡς διαφοράν, οὐκέτι ζητοῦντα καὶ συλλογιζόμενον
τῇ ὀρέξει γεγονὸς ὀρεκτόν (τοῦτο γὰρ ἤδη εὗρηκε, καὶ διὰ τ
προαίρεσις ἠκολούθησεν) ἀλλὰ βουλευόμενον ὅπως αὐτοῦ ἐπι
μὲν γὰρ ὑπὸ τὴν ψυχικὴν οὐσίαν δυνάμεσιν ἔξω οὔσαις ὕλης
λύσεως, ἐκεῖνα βουλευομέναις ἃ ἐξ ἀνάγκης καὶ δύνανται καὶ
στι τὸ ἁπλῶς ἐνδεχόμενον, τῇ δὲ ψυχῇ συνδεδεμένη ὕλῃ κ
καὶ δυνάμεις ἀλόγους ἐχούσῃ συνηρτημένας αὐτῇ καὶ ἀμφ
ἄγνοια πρόσεστι καὶ τὸ ἐνδεχόμενον συμπαρρμαρτεῖ ἐν τοῖς πρ
καὶ κινδυνεύει εἰς ἔνδειαν ἰέναι πολλάκις φρονήσεως, ὥστε δεῖ
βουλεύσεως διὰ ταύτην τὴν ἔνδειαν τῶν τρόπων ἀνερευνώσης, ὁι
ἢ ῥᾴστερον τοῦ ὀρεκτοῦ ἐπιτεύξεται. εἰπὼν δὲ ὅτι προαιρέσε
ὀρεκτὸν καὶ λόγος ἐστίν, ἐπαίρει τὸ ὁ ἕνεκα τινος, ἵνα δηλωσῃ
καὶ τὴν διάνοιαν τὴν ἐν τοῖς πρακτικοῖς ἁρμόζουσαν, ἥ ἐστιν ἡ
τῆς ἀληθείας ἱσταμένη τοῦ συμπεράσματος ἀλλ' ἡ ἕνεκα τιν
τῆς πράξεως καὶ τοῦ κατ' αὐτὴν τέλους, ἥ καὶ τοῖς ἐνδεχομέ
μοσε, τοῖς τε κατὰ πράξιν καὶ ποίησιν. ἡ γὰρ ἐπιστημονικὴ ὁ
ἕνεκα τινος ἑτέρου τὸ παρ' ἑαυτὴ ἀληθὲς ἀποδείκνυσιν, ἀλλ' ἔχε
ἀρχὰς ἑαυτῇ μέχρι τοῦ εὑρεῖν τὴν ἀλήθειαν, καθάπερ καὶ ἡ
ἐστι τοίνυν συνιδεῖν ἐκ τῶν εἰρημένων, ὅτι διττὴ ἡ ὀρέξις κ
διττὸς ἐν τοῖς πρακτοῖς ἀγαθοῖς. πρώτη μὲν ὀρέξις ἡ πρὸ τῆ
ἀρίσεως καὶ τοῦ ἀποδεῖξαι, εἰ ἄξιον τοῦ ὀρεχθῆναι τὸ προκεί
οὕτω λογικὴ λέγεται ὀρέξις. δευτέρα δὲ ὀρέξις ἡ μετὰ λόγου,
αἵρεσις ὀνομάζεται καὶ μετὰ τὴν ἀπόδειξιν τοῦ ἄξιον εἶναι
προκείμενον ἐπιγίνεται. λόγος δὲ πρώτου μὲν ὁ σχηθεὶς ὑπ
μενος τὸ κατ' ὄρεξιν γεγονός. ὃ καὶ προηγεῖται τῆς προαιρε
ὁ δὲ ὡς τὸν τρόπον εὑρίσκει ὁ τῷ τὸν προαιρούμενον μ
ἡ προαίρεσις.

p. 1139a33 Διὸ οὐτ' ἄνευ νοῦ καὶ διανοίας οὐτ' ἄνευ
ξεως ἡ προαίρεσις· εὐπραξία γὰρ καὶ τὸ ἐναντίον ε
ἄνευ νοῦ καὶ διανοίας καὶ ἤθους οὐκ ἔστι.

Πιστοῦται διὰ τούτων τὸ εἰρημένον, ὅτι ἀρχὴ ποιητικὴ τῆ
ξεως ἐστιν ὄρεξις καὶ λόγος ὁ τὸ ἀφορὰν πρὸς πρᾶξιν ὡς τελ
ζόμενος. δείκνυσι δὲ ἐκ τοῦ ὑστέρου τὸ πρότερον. τεκμηρούμ
ποιούμενος. ὅτι γάρ, φησίν, ὄρεξις καὶ λόγος αἴτια ποιητικὰ π

p. 1139a33 διευθύνων B: βουλόμενον a ὅπως αὐτοῦ bis, altero loco deleta

δῆλον ἐκ τοῦ ἄνευ νοῦ καὶ διανοίας καὶ ἠθικῆς ἕξεως μὴ εἶναι προαίρε- 86r
σιν. εἰ μὴ γὰρ ἡ τε ὄρεξις κινηθῇ πρὸς τὸ ὀρεκτὸν καὶ ὁ νοῦς ὁ πρακτι- 35
κὸς συμπεράνῃ περὶ αὐτοῦ ὡς ἄξιον ἐλέσθαι αὐτό, ἡ προαίρεσις [illegible]
οὔτ' ἐνεργεῖ οὔτε γίνεται. νοῦν γὰρ καὶ διάνοιαν τὸν περὶ τοῦ ὀρεκτοῦ
συμπεραίνοντα λόγον ὠνόμασεν. ὀνομάζεται γὰρ καὶ ἡ διάνοια νοῦς ὡς
νοῦ μίμημα. ὁ γὰρ κυρίως νοῦς ἁπλαῖς ἐπιβολαῖς γινώσκειν πέφυκε, τού-
τῳ μέσῳ χρωμένη ἡ διάνοια οἰκείῳ τοῦ πράγματος ἀνελιγμένως καταλαμ-
βάνει. τὸ δὲ ἄνευ ἠθικῆς ἕξεως περὶ τῆς ὀρέξεως εἴρηται, ὅτι τῇ
ὀρέξει τὸ ὀρθῶς ἐνεργεῖν ἢ μὴ ἐκ τοῦ ἤθους περιγίνεται, ὡς ἀγαθοῦ ὄν- 10
τος αὐτοῦ ὀρθὴν εἶναι καὶ τὴν ὄρεξιν, πονηροῦ δὲ διάστροφον. ὥστε δεῖ
συντρέχειν ἀλλήλοις ἐν τῇ προαιρέσει τὴν διάνοιαν καὶ τὴν ὄρεξιν, τὴν
μὲν ὀρθῶς ὀρεγομένην, τὴν δ' ἀληθῶς συλλογιζομένην καὶ συμπεραίνου-
σαν. τὸ γὰρ εὖ καὶ τὸ μὴ ἐν ταῖς πράξεσιν ἄνευ τούτων ἀμφοῖν οὐ γί-
νεται, τὸ μὲν εὖ ἐχόντων ὀρθῶς, τὸ δ' ἐναντίον τοῦ εὖ διεστραμμένως.

15 p. 1139a35 Διάνοια δ' αὐτὴ οὐθὲν κινεῖ, ἀλλ' ἡ ἕνεκά τινος καὶ
πρακτική· αὕτη γὰρ καὶ τῆς ποιητικῆς ἄρχει· ἕνεκα γάρ του ἡ 45
ποιεῖ πάσ' ποιῶν, καὶ οὐ τέλος ἁπλῶς ἀλλὰ πρός τι, καὶ τοῦτο
τὸ ποιητόν ἀλλ' οὐ τὸ πρακτόν. ἡ γὰρ εὐπραξία τέλος, ἡ δ'
ὄρεξις τούτου· διὸ ἡ ὀρεκτικὸς νοῦς ἡ προαίρεσις ἢ ὄρεξις
20 διανοητική, καὶ ἡ τοιαύτη ἀρχὴ ἄνθρωπος.

Εἴρηκε μὲν καὶ προλαβὼν ἤδη διαφορὰς τῶν δύο τῆς διανοίας εἰδῶν,
παραδίδωσι δὲ εἶσετι καὶ νῦν. ποιεῖται δὲ καὶ ὑποδιαίρεσιν τῶν περὶ τὰ
ἐνδεχόμενα διανοητικῆς, διαιρῶν αὐτὴν εἰς πρακτικὴν καὶ ποιητικήν, καὶ 50
φησι ταύτας διαφέρειν πρὸς ἀλλήλας τῷ τὴν μὲν μέχρι τοῦ πρακτικοῦ
τέλους ἵστασθαι τὴν δέ, τὴν ποιητικήν, ἔχειν τι τέλος τῆς κατ' αὐτὴν
ἐνεργείας, ἐπέκεινα δὲ ὡς ἕνεκά του ἐνεργοῦσαν καὶ τὸ τέλος αὐτῆς
πρὸς ἕτερον ἀναφερόμενον ἔχουσαν, ὡς ὃν λόγον ἔχει ἡ πρακτικὴ πρὸς
τὴν ἐπιστήμην, τὸν αὐτὸν ἔχειν τὴν ποιητικὴν πρὸς τὴν πρακτικήν. ὡς
γὰρ ἐν ἐκείναις ἡ μὲν ἐπιστημονικὴ διάνοια τέλος ἔχει τὸ εὑρεῖν τὴν ἀλή-
θειαν καὶ περαιτέρω οὐδὲν προστίθησιν, ἡ δὲ πρακτικὴ εὑρίσκει μὲν 86v
καὶ αὐτὴ ταληθές, οὐ μέχρι δὲ τούτου ἵσταται ἀλλὰ δεῖ καὶ πράξεως, ἣν
ἐφίκηται τοῦ ὀρεκτοῦ περὶ οὗ καὶ συνελογίσατο, οὕτως ἡ ποιητικὴ τέλος
τῆς οἰκείας ἐνεργείας ὃ ἀπετέλεσεν ἔχουσα οὐ μέχρι τούτου ἵσταται, ἀλλ'
ἀναφέρει τοῦτο πρὸς ἕτερον σκοπιμώτερόν τε καὶ τελικώτερον. ⟨οἷον ἡ
35 οἰκοδομικὴ τέλος μὲν ἔχει τοῦ οἰκοδομεῖν τὴν οἰκίαν, τῆς δὲ οἰκίας σκο-
πιμώτερον καὶ τελικώτερον⟩ τὴν σωτηρίαν τῶν ἐν αὐτῇ οἰκούντων καὶ
ἀποτιθεμένων. καὶ ἔοικε κατὰ λόγον ἀκολουθηκέναι τῇ τῆς ἀνθρώπου

6. 7 τούτῳ a: τοῦτο B 15 τινος B (sed cf. p. 284,31): του a et Aristoteles
18 ἀλλ' οὐ B: ἀλλὰ a et Aristoteles 21 διαφορὰς B: διαφοράν a 34 οἷον ἡ—
τελικώτερον (36) a: om. B

ψυχῆς ἰσότητι. ἐπεὶ γὰρ πέφυκεν αὐτὴ καὶ χωριστὴ εἶναι σω
καὶ τῶν συντηρημένων αὐτῇ ζωῶν ἐν τῷ θεωρεῖσθαι μετὰ τοῦ
καὶ συνεπεσθαι τούτοις διὰ τὸ αὐτοῦ χρησιμεύοντα ἐνεργεῖν
καὶ δι' αὐτῶν εἰς ἕκαστ... ὡς μὲν χωριστὴ τούτων ἐστὶ καὶ
. τὴν ἐνεργειαν συμπαντα ταυτὰ κατὰ τὴν αὐτῆς καθ' αὑτὴν
καὶ μηδὲν ἄλογον προσεῖναι ὡς μηδὲν τῆς ἀληθείας ἔχουσ
τρεπ... ὡς δὲ πρὸς αὐτὰ ἐνεργοῦσα καὶ ταῦτα πρὸς τὸ βέλτ
καὶ πεπλουτα τούτοις ἕπεσθαι αὐτῇ κατὰ τὸ ἑκάστῳ αὐτῶν ἐγχω
μετὰ τὴν τῆς ἀληθείας εὕρεσιν τέλη ἕτερα, αὐτῇ μὲν ἀρκο
ταῦτα πρὸς ἑαυτὴν τοῦ εὑρεῖν τὴν ἀλήθειαν, ἐκείνων δὲ μὴ ἀ
πρὸς τὴν οἰκείαν τελείωσιν ἐπὶ μόνῃ τῇ εὑρέσει τοῦ ἀληθοῦς
μενων καὶ ἐνεργημάτων ἑτέρων καὶ πράξεων, ἃ οὕτως ἀκο
τῷ βελτίονι καὶ μὴ σπίλον αὐτῷ τινα καὶ ὠμὸν προσαρῶσι.
εὐηνειαν τῇ πρὸς τὰ χείρω ῥοπῇ καθυβρίσαντα. ὡς δὲ προσυ
φρόσει τῶν συμπεπλεγμένων τῇ κρείττονι καὶ δεομένων ὅτα τοῦ
τῶν ἑαυτῶν, οὐ ταῦτα καὶ πράξεις καὶ τέλη τῶν πράξεων διὰ
μενα ταῦτα ἐστι τὸ τε οὗ καὶ τὸ ᾧ. ἐντεῦθεν τέχναι πολλ
κατασκευάζουσαι, ὡς ἔστιν ἰδεῖν ἐπὶ τῶν ποιητικῶν τεχνῶν,
οὐ μὲν ἁπλῶς τινος τὸ τῆς τέχνης ἔργον καὶ ἀποτέλεσμα, ὡς ὁ
ὁ ἡ χρεία τῆς καὶ ἡμᾶς πληροῦσιν φύσεως πολλῶν δεο
τὸ συνεστάναι καὶ μὴ διαῤῥεῖσθαι εἰς τὸ ἀναπληρωσιν τῶν κεν
εἰς τὸ βλαπτεσθαι παρα μηδενὸς τῶν ἐπιόντων ἐξωθεν, οἷον ἀρ
τέλος μεν ἐχει ὡς οὗ τὸν ἄρτον, ὡς δὲ ᾧ τὸ τρεφειν τὸν
γαστρικὴ δὲ ὡς μὲν οὗ τὸ σκεῦος, τῆς κατ' αὐτὴν ἐνεργει
τελεσμα, οἷον χυτραν ἡ ὀπτικὴ. ὡς δὲ ᾧ, ὅτι ἀνθρωπῳ χρήσιμ
οἰκικὴ ὡς μὲν οὗ τὴν οἰκιαν, τελος οὖσαν τῆ καὶ αὐτὴν ἐνε
πραξεως, ὡς δὲ ᾧ τὴν ἀνθρωπίνην γνῶσιν. ἡ ἀπαρτισμὸν γνω
εἰ ἀερος βλαβῶν ἢ ἄλλων τινῶν, ἃ ὁ ἐμπίπτοντα ἔσωθεν ἢ
πεφυκε φερειν. ταῦτα μεν εἰρηται τοῦ ἕνεκα τὸ βραχὺ τῆ π
περιλαμβανουσι λέξεως· ὧδε δὲ κατὰ μέρος καὶ τὴν λέ
διανοια ὁ αὐτὴ, φησιν, οὐδὲν κινεῖ καὶ ἡ ἕνεκα τοῦ κα
κῆ. εἶπεν ὅτι πράξεως ἀρχὴ ποιητικὴ προαίρεσις. προαίρεσις
καὶ λόγος ὁ ἕνεκα τοῦ, λόγον ὀνομαζων τὴν πρακτικὴν διανοια
μὴ τις οἰηθῇ ὅτι πασῆς διανοίας τὸ τέλος ἕνεκα τοῦ ἐστι καὶ
νοια ἔχει τι, ὃ κινεῖ πρὸς τέλος ἕτερον τῆς ἀληθείας ἐπιστη
ἡ διάνοια ἁπλῶς αὐτὴ καθ' αὐτὴν οὐκ ἔχει τι ἕνεκα τῆ ἀληθ
μοτέρου, ἵνα τι πρὸς ἐκεῖνο κινῇ καὶ ἀρχὴ αὐτὸ τῆ πρὸ
ἀνάγκη . . . καὶ ἐπιστάσεως τὸ πρακτικὸν τῶν πρακτῶν διανο
καὶ τότε κινεῖ τὴν προαίρεσιν ὥστε πράξαι καὶ ἐπιτελέσαι τὸ
περὶ οὗ καὶ τὴν ἀληθειαν συνεπέρανε. διὰ τοῦτο φησιν, ὅτι οὐχ

διανοια κινητική ἐστιν, οἷον ἡ ἐπὶ τοῦ κατὰ πρᾶσιν, ἤγουν ἡ τοῦ παρ' 86v
ἑαυτῇ ἀληθὲς διά τι τέλος παρ' ἑαυτὸ ἕτερον συμπεραίνουσα, ἣ καὶ πρα-
κτικὴ λέγεται διὰ τὸ μετὰ τὴν τοῦ ἀληθοῦς εὕρεσιν πρᾶξιν ἀπαιτεῖν καὶ
κινεῖν πρὸς αὐτὴν τὴν προαίρεσιν, ἵνα τινὸς ἐφίκηται τέλους, ὅπερ ἐστὶ
παρὰ τὸ συμπέρασμα. ὃ λαβοῦσα συνεπέρανεν. οὗτος γάρ, φησί, καὶ τῆς
ποιητικῆς ἄρχει. ἡ πρακτικὴ διάνοια, ἣ καὶ λογισμὸς καὶ λογιστικὴ
διάνοια λέγεται. ἀρχὴ δέ ἐστι καὶ τῆς ποιητικῆς διανοίας. ποιητικὴ δέ ἐστιν
ἡ ἔργον ὡς τέλος ἕτερον παρὰ τὴν ἐνέργειαν ἔχουσα, οἷαι πᾶσαι αἱ ποιη-
τικαὶ ὀνομαζόμεναι τέχναι, ὧν ἀνδριαντοποιητικὴ οἰκοδομικὴ τεκτονικὴ καὶ
αἱ τοιαῦται, ὧν ἑκάστη τέλος ἐστὶ παρὰ τὴν ἐνέργειαν ἕτερον, τῇ μὲν
ἀνδριάς, τῇ δὲ οἰκία, τῇ δὲ κλίνη ἢ θρόνος ἢ τράπεζα ἤ τι τοιοῦτον ἕτερον.
ἕνεκα γάρ του ποιεῖ πᾶς ὁ ποιῶν καὶ οὐ τέλος ἁπλῶς ἀλλὰ πρός τι. καὶ τι-
νὸς τὸ ποιητὸν ἀλλ' οὐ τὸ πρακτόν. ἡ γὰρ εὐπραξία τέλος, ἡ ὃ
ὄρεξις τούτου. τὸ τέλος φησὶ τῆς ποιητικῆς, ἤγουν τὸ ἔργον καὶ ἀποτέ-
λεσμα. οὐ γὰρ ἡ ἐνέργεια οὐκ ἔστιν ἁπλῶς, ἤγουν οὐκ ἔστιν ἑαυτοῦ καὶ
μέχρις ἑαυτοῦ ἱστάμενον, ἀλλ' ἐν σχέσει θεωρεῖται καὶ πρὸς ἕτερον ἀνα-
φέρεται ὡς τελικώτερον. οὐ καὶ ἔσται [καὶ] λέγεται ὡς ὃ ἐκείνου γινό-
μενον ὥσπερ τῆς οἰκοδομίας τέλος οὖσα ἡ οἰκία οὐκ ἔχει τὸ αὐτοτελὲς
ἀλλὰ πρὸς τὴν χρείαν φορᾷ τοῦ ἀνθρώπου καὶ ἐκείνου ἕνεκα ὡς ὂν
ἐκεῖνον γεγονός, καὶ οὕτως ἐπὶ παντὸς ποιητοῦ πράγματος. οὐ τοιοῦτον
δὲ καὶ τῆς πρακτικῆς τέλος ἀλλ' ἀρκεῖ μόνον ὡς τέλος ἡ εὐπραξία. καὶ
ἡ ὄρεξις ἐξ ἀρχῆς ταύτης ἐστίν, ἵνα εὖ πράξῃ ὁ ὀρεγόμενος, ὀρεχθείς
τε καλῶς ἐξ ἀρχῆς καὶ ἀποδείξας καλῶς καὶ ὀρθῶς βουλευσάμενος καὶ
τὴν ἐνέργειαν αὐτοῦ ἀποπερατώσας κατὰ τὸ δέον. διὸ ἡ ὀρεκτικὸς
νοῦς ἡ προαίρεσις ἢ ὄρεξις διανοητική. καὶ ἡ τοιαύτη ἀρχὴ ὁ
ἄνθρωπος. ἐπεί, φησίν, ἡ προαίρεσις ἀπὸ μὲν ὀρέξεως ἄρχεται, νοῦν δ'
ἔχει. τὸν λογιστικὸν δηλονότι καὶ πρακτικόν, ἐφεστηκότα τῇ ὀρέξει καὶ
πρῶτον μὲν ἐξετάζοντα καὶ συλλογιζόμενον εἰ καλῶς ἡ | ὄρεξις ὥρκται, 87r
εἶτα προαιρούμενον καὶ βουλευόμενον ὅπως τοῦ ὀρεκτοῦ ἐπιτεύξεται, διὰ
τοῦτο ἡ προαίρεσις ἢ ὀρεκτικὸς νοῦς ἂν ῥηθείη ὡς τῷ χρόνῳ προλαμβά-
νουσαν τὴν ὄρεξιν ἔχουσα. τὸν δὲ νοῦν ἐπικρίνουσα, ἡ ὄρεξις διανοητική.
τὸ αὐτὸ γὰρ δηλοῦσιν ἀμφότερα ἢ τοῦ νοῦ τιθεμένου ὡς γένους καὶ τῆς
ὀρέξεως ὡς διαφορᾶς ἐπιφερομένης εἰς διαστολὴν τοῦ θεωρητικοῦ, ἢ τῆς
ὀρέξεως τασσομένης ὡς γένους καὶ τοῦ διανοητικοῦ ὡς διαφορᾶς ἐπισφερο-
μένης πρὸς διαστολὴν τῆς ἁπλῶς ὀρέξεως. ἢ καὶ τοὺς ὅρους πάντα γνω-
σθαι, ὡς εἶναι τῇ σχέσει τοὺς ἀποδεδομένους τρεῖς ὅρους τῆς προαιρ-
εσεως διαφέροντας, τῷ δὲ ὑποκειμένῳ τοὺς αὐτούς· μᾶλλον δὲ ὁ πρῶτος
καὶ ὁ τρίτος τῇ λέξει μόνῃ διαφέρουσιν. ὃ γὰρ ἐν τῷ πρώτῳ τὸ βου-
λευτικόν, τοῦτο ἐν τῷ τρίτῳ τὸ διανοητικόν· ὁ γὰρ ὀρεγόμενος διανοεῖται

2 κινητική B 3 ἐστιν a ἡ ὑπερ B ὑπερ 10—11 τῆς τῆς τῆς τὸ B 12 τέλος B: τέλους a 17 οὗ scripsi: ὧ B: ὃ a εἶναι λέγεται scripsi: εἶναι καὶ λέγεται Ba 20 ἐκεῖνον B: ἐκείνου a 31 ἔχουσα a: ἔχουσαν B 33 εἰς B: ὡς a 35 πρὸς B: om. a

ὡς ἐν ἄλλοις τισὶς ἐν ἄλλοις καὶ ὑπὲρ καὶ συλλογίζεται καὶ βου-
τινος ἀγαθοῦ γνῶσιν ἀλλὰ πρᾶξιν. τὸ δὲ ἡ τοιαύτη ἀρχὴ ἄ-
προαιρετὸν ἐν τῇ διανοίᾳ. ἐπεὶ γὰρ τὰ μὲν τῶν ἐνεργούντων ὑπ-
ρον ἐνεργοῦντα ὑπὸ νόησιν ἀνθρώπινον, ὡς ὁ θεὸς καὶ ὅσα μ-
καὶ ὅσα ἐπέκεινα τῆς κατ' αὐτὴν τεταγμένα δυνάμεως (τὰ γ-
γνόμενον ὅταν βουλώμεθα. τὰ δὲ βουλευόμενον ἅπαν ἐνδεια φ-
γίνεται. οὔτε δὲ θεὸς οὔτε νοῦς ἐνδεὴς προνήσεως οὐδὲ τ-
τοῖς τε ἐνδεχομένοις ἔρχουσιν, ἀλλ' ἀναγκαῖα πάντα καὶ βέ-
ὡς γίνεται προαιρετὸν ὅσα καὶ ὑπὸ νόησιν. μόνος δὲ ὁ
ἐνεργὸς κατὰ προαίρετιν ἐστὶν καὶ ἀρχὴ καὶ αἴτιος τῶν ἀποτ-
τούτων. διὸ καὶ ὀρθῶς τὴν ὁδὴν ταύτην ἀπαρεσκόμενος, ὅτι
ἀρχὴ καὶ αἴτια τῶν κατὰ προαίρεσιν ἐνεργημάτων ὁ ἄνθρωπός ἐ-
πρὸ αὐτῆς μήτε μετ' αὐτὴν ἔχουσά τι προαιρέσεως χρώμενο-
ἐνεργημάτων. ὡς γὰρ εἰρήκαμεν, τὸ προαιρούμενον καὶ βουλε-
βουλευόμενον καὶ λογικῶν. ἐνεργεῖ καὶ περὶ τὰ ἐνδεχόμενα πο-
βουλήν.

p. 1139b5 Οὐκ ἔστι δὲ προαιρετὸν οὐθὲν γεγονός, οἷο
προαιρεῖται Ἴλιον πεπορθηκέναι. οὐ γὰρ βουλεύεται
γεγονότος ἀλλα τοῦ ἐσομένου καὶ ἐνδεχομένου. τὸ δὲ
οὐκ ἐνδέχεται μὴ γενέσθαι.

Περὶ τῶν ὑποκειμένων τῇ προαιρέσει φησὶν ἐνταῦθα, ὅτι ἐ
τέ ἐστι ταῦτα καὶ μέλλοντα. οὔτε γὰρ περὶ τῶν ἀναγκαίων
τις οὔτε περὶ τῶν ἤδη γενομένων, καὶ ἐπεὶ περὶ τῶν τοιούτων
βουλευσεῖται, οὐδὲ ἐστι τι τῶν τοιούτων προαιρετόν. πᾶς γὰρ ὁ
ἕνεκα γοῦν προαιρεῖται. διὸ καὶ βουλευτικὴ ὀρθὴ ἡ
καὶ' αὐτὴν ἀποδίδονται. πῶς οὖν ἐστι προαιρετὸν περὶ ὃ οὐκ
λεύεσθαι. καὶ εἰς τί ὅσον βουλεύσαιτ ἂν τις περὶ πράγματος ἤ
... ἢ περί τινος ὃ ἔστιν ἀναγκαίων γενέσθαι, καὶ μηδενὸς βουλ
... αὐτοῦ· ὡς εἶναι ἐν τοῖς τοιούτοις κενὴν καὶ ματαίαν τὴν
οὐκ ἄρα περὶ γεγονότων οὐδὲ ἀναγκαίων βουλεύσαιτ ἂν τις
ὥστ' οὐδὲ προαιρήσεταί τι τοιοῦτον. εἰ γὰρ ἔνθα προαίρεσις,
βουλεύσις, ἐνθα μὴ βουλεύσις, ἐκεῖ οὐδὲ προαίρεσις. ἔστι δὲ πρ
ὑποκειμένων καὶ ἐφ' ἡμῖν ἡ προαίρεσις. τὸ δὲ γεγονὸς οὐκ ἐνδ
γενέσθαι, ἤτοι ὡς μὴ γέγονός εἶναι, διὰ τοῦτ' οὐδ' ἂν εἴη προ
... γεγονός. τίθησι δὲ καὶ τοῦ λεγομένου παράδειγμα τὸ πεπορθηκέν
ἐστιν οὖν προαιρούμενος πορθῆσαι τὸ πρὸ πλείστων πεπορθημένων
ὀρθῶς Ἀγάθων· μονοῦ γὰρ αὐτοῦ καὶ θεοῦ στερεῖται

1 post προαίρεσιν inserit ἐνέργειαν a 5 τεταγμένα B: τεταγμένης a 11
... 14 ... καὶ 18 οὐ Ba: οὐ
... 33 γενομένων B: γεγενημένων a 37 Ἀγάθων] frg. 5 p

ποιεῖν ἅσσ' ἂν ᾖ πεπραγμένα" τραγικὸς ποιητὴς ὁ Ἀγάθων καὶ μέμνη- 87r
ται τούτου ἐνταῦθα ὡς σύμφωνα εἰρηκότος αὐτῷ. διὸ καὶ ἐπαινεῖ τὴν ῥῆσιν
αὐτοῦ ὡς εἰρηκότος ὀρθῶς. ἐπεὶ γὰρ φησιν οὕτως ἔχει ταυτί. διὰ τοῦτο
καὶ Ἀγάθων ὀρθῶς εἶπεν, ὅτι τοσοῦτον ἀνάγκη ἐστὶ μὴ γεγονέναι τὸ ἥδη
γενόμενον, ὡς ἐξεῖναι λέγειν τολμᾶν καὶ περὶ θεοῦ, ὅτι γε εἰ καὶ πάντα
αὐτῷ δυνατὰ ὡς πάντων αἴτιῳ, ἀλλὰ τούτου μόνου στερίσκεται καὶ αὐτὸς
τοῦ ποιεῖν ἀγένητα ἃ ἤδη πέπρακται. ἢ ἐκεῖνος αἴτιος καὶ τοῦ πεπραγμέ- 40
νου ὡς πάντων αἴτιος ἃ ἔστιν ἢ γεγένηται. καὶ τὸ γενέσθαι τὸ γεγονὸς
ἀναιρῶν ἀναιρήσει καὶ τὸ εἶναι αὐτὸν αἴτιον, ἢ ἀναίτιος ἁπλῶς τοῦ γε-
γονότος ὑπάρχων οὐ πάντων ἔσται αἴτιος· ἃ ἄμφω ἀδύνατα.

p. 1139b12 Ἀμφοτέρων δὴ τῶν νοητῶν μορίων ἀληθὲς τὸ ἔργον.
καθ' ἃς οὖν μάλιστα ἕξεις ἀληθεύσει ἑκάτερον. αὗται ἀρεταὶ
ἀμφοῖν. ἀφῃρημένου οὖν ὅλως πάντα περὶ αὐτῶν λεγόμενα.

Διεῖλε μὲν ἤδη εἰς δύο τὸν καθ' ἡμᾶς νοῦν, εἰς τὸ πρακτικὸν καὶ 45
θεωρητικόν. καὶ εἰπὼν διαφέρειν αὐτοὺς ἀλλήλων κατὰ τὰ ὑποκείμενα,
ὅτι ὁ μὲν περὶ τὰ ἐνδεχόμενα ἔχει, ὁ δὲ περὶ τὰ ἀναγκαῖα, ἀπέλαβεν
ἰδίᾳ τὸν πρακτικόν, καθ' ὃν καὶ ὁ ὀρθὸς θεωρεῖται λόγος καὶ ἡ φρόνησις.
καὶ ἐπεξῆλθε περὶ αὐτοῦ ὅσα ἤρκει παραστῆσαι τὴν κατ' αὐτὴν ἔννοιαν.
προτίθεται δὲ νῦν εἰπεῖν περὶ πασῶν τῶν διανοητικῶν ἕξεων, αἳ πᾶσαι
ἐπὶ τὸν ἁπλῶς ἀναφέρονται νοῦν. καὶ διὰ τοῦτο καὶ λαμβάνει τὸ πά- 50
σαις ταύταις ὑπάρχειν κοινὸν ὡς τέλος αὐτῶν, ὃ καὶ ἔργον ὠνόμασε. φησὶν
οὖν, ὅτι εἰς δύο διαιρουμένου τοῦ καθ' ἡμᾶς νοῦ, εἰς τὸ θεωρητικὸν καὶ
πρακτικόν, ἑκατέρου τούτων ἡ ἀλήθεια τὸ τέλος ἐστί. δεῖ δὴ οὖν λαβεῖν
καὶ καθ' ἃς ἕξεις ἀληθεύσει μάλιστα τῶν τοῦ νοῦ μορίων ἑκάτερον. αἱ
καὶ ἀρεταὶ ἀμφοτέρων τῶν μορίων εἰσί. καὶ περὶ αὐτῶν εἰπεῖν ἁπασῶν.
οὕτω καὶ ὁρίζομενα ὅλως ἔστιν πάντα περὶ αὐτῶν. ἔχει δ' ἀπορίαν.
πῶς μόρια τῆς λογικῆς ὀνομάζει ψυχῆς οὔσης ἑνὸς τῶν καθ' αὑτὸ
ἀσωμάτων. ἢ δὴ καὶ γωριστὸν τοιοῦτόν ἐστιν. εἰ γὰρ καθ' αὑτὸ ἀσω-
ματον ἡ ψυχή, δῆλον ὅτι καὶ ἀμερές, εἰ δὲ ἀμερές, πῶς μόρια λέγομεν
αὐτῆς; ἢ ὡς πρὸς σώματος λόγον ἀμερὴς ἡ ψυχὴ καὶ ὅσα ἄλλα ἀσώματα
μετὰ τὰ πρῶτόν ἐστιν, ὅτι γε καθ' ἑαυτὰ ἐν συνθέσει τε θεωρεῖται καὶ
ἐκ διαφόρων ὡς ἐκ μερῶν συνίσταται ἢ σύγκειται, κἂν θεότης λέγηται ἐν
αὐτοῖς, μειλεκτῶς ἔχειν θεότητα λέγεται· καὶ οὐδὲν αὐτῶν οὕτω θεὸς ὡς
αὐτὸ ὂν θεὸς καὶ οὐδὲν ἕτερον· εἷς δὲ θεὸς ὃς τοῦτο αὐτόθεος καὶ
ἄλλο οὐδέν, κἂν τὰ πάντα κατ' αἰτίαν ὁμοῦ, τῶν δὲ μετ' αὐτόν, ὃ ἂν
θεὸς εἶναι λέγηται, ἄλλο τι ὂν καθ' ὑπάρξιν, κατὰ μετοχὴν θεὸς εἶναι λέ-
γεται, ὡς εἶναι ἅμα θεούμενον καὶ θεότητα καὶ μετέχον καὶ μετεχόμενον·

6 στερίσκεται corr. ex στερίσκεσθαι B 11 νοητῶν Ba: νοητικῶν Arist. ἀληθὲς Ba: ἀλήθεια Aristoteles 12 μάλιστα ἕξεις B et Aristoteles: ἕξεις μάλιστα a 13 πάλιν περὶ αὐτῶν Ba: περὶ αὐτῶν πάλιν Aristoteles 2 ἑκατέρου B: ἑκάτερον a 24 καὶ καθ' B: καθ' a 31 οὐδὲν ἕτερον a: οὐδέτερον ἕτερον B

καὶ τὸν σύνθετον καὶ διὰ τοῦτο καὶ μόρια ἐξ ὧν τὸ ὅλον σύγκε
οὐκ καὶ τὰ ἐπέκεινα ψυχῆς πλὴν τοῦ πρώτου συντέθειται ἅπαντ
μᾶλλον ἡ ψυχή, ὥστ' οὐδὲν ἄτοπον καὶ μόρια λέγειν αὐτῆς. οὐ
διαστημα οὐδ' ὡς συνεχῆ ἀλλὰ τρόπον, ὃν τὰ ἀσώματα συντίθ
φυκεν. ἀρξάμενοι οὖν ἄνωθεν. πάλιν περὶ αὐτῶν λέγωμε
φησί, προτέρα ἡ ἑκαστη οὐσια τῆς αὐτοῦ τελειότητος. εἰρηκὼς
τῆς οὐσίας ὅσον αὐταρκες ἦν πρὸς τὸ παρὸν τῶν δύο τῆς ψυχῆ
λέγω δὴ τοῦ λογιστικοῦ καὶ θεωρητικοῦ, προτίθεται διδάξαι νῦν
τὰς ἀμφοῖν τούτων τελειότητος. διὰ τοῦτο καὶ ἀναλαμβάνει τὸν
περὶ τῶν αὐτῶν πάλιν γινόμενον, ἤτοι τῶν μορίων τοῦ νοητικο
γὰρ τὸ ἄνωθεν καὶ τὸ πάλιν ὑποβάλλει νοεῖν. τὰ γὰρ περὶ τῶ
κατέρου αὐτῶν καὶ τῆς τελειότητος παραδιδόμενα περὶ αὐτῶ
λεγόμενα.

p. 1139b15 Ἔστω δὴ οἷς ἀληθεύει ἡ ψυχὴ τῷ καταφάνα
φάναι, πέντε τὸν ἀριθμόν· ταῦτα δ' ἐστὶ τέχνη ἐ
φρόνησις σοφία νοῦς. ὑπολήψει γὰρ καὶ δόξῃ [illegible]
ψεύσασθαι.

Ἑκάστου τῶν ὄντων ἢ γινομένων ἡ μὲν οὐσία κατὰ τὴν ἐκ
τικοῦ αἰτίου θεωρεῖται πρόοδον, ἡ δὲ τελειότης κατὰ τὴν πρὸς
στροφὴν τῆς πρὸς ἐκεῖνο ἀντιπουμένου ἐφέσεως κἀκεῖνο κατ
μεῖσθαι σπουδάζοντος, ἵν' ὡς ἐκεῖνο τέλειον, οὕτω καὶ αὐτ
κατὰ τὴν αὐτῷ ἁρμόζουσαν τελειότητα γένοιτο. διὸ καὶ τῇ ψυχῇ
μορίοις αὐτῆς ἀναγκαῖον τὴν πρὸς ἐκεῖνο ποιεῖσθαι [illegible]
μεῖσθαι ταῖς ἀγαθαῖς ἕξεσι καὶ ἐνεργείαις. ὡς οὖν τὴν οὐ
θομεν τοῦ νοητικοῦ τῆς ψυχῆς, ὅτι τὸ μὲν θεωρητικόν, τὸ δὲ λ
καὶ [illegible] τὸ μὲν περὶ τὰ ἀναγκαῖα, τὸ δὲ περὶ τὰ ἐνδεχόμενα κα
αὐτῶν [illegible] καὶ τὰς ἕξεις [illegible] νόμων, καὶ ὅ, τι [illegible] γίνετ
καὶ τὴν αἰτίαν μιμεῖται τῇ τελειότητι, καὶ οὕτω τυγχάνει τῆς
ἀπολαύσεως. διὰ γὰρ τοῦτο καὶ τὴν εἰς τὸ εἶναι ἔσχατα
ἀριθμεῖται τοίνυν τὰς ἕξεις ὅσαι εἰσί. καὶ λέγει ταύτας εἶναι
ἀριθμόν, ἃς καὶ ὀνομάστων παραδίδωσιν. ὅτι δὲ τοσαῦτα εἰσὶ τὰ
τὰ νῦν τῷ λόγῳ προκείμενα καὶ οὔθ' ὑπερβαίνει οὔτε μὴν λείπει
ἡμῖν διαιροῦσι γίνεται. ἐπεὶ γὰρ τὸ νοητικὸν εἰς δύο διαιρεῖ
περὶ τὰ ἀναγκαῖα καταγινόμενον καὶ περὶ τὰ ἐνδεχόμενα, τὸ μὲ
νδεχόμενα υποδιαιρουμένων εἰς δύο τέμνεται ταῦτα, πρακτικὸν
τικόν, ὧν τὸ μὲν φρόνησις, τὸ δὲ τέχνη ὠνόμασται, τὸ δ' ἐπὶ τὸ
εἰς τρία τὴν τομὴν ἐπιδέχεται, ὧν τὸ μὲν ἐπιστήμη, τὸ δὲ σοφ
ται, τὸ δὲ νοῦς. καὶ οὐκ ἔστι τι τούτων εὑρεῖν ἐπέκεινα. τι δ
κάστου, τι δὲ διαφέρει τῶν λοιπῶν, προιὼν ὁ λόγος δηλώσει.

οὕτως εἴρηται· ὥσμεν δὲ καὶ κατὰ μέρος τὴν λέξιν. ἔστω δή, φησίν, 87v
οὗ ἀληθεύει ἡ ψυχὴ τῷ καταφάναι ἢ ἀποφάναι, πέντε τὸν
ἀριθμόν. ἐπειδὴ πρῶτος Ἀριστοτέλης περὶ τοῦ νοητικοῦ τῆς ψυχῆς
ἀνερευνήσας ταῦτα εἴρηκε τὰ ε, εἰς ἃ ἔσχατα αὐτὸ διαιρεῖται, διὰ τοῦτο
ἔστω, φησί, παρρούντως προστάττων τοῖς ὑπ' αὐτοῦ μαθητευομένοις, τὸ δὲ
οἷς ἀληθεύει ἡ ψυχὴ τῷ ἀποφάναι ἢ καταφάναι πρὸς ἀντιδιαστολὴν εἴρη-
ται τῆς κατ' αἴσθησιν. τάχα δὲ καὶ τῆς δόξης αὐτῆς. ὅ τε γὰρ ὁρίζόν-
ξαστικὸς καὶ ὁ ὁρθῶς φανταζόμενος ἢ αἰσθανόμενος ἁπλανῶς ἔχοντες
ἀληθεύειν ῥηθήσονται, πλὴν οὐχ ὡς ἀποφαινόμενοι ἀλλ' ὡς οἰκείως τῇ
ὑπάρξει τοῦ γνωστικοῦ διακείμενοι. ἡ δ' ἐν λόγῳ καὶ συνέσει ἀλήθεια
ἀποφάσει γίγεται καὶ καταφάσει. καὶ ἀποφάσκει ἀληθῶς καὶ ὁ τρόπον
τῶν ἀπηριθμημένων. τὸ δὲ ὑπολήψει γὰρ καὶ δόξῃ ἐνδέχεται διαψεύδεσθαι προσέθηκεν, ὅτι τῶν ε μὲν ἕκαστον ὧν τῇ οἰκείᾳ φύσει οὐδέ-
ποτε ψεύδεσθαι πέφυκεν, ὑπόληψις δὲ ἁπλῶς καὶ δόξα ψεύδεσθαι πέφυ-
οἷον εἴ τις ὑπολαμβάνει ἢ δοξάζει πεδιαῖον τὸν ἥλιον ἢ εἴ τις τὴν σελήνην
τὸ περίγειον καταλάμπουσαν ἀφ' ἑαυτῆς ἔχειν οἴεται πᾶσαν τὴν λαμπρό-
τητα. ἔστι δὲ ἀπορῆσαι πρὸς τὰ ἐνταῦθα λεγόμενα. πρῶτον μὲν πῶς
ἀληθεύειν τὴν ψυχὴν τῷ καταφάναι ἢ ἀποφάναι ὥσπερ ἐνδεχόμενον καὶ
κατὰ τι ἄλλο εἶδος τοῦ λόγου ἀληθεύειν γινόμενον· καὶ γὰρ οὐκ ἐνδέχεται
οὔτε εὐχὴν οὔτε πρόσταξιν οὔτε ἐρώτησιν ἀληθῆ εἶναι ἢ ψεύδους
δεκτικά, ἀλλ' ἢ μόνην τὴν ἀπόφασιν. ἔπειτα πῶς παρεισάγει τὰς πέντε
ταύτας ἕξεις ὁρῶ ἀληθευτικὰς ταύτας οὔσας ἐξ ἀνάγκης ὡς μηδέποτε ψεύ-
δεσθαι. ἐπιστήμη μὲν γὰρ καὶ τοῦτο καὶ πᾶς περὶ τὸ ἀναγκαῖον κατα-
γινόμενος ἀπορήσεται καὶ ῥᾳδίως τὸ ἀληθὲς εὑρήσει. τέχνη δὲ καὶ φρόνησις
ἐπὶ τὸ ἐνδεχόμενον ἑαυτοῖς ὑπακουσαι ἔργοις. πῶς οὖν ἀνάγκης ἔσονται
ἀληθεύουσαι; εἰ γὰρ ἐν τῷ λόγῳ ἀλήθεια τῇ τοῦ πράγματος ὀντότητι
συμπαρομαρτεῖ, καὶ ἡ ὀντότης τοῦ πράγματος τῇ ἀληθείᾳ τῇ ἐν
τῷ λόγῳ, ὥστε οὐδὲ τὸν λόγον καὶ τὴν ἀλήθειαν μᾶλλον καὶ ἧττον τοῦτον
ἀλήθειαν, εἰ δὲ μή, οὔ· καὶ τὸ ἀνάπαλιν. τοῖς περὶ τοῦ ἀναγκαίου ἄρα
θεωροῦσιν ἀνάγκη καὶ τὸ ἀληθεύειν, ὅταν περὶ αὐτῶν ἀποφαίνωνται. τοῖς
δὲ περὶ τῶν ἐνδεχομένων οὐκ ἀναγκαῖον, ὥστε ἔοικεν ὁ Ἀριστοτέλης μὴ
συμφώνως τοῖς πράγμασι τέχνην συντάξαι καὶ φρόνησιν ταῖς ἁπλῶς ἀλη-
θευούσαις ἕξεσι. τ οὖν ὁρίσεται πρὸς ταύτην μόνην ἡ ὅπερ ἐν χρήσει ἡ
ἡ πρώτη ἀλήθεια. τὴν μὲν οὖν πρώτην ἀπορίαν οὕτω λυτέον. ἔστι μὲν
γὰρ ἡ ἀλήθεια καὶ ἐν λόγοις καὶ πράγμασιν, ἐν μὲν πράγμασιν, ὅταν
ἕκαστον ὅπερ ἔστιν ⟨ἐστὶν⟩ ἀεὶ καὶ ὡσαύτως, ἐν δὲ λόγοις ὅταν περὶ τοῦ
ὄντος ὡς ἔστιν ἀποφαινώμεθα, διαφέρουσι δὲ ἀλλήλων αἱ ἀλήθειαι αὐταί,
ὅτι ἡ μὲν εἰλικρινὲς ἔχει τὸ ἀληθές, ἡ δὲ ἐν λόγοις καὶ ἀποφάνσεσιν

8 ἁπλανῶς B: ἁπλῶς a 10 λόγῳ B: λέξει a 15 δοξάζει πεδιαῖον τὸν ἥλιον] ut Heraclitus apud Aetium II 21,4: vide Arist. π. ψυχῆς Γ 3 p. 428b3 π. ἐνυπνίων 1 p. 458b29 2 p. 460b18 18 ἀληθεύειν et τῷ Vat. 1022: ἀληθεύει et τὸ Ba 20 πρόσταξιν B: πρόστασιν a 23. 24 καταγινόμενος scripsi: καταγινόμενον Ba 26 ἀλήθεια B: ἀλήθειαν a 30 ἀποφαίνονται B: ἀποφαίνονται a 36 ἐστὶν alterum addidi: om. Ba 38 ἀποφάνσεσιν B: ἀποφάσεσιν a

χ[illegible] καὶ μὴ ἀγαθὸς ὅτι ἐξ ἁπλῶν φωνῶν συγκειται. οὐδὲν δὲ
ἡ ἁπλοῦς ὄρνις ἁπλῆ φωνὴ πεφυκε. διὰ τοῦτο ἀντιδιαστελλο
λόγῳ ἀληθεύειν ἢ ἐν πράγμασιν εἰρηκὼς ἀληθεύειν τὴν ψυχὴ
τος δὲ ἕξεις τῷ κατασάναι ἢ ὑποσυναι ὡς περὶ τῶν πραγμα
ζουσαν καὶ ἀποφαινομένην περὶ αὐτῶν τὸ ευρισκόμενον ἀληθες
οὐχ ὡς ἀντιδιαστέλλων πρὸς ἄλλο τι τὸ καταφάναι ἢ ἀποφάναι
τελης εἰπεν, ἀλλ αὐτο παρεσηκε το ὂν ὡς μὴ ενδεχόμενον α
ὄντος ἢ μὴ ὄντος τῷ ἀποφαινεσθαι. περὶ δὲ τοῦ ἀληθεύειν ἁπλῶς
γόμενος ἔσε παρα τὰ ἐνδεχόμενα τοῦτο ερουμεν, ως οὐχ αὶ
ὁ ἀνδρ. ὄντων. ὅταν τοῦ τελους αὐται αστοχησωσιν. ὁ ἐξ ἀρχῆ
ποσειθεντο ποιοῦσαι ἢ πραττουσαι. ἀλλὰ τὸ τῆς ουσιως τῶν
ενυλων καὶ αβεβαιων, οἷον ως επι της ἰατρικης. ἡνις στοχα
νοσοῦντι πραγματευεται την υγειαν. εἰ γὰρ μήσεν τῶν ἐνδεχομέ
λιπῃ ὁ τὴν ιασιν μετερχομενος, αλλα παντα πεποιηκε κατὰ
συμβαίη δὲ τὸν νοσοῦντα μὴ τὴν θεραπειαν ευρειν, οὐχ ὁ ἰατρ
ουσαμενος αλλ ἡ ουσις ἡ ενυλος καὶ διὰ το ἐνυλον αστατος.
ὅτι τοῖς ὁρίῳ κρίνουσιν οὐχ ὁ ἰατρὸς αἰτιασεως ἄξιος. ὅτι μὴ
εὕρηκεν. οὐ ἐξ ἀρχῆς τυχεῖν ἐστοχάσατο. ἀλλὰ τῷ ἀστατῳ τ
τῆς ὕλης ἀγνοια τὴν αἰτιαν προσεθηκεν. οὕτως ἐπ ανθρωπικῆς.
ὁ ταπεινὸς τὸ αὐτο ὁ ὃν ὁρεῖς καὶ ἐν τοῖς πολιτικοῖς περ
ὀνομα μὲν γὰρ καὶ ὁ ἀγαθὸς καὶ ὁρίῳ καὶ ἁπλῶς συναμφ
περὶ ὃ τὸ τέλος ποιεται. ὁ προεῖπετο ἐξ ἀρχῆς οὐχ ὡς αὐτ
μένος. ἀλλ ως τῶν ὑποκειμένων αὐτῷ ἐξαλλαττομένων καὶ
ων. ὅτων ἄλλως μεμπτος. ὅτι τοῦ τελους οὐ τυγχαν. ἀλλ
μέν. ὅτι καλῶς συνελογίσατο. ἡ δὲ αἰτια της αστοχιας οὐ π
ἀλλα παρὰ την φυσιν του ενδεχομενου την αστασιαν. καὶ τυχ
ξουνησις ἐεσις κατ αὐτας ακληευτικαι. το δὲ ὄντως ὄντως ἐπ
ταις βουλεύσεσιν οὐ των ἐεσων ἐστιν ἀλλα της του ενδεχομὲ
ση[illegible] ὅτα τουτο καὶ ὁ Δημοσθένης καταιτιώμενος ὅτι τοῦ
ὁ αποτετευχεν. οὕτως ἑαυτοῦ απεσκευασατο την αἰτιαν. οὐδεις ἐπ
το μελλον ασφαλως βουλευεται τῷ του μελλοντος ἀβεβαιῳ α
ὁ της μεμψεως ἀξιον. ἡ δὲ ὁσα καὶ ἡ εικοτως λεγομενη κατ α
λήψις δι' αὐτάς, οὐ δι' ἕτερον ὑεὐδονται ὅταν ὑεὐδωνται. οἰκειῆ
το πλανασθαι. ως το αλγησες αγνοησασα καὶ αντικειμένος αὐτῳ
βάνουσα καὶ δοξάζουσαι, ὡς ὁ τὴν κώπην ὁρῶν ἐν τῷ ὕδατι ὑ
καὶ τῳ σαλῳ του υδατος την οψιν διαστρεφόμενος καὶ κεκλασμε
νόμενος ἐκ τῆς ὄψεως ἀπατώμενος καὶ οὕτως ἔχειν δοξάζων κα
βάνων αὐτήν. αἱ μὲν δὴ καταγινόμεναι περὶ τὰ αναγκαῖα γνω
ψυχῆς ἕξεις ἑκατέρωθεν τὸ ἀληθὲς ἐκ τε τῶν ὑποκειμένων α

τῶν κατ' αὐτὰς ἀποφάσεων ἔχουσιν, ὡς εἶναι αὐταῖς τὴν ἐν λόγοις ἀλή- 88r
θειαν τῇ τῶν πραγμάτων ὑπάρξει συντρέχουσαν, αἱ δὲ περὶ τὰ ἐνδεχόμενα
ἔχουσαι ἀληθῶς μὲν καὶ αὐταὶ τὸ ἀποφαίνεσθαι καὶ τὸ συλλογίζεσθαι, ἡ
μέντοι τῶν ὑποκειμένων αὐταῖς φύσις τῷ ἑαυτῆς ἀστάτῳ ἀντιπίπτει αὐ- 10
ταῖς ἐνίοτε πρὸς τὴν κατὰ τὴν φρόνησιν καὶ τέχνην ἀλήθειαν.

p. 1139b 18 Ἐπιστήμη μὲν οὖν τί ἐστιν, ἐντεῦθεν φανερόν, εἰ
δεῖ ἀκριβολογεῖσθαι καὶ μὴ ἀκολουθεῖν ταῖς ὁμοιότησιν.

Ἐντεῦθεν ἄρχεται ποιῆσαι τὸν περὶ ἑκάστου λόγον τῶν ἀπηριθμημέ-
νων τί τε ἕκαστον αὐτῶν διδάσκων καὶ τί διαφέρει τῶν λοιπῶν. ἀλλ'
ἐπεὶ συγγενῆ ὄντα ταῦτα ἔχει καί τινα ὁμοιότητα πρὸς ἄλληλα καὶ συμ- 15
βαίνει περὶ τὴν ἀγορὰν τούτων κατηγορεῖσθαι τὰ ὀνόματα ὡς ὁμω-
νύμως τῆς διαφορᾶς καὶ ἄλλο ἀντὶ ἄλλου ὑπολαμβάνειν αὐτῶν, διὰ τοῦτό
φησιν, εἰ δεῖ ἀκριβολογεῖσθαι καὶ μὴ ἀκολουθεῖν ταῖς ὁμοιότητα-
σιν· ὥσπερ γὰρ περιστερὰς τε καὶ φάττης ἔστι μὲν ὁμοιότης, ἀλλ' οὐ
διὰ τοῦτο χρὴ λέγειν ταὐτὸν εἶναι φάττην τε καὶ περιστεράν, διαστέλλειν 20
δὲ αὐτὰς ἀπ' ἀλλήλων ταῖς προσούσαις διαφοραῖς, οὕτω καὶ εἰ ἡ τέχνη
καὶ ἡ ἐπιστήμη πρὸς ἄλληλας ἔχουσιν ὁμοιότητα, οὐ τὸ αὐτὸν τῶν παρ'
αὐταῖς ἐνεργουμένων ἀποδιδόασι καὶ ὅτι τάξει χρῶνται περὶ τὴν μάθησιν, 30
ἧς ἄνευ αὐτὰς κατορθωθῆναι ἀδύνατον, ἴσως δὲ καὶ ἄλλα τινά, οὐ διὰ
ταύτας τὰς κοινωνίας χρὴ μίαν καὶ τὴν αὐτὴν οἴεσθαι εἶναι τέχνην τε καὶ
ἐπιστήμην, ἀλλὰ καὶ τὰς διαφορὰς αὐτῶν ἐξετάζοντας ἑτέρας εἶναι τῷ εἴδει
ἑτέραν αὐτάς· οὕτω καὶ ἐπὶ τῶν λοιπῶν. ὅρα δὲ ὅτι ἀπαριθμούμενος
μὲν τὰ πέντε ταῦτα τέχνην ἔταξε πρώτην, εἶτ' ἐπιστήμην, καὶ τρίτην 35
φρόνησιν, μετὰ δὲ σοφίαν καὶ νοῦν, ἐπεξιὼν δὲ τοὺς λόγους ἑκάστου 88v
ἀπὸ πρώτης ἤρξατο τῆς ἐπιστήμης, ὅτι ἐκεῖ μὲν τὸ ἑαυτοῦ ἐτήρησε σύνη-
θες, ἐκ τοῦ ἀτελεστέρου ἀρξάμενος, τῆς τέχνης, ἐπὶ δὲ τὴν ἐπιστήμην
ὡς τελειοτέραν προβάς, τὴν δὲ φρόνησιν παρὰ τὰ ἄλλα τὰ τοιαῦτα ὀνό-
ματα συχνὰς καὶ τὸ κοινωνικὸν τὴν φρόνησιν τῷ νῷ καὶ τοῦτον. πολιτι-
κὸς γὰρ νοῦς ἡ φρόνησις ὀνομάζεται, περὶ τὰ συμφέροντα τῷ βίῳ τῶν ἀν- 5
θρώπων καταγινόμενος, ὡς εἶναι κἀνταῦθα τὴν φρόνησιν προταττομένην ὡς
καταδεεστέραν σοφίας καὶ νοῦ, σοφίαν δὲ πρὸ τοῦ νοῦ, ὅτι ὁ νοῦς τὸ
κορυφαιότατον καὶ τὸ τῆς σοφίας γεννητικόν. εἰσὶ δ' οἱ καὶ φρόνησιν
ἁπλῶς τὴν τῶν ὄντων γνῶσιν κατονομάζουσιν, ἀλλὰ περὶ μὲν τούτων ἀφεί-
σθω τὰ νῦν· ποιητέον δὲ τὸν λόγον ἑπομένως τῷ Ἀριστοτέλῃ. ἐν δὲ τῷ
παραδιδόναι περὶ ἑκάστου τῶν πέντε τὴν ἐπιστήμην τῆς τέχνης προέταξεν 10
ὡς ἀκριβεστέραν καὶ τελειοτέραν καὶ περὶ τὰ ὄντα καταγινομένην ἢ καὶ
περὶ τὰ ἀναγκαίως γινόμενα, τῆς τέχνης περὶ τὰ ἐνδεχόμενα τὴν πᾶσαν
καταβαλλομένης σπουδήν, ἐπεὶ καὶ τὰ ὄντα φύσει πρότερα τῶν γινομένων

5 ἀλήθειαν B: ἀλήθεια a 12 αὐτῶν a: αὐτὸν B 16 εἰ ἡ scripsi: εἰ B: ἡ a 17 ἄλλήλας B: ἀλλήλων a 22 ἀπαριθμούμενος B: ἀπαριθμούμενα a 25 ἑαυτοῦ B: ἑαυτῆς a 30 κἀνταῦθα B: κἂν ταύταις a προταττομένην scripsi: πραττομένην Ba 38 φύσει B: φησὶ a

εἰσι καὶ ἐνεργείαι εἰσιν ἄνευ τοῦ δυνάμει. τὰ δὲ ἐνδεχόμενα ἐν
ἔχει τὸ εἶναι μηδέποτε αὐτοῦ ἀπαλλαττόμενα. καὶ γὰρ ὅταν ἐν
πρᾶξιν ἐνεργείᾳ ὄν, τόδε δυνάμει ἐστὶ τὸ ἀντικείμενον, καὶ ὁ Ἀ
δὲ αὐτὸς τὰ ὑπὲρ γένεσιν τῶν γενητῶν προτιθεμένων ἐν τῷ Π
ως μᾶλλον. δυνάμεως πρώτην τὴν ἐνέργειαν ὁρᾶτε. ἐνεργεί
τὰ ἀγένητα καὶ ἀΐδια. δυνάμει δὲ τὰ γενέσει ὑποκείμενα καὶ φ
ἦν αἰτίαν καὶ τελεωτέραν τὴν ἐκείνων ποιούμενος τῶν πρότερον
τάρτῳ τιμήματι τὸ ἀναγκαῖον εἶναι τῶν ἄλλων πρότερον ἔταξεν. ἵνα
αὐτο ἀντιφασει ὡς φύσει προηγουμένῃ αἱ τῶν ἄλλων ἀντιφασεις
10 ὑπάρχουσιν.

p. 1139b19 Πάντες γὰρ ὑπολαμβάνομεν, ὃ ἐπιστάμεθα
χεσθαι ἄλλως ἔχειν· τὰ δὲ ἐνδεχόμενα ἄλλως. ὅταν
θεωρεῖν γένηται. λανθάνει εἰ ἔστιν ἢ μή. ἐξ ἀνάγκης
τὸ ἐπιστητόν· ἀΐδιον ἄρα. τὰ γὰρ ἐξ ἀνάγκης ὄντα ἁπ
1. τα ἀΐδια, τὰ δ' ἀΐδια ἀγένητα καὶ ἄφθαρτα.

Πιστοῦται δὲ διὰ τούτων μεγίστην εἶναι τὴν κατὰ τὰ ὑποκε
φοραν πρὸς ἀλλήλας τῆς τέχνης καὶ τῆς ἐπιστήμης. τὴν κοινὴ
ἔννοιαν εἰς τὴν τοῦ προκειμένου παράστασιν. κοινὴ γάρ, φησίν,
πᾶσι τοῖς ἀνθρώποις ἡμῖν ἐστιν. ἀδύνατον ἄλλως ἔχειν ὁ κατ
γνώσκομεν. ὅσα οὖν ἄλλως ἔχειν ἐνδέχεται, τοσούτων ἔχει τ
εἶναι ἀβέβαιον ὡς λανθάνειν εἰ καὶ ὅλως ἔστιν ἢ μή, ὅταν ἔξω
ρᾶν γένηται. τὸ ἔξω τοῦ θεωρεῖν διττῶς ἐκληψόμεθα· ἢ γὰ
ρεῖν ἀντὶ τοῦ ὁρᾶν. ὡς εἶναι τὸ λεγόμενον τοιοῦτον, ὅτι τὰ δυν
καὶ ἐνδεχόμενα τότε εἶναι ὑπολαμβάνομεν, ὅταν εἰς ἐνέργειαν ἔρ
ὁρᾶται αἰσθητῶς ὡς παρόντα, ὅταν δὲ εἴη ἐν τῷ δύνασθαι, λαν
ὅλως ἔχει ἐμφασιν πρὸς τὸ εἶναι, καὶ τοῖς πᾶσιν μὴ οὖσιν ὁμοι
τὰ δὲ ἁπλῶς ἀναγκαῖα οὐχ οὕτως, ἀλλὰ καὶ μηδενὸς ὁρῶντός
οὖν οὕτως, ἢ τὸ θεωρεῖν ἀντὶ τοῦ νοεῖν καὶ ἐξετάζειν ἐπιστῆ
μὲν ἀναγκαίων ὄντων. κἂν θεωρῇ τις περὶ αὐτῶν καὶ ἐπιστήζ
καὶ τῶν ἐνδεχομένων λανθανόντων, εἰ ὅλως εἰσίν, ἐὰν μή τις ἐξ
αὐτῶν. τοῦτο δὲ γίνεται διὰ τὸ ἰσχυρὸν καὶ ἀσθενὲς τοῦ εἰν
τῆς ἐναργοῦς ἐπιστήμης ὁ τοῦ ἐνδεχομένως ἀληθοῦς συναφαι
προσθούσης τῷ νῷ καὶ τὴν αὐτῶν ἀναγκαζούσης ὀντότητα. ἐπ
τεως τοίνυν ἀμφοῖν πρὸς ἄλληλα τῶν ἀναγκαίων καὶ ἐνδεχομένων
τὸ ἀναγκαῖον εἶναι τὸ ἐπιστητὸν καὶ ἐκ τούτου τὸ ἀΐδιον. ὃ γὰ
δέχεται μὴ εἶναι, τοῦτο ἀναγκαῖον εἶναι, ὃ δὲ ἀναγκαῖον εἶναι, τοῦτ

1 [illegible]ει B: ἐν τῷ δύναμει a 2 καὶ γὰρ B: καὶ γαρ καὶ 13 p. 23a25 7 τελεωτέραν scripsi: τελεώτερον Ba προτ
ων Ba 14. 15 πάντα ἀΐδια B et Arist. vulg.: ἀΐδια a et Aristot καταφύσθαι a: ἐκλαμβάνεσθαι B 24 ἐνδεχόμενα a: ἐνδεχόμενον B

ὅτε οὐκ ἔστιν, ὃ δὲ οὕτως ἔχει, τοῦτο ἀΐδιον, ὡς εἶναι τὰ ἁπλῶς ἐξ 88v
ἀνάγκης πάντα ἀΐδια. ἁπλῶς δὲ λέγομεν ἐξ ἀνάγκης ὅσα μὴ καθ' ὑπό-
θεσιν ἐξ ἀνάγκης, οἷον τὸ καθῆσθαί τινα ἔστ' ἂν κάθηται ὁ καθήμενος, ἐξ
ἀνάγκης εἶναι λέγομεν τὸ καθῆσθαι αὐτόν, ἀλλ' οὐχὶ ἁπλῶς ἀλλ' ἐξ ὑπο-
θέσεως. τὰ δὲ ἀΐδια ἀγένητα καὶ ἄφθαρτα. οὐ γὰρ ἐνδέχεται ἄλλως 10
ἀΐδια εἶναι αὐτά, εἰ μὴ εἴη ἀγένητά τε καὶ ἄφθαρτα. ἐκεῖνο γάρ ἐστιν
ἀεί, ὃ οὐ κατὰ χρόνον ἔσχε τὸ εἶναι, ἀλλ' ὑπὲρ χρόνον ἐστί. τὸ δ' ὑπὲρ
χρόνον καὶ ὑπὲρ γένεσιν. πᾶσα γὰρ γένεσις ἐν χρόνῳ, τὸ δὲ ὑπὲρ γένεσιν
καὶ ὑπὲρ φθοράν. εἰ γὰρ ὑπὲρ φθορὰν τὸ ἀγένητον, εἰς τ' φθαρτὸν οὐκ
ἢ γὰρ εἰς ἀγένητον ἢ εἰς γενητόν. εἰ μὲν γὰρ εἰς ἀγένητον γέγονε φθα- 15
ρέντος τοῦ ἀγενήτου, ἀγένητον, καὶ οὕτω γέγονε τὸ ἀγένητον, ὡς εἶναι τὸ
αὐτὸ γενητὸν ὁμοῦ καὶ ἀγένητον. (εἰ δὲ εἰς γενητόν, μετέβαλλε πάλιν εἰς
γενητὸν τὸ ἀγένητον, καὶ οὕτω πάλιν οὐκ ἔστιν ἀγένητον τὸ ἀγένητον),
ἀλλὰ καὶ πεφυκότων μεταβάλλειν τῶν ἀγενήτων. οὐκ ἔσται τι ὑπὲρ γέν-
σιν. πάντες δὲ ὑπολαμβάνομεν οὐ μόνα εἶναι τὰ ἀγένητα, ἀλλὰ καὶ τὰ 20
γενητά, ἀλλὰ ταῦτα μὲν οὐδὲ κυρίως ὄντα, ἀεὶ δὲ γινόμενα καὶ ἀπορινό-
μενα. ὄντως δὲ οὐδέποτε ὄντα κατὰ τὸν παρὰ Πλάτωνι Τίμαιον, εἶναι δὲ
κυρίως ὄντα τὰ ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχοντα, ἐπεὶ καὶ ἡ πρώτη
ἀρχὴ ἀκίνητος πάντῃ καὶ ἀμετάβλητος. καὶ ἀπὸ τῶν αὐτῇ ὁμοιοτέρων 25
ἀναγκαῖον αὐτὴν τῆς ποιήσεως ἄρχεσθαι, ἐν αἰῶνι ποιοῦσαν καὶ οὐκ ἐν
χρόνῳ τὰ αἰώνια καὶ ἀΐδια, δευτέρως δὲ συνιστᾶν τὴν γένεσιν καὶ τὰ
ὑπ' αὐτήν, ἄλλως τε ἐπειδὴ τὰ ἐνταῦθα μὴ κυρίως ὄντα καὶ ἔστι καὶ
λέγεται. πρὸς τίνα παραβαλλόμενα μὴ κυρίως εἶναι λέγεται; ἢ πάντως
πρὸς τὰ κυρίως. τίνα δὲ τὰ κυρίως ἢ τὰ τὸ εἶναι μέχρι νῦν ἔχοντα; ταῦτα 30
δὲ τὰ ἀεὶ ὡσαύτως ἔχοντα. ταῦτα δὲ καὶ ἀΐδια καὶ ἀγένητα καὶ ἄφ- 89r
θαρτα. πρὸ τῶν προκαιρίων ἄρα τὰ ἀΐδια, πρὸ τῶν γενητῶν τὰ ἀγένητα,
πρὸ τῶν φθαρτῶν τὰ ἄφθαρτα. ἔτι τὰ κυρίως εἶναί τι λεγόμενα μετοχῇ
τινος κυρίως εἶναι ὃ ἔστι λέγεται, τὸ δὲ μετέχον ὄντως μετέχει τινός.
ὥστε ἔσται τὸ ὄντως καὶ κυρίως ὂν καὶ καθ' ὕπαρξιν πρὸ τοῦ μὴ κυρί- 5
ως καὶ κατὰ μετοχὴν ὄντος. πρότερα ἄρα ἐξ ἀνάγκης τὰ ἀΐδια καὶ αἰώνια
καὶ ὑπὲρ γενεσιν καὶ φθορὰν τῶν ἐν χρόνῳ καὶ γενητῶν καὶ φθαρτῶν.
πάλιν ἐπεὶ ταῦτα τὰ ἐν γενέσει ὅλα ἐκ τῆς ἐνεργείας ἐστίν, ὅτι φθορᾷ
ὑποτέθειται. ἡ δὲ φθορὰ ἑκάστου τὸ ἑκάστου κακόν ἐστιν, ὅτι ἑκατασίς
ἐστι τοῦ εἶναι ὃ ἔστι, τοῦτο δὲ τὸ ἴδιον αὐτοῦ ἀγαθόν, ἐν τῷ κακῷ ἄρα
... κατ' ἐν τῷ κακῷ ἑαυτῶν εἰσι τὰ τῇ φθορᾷ ὑποκείμενα. μήτε τὸ εἶναι
αὐτὸ μήτε τὸ ἀγαθὸν εἰλικρινὲς ἔχοντα ἀλλὰ τῷ ἐναντίῳ ἐπίμικτον. πό-
θεν δὴ τούτοις τὸ εἶναι τοῖς οὕτως ἔχουσιν; ἢ γὰρ ἐκ τινὸς ἢ οὐδαμόθεν. 10
ἀλλ' εἰ οὐδαμόθεν, ἔσται ἀναίτια καὶ αὐτόματα. ἐξ ἑαυτῶν γὰρ εἶναι

4. 5 ἀλλ' ἐξ ὑποθέσεως B: ἐξ ὑποθέσεως δέ a 12 εἰ δὲ εἰς—τὸ ἀγένητον (13) a: om. B 15. 16 ἀλλὰ καὶ τὰ γενητά B: om. a 17 παρὰ Πλάτωνι B: περὶ πλάτωνα a Τίμαιον] p. 28A 19 πάντῃ B: πάντως a 27 μετοχῇ B: μετὰ χαρᾶς a 28 ὄντος μετέχει B: ἢ ὄντος ὄντως μετέχον a 35 ἑαυτῶν B: ἑαυτῷ a 37 δὴ B: δὲ a 38 ἀναίτια B: ἐναντία a

ἀδύνατον· ἦσαν γὰρ ἂν αὐτάρκη καὶ ἑαυτοῖς τοῦ ἀγαθοῦ χορηγὰ κ
ἂν φθορᾷ ὑπετέθειτο· ἀλλ' εἰ αὐτόματα, πόθεν αὐτοῖς ἡ ἀκολούθ
ὡς ἐπὶ τὸ πολὺ ἡ τάξις καὶ τὸ ταὐτόν, εἰ μὴ ταῦτα μὲν ἐξ αἰτίας
ὅτι ὡς [illegible] τῆς ὅλης ἐπικρατούντος τοῦ ἀγ
ως τοῦτο καὶ τοῦτο τὸ ἄτακτον ἡγοῦτο. κἂν ἐκεῖνο μὲν στέργον τ
καὶ τὸν ὅρον μὴ δύνηται· τὸ δὲ αὐτόματον ὡς ἐπ' ἔλαττον, οὐκ
ἀκόλουθον. οὐ γὰρ οὐδ' ἔκ τινος ἑτέρου παρὰ τὸ ἀγαθόν. οὐ γὰρ ἂ
περιποιεῖτο καὶ εἰς τὴν τοῦ ἀγαθοῦ ἀπόλαυσιν ἤγετο ἐπὶ τὸ πλεῖ
λαβὸν αὐτοῦ. εἰ ὑπό τινος ἑτέρου εἰς τὸ εἶναι παρὰ τὸ ἀγαθὸ
ὑπὸ τοῦ ἀγαθοῦ ἄρα ταῦτα πάντα εἰς τὸ εἶναι παράγεται, τῷ δ
ἀκολουθοῦν μάλιστα ἐκ τῶν ὑφ' ἡμῶν εἰς παίδευσιν ἄρχεσθαι.
εἰσὶ τὰ εἰλικρινῶς ἀγαθὰ καὶ οἷς ἡ κακία τῆς φθορᾶς ἀνεπίμικτο
τα ἄρα τὰ ἀΐδια καὶ οἷς τὸ εἶναι ὑπὲρ χρόνον καὶ ὑπὲρ γένεσιν
φθορὰ ῥοπωτάτω καὶ ἡ κατ' οὐσίαν μεταβολή, ὡς ὁ αὐτὸ
εἰς τὰ τῇδε χωρεῖν τὴν ποίησιν καὶ τὴν πρόνοιαν μέχρι τῶν
διήκουσαν. ἐπεὶ δὲ καὶ σκιαὶ τὰ τῇδε διὰ τὸ παραγεῖσθαι [illegible]
δὲ σκιαὶ πρὸς ἀρχέτυπον ἀναφέρονται, δῆλον ἐντεῦθέν ἐστιν ὡς ἐ
μαρτυρίας, ὅτι εἰσὶν ἄλλα τέλεια καὶ ἀληθῆ, εἰς ἃ ταῦτα ὡς εἰς
[illegible] ἐστιν ἄρα τὰ μὲν ἀΐδια καὶ εἰλικρινῶ
καὶ τούτων ἀρχέτυπα καὶ νοῦ μόνου ῥήματα ὑπάρχοντα, καὶ ἀπὸ τ
τῆς μόνου ὄντος τοῦ πάντη καὶ πάντως ὄντος καὶ
τὰ τῇδε, εἴ γε ταῦτα μὲν αἰσθήσει καὶ φαντασίᾳ ληπτά.
διανοίᾳ καὶ μάλιστα νῷ τῆς τῶν παθῶν ἀπαλλαττομένῳ ὑλῆσε
[illegible] καὶ τῷ πρώτῳ καταλαμπομένῳ φωτὶ καὶ τοῖς
ἐκείνοις ἀτρεμῶς ἐπιβάλλοντι. καὶ ἴσως ἂν τις πρὸς ἡμᾶς ὡς
ἀποσκώψειεν, ὅτι παρεκβάντες τοῦ προκειμένου τοσοῦτον λόγον π
ἐμεν, ἀλλ' ἡμῖν ὁ πόθος πρόφασιν λαβὼν ἐκ τῶν Σταγειρίτου
ταύτας τὰς ἐννοίας ἀπέτεκεν ὑπήκοους χορηγούσας τοῖς φιλολόγοις.

[illegible] Ἔτι διδακτὸν [illegible]
[illegible]
[illegible]

[illegible]

ἔνθα καὶ τοῦτο προσέθηκεν, ὅτι χρὴ ἀεί τι προγινώσκειν τὸν ἐπιστήμην 89r
διδάσκεσθαι μέλλοντα, οὐ τὸ τυχὸν πάντως ἀλλ' ὃ πρὸς τὴν μάθησιν τοῦ
προκειμένου συμβάλλεται. ἵνα δὲ μὴ ἐπ' ἄπειρον ὁδῷ προβαίνειν ᾖδε ἡ
πρόγνωσις, ἴστησιν εὐφυῶς τὴν κατ' αὐτὴν ἄνοδον εἰπὼν ἡ μὲν δι' 10
ἐπαγωγῆς, ἡ δὲ συλλογισμῷ. ἐπιστήμη μὲν γάρ πως καὶ ἡ τῶν
ἀρχῶν κατάληψις, ἐπιστήμη δὲ καὶ ἡ ἐκ τῶν ἀρχῶν συνισταμένη ἀπόδει-
ξις, μέσῳ τῷ αἰτίῳ χρωμένη τοῦ πράγματος καὶ δι' αὐτοῦ συνιστῶσα τὸ
συναγόμενον, ἀλλ' ἄλλως μὲν ἡ τῶν ἀρχῶν κατάληψις γίνεται, ἄλλως δὲ
ἡ ἐξ αὐτῶν γνῶσις τῶν συμπερασμάτων ἡμῖν ἐπέρχεται. καὶ τὴν διαφο-
ρὰν ἐπάγει αὐτὸς οὕτωσὶ λέγων ἡ μὲν δὴ ἐπαγωγὴ ἀρχή ἐστι καὶ 15
τοῦ καθόλου. τὴν διαφορὰν ὡς ἐν τούτοις παρίστησι τοῦ τρόπου πῶς
μὲν ἡ ἐπιστήμη τῶν ἀρχῶν παραγίνεται, πῶς δὲ ἡ τῶν ἐκ τῶν ἀρχῶν
ἀποδεικνυμένων. αἱ μὲν γὰρ ἀρχαί, φησί, δι' ἐπαγωγῆς ἡμῖν εἰς γνῶσιν
ἔρχονται, πιστουμένων ἡμῶν τὰ καθόλου ἐκ τῶν καθ' ἕκαστα, τῶν δὲ κα-
θόλου ὁμολογηθέντων λαμβάνοντες ὡς ἤδη ὁμολογούμενα ταῦτα συντίθε- 20
μεν τὸν συλλογισμὸν καὶ ποιούμεθα τὴν τοῦ ζητουμένου ἀπόδειξιν. ὅτι
μὲν γὰρ τὰ αὐτῷ ἴσα καὶ ἀλλήλοις ἴσα καὶ ἁπλῶς ὅτι τὰ κατά τι ταὐτὰ
ἑνί τινι καὶ ἀλλήλοις ἐστὶ ταὐτά, πολλὰ παραγαγόντες καθ' ἕκαστα καὶ ἐνι 30
παραβαλόντες ὁτιοῦν καὶ τῇ πρὸς ἐκεῖνο ταὐτότητι, καὶ ἀλλήλοις ὄντα
ταὐτὰ παραστήσαντες, καὶ ἐπὶ διαφόρων πραγμάτων τοῦθ' οὕτως ἔχον
εὑρόντες τὸ καθόλου πιστούμενοι. τοῦτο δὲ λαβόντες καὶ ἐν μείζονι δια-
στήματι θέμενοι ἀλλήλοις εἶναι ἴσα δεικνύομεν τὰ ζητούμενα. καὶ ἐπὶ 89v
ἄλλων ἀρχῶν τὸ αὐτό, ὡς εἶναι διάφορον εἶδος τῆς ἐπιστήμης ἑκάτερον,
ἤγουν τῶν τε ἀρχῶν καὶ τῶν ἐκ τῶν ἀρχῶν ἀποδεικνυμένων. διὸ καὶ
ἐπάγει συμπεραινόμενος

p. 1139b29 Εἰσὶν ἄρα ἀρχαὶ ἐξ ὧν ὁ συλλογισμός, ὧν οὐκ ἔστι 5
συλλογισμός· ἐπαγωγὴ ἄρα.

Τοῦτο πρὸς πίστωσιν εἴρηται τοῦ εἶναι καὶ ἑτέραν ἐπιστήμην παρὰ
τὴν διὰ συλλογισμοῦ γινομένην, ἣ καὶ ἀπόδειξις λέγεται. καὶ ἔστιν αὕτη
ἡ τῆς ἀποδείξεως ἑτερότροπος, ἁρμοδία ταῖς ἀρχαῖς ἐξ ὧν ὁ συλλογισμός. 10
καὶ διαβεβαιοῦται ἐκ τούτου τὸ εἶναι ἀρχὰς καὶ μὴ ὑπάρχειν ἀνάγκην τῆς
ἐπ' ἄπειρον ἀνόδου τοῖς ἀποδεικνύουσι ὀφείλουσιν. ἱκανῆς οὔσης τῆς ἐπα-
γωγῆς ἐνεργείᾳ τὸ καθόλου πιστοῦσθαι. ἄξιον δὲ ἀπορῆσαι πῶς οὐκ 10
ἔστιν ὀφείλοντος τῆς ἐπιστημονικῆς ἡ αἰσθητικὴ γνῶσις, εἰ ἐκ τῆς αἰσθήσε-
ως αἱ ἀρχαὶ τῆς ἐπιστήμης τὴν σύστασιν ἔχουσιν. εἰ γὰρ ἐκ τῶν καθ'
ἕκαστα ἡ ἐπαγωγή, αὕτη δὲ τῶν ἀρχῶν ὑπάρχει βεβαίωσις, ἐκ τῆς αἰσθή-
σεως ἄρα τῶν ἀρχῶν ἡ βεβαίωσις. αἱ δὲ ἀρχαὶ τῆς ἐπιστήμης καὶ τῆς
ἀποδείξεως αὐτῶν· ὥστε καὶ ἡ αἴσθησις τῆς ἀποδείξεως καὶ τῆς ἐπιστή-

1 χρὴ ἀεί τι scripsi: χρὴ τε ἀεί τι B: χρή τι ἀεὶ τὸ a ἐπιστήμην B: ἐπιστήμονα a
10. 11 καὶ τοῦ καθόλου B et Aristoteles: καὶ πίστωσις τοῦ καθόλου a 19 ὄντα B:
ὅταν a 26 rhesis usque ad τοῖς ἀναλυτικοῖς (p. 1139b33) a



ἐπιστήμη προσαγορεύεται. εἰ γὰρ μὴ μᾶλλον τοῦ συμπεράσματος . . . κατὰ συμβεβηκὸς ἕξει τὴν ἐπιστήμην. τοῦτο πρὸς πίστωσιν πα- σαν εὕρηται τοῦ ὀρθῶς καὶ τοῦτο ἐπιστήμην καταναλίσκειν. εἰ γὰρ μὴ συλλογισμός ἐστιν, ἀλλ' ἐπαγωγὴ τὸ ἐξ οὗ τὴν πίστωσιν αἱ ἀρχαὶ ἐπιδι- χνύνται, ⟨ὅῆλον⟩ ὅτι μᾶλλον τοῦ συμπεράσματος ἐκ τῆς ἐπαγωγῆς ταῖς ἀρχαῖς ἡ πίστωσις γίνεται. ὅπερ ἐν τοῖς συλλογιστικοῖς τῷ συμπεράσματι. εἰ γὰρ μὴ μᾶλλον τοῦ συμπεράσματος ἐπίσταται τὰς ἀρχὰς ὁ ἐπιστήμων αἳ δι' ἐκ τῆς ἐπαγωγῆς δῆλαι γεγόνασιν, οὐκ ἂν ἕξει κυρίως τὴν ἐπιστήμην τοῦ συμπεράσματος, εἰ μὴ κατὰ συμβεβηκός, ὥστε δι' ἐπίσης ἀδήλων γινώ- σκων τὸ ἄδηλον. ἐπεὶ γὰρ ἐκ τῆς ἐναργείας αὐτῆς τῶν πραγμάτων ἡ τῶν ἀρχῶν παράστασις γίνεται, πῶς οὐκ ἂν εἴη σαφῆ μᾶλλον ἃ διὰ τῆς διὰ συλλογισμοῦ τοῦ συμπεράσματος γνώσεως; τὸ γὰρ πᾶσαν χιόνα εἶναι λευκὴν γνῶσαι ὃν ἀμέσου καταλήψεσι καὶ ἁπλῇ ἐπιβολῇ τοῦ γνώσαντος πρὸς τὸ γνωσκόμενον, πιστότερον πάντως ἐστὶ τῆς ἐμμέσου καὶ μετὰ συνθέσεως γνώσεως. καὶ οὐκ ἔστι πάντως καινὸν τὸ λεγόμενον οὐδὲ τῇ πρώτῃ πλάσει τοῦ ἀνθρώπου ἀσύμφωνον. τέλειος γὰρ ἐξ ἀρχῆς ὁ ἄνθρωπος παρὰ τοῦ δημιουργήσαντος πέπλασται καὶ μηδεμιᾶς λειπόμενος τῶν αὐτῷ συμ- βαλλομένων εἰς τελείωσιν ἕξεως. εἰ δὲ τοῦτο, δῆλον ὅτι καὶ σοφὸς καὶ οὐ μόνον διανοητικῶς ἀλλὰ καὶ νοερῶς ἐνεργῶν κατὰ τὸ ἀνάλογον τῆς φυσι- κῆς αὐτῷ τάξεως. τὸ δὲ νοερῶς ἐνεργεῖν τὸ ἀμέσως καταλαμβάνειν ἐστὶ τὰ νοούμενα ἁπλαῖς ἐπιβολαῖς αὐτοῖς ὑποβάλλοντα, εἰ μὲν οὖν μὴ τὴν τοιαύτην ἐκείνην καὶ τὸν θεσμόν, ὃν ἐκ τοῦ κτίσαντος εἴληφε, παραβέβηκεν ἀλλὰ πρὸς τὴν κρείττω ἑαυτοῦ ἀνανεύσει διέμεινε, καὶ τῆς ἐκείνων ἀνευ- δοτικῆς ἐρῶν ἀπολαύσεως, τῶν δὲ χειρόνων τοσοῦτον εἴχετο, ὅσον προνοεῖ- σθαι αὐτῶν κατὰ τὸ ἀναγκαῖον τῆς προστεταγμένης αὐτῷ τάξεως, τὸ καθ' ὑπό- στασιν διέμεινεν ἂν αὐτῷ καὶ τὸ τέλειον ἀπαράβαστον. ἐπεὶ δ' ἐλιγνεύθη περὶ τὰ χείρονα καὶ τῆς κατ' αὐτὴν ἀπολαύσεως ζωῆς προτεθύμηκε τῆς πρὸς τὰ κρείττω καταπεφρονηκὼς ἀνανεύσεως, διὰ τοῦτο καὶ τῆς οἰκείας ἐκπέπτωκε τελειότητος, γενέσει τε ὑπέπεσε καὶ φθορᾷ, καὶ τὸ νοερὸν αὐτῷ ὄμμα συμπεπτώκασί τε καὶ συγκεκάλυπται, τῆς παχυτέρας σαρκὸς καὶ ὕλη- τῆς ἐπιθωώσασης. αὐτὸ. ἐντεῦθεν καὶ τῆς αἰσθητικῆς ὑλάσατο γνώσεως. ἀμέσως μὲν ἐνεργούσης περὶ τὰ οἰκεῖα γνωστά, ἀφυπνιζούσης δὲ καὶ αὐ- τὸν ὥσπερ τῇ γενέσει καταβαρθάνοντα καὶ ἐξ ὧν αὐτὴ γινώσκει καθ' ἕκαστα πρόφασιν αὐτῷ πρὸς τὴν τοῦ καθόλου ὑποτιθείσης σύστασιν καὶ ἐξ ἀμέσου ἐνεργείας τῆς ἑαυτοῦ, ἣν περὶ τὰ μεριστὰ ἐπιδείκνυται, χορηγίαν αὐτῷ πα- ρεχούσης τὰς κοινὰς ἐννοίας ἐπαγωγικῶς συνιστᾶν, ἐξ ὧν ἀμέσων οὐσῶν ὅτι καὶ ἐξ ἀμέσων ἀφορμῶν αὐτὰς ὁ νοῦς συναγήοχε, τὰ ἐπιστημονικὰ συνάγεται συμπεράσματα. ἐντεῦθεν καὶ τὸ τῆς ἀγνοίας ἀποτίθεται κά- λυμμα, ἑαυτοῦ τε γίνεται καὶ τὸ ἐπαχθὲς τῆς ἐμπαθείας ἀποφορτιζόμενος, ἀνανεύει τε πρὸς τὸ κρεῖττον καὶ πρὸς αὐτὸν τὸν παράσταν. . . γὰρ κα-

1 εἰ γὰρ—ἐπιστήμην (2) B: om. a 5 ὄῆλον inserui: om. Ba 10 ἐκ Vat. 1022: om. Ba ἐναργείας corr. ex ἐνεργείας B 12 τῆς Vat. 1022: om. Ba 13 post γινώσκοντος habebat τὸ γνώσκον statim deletum B 16 πλάσει B: πλάνῃ a 21 τὴν B: μὲν a

μη ὄντος ὁ νοῦς τῆ κατ' οὐσίαν ὑπερῆ ὑποτίθησιν. ἀλλὰ γε τὸ
οὐσίαν ἐκεῖ ἀγαθὸν ὑπάρχειν. ἀναίρετον καὶ οὕτως κατὰ τὴν
μὴ ὄναμενος ὑπὲρ τὸ ἀγαθὸν τρόπον τὸ εἶναι μᾶλλον ἐφιλοτιμ
τῶ ὡς ἀείμαρτον. ἀκολούθως ἄρα τὸ τε δὲ ἀρχὴ τοῦ κόσμου τῆ
ἐπιστήμη καὶ τῆ ψυχῆ τοῦ ὅλου ἐκπτώσει ἡ ἐπαγωγικὴ τῶν ἀξιωμ
ἀπ' ἐπιστήμης ἐπιχειρήσεις ἐστίν.

p. 1139b35 Περὶ μὲν οὖν ἐπιστήμης διωρίσθω τὸν τρόπ
τον. τοῦ δ' ἐνδεχομένου ἄλλως ἔχειν ἐστὶ τι καὶ τ
καὶ πρακτόν.

Μετὰ τὸν περὶ ἐπιστήμης λόγον μετίσιν ἐπὶ τὴν τέχνην, τ
καὶ αὐτὴν τι τῶ ὄντι καὶ ὑπαρξίν τῶν ἄλλων ἕξεων, αἱ ἀπηρ
ὥσπερ ὁ περὶ τῆς ἐπιστήμης ἐποίησε τὸ αὐτῆς προχειρισάμενος ὑ
λόγων παράστασιν τὴν αὐτῆς ὑπόστασιν. οὕτω καὶ περὶ τῆς τέχν
παραστήσασθαι τὸ ἐνδεχόμενον καὶ διαιρῶν τοῦτο εἰς τὸ ποιητὸν
κόν. καὶ τὸ μὲν ποιητὸν τῆ τέχνῃ ἀποδιδοῦσι, τῆ πράξει δὲ τὸ
κτόν· τὴν πράξιν καὶ τὴν τέχνην διακόπτων τὸ ἀμάρτημα ὅτι
καὶ οὐκ ἐν τῶ ὄντι τῆς τέχνης ὡς πρὸς τὴν πρᾶξιν διαιρουμένου
τῆς ὑπάρξεως ἀλλ' ἐκτὸς ὑπ' αὐτὸν τὸν λόγον τοῦ ὁ ἐνδεχ
ἄλλως ἔχειν ἐστὶ τι καὶ ποιητὸν καὶ πρακτόν. τὸν ἀρχὴ
λογον ἀποδοὺς τῆ ἐπιστήμῃ καὶ καταστήσας αὐτὴν ἐντὸς
τέχνη ποιεῖται λόγον. καὶ ἐπεὶ περὶ τὰ ἐνδεχόμενα ἡ τέχνη κα
ὁ δὲ ἐνδεχόμενα διττὰ τῶ εἶδει, ὡς τὰ μὲν τῆ τέχνῃ ὑποκείσθ
τῆ πράξει, προσθῶσι πρότερον τὴν τῶν ἐνδεχομένων διαφορ
ἵνα γνωσθῆ, ποῖα τούτων τῆ πράξει καὶ ποῖα τῆ τέχνῃ ὑπάκει
οὕτως οὐ λίαν τὴν τέχνην. πρῶτον δ' ἐστὶ ποίησις καὶ
πίστασιν ὃ περὶ αὐτῶν καὶ τοῖς ἑξωτερικοῖς λόγοις
ὡς ὁμωνύμοις τὸ ὄνομα εἶναι ἀλλήλων τὴν ποίησιν καὶ πρᾶξ
ὅτου ποιητὰ τὰ τῆς κοινῆς ὑποκρίσεως καὶ λέγει πιστὴν εἶναι τὴ
ὁρισμόν. ἐξ ὧν ἅπαντες περὶ αὐτῶν κοινῶς ὑπολαμβάνουσιν α
ἑξωτερικοῖς ὁ ὀνομάζει λογικὸς, ὡς ἐξ τῆς λογικῆς παραδόσεω
ὁ τυχὼν βασιλ. ὃθ καὶ προστίθησι τοῖς κοινοῖς λόγοις ἀκουομέν
συμπεραίνων ὥστε καὶ ἡ μετὰ λόγου πρακτικὴ ἑτερόν
μετὰ λόγου ποιητικῆς ἕξεως. ἄλλο πρακτικὴ καὶ ἄλλο π
ἄλλο ποιητικὴ ... ἀλλὰ ποιητὴ πρακτικὴ μὲν ἀν ποιητικὴ ἕ
ματα. πρᾶξις δὲ καὶ ποίησις πρὸς ἄλλα. ἐπὶ τῶν δ' ποιητῶ
ἕτων προχειροτέραι τε καὶ προηγούμεναι ὧν τούτων ἡ τῆς τῶν
τῶν ἑτεροίτητος ἕτερος εἶναι καὶ τῆς τῶν μορίων. τὸν μὲν
χίστοις ἐναντίας οὔσας καὶ τὰ πλεῖστα ἀναιρούσας. ἀν' ἀλλο

ἐστὶν (b. 1140a6) ὁ

εἶναι πρᾶξιν καὶ ἄλλο ποίησιν, καὶ οὔτε τὸ ποιητὸν πραχθὲν ὀνομάζουσιν 90r
οὔτε τὸ πραχθὲν ποιητόν. ἀλλὰ ποίημα καὶ ποιητὸν τὸ πεποιημένον (καὶ
πρᾶξιν καὶ πραχθὲν τὸ πεπραγμένον. ἐκ δὲ τούτων καὶ τὰς ἕξεις, ὅθεν
αἱ πραγματεῖαι προῆλθοσαν, ἑτέρας εἶναι ἀλλήλων εὑρίσκομεν. ὁτὲ γοῦν
καὶ ὡς συμπερασμὸν ἐπήγαγεν· ὡς ἐπεὶ ἡ πρᾶξις καὶ ἡ ποίησις ἕτερα, 5
δηλονότι καὶ ἡ μετὰ λόγου πρακτικὴ ἕτερον τῆς μετὰ λόγου ποιητικῆς
ἕξεως. δεῖ δὲ ἐξακοῦσαι τὴν ἕξιν ἐπ' ἀμφοτέρων, ἔλαβε δὲ τὸ μετὰ λό-
γου καὶ ἐπ' ἀμφοῖν, ὡς τῆς ἀπαριθμήσεως τὰς μετὰ λόγου παραλαμβα-
νούσης ἕξεις ἢ καὶ δυνάμεις. οὐ γὰρ τὴν τυχοῦσαν πρακτικὴν καὶ ποιη-
10 τικὴν δεῖ νοεῖν ἐνταυθοῖ ἀλλὰ τὰς μετὰ λόγου. αὗται γὰρ καὶ ἀληθεύ-
ειν πεφύκασι. καὶ οὐ περιέχεται ὑπ' ἀλλήλων πρᾶξις καὶ ποίησις. 90v
οὔτε γὰρ ἡ πρᾶξις ποίησις οὔτε ἡ ποίησις πρᾶξίς ἐστιν. καὶ
μήτις οἰέσθω, φησίν, ὡς οὕτως ἀλλήλων εἰσὶν ἕτεραι, ὡς τὴν μὲν περι-
έχειν τὴν δὲ περιέχεσθαι. οὕτω γὰρ ἔχει καὶ τῶν εἰδῶν.
15 ἕτερα γὰρ πρὸς ἄλληλα καὶ τὰ εἴδη καὶ τὰ γένη. οὐ γὰρ ἂν ἐπερίσ-
σευσε τῶν γενῶν τὰ εἴδη τῷ ἔχειν πλείονα τῶν γενῶν τὰς οὐσιώδεις δια-
φοράς. οὐκοῦν καὶ ἡ πρᾶξις καὶ ἡ ποίησις οὐχ οὕτως ἀλλήλων ἕτερα. οὔτε γὰρ ὁ
ἡ πρᾶξις περιέχει τὴν ποίησιν οὔτε ἡ ποίησις τὴν πρᾶξιν.

p. 1140a6 Ἐπεὶ δ' ἡ οἰκοδομικὴ τέχνη τις ἐστὶ καὶ ὑπερ μέν
20 τις μετὰ λόγου ποιητική, καὶ οὐδεμία οὔτε τέχνη ἐστὶν ἡ οὐ
μετὰ λόγου ποιητικὴ ἕξις ἐστὶν οὔτε τοιαύτη ἡ οὐ τέχνη. ταὐ-
τὸν ἂν εἴη τέχνη καὶ ἕξις μετὰ λόγου ἀληθοῦς ποιητική.

Μετὰ τὸ παραθέσθαι πρὸς ἀλλήλας τὴν πρακτικὴν καὶ τὴν ποιητικὴν 10
καὶ δεῖξαι ταύτας ἑτέρας ἀλλήλων καὶ τοσοῦτον ὡς μὴ ὑποκεῖσθαι θατέραν
25 τῇ ἑτέρᾳ, βούλεται νοῦν ὁρίσασθαι τὴν τέχνην. παραλαμβάνει δὲ διὰ τὴν
σαφήνειαν τὴν οἰκοδομικήν, μίαν καὶ αὐτὴν τῶν τεχνῶν, καὶ δείκνυσι δι'
αὐτῆς οἰκειότατον τῇ τέχνῃ τὸν ἀποδιδόμενον ὁρισμόν, ὡς καὶ ἀντιστρέ-
φοντα πρὸς αὐτόν. φησὶ γὰρ ἐπεὶ ὁ ἡ οἰκοδομικὴ τέχνη ἐστίν, ἤτοι
εἶδος τῆς ἁπλῶς τέχνης, καὶ διὰ τοῦτο ἕξις τις μετὰ λόγου ποιητική, ἤγουν 15
30 τὸν ὁρισμὸν τὸν οὕτω λέγοντα δεχομένη ἡ τέχνη ἐστὶ καὶ εἶδος τέχνης
(οὐ γὰρ ἁπλῶς τέχνη ἡ οἰκοδομική ἀλλά τις τέχνη ὡς εἶδος τῆς ἁπλῶς
τέχνης) καὶ διὰ τοῦτο ἕξις τις μετὰ λόγου ποιητική, ὡς καὶ μερικῶς τὸν
ὅρον τῆς τέχνης δεχομένης διὰ τὸ εἶδος εἶναι αὐτῆς. τὸ δὲ ὅπερ δηλοῦν
κεῖται τὸ οὐσιωδῶς κατηγορεῖσθαι τῆς οἰκοδομικῆς τὴν τέχνην καὶ τὸν
35 ὁρισμὸν αὐτῆς, ὡς εἴ τις λέγει τὸν ἄνθρωπον τί ζῷον εἶναι, καὶ ὅπερ οὐσία 20
τις ἔμψυχος αἰσθητική, διὰ τὸ καὶ μέρος εἶναι τοῦ ζῴου τὸν ἄνθρωπον

2. 3 καὶ πρᾶξιν a: om. B 7 ἀμφοτέρων B: ἀμφοτέρας a 9 οὐ rubro corr. ex εἰ B 11 καὶ οὐ B: διὸ οὐδὲ a 11. 12 ποίησις οὔτε—πρᾶξίς ἐστιν B: om. a
15 ἄλληλα a: ἄλλα B 16 γενῶν a: εἰδῶν B 20. 21 ἡ οὐ μετὰ Ba: ἤτις οὐ μετὰ Aristoteles 25 διὰ τὴν B: εἰς a 28 post τέχνη ἐστὶν add. καὶ εἶδος τέχνης a om. B 35 αὐτῆς a: αὐτοῖς B

ως εἰδος εἰς γένος τὸ ζῷον ἀναφερόμενον. ἕκαστον γὰρ τῶν εἰδῶν
τί ἐστι τὸ γένος αὐτοῦ, τοῦ ὅπερ ὁλοσχερῆ τὴν οὐσιώδη κατηγοριαν
νους κατὰ τοῦ εἴδους. καὶ ὡς ταύτων ἐστιν εἰπεῖν ὅπερ τι ζῷον εἰ
ἄνθρωπον καὶ ὅπερ τινὰ οὐσίαν ἔμψυχον αἰσθητικήν, οὕτω καὶ τὴ
δομικὴν ταύτον ὑπερ ἐναν τεχνην τινα καὶ ὅπερ ἐξιν τινὰ μετ
παρηκται· ὡς τοῦ ὁρου ταύτου ἐπεζευγνυντος πρὸς τὴν τέχνην κ
στρεφοντος. ταῦτα περὶ τῆς οἰκοδομικῆς εἰπὼν μεταβαίνει ἐπὶ τὸ κ
καὶ ὅτι καὶ οὐδέτερα οὔτε τέχνη ἐστιν ἥτις οὐ μετὰ λόγου
γίνεται ἕξις ἐστιν οὔτε τοιαύτη ἡ οὐ τέχνη, ὥστε ταὐτὸν
τεχνη καὶ ἕξις μετὰ λόγου ἀληθοῦς ποιητικη. καὶ ἔστι τὸ ὅλον τ
ὅτι ἐπει οὐ μόνον ἡ οἰκοδομικὴ ἐπιδέχεται τούτων τῶν ὁρισμῶν α
πᾶσα τέχνη, καὶ οὐδενὶ ἑτέρῳ προσαρμόζει οὗτος ὁ λόγος, ὁ μ
ἐστιν. εἰη ἂν μόνης τῆς τέχνης καὶ πάσης καὶ ἀντιστρέφοι ἂν πρὸς
ὁ καὶ ἴδιον ὁρισμοῦ. λέγω δὲ τὸ μητε τοῦ ὁριστοῦ παραλιπαν
μητε περιέχον τῶν ἄλλων οὐδέν. τὸ γὰρ ὑπὸν
τεχνη ἐστιν ἥτις οὐ μετὰ λόγου ποιητική· ἔστιν ταὐτὸν ἐστι
γειν ὅτι πᾶσα τέχνη τοιαύτη ἕξις ἐστι. τὸ δ' ἀληθὲς κοινὸν π
ἀπηριθμημένοις. ταῦτα γὰρ τὰ πάντ' εἰσὶ καθ' ἃ μετὰ λόγου
τεων· οὐχὶ καὶ ἀνθρωπος πέφυκεν· ἐπεὶ καὶ κύων ῥινηλατῶν ἀλη
ἂν τὴν τοῦ κρυπτομένου κυνδάλου ποιούμενος ἔρευναν, ἀλλὰ οὐχὶ
γος αὐτῷ καὶ σύνεσις πρόσεστι, μόνη δὲ τις φυσικὴ ἐπιτηδειότ
ζητῆσαι τε καὶ εὑρεῖν.

p. 1140a10 Ἔστι δὲ τέχνη πᾶσα περὶ γένεσιν καὶ φθοράν
τεχνάζειν καὶ θεωρεῖν, ὅπως ἂν γένηταί τι τῶν ἐνδεχ
καὶ εἶναι καὶ μὴ εἶναι. καὶ ὧν ἡ ἀρχὴ ἐν τῷ ποιοῦντι
οὐκ ἐν τῷ ποιουμενῳ.

Ὑποδοὺς τὴν τεχνην τι ἐστι, λεγει καὶ παλιν περι τοῦ ὑπο
αὐτῇ, ἵνα τελειώτερον αὐτὸ καταληφόμεθα. φησι γάρ ὅτι πασα τέ
γενεσιν ἐστι, γένεσιν ὀνομάζων τὰ ἐνδεχόμενα, διὰ τὸ μὴ οὐσαν
αὐτῷ. ἡ γὰρ ἐν ταὐτῷ μονὴ καὶ ἕδρυσις τῶν ἀναγκαίων καὶ ὑπαρ
ἴδιον. περὶ ἃ ἡ ἐπιστήμη, ἡ δὲ τέχνη περὶ ἐνδεχόμενα. τεχναζει
θεωρεῖ, τουτέστιν οἰκοθεν ἐπιτηδεύει τῷ οἰκειῳ λογῳ χρωμενη.
γένηταί τι τῶν ἐνδεχομένων καὶ εἶναι καὶ μὴ εἶναι. πρὸ τε γὰρ
νέσθαι τὸ ἀπὸ τέχνης ἐνδέχεται γενέσθαι καὶ μὴ γενέσθαι, καὶ
γενόμενον ἐνδέχεται καὶ ἀπογενέσθαι, ὥστε καὶ εἶναι καὶ μὴ εἶναι
τέχνῃ γίνεσθαι ἐνδέχεται. καὶ τὸ ἀναγκαῖον αὐτῷ οὐδαμῶς
ἡ γε καθ' ὑπόθεσιν, ὡς μὴ ἐνδεχόμενον ἅμα κατα ταὐτον
μὴ εἶναι· ἵνα μὴ ἡ ἀντίφασις συναληθεύσῃ. τοῦ ἤδη γεγο

1 , B: ὁμοιῶς a 19 καὶ B: om. a 25 καὶ φθορα

ἀποβάντος λεγομένου μὴ εἶναι τότε ὅτεπερ ἔστι. τὸ δὲ ὧν ἡ ἀρχὴ ἐν 90v
τῷ ποιοῦντι ἀλλ' οὐκ ἐν τῷ ποιουμένῳ πρὸς ἀντιδιαστολὴν εἴθηκε
τῶν φύσει γινομένων. ἔστι γὰρ ἰδεῖν καὶ τὴν φύσιν περὶ γένεσιν ἐνεργοῦ- 50
σαν, ἀλλ' ἡ μὲν φύσις ἐντὸς οὖσα καὶ διὰ τῶν σωμάτων χωροῦσα οὕτω
ἐν αὐτοῖς ἐνεργεῖ, ἡ δὲ τέχνη οὐχ οὕτως ἀλλ' ἐκτὸς οὖσα τῶν σωμάτων, περὶ
ὧ κατεργάσεται, οὕτως ἐν αὐτοῖς ἐνεργεῖ, καὶ οὕτω αὐτοῦ τὸ τεχνητὸν εἶδος
ἐντίθησιν. ἐκτὸς γὰρ ἡ ἀνδριαντοποιητικὴ τοῦ χαλκοῦ καὶ ἡ τεκτο-
νικὴ τοῦ ξύλου, ἐν τοῖς τεχνίταις δ' οὖσαι καὶ ἅμφω οὕτω κινοῦσι τὰ
ὑποκείμενα, διὸ καὶ ἐκτὸς αὐτῶν κατὰ τὴν ἐπιφάνειαν τὰ εἴδη περιτιθέ- 91r
ασιν. ὥστε τὸ ποιητικὸν αἴτιον ἐν τοῖς τεχνητοῖς ἐν τῷ τεχνητῶν ἐνερ-
γοῦντί ἐστιν, οὐκ ἐν τῷ ποιουμένῳ, ἤγουν ἐν τῷ ὑποκειμένῳ καὶ δεχομένῳ
τὴν ποίησιν.

p. 1140a11 Οὔτε γὰρ τῶν ἐξ ἀνάγκης ὄντων ἡ γινομένων ἡ τέχνη
ἐστὶν οὔτε τῶν κατὰ φύσιν· ἐν αὐτοῖς γὰρ ἔχουσι ταῦτα τὴν 5
ἀρχήν.

Διὰ τοῦτο, φησί, περὶ γένεσιν λέγομεν καὶ περὶ τὰ ἐνδεχόμενα τέχνην
καταγίνεσθαι, διότι οὐκ ἔστι τέχνη τῶν ἐξ ἀνάγκης ὄντων ἢ γινομένων.
οὐ μόνον γὰρ ὄντα ἐξ ἀνάγκης εἰσίν, ἀλλ' εἰσὶ καὶ γινόμενα ἐξ ἀνάγκης·
ὄντα μὲν αἱ ἄυλοι οὐσίαι καὶ ἀσώματοι καὶ αἱ οὐράνιαι σφαῖραι καὶ αἱ
τῶν στοιχείων ὁλότητες (μένουσι γὰρ καὶ αὐτὰ ὑπὸ τοῦ δημιουργοῦ συνε-
χόμενα), γινόμενα δὲ αἵ τε κινήσεις τῶν οὐρανίων σφαιρῶν καὶ αἱ ὧραι 10
τοῦ ἔτους, καὶ τὰ τοιαῦτα. κατὰ φύσιν δὲ τὰ ζῷα καὶ τὰ φυτά. τῶν
μὲν οὖν ἀναγκαίων τῷ μὴ ἀνάγκῃ εἶναι τὰ τῇ τέχνῃ ὑποκείμενα διαφέ-
ρουσι, τῶν δὲ κατὰ φύσιν, ὅτι ταῦτα ἐν αὑτοῖς ἔχουσι τὴν ἀρχὴν τῆς
κινήσεως.

p. 1140a16 Ἐπεὶ δὲ ποίησις καὶ πρᾶξις ἕτερον, ἀνάγκη τὴν
τέχνην ποιήσεως ἀλλ' οὐ πράξεως εἶναι. καὶ τρόπον τινὰ
παρ' τὸ αὐτὸ ἔστιν ἡ τύχη καὶ ἡ τέχνη, καθάπερ καὶ Ἀγάθων
φησὶ "τέχνη τύχην ἔστερξε καὶ τύχη τέχνην." 15

Δείξας ἕτερα ἀλλήλων τὴν πρᾶξιν καὶ ποίησιν, λαμβάνει τοῦτο νῦν
ὡς ὁμολογούμενον καὶ φησὶν τὴν τέχνην ποιήσεως εἶναι τέχνην ἀλλ' οὐ
πράξεως, διότι καὶ τὰ τέλη τῆς τέχνης ἔργα εἰσὶ μετὰ τὴν τεχνικὴν
ἐνέργειαν ὑποιμένοντα. τῆς δὲ πράξεως ἀρκοῦν τέλος ἡ εὐπραξία, ἐπειδὴ
ἐχούσης τὸ μέχρι τοῦ εὖ ὡς τέλος καταντᾶν αὐτῆς τὴν ἐνέργειαν. προσ-

4 οὕτως B: ἐν τοῖς οὖσα a 5 οὖσα B: om. a 7. 8 τεκτονικὴ B: τεκτονικοῦ a 11 δεχομένῳ B: ἐνδεχομένῳ a 13 ἀνάγκης a et Aristoteles: ἀναγκαίων B 20 ἀνάγκη B: ἀναγκαῖα a

τίθησι δὲ καὶ τὸ κατά τινα τρόπον περὶ τὰ αὐτὰ εἶναι τὴν τύ
τὴν τέχνην, καὶ τούτου πάλιν παράγει μάρτυρα ποιητὴν τὸν Ἀ
φίλας ἀλλήλαις τὴν τύχην εἰσάγοντα καὶ τὴν τέχνην ἐν τῷ λέγειν
τύχη ... τέχνη, καὶ τύχη τέχνη." δεῖ δὲ ἐξετάσαι τὸν τρόπον.
αὐτός τε ὁ Ἀριστοτέλης περὶ τὰ αὐτὰ φησιν εἶναι ἀμφοτέρας α
ὁ Ἀγάθων πέφυκεν ἀλλήλας, καὶ εἴη ἂν ὅτι ἀμφοτεραις τῶν ὑπο
πραγμάτων τὸ αἴτιον ἐξωθεν καὶ ὅτι ἀμφω ἕτερον παρὰ τὴν
ἔργον ἔχουσιν. ὅ τε γὰρ τεχναζόμενος κινεῖ τὴν ὕλην ἔξωθεν οὐ
της, ὅ τε ἀπὸ τύχης περιτυγχάνων τινὶ πράγματι εἴτε ἀγαθῷ εἴτ
ἐξωθεν. ὧν ἐκείνου καὶ ὁρῶν ἕτερα καὶ τὸν σκοπὸν ἔχων πρὸ
περιτυγχάνει τῷ ἀπὸ τύχης, οἷον εἴ τις εἰς βαλανείου ἀπιὼν ὥστ
τὸν χρόνον περιτυχὴ τῶν ζητουμένων. ἢ ὁ ἐν ἀμπελῶνι σκαπτων
ταυρὸν ἢ βαδίζων οἰκαδε λίθῳ προσκόψας τὸν πόδα βλαβῇ. τοῦ
πάντων ὁ ἐνεργῶν ἔξωθεν καὶ τὸ κατὰ συμβεβηκὸς ἐκτὸς ἐ
ἀποτελούμενον ἔστι μὲν παρὰ τὸν τοῦ ἐνεργοῦντος σκοπόν, ἔστ
ἀποτέλεσμα ἕτερον παρὰ τὴν αὐτοῦ ἐνέργειαν· καὶ κατὰ ταῦτα
τύχη ... ἀμφοτέρους ... διαφέρουσι δὲ ὅτι τῇ μὲν τύχῃ κατὰ
πὸν τοῦ τεχνίτου τὸ τέλος ὡς ἐπὶ τὸ πολύ, τῇ δὲ τυχῇ παρὰ τ
τοῦ ἐνεργοντος το τέλος καὶ ὡς ἐπ' ἔλαττον.

20 p. 1140a20 Ἡ μὲν οὖν τέχνη, ὥσπερ εἴρηται, ἕξις τις με
γου ἀληθοῦς ποιητική ἐστιν, ἡ δ' ἀτεχνία τοὐναντίο
λόγου ψευδοῦς ποιητικὴ ἕξις, περὶ τὸ ἐνδεχόμενον
ἔχειν.

Ἱκανῶς ὅσα ἔδει περὶ τῆς τέχνης περὶ τὴν πρ
πραγματείαν ἀπολέλοιπε καὶ τὸ ἐναντίον αὐτῷ, ὃ ἡ ἀτεχνία ἐστι.
παρεισάγει πάλιν τὸν ὅρον τῆς τέχνης, ἵν' ὡς ἐκ παραθέσεως
ἀτεχνίαν τί ἐστιν. εἰ γὰρ ἡ τέχνη ἕξις μετὰ λόγου ἀληθοῦς
ἔστω ἡ ἀτεχνία τοὐναντίον ποιητικὴ ἕξις μετὰ λόγου ψευδοῦς.
γὰρ ἄλλα κατὰ τὰ αὐτὰ ἡ τέχνη καὶ ἡ ἀτεχνία, διαφέρουσι δὲ
ἀληθὲς καὶ ψεῦστρον καὶ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος. εἰσὶ δὲ
περὶ τὰ ἐνδεχόμενα ἄλλως ἔχειν. οὐ γὰρ ἂν εἰς πλανην καὶ
ἡ τέχνη ἐξέπιπτε καὶ ἀτεχνίαν εἶχεν ἐνεργοῦσαν περὶ τα αὐτ
μενα, εἰ μὴ ἄλλως καὶ ἄλλως ἔχειν αὐτὰ ἐνεδέχετο.

Agathon fr. 6 p. 764 Nauck² 4 ἐξετάσαι B: ἐξετάζειν a
10 ... B 11 ... a ... B

[illegible] Περὶ δὲ φρονήσεως οὕτως ἂν λάβοιμεν, θεωρήσαντες 91r
τίνας λέγομεν φρονίμους. δοκεῖ δὴ φρονίμου εἶναι τὸ δύνασθαι
καλῶς βουλεύεσθαι περὶ τὰ αὑτῷ [illegible] συμφέροντα, οὐ
κατὰ μέρος, οἷον ποῖα πρὸς ὑγίειαν ἢ ἰσχύν, ἀλλὰ ποῖα πρὸς 5
τὸ εὖ ζῆν ὅλως.

Πάντα οὖν τῶν ἀνθρωπίνων ἕξεων, ἃς ὅλως ἀπαριθμήσατο πρὸ
ἐπιστήμης καὶ τέχνης εἰπών, τοῦτον τὸν τρόπον τὴν φρόνησιν, ἀφοριεῖ
οὖσαν τῶν ὁ τὰ ἡθικὰ καὶ πολιτικὰ θεωρῶν. ἔστιν γὰρ ὁ ὅρος τοιοῦτος·
μέτρον ὑπάρχει καὶ στάθμη τῶν πράξεων, δι' οὗ καὶ τὸ μέσον καὶ σύμ- 10
μετρον ἐν αὐταῖς ἀνευρίσκεται, καὶ δι' αὐτῆς μέσης ἡ περὶ τῶν διανοητι-
κῶν ἕξεων παράδοσις πρὸς τὰ προλαβόντα συνέχειαν δέχεται. ἐπεὶ καὶ
κανονικὴ ὑπεροχὴ τοῖς ἄλλοις, τοῖς διανοητικοῖς καὶ πρακτικοῖς. τοῦ
νοητικοῦ γὰρ οὖσα καὶ αὐτὴ τὴν προχείρισιν ποιεῖται ἐν ταῖς πράξεσιν
αὐτὴ προτεταμένη αὐτῶν καὶ μετροῦσα αὐτάς. διὰ τοῦτο καὶ πέντε ἐν 15
ταὐτῷ τέτακται, πρὸ ἑαυτῆς μὲν τὴν τέχνην καὶ τὴν ἐπιστήμην ἔχουσα
παραδεδομένην, μεθ' ἑαυτὴν δὲ τὴν σοφίαν καὶ τὸν νοῦν. νοῦν δὲ λέγο-
μεν ἐνταῦθα οὐ τὸν ἁπλῶς καὶ καθ' ὅπαρξιν ἀλλὰ τὸν καθ' ἕξιν καὶ 91v
κατὰ μέθεξιν. οὐ γὰρ ἂν ταῖς ἀληθευτικαῖς ἕξεσι συνετάττετο. εἰ μὴ ὡς
τοῦτο σημαίνων παρελαμβάνετο. ἡ γὰρ ψυχὴ ὡς μὲν ψυχὴ ἀνειλιγμένως 20
ἐνεργεῖ. συναγομένη καὶ μεταβαίνουσα εἰς συμπεράσματα ἐκ προτάσεων.
ὡς δὲ μετέχουσα νοῦ ἁπλῶς ἐπιβάλλει, ἔχουσα μὲν καὶ τὰς ἀρχὰς καὶ
τοὺς ὅρους ὡς νοῦ ἀπηχήματα. γινομένη δὲ καὶ τούτων ἐπέκεινα. ὅταν 5
νοερὰ γένηται, τοῖς νοητοῖς νοητῶς ἐπιβάλλουσα. εἰ καὶ μὴ ἀϊδίως καὶ
ὁμοῦ ὡς ὁ καθ' ὅπαρξιν. ἀλλὰ καθ' ἓν περιεχομένη τὰ πάντα καὶ νοοῦσα 25
καθ' ἕκαστον. διὸ καὶ ἡ τοιαύτη κατάστασις οὐ φύσις ἀλλὰ ἕξις τῆς ψυ-
χῆς ὀνομάζεται. ὡς ἔξωθεν ἐπεισιοῦσα καὶ γινομένη ἐπάκτιος. προθέ-
μενος τοίνυν ὁρίσασθαι τὴν φρόνησιν, φησὶν ὅτι δεῖ ἄρξασθαι τῆς περὶ
αὐτῆς θεωρίας ἀπὸ τῶν ἐν οἷς θεωρεῖται ὑπάρχουσα. ἤγουν ἀπὸ τῶν ὑπο-
κειμένων ἐν οἷς ὡς ἕξις ἐστίν· οὗτοι δ' εἰσὶν οἱ φρόνιμοι. εὐδηλότεροι 10
γὰρ πρὸς ἡμᾶς καὶ σαφέστεροι τῶν ἕξεων εἰσὶν οἱ τὰς ἕξεις ἔχοντες. καὶ
λαμβάνει τὴν κοινὴν περὶ αὐτῶν δόξαν ὡς ὁμολογουμένην ἀρχήν. δοκεῖ
γὰρ φρονίμου ἴδιον ἀνθρώπου τὸ δύνασθαι καλῶς βουλεύσασθαι περὶ τὸ
αὐτῷ ἀγαθὰ καὶ συμφέροντα. ἐπεὶ δὲ πολλὰ τοιαῦτά ἐστι καὶ ἐνδέχεται
εἶναί τινα κατορθωτικὰ περὶ ἕν τι τῶν ἀγαθῶν καὶ συμφερόντων αὐτῷ, ἐν- 15
δέχεται δὲ καὶ περὶ πλείω καὶ περὶ πάντα, διὰ τοῦτό φησιν οὐ κατὰ
μέρος, οἷον πρὸς ὑγείαν ἢ πρὸς ἰσχύν (ἀλλὰ πρὸς τὸ εὖ ζῆν ὅλως. οὐ 15

2 τίνας B et Aristoteles: τίνας δή a φρονίμους B: τοὺς φρονίμους a et Aristoteles δὴ B et Arist.: δὲ a φρονίμου B et Aristoteles: φρονίμους a 3 βουλεύεσθαι B: βουλεύσασθαι a et Aristoteles 4 οἷον ποῖα B et Aristoteles: οἷον οὐ ποῖα a 5 ζῆν ὅλως B et Aristot. codd. LbMb: ζῆν ὅλον a et Aristot. cod. Ob: ζῆν Aristot. vulg 36 ἀλλὰ πρὸς—φρόνιμον [illegible]μεν (p. 303,0) a: om. B ὅλον scripsi: ὅλως a

γὰρ εἴ τις εἰδὼς τὰ πρὸς ὑγείαν αὐτῷ σώματος ἢ τὰ πρὸς ἰσ
τούτων ὀρθῶς βουλεύοιτο, ἁπλῶς ἂν αὐτὸν εὔβουλον καὶ φρόνι
μεν), ἀλλὰ πρὸς πάντα τὰ εἰς ὅλον τὸ ζῆν αὐτῷ συντελοῦντα, εἰ
οὐκ ταῦτα ὄντα σωματικὰ ὄντα ἔξωθεν. εἰ δὲ καὶ ἀντὶ τοῦ
ὅλως τις λήψεται, ὡς ἔν τισι τῶν ἀντιγράφων γέγραπται, ἀλλ'
αὐτὴν ἔννοιαν καὶ λέξις ἀμφότερα φέρουσιν. εἰ καὶ διαφέρειν ἴσω
τὸ μὲν γὰρ ὅλον ἔμφασιν ἔχει ὡς ὁλότητά τινα ποιοῦν τὴν εὐ
μερῆ οὔσης τῆς καθ' ἕκαστα, ἃ ἐν ταῖς ἠθικαῖς θεωρεῖται ἐνερ
πράξεσιν, ὅπου ἐστὶ τὰ κατὰ τὰς ἀρετὰς καὶ ἐν ταῖς σωματι
στασι τ καὶ ἐν τοῖς ἐπιτηδεύουσιν ἔξωθεν, ὅσα τούτων ἐφ' ἡμ
ἐνδεχόμενα, ὧν ἔστιν ἕκαστον καὶ φυλάξεσθαι καὶ αἱρήσεσθαι· τὸ
τὸ ἁπλῶς καὶ καθόλου δηλοῖ· ὡς δεινὸν εἶναι δοκεῖν τοὺς ἀπ
μον, οὐ τὸν περί τι εὔβουλον ἀλλὰ τὸν ἁπλῶς καὶ περὶ πάν
μον· ὡς εἶναι τὸ σχῆμα τῆς ἐννοίας διάφορον, τὴν δὲ δύ
αὐτήν.

p. 1140a28 Σημεῖον δ' ὅτι καὶ τοὺς περί τι φρονίμους
ὅταν πρὸς τέλος τι σπουδαῖον εὖ λογίσωνται, ὧν μὴ
γνη. ὥστε καὶ ὅλως ἂν εἴη φρόνιμος ὁ βουλευτι

Εἰ καὶ μὴ ἁπλῶς, φησί, φρόνιμος ὁ περί τι καλῶς βο
ἀλλ' ὁ ἁπλῶς περὶ παντα. εἰ ὧν τὸ εὖ ζῆν ἀνθρώπῳ συνίσταται
ὧν καὶ πολυωρὲς καὶ ποικιλον, ἀλλ οὐν ὁ ἐν πᾶσιν εὐβουλος
ἔσται γνώρισμα λαβεῖν ἀπὸ τῶν εὖ βουλευομένων καθ' ἕκαστα.
γὰρ καθ' ἕκαστον λέγομεν τοὺς πρὸς τέλος τι ἀγαθὸν εὖ λογιζομέ
καθόλου εἴη ἂν φρόνιμος ὁ βουλευτικός. ὡς γὰρ περὶ ἕκαστον
λέγεται ὁ τέλος ἀγαθὸν προτιθέμενος καὶ εὖ πρὸς τὸ ἐπιτυγεῖν
λευόμενος, καὶ ἁπλῶς ἂν εἴη φρόνιμος ὁ καθόλου τέλος ἀγαθ
μενον καὶ περὶ τὰς ἐπιτυχίας αὐτοῦ καλῶς τὰς βουλὰς καὶ
ποιούμενος. ὡς γὰρ ἐπίπαν τὰ καθ' ἕκαστα πρὸς ἡμᾶς τῶν κα
γνωριμώτερα. διὰ τοῦτο καὶ ἐπαγωγικῶς ἐκ τῶν καθ' ἕκαστα τ
πιστοῦμεν. τὸ δὲ ὧν μὴ ἔστι τέχνη ἐφήμερον. ἐπεὶ ὅτι καὶ
γητῶν εὖ βουλεύεσθαι καὶ τοὺς μὴ τὰ τοιαυτα προτιθεμένο
δὲ τῇ τέχνῃ καὶ οὐ τῇ φρονησει ἐφήμερος. δεδεικται δὲ
ναι ἀλλήλων τέχνην καὶ φρόνησιν. εἰ δὲ καὶ ἐξ ἐνδόξων πο
συστάσεις τῶν λεγομένων, οὐ χρὴ θορυβεῖν. εἰπομεν γὰρ ἐξ
ἐνδεχόμενα τὰ προκείμενα καὶ οὐ χρὴ περὶ τοιούτων τὸ ἐξ
δείκνυσθαι ἀπαιτεῖν. βουλευτικὸν δὲ ωνομασε τον ἐπιτηρέων
λευσασθαι· οὗτος δέ ἐστιν ὁ εὔβουλος.

... B: ον a 6 ἔννοιαν a: ἄνοιαν B 10 ἐπισυμβαίνουσιν B
... B: ἐνδεχομένων a φυλάξεσθαι scripsi: φυλάξασθαι Ba

p. 1140a 31 Βουλεύεται δ' οὐθεὶς περὶ τῶν ἀδυνάτων ἄλλως ἔχειν, 91v
οὐδὲ τῶν μὴ ἐνδεχομένων αὐτῷ πρᾶξαι.

Πρὸς τὴν ἀπόδοσιν ἧδη τοῦ ὁρισμοῦ τῆς φρονήσεως ἑτοιμάζεται ὡς οὕτω συσταίη, ὡς διαστέλλεσθαι μὲν ἀπ' ἀμφοῖν ἐπιστήμης τε καὶ τέχνης, περὶ ὧν ἧδη τὸν λόγον πεποίηται, ἀντιστρέφειν δὲ πρὸς αὐτόν. τέως δ' οὖν τὰ ἐνταῦθα λεγόμενα τῆς ἐπιστήμης διορίζει τὴν φρόνησιν. ἐπεὶ γὰρ βουλευτικὴ ἕξις ἡ φρόνησις, οὐδεὶς δὲ περὶ τῶν ἀδυνάτων ἄλλως ἔχειν βουλεύεται, ἤτοι τῶν ἀναγκαίων (τὰ γὰρ ἀναγκαῖά ἐστιν ἅπερ ἄλλως ἔχειν ἀδύνατον), ἀλλ' οὐδὲ περὶ τῶν μὴ ἐνδεχομένων αὐτῷ πρᾶξαι ἃ ἔστι τὰ ἀδύνατα ἢ ἁπλῶς ἢ τῷδέ τινι· ἁπλῶς μὲν ὡς τὸ ἐν μιᾷ ῥοπῇ τὸν ἐν Θράκῃ ὄντα εἰς Αἴγυπτον ἀφικέσθαι, τῷδέ τινι τὸ πένητα ὄντα καὶ ξένον καὶ πᾶσιν ἄγνωστον κατάρξαι μεγίστης πόλεως ἐν ἡ τοιοῦτος περιέχεται. εἰ οὖν βουλευτικὴ ἡ φρόνησις, οὐδεὶς δὲ περὶ τῶν ἀναγκαίων ἢ ἀδυνάτων βουλεύεται, ὁ ἐν ἕξει ἄρα φρονήσεως οὔτε τὰ ἀναγκαῖα σχήματα οὔτε τὰ ἀδύνατα τῇ ἕξει αὐτοῦ ὑποκείμενα. οὕτως εἰπὼν περὶ τῆς φρονήσεως καὶ τῆς κατ' αὐτὴν ἐνεργείας, τὰ ἀναγκαῖα καὶ τὰ ἀδύνατα ἐξωθούμενος, ἐπάγει δεικνύων ἑτέραν εἶναι κατὰ τὸν λόγον τῆς ἐπιστήμης τὴν φρόνησιν καὶ φησίν

p. 1140a 33 Ὥστε εἴπερ ἐπιστήμη μὲν μετὰ ἀποδείξεως, ὧν δ' 92r
αἱ ἀρχαὶ ἐνδέχονται ἄλλως ἔχειν, τούτων μὴ ἔστιν ἀπόδειξις (πάντα γὰρ ἐνδέχεται καὶ ἄλλως ἔχειν καὶ οὐκ ἔστι βουλεύσασθαι περὶ τῶν ἐξ ἀνάγκης ὄντων), οὐκ ἂν εἴη ἡ φρόνησις ἐπιστήμη οὐδὲ τέχνη.

Ἐξ ὑποθέσεως μὲν τὴν πρὸς ἀλλήλων διαφορὰν δείκνυσιν ἐπιστήμης καὶ φρονήσεως. τρία δέ ἐστι συνημμένα τὰ ἐν τῷ συλλογισμῷ παραλαμβανόμενα· ἓν μέν, ὅτι μετὰ ἀποδείξεως ἡ ἐπιστήμη, ἕτερον δέ, ὅτι ὧν αἱ ἀρχαὶ ἐνδέχονται ἄλλως ἔχειν τούτων οὐκ ἔστιν ἀπόδειξις, καὶ τρίτον ὅτι οὐκ ἔστι βουλεύεσθαι περὶ τῶν ἐξ ἀνάγκης. ἐπεὶ δὲ τὰ μὲν δύο τούτων ἀνωτέρω δέδεικται, τό τε πρῶτον καὶ τὸ τρίτον, ἐπὶ τούτων οὔτε προσλήψεως ἐδέησεν οὔτε ἄλλου λόγου τινὸς εἰς κατασκευήν, κατεσκεύασε δὲ μόνον τὸ δεύτερον γοργῶς ἐπαγαγὼν τὸ πάντα γὰρ ἐνδέχεται καὶ ἄλλως ἔχειν. ἔοικε δὲ ὡς ἐπάγειν τοῦτο τῷ λόγῳ ἑπόμενον τῷ ἀντικειμένῳ πρὸς τὸ δεύτερον συνημμένον· τὸ γὰρ συνημμένον οὕτως εἶχεν. ὧν δὲ αἱ ἀρχαὶ ἐνδέχονται ἄλλως ἔχειν, τούτων μὴ ἔστιν ἀπόδειξις. τοιοῦτόν ἐστιν ὧν προβλημάτων αἱ πρότασεις ἐνδεχόμεναί εἰσι, τούτων ἀπόδειξις οὐκ ἔστι. πασῶν γὰρ ἀποδείξεων αἱ πρότασεις ἀναγκαῖαι. τὸ δὲ τούτῳ ἀντικείμενον, ὅτι ὧν αἱ ἀρχαὶ ἐνδεχόμεναι, τούτων ἔστιν ἀπόδειξις. ᾧ

9 μὴ B: om. a 12. 13 an περιέρχεται? 19 ὥστε a et Aristoteles: ὡς B 21. 22 βουλεύεσθαι B et Aristoteles: βουλεύεσθαι a 31 ἐνδέχεται a: ἐνδέξεται B

ὑπάρχει τὸ πάντα ἐνδέχεται καὶ ἄλλως ἔχειν. ὁ δύσεται ὃν ὑπάρχειν τοῖς ἐξ ἀνάγκης ἔχουσι τοῦτο ἐνδεχομένων εἶναι ὑπάρχειν. εἰ γὰρ ἐξ ἐνδεχομένων ἀρχῶν γίνεται τὰς ἀποδείξεις, πάντα ἔσται ἐνδεχόμενα καὶ οὐδὲν ἀναγκαῖον. δύναται δὲ καὶ ἄλλως νοεῖσθαι τὸ πάντα ἐνδέχεται καὶ ἄλλως ἔχειν, ὥσπερ τῶν συμπερασμάτων λεγομένων ἐξ ἐνδεχομένων συναγομένων ἀρχῶν, ὡς τοιαύτην ἔχειν ἔννοιαν τοῦ λεγομένου· ὅτι διὰ τοῦτο οὐκ ἔστιν ἀποδείξις, ὧν αἱ ἀρχαὶ ἐνδέχονται καὶ ἄλλως ἔχειν. διότι πάντα τὰ ἐξ ἐνδεχομένων ἀρχῶν συναγόμενα συμπεράσματα ἐνδέχεται καὶ ἄλλως ἔχειν. τοῦτο δὲ οὐκ ἔστιν ἀπόδειξις· τὰ γὰρ ἀποδεικτικῶς συμπεραινόμενα ἄλλως ἔχειν οὐκ ἐνδέχεται.

p. 1140b 2 Ἐπιστήμη μέν, ὅτι ἐνδέχεται τὸ πρακτὸν ἄλλως ἔχειν. τέχνη δ' ὅτι ἄλλο τὸ γένος πράξεως καὶ ποιήσεως ἐστιν. ὅτι δὲ οὐκ ἔστιν ἕξις μετὰ λόγου πρακτική, ἐκ τοῦ ὁμοίου δῆλον. οὐδεμία γὰρ ἕξις ἐστὶν ἡ αὐτὴ ἕξις εἶναι ἀληθὴς μετὰ λόγου πρακτικὴ περὶ τὰ ἀνθρώπῳ ἀγαθὰ καὶ κακά.

Διὰ μὲν τῶν εἰρημένων τῆς ἐπιστήμης διεῖλε τὴν φρόνησιν, καὶ τῆς τέχνης, εἰπὼν τὴν ἐπιστήμην ἐξ ἀνάγκης τε συλλογίζεσθαι καὶ συμπεραίνειν ἀναγκαῖα, τὴν δὲ φρόνησιν ἐξ ἐνδεχομένων καὶ ἐνδεχομένως ἔχειν· καντεῦθεν αὖθις ὅτι ἡ μὲν ἐπιστήμη οὐκ ἔστι βουλευτική· περὶ γὰρ τὰ ἀναγκαίως εἶναι ἢ μὴ εἶναι οὐδεὶς βουλεύεται. περὶ τούτου δὲ ἡ βουλευτική· ἡ δὲ φρονησις βουλευτικὴ καὶ οὐκ ἔστιν ἐπιστήμη. ὅπου δὲ συμπλεκομένου καὶ τὴν τέχνην σὺν τῇ ἐπιστήμῃ διίστησι τῆς φρονήσεως. ἐπειδὴ τοῦτον προστίθησιν. ἀποδοὺς τὰς αἰτίας περὶ ἑκατέρου, ὅ τε τῆς τέχνης καὶ τῆς ἐπιστήμης διίσταται. καὶ οὔτε ἐπιστήμη ἡ φρόνησις οὔτε τέχνη ἐστίν. ἐπιστήμη μὲν γὰρ οὐκ ἔστιν, ὅτι πρακτική ἐστι καὶ τὸ πρακτὸν ἐνδέχεται· πάν τε τὸ πρακτὸν ἐνδέχεται ἄλλως ἔχειν ἐπιστήμην οὐκ οὖσαν οὐκ ἄρα ἐπιστήμη ἡ φρονησις. τέχνη δ' οὐκ ἔστιν ἐπειδὴ τῷ ὄντι πρᾶξίς καὶ ποίησις, ὃ καὶ ἡδὴ προλαβὼν εἰρηκεν· οὕτως οὖν ἀπὸ τῶν τῆς φρονήσεως ὅρων συνιστῶν οὕτως ἐπαγόμενος δείκνυσιν ὅτι ἄλλο τὸ γένος πράξεως καὶ ποιήσεως ἐστιν· ἐπειδὴ τοῦτο δείκνυσι· δείκνυται ἄρα αὐτὴν εἶναι ἕξιν ἀληθῆ μετὰ λόγου πρακτικὴν περὶ τὰ ἀνθρώπῳ ἀγαθὰ καὶ κακά. τὸ μὲν οὖν ἀληθῶς μετὰ λόγου λαμβάνων τῆς ἐπιστήμης τε καὶ τέχνης καὶ τῆς φρονήσεως· ἐν γὰρ αἱ ἐνταῦθα ἀπαριθμοῦμεναι ἕξεις εἰσὶν ἀληθῶς μετὰ λόγου· τὸ δὲ πρακτικὴν ὡς μὲν πρὸς τὰς εἰρημένας ἰδιον τῆς φρονήσεως, κοινὸν δὲ πρὸς ταῖς πρακτικαῖς τῶν τεχνῶν. τὸ δὲ περὶ τὰ ἀνθρώπῳ ἀγαθὰ καὶ κακά· τοῦτο ὡς ἴδιον τίθησι τῆς φρονήσεως) καὶ ἀπαρτίζει τὸν ὁρισμὸν τῆς φρονήσεως αὐτὴν ἀντιστρέφοντα. περὶ γὰρ τὰ ἀνθρώπῳ ἀγαθὰ καὶ κακὰ ἡ φρόνησις καταγίνεται. ὡς τὰ μὲν αὐτῶν εὑρίσκειν ἵνα αἱρήσηται καὶ πῶς αἱρήσηται, ἐπιστήμη γοῦν οὐσα τὰ εὑρεθέντα, καὶ πῶς αἱρήσηται.

1 b . . . 11 . . . b . . Aristoteles . . . 15 . . .
1 f. v. 29): εἶναι ἕξιν Aristoteles 18 γὰρ τῶν a: τῶν γὰρ B
. . . 31 πᾶσαι—τῆς φρονήσεως (35) a: om. B

τάσει ἡ ἀποφυγὴ αὐτῷ περιγένηται. ἄμφω γὰρ ταῦτα φρονήσεως κατορ- 92r
θώματα, τό τε εὑρίσκειν τὰς τῶν ὑποκειμένων πραγμάτων ποιότητας καὶ
περὶ τῶν τρόπων βουλεύεσθαι, καθ' οὓς ἡ ἐπίτευξις καὶ ἡ ἀποφυγὴ αὐ-
τῶν περίεσται.

5 p. 1140b 6 Τῆς μὲν γὰρ ποιήσεως ἕτερον τὸ τέλος, τῆς δὲ πρά- 45
ξεως οὐκ ἀεί. ἔστι γὰρ αὐτὴ ἡ εὐπραξία τέλος.

Ἐπειδὴ τὴν πρὸς τὴν τέχνην διαφορὰν τῆς φρονήσεως παραδίδους
τὰς ποιητικὰς παρέλαβε τέχνας, καὶ τούτῳ εἶπε διαφέρειν πρὸς ἀλλήλας
τέχνην καὶ φρόνησιν, τῷ τὴν τέχνην ποίημά τι ἔχειν ἐκ τῆς κατ' αὐτὴν
10 ἐνεργείας ἀποτελούμενον, ὡς οἰκοδομικὴν μὲν οἶκον, ἀνδριαντοποιητικὴν
δὲ ἀνδριάντα καὶ ἑκάστην τῶν ποιητικῶν τὰ ἑαυτῆς, φρόνησιν δὲ τοιοῦτον
οὐδέν, εἰσὶ δὲ καὶ τέχναι πρακτικαί τινες ἕτεραι παρὰ τὰς ποιητικάς, ὧν 50
τὰ τέλη οὐ ποιήματα ἀλλά τινα ἕτερα ταῖς κατ' αὐτὰς ἐνεργείαις ἑπό-
μενα, ὡς τῇ μὲν τῆς στρατηγικῆς ἐνεργείᾳ ἕπεται νίκη, τῇ δὲ τῆς οἰκο-
15 νομικῆς ἡ χρηματιστικῆς πλοῦτος, καὶ ἄλλα τὰ τέλη ταῦτα παρὰ τὰς ἐν-
εργείας εἰσίν, εἰκὸς ἦν τὴν φρόνησιν μίαν δόξαι τῶν πρακτικῶν τεχνῶν.
διὰ τοῦτο ταῦτα προστίθησιν, ἵνα καὶ τῶν πρακτικῶν τεχνῶν δείξῃ ἑτέραν
οὖσαν τὴν φρόνησιν. πάσης γὰρ τέχνης ἕτερον παρὰ τὴν ἐνέργειαν τὸ
τέλος, εἴτε ποιητι[κῆς † ὅτι τὸ τέλος ἕτερον φανερόν· ποίημα γάρ ἐστιν, 92v
20 οἷον οἶκος ἢ ἀνδριάς ἤ τι ἕτερον. τῆς δὲ πρακτικῆς εἰ καὶ μὴ ποίημα
τὸ τέλος, ἀλλ' ἔστι τι ἕτερον τῇ ἐνεργείᾳ ἑπόμενον παρ' αὐτὴν τὴν ἐνέρ-
γειαν, ὡς ἡ νίκη τῇ τῆς στρατηγικῆς καὶ ⟨τῇ⟩ τῆς οἰκονομικῆς καὶ τῇ
τῆς χρηματιστικῆς ὁ πλοῦτος. διαφέρει οὖν καὶ τούτων καὶ τῶν πρακτι-
κῶν τεχνῶν ἡ φρόνησις, ὅτι καὶ αὕτη πρακτικὴ οὖσα ἕξις αὐτὸ ἔχει τέλος 5
25 τὸ πρᾶξαι καλῶς. εἰ δὲ καὶ κλέος πολλάκις καὶ ἔπαινοι ἕπονται τοῖς εὖ
πράττουσιν, ἀλλ' οὐ τέλη ταῦτα φρονήσεως. ἦν γὰρ ἂν ὁ φρόνιμος ἄρε-
σκος, οὐ τὸ ἀγαθὸν ἔχων τέλος τῆς αὐτοῦ ἕξεως, ὃ ἡ εὐπραξία ἐστίν, ἀλλὰ
τὸ ἀρέσκειν τοῖς ἐπαινέταις· οὐκ ἂν οὐδενὸς τούτου ἕνεκα τῷ ὄντι φρόνιμος
περφρόντικεν ἐν ταῖς πράξεσιν, ἀλλ' ὅπως τὸ εὖ κατορθώσῃ ἐν αὐταῖς.
30 διὰ τοῦτο εἶπεν, ὅτι τῆς μὲν ποιήσεως ἕτερον τὸ τέλος, τῆς δὲ 10
πράξεως οὐκ ἀεί. πᾶσα γὰρ ποίησις ἔχει ποίημα ἐξ ἀνάγκης ἀποτε-
λούμενον ἕτερον ὂν παρὰ τὴν ποίησιν, ἥ ἐστι τοῦ ποιητικοῦ τεχνίτου
ἐνέργεια. οὐχὶ δὲ καὶ πᾶσα πρᾶξις ἔχει τέλος παρὰ τὴν πρᾶξιν ἕτερον.
ἀλλ' αἱ μὲν ὡς τέχναι πρακτικαὶ ἔχουσι καὶ αὐταὶ τέλος τῶν πράξεων, ἡ
35 δὲ ὡς φρόνησις πρακτικὴ αὐτὴν τὴν εὐπραξίαν ἔχει τὸ τέλος καὶ οὐδὲν
ἕτερον παρ' αὐτήν. εἰ δὲ καὶ ταῖς διανοητικαῖς ἀρεταῖς συνταττομένην

1 περιγένηται a: παραγένηται B 6 ἀεί Ba et Arist. cod. M^b: ἂν εἴη Arist. vulg.
10 οἰκοδομικὴν a: οἰκοδομικὴ B ἀνδριαντοποιητικὴν a: ἀνδριαντοποιητικὴ B
11 ποιητικῶν B: πολιτικῶν a ἑαυτῆς B: ἑαυτοῦ a 19 post ποιητικῆς haec fere intercidisse putaveris εἴτε πρακτικῆς· καὶ τῆς μὲν ποιητικῆς τὸ τέλος B: τὸ τέλος τῆς φρονήσεως a 20 μὴ B: om. a 22 τῇ (alterum) a: om. B οἰκονομικῆς scripsi: οἰκοδομικῆς Ba 28 ἀρέσκειν B: ἀρέσαι a

τὴν φρόνησιν πρακτικὴν ὀνομάσαμεν· ἐνταῦθοῖ, οὐδὲν τῷ λόγῳ
ὑπεται. ἐπεὶ καὶ πρακτικὸς νοῦς ὀνομάζεται ὅτι περὶ πρακτὰ κατ
διανοητικὴ μέν ἐστιν, ὅτι δὲ διανοια ἐστι καὶ ἐκ διανοίας προέρχετ
κτικὴ δέ, ὅτι ἐν τοῖς πρακτικοῖς ἐνεργεῖ.

p. 1140 b 7 Διὸ τοῦτο Περικλέα καὶ τοὺς τοιούτους φρο
νίμους εἶναι, ὅτι τὰ αὑτοῖς ἀγαθὰ καὶ τὰ τοῖς ἀνθρώπ
νοντας θεωρεῖν εἶναι δὲ τοιούτους ἡγούμεθα τοὺς οἰκ
κοὺς καὶ πολιτικούς.

Ὑπὸν ἐν τῷ ὁρῳ τῆς φρονήσεως, ὅτι περὶ τὰ ἀνθρώπῳ ἀγ
καθὸ πρακτική ἐστιν ἡ φρόνησις, συνίστησι τοῦτο ἀπὸ τῆς κοιν
ουτον ετερον προς βρωσιν αυτη επιτηδειον. εν γαρ χειμωνι ζωα θ
η αρπαζειν τους ουκ εχουσι. εκεινοις αρκειται οις απειθετο. και
και μυρμηξ ωσαυτως· η μεν μελι τοις σιμβλοις εναποτιθεται, ο
πους εν ταις οικειαις συμφορει καταδυσεσιν εαυτω, και ουτως ε
τροφην προνοουμενος, οτε ουκ εστιν αυτω εξωθεν ευπορειν βρωσεω
ο αραχνης ιστον κατασκευαζει, ινα θηρευη ζωυφια προς βρωσιν αυ
βαλλομενα. το δε φαινεται ειπε και το δυναμιν, διοτι μη
ουτοις μητε λογος εστι μητε προνοια, αλλα φυσικαι τινες ιδιοτη
τινα λογου απηχηματα φυσει προσουσαι αυτοις.

p. 1141a28 Φανερον δ' εκ τουτου οτι ουκ αν ειη η πολιτικη και
φια η αυτη. ει γαρ την περι τα ωφελιμα αυτοις ερουσι σ
πολλαι εσονται σοφιαι· ου γαρ μια περι το απαντων ο
των ζωων αλλ' ετερα περι εκαστον, ει μη και ιατρικη μι
παντων των οντων.

Περι του αυτου και παλιν φησιν, ου μονον την φρονησιν
απο της σοφιας αλλα και αυτην απλως την πολιτικην. εστι μεν γ
νιμος και ο (πολιτης τα εαυτου ζητων ωφελιμα, ως ανθρωπος
φρονιμος και ο) πολιτικος, ητοι ο πολιτης προϊσταμενος και η νο
η εξεταζων και συνιστων τα κοινη τη πολει συμφεροντα και ωφελ
γαρ σοφιαν ερουσι την πολιτικην, οτι τα κοινη της πολεως θεωρ
λιμα. εσονται πολλαι σοφιαι. οτι και εκαστη φυσις των ζωων κ
εαυτης ιδιοτητα οικεια εχει ωφελιμα. διοτι και οικειων αγαθων
ρυσιν εκαστω, ως και ιατρικη αλλη και αλλη καθ' εκαστην φυσιν
και κρασιν ειναι των ζωων αλλην και αλλην και το κατα φυσιν
ιδει ετερον και ετερον. δοξειε δ' αν της αυτης ειναι δυναμεως
αυτου το παρον επιχειρημα, μονον δε διαφερειν κατα το κοινον κ
οτι εκει μεν μερικωτερον την φρονησιν ελαβεν, ενταυθα δε κοινοτ
πολιτικωτερον.

p. 1141ª33 Εἰ δ' ὅτι βέλτιστον ἄνθρωπος τῶν ἄλλων ζῴων, οὐ- 97v
δὲν διαφέρει· καὶ γὰρ ἀνθρώπου ἄλλα τινὰ θειότερα τὴν φύσιν, οἷον τὰ φανερώτατά γε ἐξ ὧν ὁ κόσμος συνέστηκεν.

Ἀντίθεσίν τινα φέρει πρὸς ἑαυτόν. ἐπεὶ γὰρ ἐν τοῖς προλαβοῦσιν ἐκ τοῦ ταὐτοῦ καὶ ἑτέρου τὴν διαφορὰν ἔδειξεν τῆς τοῦ φρονήσεως καὶ φρονήσεως τὴν μὲν σοφίαν λέγων παρὰ πᾶσιν εἶναι τὴν αὐτήν, τὴν δὲ τῶν ὠφελίμων καὶ συμφερόντων θεωρίαν, ἣ ἐστιν ἡ φρόνησις, οὐ τὴν αὐτὴν ἀλλὰ καθ' ἑκάστην φύσιν ἑτέραν καὶ ἑτέραν, ὡς καὶ τὴν ἰατρικήν, διὰ τοῦτο ἐπιφέρει τούτοις ἀντιθέμενος πρὸς ἐκεῖνα, εἶτα δὲ καὶ λύων τὴν ἀντίθεσιν. ἐκεῖ γὰρ τὴν τῆς φρονήσεως ἑτερότητα πρὸς ἑαυτὴν κατὰ τὰς διαφορὰς ἐδείκνυ τῶν ζῴων, ἄλλα καὶ ἄλλα λέγων τὰ ἑκάστη φύσει ὠφέλιμα. ὥστε καὶ διαφέρειν τὰς ἀντιποιουμένας αὐτῶν ἕξεις καθ' ἕκαστον εἶδος ζῴου, ὡς κατὰ τὸ διάφορον τῶν φύσεων καὶ τῶν ὠφελίμων διαφερόντων καὶ τῶν ἕξεων, οἵ τοῦτο μεταδιώκουσιν. ὑπερέχει τοίνυν, ὡς ἂν τις ἐροῖ, βέλτιστον εἶναι τῶν ἄλλων ζῴων τὸν ἄνθρωπον, κἀντεῦθεν εἶναι δῆλον, ὅτι κρεῖττον πάσης ἕξεως τῆς τὸ ἑτέρους ζῴους σκοπούσης ὠφέλιμον ἡ σκοποῦσα τὰ τοῖς ἀνθρώποις ὄντως φέροντα. εἰη ἂν οὖν καὶ σοφία ἡ φρόνησις, ὡς 98r σκοποῦσα τὰ πάντων κρείττω, ἃ εἰσι τὰ τῇ κρείττονι τῶν ἄλλων φύσει τῶν ἀνθρώπων ὠφέλιμα. λέγει τοίνυν, ὡς οὐδὲν διαφέρει τοῦτο, τουτέστιν οὐκ οἰκεῖόν ἐστι πρὸς τὸ δεῖξαι μὴ ἑτέρας οὔσας πρὸς ἀλλήλας σοφίαν καὶ φρόνησιν. εἰ γὰρ καὶ τῶν ἐν τῇ κοινῇ γνώσει ζῴων κρείττων ὁ ἄνθρωπος, ἀλλ' εἰσὶν ἄλλα ἐν τοῖς οὖσι τοῦ ἀνθρώπου πολὺ τὴν φύσιν θειότερα. καὶ οἱ μὲν περὶ Πλάτωνα ἤρωάς φασι καὶ δαίμονας καὶ ἑτέρας φύσεις καὶ αὐτὰ τὰ οὐράνια σώματα κρείττω εἶναι ἢ καθ' ἡμᾶς, οὗτος δὲ μόνα παραλαμβάνει πρὸς τοῦτο τὰ φανερώτατα, ἐξ ὧν ὁ κόσμος συνέστηκε. ταῦτα δέ ἐστι τὰ οὐράνια σώματα. διδάσει γὰρ Ἕλληνες τούτων ἑκάστῳ ψυχὴν καὶ λόγον καὶ νοῦν καὶ φρόνησιν, κἀντεῦθεν προσάπτουσιν αὐτοῖς καὶ γνῶσιν τοῦ ἑκάστῳ αὐτῶν ἀγαθοῦ καὶ ἔφεσιν αὐτοῦ καὶ πρόνοιαν καὶ σπουδὴν περὶ αὐτό, ὃ φρονήσεως ἴδιον, ὡς εἶναι καὶ ἄλλην παρὰ τὴν τῶν ἀνθρώπων τὴν τούτων φρόνησιν θειοτέραν καὶ κρείττονα. ἀλλ' οὐ παρὰ τοῦτο σοφίαν οὐδὲ αὐτήν, ὅτι ἡ σοφία ἐπιστήμη οὖσα, καὶ νοῦς τῶν τιμιωτάτων τῇ φύσει, ἡ αὐτή ἐστι παρὰ πᾶσιν, ἐν οἷς ἐστιν. εἰ γὰρ καὶ ἐξαλλάττεταί πως κατὰ τὸ ἐπιτείνεσθαι καὶ ἀνίεσθαι, ἀλλ' ἡ αὐτὴ τὴν φύσιν ἐστίν, ὡς τὸ λευκὸν ἀνιέμενον καὶ ἐπιτεινόμενον. ἡ δὲ φρόνησις ἄλλη καὶ ἄλλη ἐστὶ διὰ τὸ εἶναι ἄλλο καὶ ἄλλο τὸ ἑκάστῳ ἴδιον ἀγαθόν, ὃ θεωρεῖν ἐπαγγέλλεται· τοῦτο ἐπὶ τῆς σοφίας οὐκ ἔστιν ἰδεῖν. τὰ γὰρ τῇ φύσει τιμιώτατα. ἢ παρ' αὐτῇ πρὸς γνῶσιν ὑπόκειται. τὸ αὐτὸ παρὰ πᾶσιν ἐστιν. καὶ μᾶλλον καὶ ἧττον γινώσκεται κατὰ τὴν διαφορὰν τῶν ἐν τοῖς γινώσκου-

2 τινα B: πολὺ a et Aristoteles 3 τὰ φανερώτατα B et Arist. cod. Lb: φανερώτατα a et Arist. vulg. 35 τὸ ἑκάστῳ B: τῷ ἑκάστῳ a 37 αὐτῇ αὐτὰ B

σιν ἕξεων ἢ καὶ φύσεων. τὸ δ' εἶναι τὴν τῶν κυκλοφορικῶν σ
κρειττω φρόνησιν καὶ πρόνοιαν καὶ τὸ ἑκάστου ἐκείνων ἡγεμὸ
ἐν ἀνθρώποις ἐξετάζομεν ἐκ τῆς σωματικῆς οὐσίας ἐν ἄλλοις δεί
τῶν ἡμῖν σαφεστέρων τοὺς λόγους ποιούμενος. θειότατα μὲν λε
νων τὰ σώματα καὶ φθορᾶς ἀνώτερα καὶ γενέσεως, κἀντεῦθεν εἰ
ὅτι δεῖ ταῦτα καὶ ἔμψυχα εἶναι καὶ λογικῆς ψυχῆς καὶ νοερᾶς
καὶ φρονήσεως. καὶ ταῦτα κρείττω ἢ κατ' ἄνθρωπον, ὡς ἀτοπον
των τῶν γερόνων σώματα τὰ κρείττω ψυχῆς μὴ μετέχοντα.
χίρον σώματος ἐμψύχου τὸ ἄψυχον καὶ ἄλλα τινὰ πλείω τοῦτω
οἱ τὰ οὐράνια σώματα καὶ τὰς αὐτῶν δυνάμεις τῶν ἡμετέρων
χρειττονα. περὶ ὧν ἐπιζητοῦσι νῦν περιττόν.

p. 1141b2 Ἐκ δὴ τῶν εἰρημένων δῆλον, ὅτι ἡ σοφία ἐ
στήμη καὶ νοῦς τῶν τιμιωτάτων τῇ φύσει.

Πρότερον μὲν ἔδειξε τὸν ἐν ἡμῖν νοῦν ἕτερον τῆς φρον
τῆς ἐπιστήμης ἐκ τοῦ αὐτὸν μὲν εἶναι εἰδήμονα τῶν ἀρχῶν.
δὲ ἐξ ἐκείνων. εἶτα περὶ τῆς σοφίας λέγειν ἀρξάμενος ὅτι ἔσ
ἕτεραν μεν οὖσαν ἐπιστήμης καὶ φρονήσεως, ἅμα δὲ οὖσαν καὶ τ
ἐπισταμένην τὰ ὁτικινούμενα ἐξ αὐτῶν. νῦν δὲ ἀποδίδωσι καὶ τ
αὐτῆς. τούτων δὲ τῶν εἰρημένων αὐτῷ καὶ φανερῶν. ἅμα ἐπι
νων, ὅτι ἡ σοφία ἐπιστήμη ἐστὶ καὶ νοῦς τῶν τιμιωτάτων τῇ
μὲν τῶν ἀρχῶν οὖσα ἀληθευτικὴ νοῦς, ὡς δὲ τὰ ἐκ τῶν ἀρχῶ
νοῦσα ἐξ αὐτῶν τῶν ἀρχῶν ἐπιστήμη. ὑπεραίρων δὲ αὐτὴν τ
ἐπιστήμης, τῶν τιμιωτάτων εἶναι τῇ φύσει φησὶν ἐπιστήμην, ἡ
λέγων τιμιώτατα. ὡς πρὸς τὰ ἐξ αὐτῶν ἀποδεικνύμενα. ὡς αὖ
χούσας ἐκείνοις τοῦ εἶναι καὶ γινώσκεσθαι, ἢ τιμιώτατα λέγω
ὡς ἀσώματα ὄντα καὶ ἄϋλα καὶ καθ' ἑαυτὰ ὑφεστηκότα τ
χοντα. αὐτενάργειαν γὰρ ἐκεῖνα. ἅπερ εἰσὶν ἀεὶ ὄντα καὶ μηδε
οὐ εἰσὶ μεταβάλλοντα εἰς ἕτερον. ὃ ἐστιν ἰδεῖν ἐφ' ἑκάστῳ τῶν
τὰ γὰρ ἐν γενέσει καὶ φθορᾷ τὸ δυνάμει ἀεὶ συμπαρομαρτοῦν αὐ
τα οὐδεποτε ἱσταται εν τῷ αὐτῷ, ἀλλ ἀει τε ρεῖ και τελευτα
ἔστιν ὅτε ἐ[illegible] μεταβαλλοντων τῆς ὅλης. ἡ δύναμις ἐστι, μηδεπ
περ ἔχει στεγούσης. οὐ γὰρ ἂν ἐφύλαττε τὸ ἴδιον, εἰ ἐφ' ἑνός
το, ἀλλὰ διὰ παντὸς πρὸς ἕτερον τεινούσης τὴν ἔφεσιν, ὅτι κα
δύναμίς ἐστιν, ἀλλ' οὐκ ἐνέργεια. τὰ δὲ ταύτης ἀπηλλαγμένα α
ὄντα ἐνέργειαι οὐδέποτε μεθίστανται τοῦ εἶναι ὅ εἰσί. περὶ ὧν ἡ σοφ
βάνουσα νοῦς καὶ ἐπιστήμη λέγεται τῶν τιμιωτάτων τῇ φύ

[illegible] Arist. De caelo A 2 5 ἀνώτερα B: ἀνωτέρας a 9 ἀλλα τι
[illegible]

μὲν ὡς νοερῶς ἐνεργοῦσα καὶ τῶν νοητῶν, ὡς ἐφικτὸν ἀνθρώπῳ ποιου- 98r
μένη καταληψιν, ἐπιστήμη δὲ ὡς τὴν ἔμμεσον συναιροῦσα γνῶσιν καὶ προ- 15
βαλλομένη καὶ ταύτην, ὅτε δέει διὰ συλλογισμοῦ παριστᾶν τὰ γνωστά.

p. 1141b3 Διὸ Ἀναξαγόραν καὶ Θαλῆν καὶ τοὺς τοιούτους σο-
φοὺς μέν, φρονίμους δ' οὔ φασιν εἶναι, ὅταν ἴδωσιν ἀγνοοῦντας
τὰ συμφέροντα ἑαυτοῖς, καὶ περιττὰ μὲν καὶ θαυμαστὰ καὶ
χαλεπὰ καὶ δαιμόνια εἰδέναι αὐτούς φασιν, ἄχρηστα δὲ διότι
οὐ τὰ ἀνθρώπινα ἀγαθὰ ζητοῦσιν. ⟨ἡ δὲ φρόνησις περὶ τὰ ἀν- 50
θρώπινα⟩ καὶ περὶ ὧν ἔστι βουλεύσασθαι.

Δείκνυσι τὸ ῥηθέν, ὅτι ἑτέρα τῆς φρονήσεως ἡ σοφία, καὶ εἰσέτι διά
τινος ἑτέρας κοινῆς ὁμοιότητος περὶ δὲ ἄνδρας ὁμολογουμένους τοὺς 98
Ἀναξαγόραν τε καὶ Θαλῆν. ἴδοι γάρ αὐτὸν σοφὸν μὲν λέγοντες, φρόνιμον
δ' οὔ, διότι ἀγνοοῦσι τὰ συμφέροντα ἑαυτοῖς. περὶ γὰρ τὰ ὑπὲρ τὸν βίον
τῶν ἀνθρώπων καὶ τὴν κοινὴν αὐτῶν διαγωγὴν ἀπασχολήσαντες ἑαυτοὺς
τῶν κατὰ τὸν βίον συμφερόντων ὑπερεφρόνησαν. οὗτοι γάρ, φησίν, οὕτως
χαλεπὰ καὶ δαιμόνια καὶ περιττὰ καὶ θαυμαστὰ περιττὰ μέν, ὅτι ἔξω τῶν
συμβαλλομένων εἰσὶ πρὸς τὴν παροῦσαν ζωήν, θαυμαστὰ δέ, ὡς ἐπέκεινα
τῶν ἀνθρώποις γινωσκομένων καὶ ὡς ἐπ' ἔλαττον ἐν εἰδήσει τῇ φύσει
αὐτῶν ἐρχόμενα, χαλεπὰ δέ, ὅτι πόνου δέονται πλείστου πρὸς κατόρθωσιν,
δαιμόνια δέ, ὅτι ταῖς ψυχαῖς ἀλλοτριουμέναις ἀπὸ τοῦ σώματος κατὰ
σχέσιν, ᾧ φύσει συνδέδενται οὕτως ἐν γνώσει, πεφύκασι γίνεσθαι, ὅτι καὶ
δαιμονίαις ἐοίκασι φύσεσι γινόμεναι ὑπὲρ ἄνθρωπον. ταῦτα δέ εἰσι τὰ
φυσικὰ καὶ μαθηματικὰ καὶ ἔτι μᾶλλον τὰ θεολογικά. τοιαῦτα δέ εἰσι τὰ
πρὸς τῶν σοφῶν γινωσκόμενα, ἃ ἄχρηστά εἰσι τῷ ἀνθρωπίνῳ βίῳ. καὶ
οἱ ζητοῦντες αὐτὰ σοφοὶ οὐ τὰ ἀνθρώπινα ἀγαθὰ ζητοῦσιν, ἀλλὰ τὰ ὑπὲρ
ἄνθρωπον. τὸ δὲ τοιαῦτα ζητεῖν οὐκ ἔστι τῆς φρονήσεως, περὶ ἧς αὐτὸς
ἐνταῦθα τὸν λόγον πεποίηται. ἥδε γὰρ ἡ φρόνησις περὶ τὰ ἀνθρώπινα
ἀγαθὰ καταγίνεται, ἃ καὶ βουλεύσει ὑπόκειται, ἐνδεχόμενα ὄντα καὶ ἐπαμ- 15
φοτερίζοντα περὶ τὴν κατόρθωσιν. δεῖ δὲ μὴ λανθάνειν, ὅτι εὑρίσκομεν
τοὺς παλαιοὺς πολλάκις φρόνησιν καὶ τὴν γνῶσιν ἁπλῶς ὀνομάζοντας, καὶ
αὐτῶν τῶν τιμιωτάτων τῇ φύσει, ὅπου γε καὶ ἐπὶ θεοῦ ταύτην φέρουσιν.
ὡς δὲ καὶ ὁ Χαιρωνεὺς Πλούταρχος 'οὐ γὰρ ἀργυρίῳ,' φησί, 'καὶ χρυσίῳ
μακαρίων τὸ θεῖον οὐδὲ βρώσεσι καὶ ποτοῖς ἡδομένων, ἀλλ' ἐπιστήμῃ
καὶ φρονήσει. ταῦτα μὲν γὰρ ὁ θεὸς ὧν δέονται ἀνθρώποις δίδωσι, νοῦ
δὲ καὶ φρονήσεως οὐ μεταδίδωσιν οἰκεῖα κεκτημένος ταῦτα καὶ χρώμενος,' 20
καὶ οὐ δήπου ταῦτα λέγων οὕτωσί ὁ σοφὸς τὴν βουλευτικὴν ἕξιν περὶ τῶν

5 et 7 φασιν a et Aristoteles: φαμεν B 7 δὲ διότι B: δ' ὅτι a et Aristoteles 8. 9 ἡ δὲ φρόνησις—ἀνθρώπινα a: om. B 12 μὲν B: καὶ a 19 ἐρχόμενα B: ἐρχομένων a 32 δὲ del. Wyttenbachius [Πλούταρχος] de Iside et Osiride c. 1 p. 351D 34 ἀνθρώποις B: ἄνθρωποι a 34. 35 νοῦ δὲ a: νοῦ B νοῦ—μεταδίδωσιν om. Plut. 35 οὐ μεταδίδωσιν Ba: μεταδίδωσιν Wyttenbachius 36 οὕτωσι Wyttenbachius

ὠφελίμων ἀνθρώποις δηλοῖ, ἀλλὰ τὴν ἐνιαίαν γνῶσιν τῶν ὄντω
ἦν ἐν ἑαυτῷ τὸ πρῶτον αἴτιον παντα καὶ πρὸ τοῦ γενέσθαι προ

p. 1141b9 Τοῦ γὰρ φρονίμου μάλιστα τοῦτ' ἔργον εἶνα
τὸ εὖ βουλεύεσθαι, βουλεύεται δ' οὐδεὶς περὶ τῶν ὁ
5 ἄλλως ἔχειν, οὐδ' ὅσων μὴ τέλος τί ἐστι, καὶ τοῦτο
ἀγαθόν.

Περὶ τοῦ αὐτοῦ δείκνυσι, λέγω δὲ τοῦ μὴ εἶναι ταὐτ
καὶ φρόνησιν. καὶ πρότερον μὲν ἐκ τῶν ὑποκειμένων ἑκατέρῳ,
νίμῳ καὶ τῷ σοφῷ, ἔδειξε τὸ ζητούμενον. ἑτέρων γὰρ ὄντων
10 κειμένων, περὶ ἃ ἡ σοφία καὶ ἡ φρόνησις καταγίνεται, ἕτεραι ἐ
καὶ αἱ ἕξεις αἱ περὶ αὐτά. ὡς ἐπὶ γεωμετρίας ἔχει καὶ ἀριθμητι
γὰρ ἕτερον ἀριθμὸς καὶ ἕτερον μέγεθος, ἕτεραι δὲ ἀνάγκης καὶ
εἰσὶ ἀριθμητική τε καὶ γεωμετρική, ὅτι ἡ μὲν περὶ ἀριθμούς, ἡ
μενῶν καταγίνεται, διότι καὶ ἄλλως καὶ ἄλλως ἔχοντα εἰσὶ τὰ
15 τερα θεωρούμενα ὑποκείμενα. εἰ γὰρ καὶ περὶ τὸ αὐτὸ γένος
καταγινόμεναι ἕτεραί εἰσιν ἀλλήλων, ὅταν παρὰ μὲν τῆδε ἑτέρ
παρὰ δὲ τῆδε ἑτέρως λαμβάνηται, πολλῷ μᾶλλον ἔσονται ἕτε
καὶ ἁπλῶς ἡ τὰ ὑποκείμενα ἕτερα. τι δέ ἐστιν ὃ λέγει, δῆλ
ἀριθμησικὴ καὶ μουσικὴ καὶ γεωμετρικὴ καὶ ἀστρονομική.
20 κή τε γὰρ καὶ μουσικὴ περὶ τοὺς ἀριθμοὺς καταγίνεται, ἀλλ
καθ' αὑτοὺς θεωρουμένους, ἡ δὲ ὡς ἐν σχέσει λαμβανομένους.
γὰρ καὶ ἄρτιον, καὶ ἀρτιοπέρισσον καὶ περισσάρτιον καθ' αὑτό,
δὲ καὶ πρῶτον καὶ ἀσύνθετον καὶ δεύτερον καὶ σύνθετον, καὶ τὸ
δὲ τετράγωνος δὲ καὶ ὁμοίως καὶ διὰ πασῶν πρός τι. τὸ μὲν
25 τὰ ἐπίτριτον σχέσιν τοὺς ἀριθμοῦ, (τὸ δὲ κατὰ ἡμιόλιον, τὸ δὲ
πρὸς ἄλλο τι τοῦ αὐτοῦ οὖν ὄντος τοῦ ἀριθμοῦ) ἀμφοτέροις. ἕτεραι
εἰσὶν ἀριθμητική τε καὶ μουσικὴ διὰ μόνον τὸ καθ' αὑτὸ καὶ ἐ
οὕτω καὶ γεωμετρική τε καὶ ἀστρονομικὴ περὶ τὸ αὐτὸ μὲν γέν
ταν ἀμφοτέραι, ἀλλ' ἡ μὲν περὶ τὸ ἐν μονῇ καὶ στάσει, ἡ δ
30 ἐν κινήσει ἐστί· διὰ τοῦτο ἀλλήλων ἕτεραι. καὶ οὕτω μὲν ἀν
ἀνάγκην ἐποιήσατο τῆς σοφίας καὶ τῆς φρονήσεως. τοῦτο δὲ
χείρημα ἐξ ἀμφοτέρων ἐστί, τοῦ τε ὑποκειμένου καὶ τῆς ἐνερ
μὲν γὰρ βουλεύεσθαι ἐνέργεια τοῦ φρονίμου, τὸ δὲ ἐνδέχεσθαι ἀλ
καὶ μὴ ἐνδέχεσθαι ἐκ τῶν ὑποκειμένων ταῖς ἕξεσι λαμβάνεται.
35 οὕτω συλλογίσασθαι τὸ προκείμενον· τοῦ φρονίμου μάλιστα ἔρ
τὸ εὖ βουλεύεσθαι· ὁ σοφὸς ἢ σοφία ἐστὶν οὐ βουλεύεται·
ἀναγκαῖ οὐκ ἔστι φρόνιμος ἡ σοφία ἐστίν. ἡ ἀναπαλιν· ὁ φρο

1 ὠφελίμων—ἀνθρώποις] om. B 11 12 ἐστιν ἐν μέρ B. ἐστιν ἐν μέρ a
13 τῆ [illegible] 14 [illegible] 15 ἐστιν B 17 ἀναγκαίως a
25 τοῦ ἀριθμοῦ a: om. B 26 ἢ B: καθὸ μὲν a
B: ἀναγκαίως a φρόνιμος (secundo loco) a: φρεῖμος B

ἔστι σοφὸς ἢ φρόνιμός ἐστιν. ἔστι γὰρ ἑκάτερον ἐκ τῶν εἰλημμένων προ- 98v
τάσεων συναγαγεῖν ἐν δευτέρῳ σχήματι. ὅτι δὲ ὁ σοφὸς οὐ βουλεύεται,
οὕτω δείκνυσιν· ὁ σοφὸς περὶ τὰ ἀδύνατα ἄλλως ἔχειν καταγίνεται· περὶ
δὲ τῶν ἀδυνάτων ἄλλως ἔχειν οὐδεὶς βουλεύεται· ὁ σοφὸς ἄρα οὐ βουλεύεται.
τὸ δ' ὅσων μὴ τέλος | ἐστί, καὶ τοῦτο πρακτικὸν ἀγαθὸν ἑτέρου 99r
συλλογισμοῦ ἐστι πρότασις, καὶ δεῖ προστεθῆναι καὶ ἑτέραν πρότασιν, ἵνα
καὶ τοῦτο συλλογισμὸς γένηται. καὶ ἔστιν οὕτως εἰπεῖν. ⟨περὶ ὅσα ὁ σο-
φὸς καταγίνεται, τούτων οὐκ ἔστι τέλος πρακτὸν ἀγαθόν· περὶ ὅτου ὁ φρό-
νιμος καταγίνεται, τούτων ἑκάστῳ ἔστι τέλος πρακτὸν ἀγαθόν·⟩ ὁ σοφὸς
ἄρα οὐκ ἔστι φρόνιμος, ὅῆλον δὲ ὅτι ἡ σοφὸς ἐστιν. ἐνδέχεται γὰρ τὸν
αὐτὸν ἀμφοτέρας ἔχειν τὰς ἕξεις. καὶ εἶναι σοφόν τε καὶ φρόνιμον. ἀλλὰ
δηλονότι κατὰ ἄλλην καὶ ἄλλην ἕξιν. οὐ γὰρ μία ἔσται διὰ τοῦτο, ὅτι
ἐν τῷ αὐτῷ καὶ ἐνὶ εὕρηνταί ποτε καὶ ἀμφότεραι. ὥσπερ οὐδ' εἰ γε-
ωμετρία καὶ ἀριθμητική ἐστιν ὁμοῦ, μίαν καὶ τὴν αὐτὴν ἀμφοτέρας ἐροῦ-
μεν τὰς ἐπιστήμας, ὅτι ἐν τῷ αὐτῷ εὕρηνται, εἰ μή που κατὰ συμβεβη-
κός. τὸ δὲ οὐδ' ὅσων μὴ τέλος τί ἐστι, καὶ τοῦτο πρακτὸν ἀγα-
θὸν τοῦτο δηλοῖ, ὅτι ἔστι μὲν καὶ τῷ σοφῷ τέλος τῆς θεωρίας καὶ τῆς
σπουδῆς, εἴ γε μὴ μάτην αὐτῷ ὁ πόνος ἅπας ταλαιθῇ ἐξεταζοντι, ἀλλὰ
τὸ τέλος τοῦ σοφοῦ ἡ θεωρία τῆς ἀληθείας ἐστὶ καὶ ἡ τοῦ ὄντος κατά-
ληψις. οὐχὶ δέ τι πρακτὸν ἀγαθόν. πρακτὸν γάρ ἐστιν ἀγαθὸν τὸ ὑπὸ πρά-
ξεως κατορθούμενον, θεωρία δὲ πράξεως ἑτέρα.

p. 1141b12 Ὁ δὲ ἁπλῶς εὔβουλος ὁ τοῦ ἀρίστου ἀνθρώπου τῶν πρακτῶν στοχαστικὸς κατὰ λογισμόν.

Περὶ φρονήσεως λέγων καὶ ὅτι φρονίμου ἴδιον τὸ βουλεύεσθαι, καὶ
τοῦτο εὖ, καὶ ὅτι περὶ τὰ ἐνδεχόμενα καὶ ἄλλως ἔχειν ἡ φρόνησις, κἀκ
τούτων τῆς σοφίας ἑτέρα, ὅτι ἐκείνη περὶ τὰ ἀναγκαῖα καὶ περὶ ὧν βου-
λεύεσθαι οὐκ ἐνδέχεται, ἀκολούθως ὁρίζεται καὶ τὸν ἁπλῶς εὔβουλον, τί
ἐστιν, ὅτι ὁ τοῦ ἀρίστου ἀνθρώπῳ τῶν πρακτικῶν στοχαστικὸς κατὰ τὸν
λογισμόν, τὸ μὲν στοχαστικὸς τάττων ὡς γένος, τὰ δὲ λοιπὰ ὡς διαφοράς.
καὶ αὐτίκα τὸ γένος διαστέλλει τὴν φρόνησιν ἀπό τε τοῦ νοῦ καὶ σοφίας
καὶ ἐπιστήμης. τὸ γὰρ στοχάζεσθαι μελετᾶν ἐστι καὶ σκοπεῖν καὶ λογί-
ζεσθαι, πῶς ἔσται τὸ προκείμενον κατορθούμενον, ὧν οὐδὲν ταῖς τρισὶν
ἐκείναις δυνάμεσιν ἔξεστιν. περὶ τὸ ἀναγκαῖον γὰρ ἐκεῖναι, περὶ τὰ ἐνδε-
χόμενα δὲ τὸ στοχάζεσθαι. ἄριστον δὲ ἀνθρώπῳ, ὡς διαφορὰ κείμενον
ἐν τῷ ὁρισμῷ, ἀπὸ τῶν κατὰ τέχνην ἀποτελουμένων διίστησι τὸ φρόνι-
μον καὶ τὴν φρόνησιν. ἀγαθὰ μὲν γὰρ καὶ τὰ τῶν ἀγαθῶν τεχνῶν ὑπάρ-
χει ἀποτελέσματα, ἀλλ' οὐδὲν ἐξ ἐκείνων ὑπάρχει ἀνθρώπῳ τὸ ἄριστον.

3 δείκνυσιν B: δείκνυται a 4 δὲ B: om. a 5 τέλος τι Arist. 7 περὶ ὅσα—πρακτὸν ἀγαθὸν (9) a: om. B 14 ἀμφοτέρας B: ἀμφοτέραις a 22 ἀνθρώπου Ba: ἀνθρώπῳ Aristoteles 23 κατὰ λογισμόν Ba: κατὰ τὸν λογισμόν Aristoteles

οἰκία γὰρ καὶ θρόνος καὶ τράπεζαι καὶ ἱμάτια καὶ τὰ τοιαῦτα ἀγ
ἀνθρώπῳ ὡς χρήσιμα καὶ ὠφέλιμα, οὐδὲν δὲ αὐτῶν ἀνθρώπῳ τ
ἀλλὰ τοῦτό ἐστι τὸ ὑποτίθεσθαι τῷ λογισμῷ τὰ πάθη καὶ κύριον
δεσπότην τῆς ἀλόγου ποιήσασθαι. πρακτὰ δὲ λέγονται ἀγαθ
πρᾶξεως κατορθούμενα, οἷον τὸ ἐν πολέμῳ ἀνδρίσασθαι, τὸ ὑπὸ
πολεμούμενον ἐγκρατεύσασθαι καὶ ὅσα τοιαῦτα. ὧν πάντων ἀ
καὶ ἔσχατον ἡ ἀπάθεια καὶ τὸ ἔξω γενέσθαι τῆς σαρκός,
προαιρεσιν ἔτι τῇ φύσει δεσμούμενον. τὸ δὲ κατὰ τὸν λογισ
πται, ὅτι τοῦτο τὸ μέρος ἐστὶ τῆς ψυχῆς τὸ ἐν τοῖς τοιούτοις κ
ὁ καὶ οὗτος μετὰ τῶν ἄλλων ὁπτεύεται τὴν φρόνησιν ἀπὸ τῶν
τριῶν ἀληθευτικῶν ἕξεων, ὅτι ἐν ἐκείναις οὐχ ὁ πρακτικὸς νοῦ
λογισμός ἐστιν. ἐνεργῶν ἐστιν ἀλλ' ὁ θεωρητικός. ὁρθῶς οὖν ἃ
εὐβουλία μὲν ἕξις στοχαστικὴ κατὰ τὸν λογισμὸν τοῦ ἀρίστου
τῶν πρακτῶν, καὶ ἀνὴρ εὐβουλος, ᾧ ἡ τοιαύτη πρόσεστιν ἕξις.
τὸν ᾧ ἡ ἕξις πρόσεστιν ἀντὶ τῆς ἕξεως ὁρισάμενος οὕτως ἀπέδοτ
ὅτι ἡ εὐβουλία τῆς φρονήσεως ἐστι τὸ ἀκρότατον, οὕτως ὁ εὐβου
πᾶσι ⟨τῶν⟩ φρονίμων ἐστὶν ὁ ἀκρότατος.

p. 1141b14 Οὐδ' ἐστὶν ἡ φρόνησις τῶν καθόλου μόνο
δεῖ καὶ τὰ καθ' ἕκαστα γνωρίζειν· πρακτικὴ γάρ· ἡ δ
περὶ τὰ καθ' ἕκαστα.

Ἕτερα τοῦτο διαφορὰ τῆς σοφίας καὶ τῆς φρονήσεως. ἡ
περὶ τὸ καθόλου αἰεί, ἡ δὲ φρόνησις περὶ τὰ πρακτά κατ
ἔχει μὲν καθόλου κανόνας ἠθικοὺς καὶ πολιτικούς, καθ' οὓς ὁ
καὶ πολιτεύεσθαι. ἐπιταττει δὲ καὶ τὰ καθ' ἕκαστα περὶ ἃ καὶ τὰ
ἐνδείκνυται. πᾶσα γὰρ πρᾶξις ἐν τοῖς καθ' ἕκαστα. οὐ μόνον δὲ
κανόνων τὸ καθόλου καὶ μερικόν. ἐκεῖνο μὲν ὡς θεωρούμενον
μενον, τοῦτο δὲ ὡς ἐνεργούμενον καὶ πραττόμενον. ἀλλ' ἔστι
ἐπὶ τῶν πραγμάτων. τὸ γὰρ [εἶναι τὸ] μὴ στασιάζειν τοὺς ἀ
ἀγαθὸν καθόλου ἐστὶ καὶ ὁ τοῦτο δοξάζων καὶ λέγων καθόλου
ζει καὶ λέγει, τὸ δὲ μὴ στασιάζειν τούσδε πρὸς τούσδε, οἷον
ἐν Ἀθήνῃσι δήμους πρὸς ἀλλήλους εἴτε Ἀθηναίους πρὸς Λακεδ
καθ' ἕκαστα.

1 [illegible] B [illegible] 3 [illegible] B
[illegible] 4 [illegible] B 5 [illegible] B
[illegible] B

p. 1141ᵇ16 Διὸ καὶ ἔνιοι οὐκ εἰδότες ἐνίων εἰδότων πρακτικῶν 99
τέχνας, καὶ ἐν τοῖς ἄλλοις οἱ ἔμπειροι τῶν λόγων εἰδέναι, ὅτι τὰ
κοῦφα εὔπεπτα κρέα καὶ ὑγιεινά, ποῖα δὲ κοῦφα ἀγνοεῖ, οὐ
ποιήσει ὑγίειαν, ἀλλ' ὁ εἰδὼς ὅτι τὰ ὀρνίθεια κοῦφα καὶ ὑγι-
εινά ποιήσει ὑγίειαν. ἢ δὲ φρόνησις πρακτική· ὥστε ὁ ἄνθρω-
πος ἔχειν ἢ ταύτην μᾶλλον.

Κατασκευάζει καὶ διὰ τούτων τὸ εἰρημένον, λέγων δὴ τὸ τὴν φρό- 99ᵛ
νησιν περὶ τὰ καθ' ἕκαστα μάλιστα καταγίνεσθαι. ἐκ δὲ τοῦ αἰτιατοῦ κα-
τασκευάζει τὸ αἴτιον. διότι γὰρ περὶ τὰ καθ' ἕκαστα μᾶλλον ἡ φρόνησις,
διὰ τοῦτο καὶ τινες οὐκ εἰδότες τὰ καθόλου, ὃ τέχνης ἐπικρατέστερον. ἐνίων
εἰδότων τὰ καθόλου, εὐδοκιμώτεροί εἰσιν ἐν ταῖς πράξεσιν. οἱ γὰρ ἐμπει-
ρικοὶ ἀγνοοῦντες μὲν τὰ καθόλου, μετερχόμενοι δὲ τὰ καθ' ἕκαστα, πρακτι-
κώτεροί εἰσιν, ἤγουν ἁρμοδιώτεροι ἐν ταῖς πράξεσιν. εἰδότας δὲ εἶπε τοὺς
λογικοὺς καὶ τεχνίτας, διότι τὰς αἰτίας γινώσκουσι τῶν γινομένων, τῶν
ἐμπειρικῶν ἀγνοούντων αὐτάς. καλῶς δὲ εἴπομεν τὸ ἐκ τοῦ αἰτιατοῦ τὸ
αἴτιον ἐνταῦθα κατασκευάζεσθαι. τοῦ μὲν γάρ τινας τῶν μὴ εἰδότων, ἤγουν
τῶν ἐμπειρικῶν, ἐνίων εἰδότων, ἤγουν τοὺς καθόλου λόγους ἄνευ ἐμπειρίας
ἐχόντων, πρακτικωτέρους εἶναι, αἴτιον τὸ τὴν φρόνησιν περὶ τὰ καθ' ἕκαστα
γίνεσθαι. πιστοῦται δὲ ἐκ τοῦ πρώτου τὸ δεύτερον διὰ τὸ πρὸς ἡμᾶς
εἶναι τὸ αἰτιατὸν τοῦ αἰτίου σαφέστερον, ἐναργὲς ὂν ἐκ τῶν πραττομένων
καθ' ἕκαστα. τὸ δὲ καὶ ἐν τοῖς ἄλλοις οἱ ἔμπειροι τῶν μορφῶν καὶ
πίστιν προσήνεγκε, καθόλου τοῦτο πιστούμενος, ὅτι πανταχοῦ ἐν ταῖς πράξεσιν
ἀναγκαιοτέρα ἡ ἐμπειρία. καλὸν μὲν γὰρ ἄμφω ἔχειν τὸν πράττειν ἐθέ-
λοντα, τόν τε μετ' αἰτίας λόγον, ὃς καὶ καθόλου ἐστίν, καὶ τὴν πεῖραν
τῶν μερικῶν καὶ καθ' ἕκαστα, τῶν δὲ τούτων ἐχόντων θάτερον ὁ ἐμπειρικὸς
αἱρετώτερος. εἶτα φέρει καὶ παράδειγμα, οὐκέτι πολιτικὸν ἀλλ' ἰατρικόν, 15
δεικνύων οὐ μόνον ἐπὶ φρονήσεως, ἀρετῆς οὔσης πολιτικῆς, ἀλλὰ καὶ ἐπὶ
πάσης πράξεως ἀληθὲς τὸ λεγόμενον. λέγων ὅτι εἴ τις εἰδείη ἁπλῶς ὅτι τὰ
κοῦφα κρέα εὔπεπτα καὶ ὑγιεινά, ποῖα δὲ κοῦφα ἀγνοεῖ, οὐ ποιήσει
ὑγίειαν, ὅτι ἁπλῶς μὲν οὐδὲν ὑγιεινὸν εἶναι τὸ κοῦφα κρέα, ἀγνοῶν δὲ ποῖα τὰ
κοῦφα, ἀγνοεῖ ποίοις, ὡς κούφοις, πρὸς ὑγίειαν χρήσεται. καὶ ἢ οὐδ' ὅλως
χρήσεται κρέασι διὰ τὴν ἄγνοιαν, φόβῳ τοῦ μὴ χρήσασθαι οἷς οὐ δεῖ, ἢ 20
ἴσως, ὡς κοῦφα τὰ βαρέα παραλήψεται, ἀλλὰ τὸ μεριαίτερον ἐξ ἐμπειρίας
εἰδώς, οἷον τὰ ὀρνίθεια κοῦφα καὶ ὑγιεινὰ ποιήσει ὑγείαν. μέχρι τούτου
ἡ μείζων πρότασις συστᾶσα ἐκ τῶν καθ' ἕκαστα, ὅτι ταῖς πράξεσι τοῦ κα-
θόλου ἀναγκαιότερον τὸ καθ' ἕκαστον· εἶτα ἐπιφέρει τὴν ἐλάττονα, τὸ τὴν
φρόνησιν πρακτικὴν τε εἶναι καὶ ἐν ταῖς πράξεσι φαίνεσθαι· εἶτα ἐπαγει
συμπέρασμα, ὑβρίσαι τὸν λόγον φειδόμενος, καὶ ἄμφω λέγων ἔχειν τὸν

1 ἐνίων Ba: ἑτέρων Aristoteles 3 ἀγνοεῖ Ba et Arist. codd. LᵇMᵇOᵇ: ἀγνοεῖ Arist. vulg. 5 δεῖ a: δεῖν B 13 εἰδότας B: εἰδότων a 22 προσήνεγκε a: προήνεγκε B 30 οἶδεν B: εἶδεν a 36 ἐλάττονα B: ἐλάττω a

φρόνιμον τὸ καθόλου καὶ τὸ καθ' ἕκαστον, ἤγουν λόγον καὶ ἐμ
ταύτην μᾶλλον, τὴν ἐμπειρίαν, ὡς τῶν καθ' ἕκαστα οὖσαν γν
τοῖς πράξεσιν ἐφαρμόζουσαν, ὡς οὖσαις καθ' ἕκαστα. οὐδὲν
ἴσως τι καὶ κατὰ σχῆμα καὶ λογον τὴν συλλογιστικὴν πλοκήν
ἡ φρόνησις πρακτικὴ καὶ ἐν ταῖς πράξεσι φαίνεται· πᾶσα πρ
μερικοῖς καὶ καθ' ἕκαστα θεωρεῖται ἐνεργοῦσα· ἡ φρόνησις ἄρα
κοῖς καὶ καθ' ἕκαστα θεωρεῖται ἐνεργοῦσα. τούτου δειχθέντος
ἔστι δὲ ὡς πρόταξιν ὁμολογουμένην τὸ συνημμένον ἤδη λαμβάνοντα
νησις ἐν τοῖς μερικοῖς καὶ καθ' ἕκαστα θεωρεῖται ἐνεργοῦσα. ἐ
ἐνεργοῦσα ἐν τοῖς μερικοῖς καὶ καθ' ἕκαστα χρησιμωτέρα τοῦ λ
πειρια, τῇ φρονήσει ἄρα χρησιμωτέρα τοῦ λόγου ἡ ἐμπειρία
ἄμφω οἱ συλλογισμοὶ διὰ τοῦ τρίτου τρόπου τοῦ πρώτου σχήμ
νόμενοι.

p. 1141b22 Εἴη δ' ἂν τις καὶ ἐνταῦθα ἀρχιτεκτονική.

Ἐπεὶ τὴν φρόνησιν εἶπε λόγον καταγινόμενον περὶ τὰ καθ
ταῖς πράξεσι τὴν ἐνέργειαν ἐνδεικνύμενον, ὁ δὲ λόγος ἐξήρτητα
ἕκαστα. διὰ τοῦτό φησιν εἶναι καὶ ἐνταῦθα, ἤτοι ἐν ταῖς πράξεσ
τονικήν, δεικνύων ἐκ τούτου τίνα λόγον ἔχει ὁ λόγος καὶ
πρὸς τὴν πεῖραν καὶ τὰ καθ' ἕκαστα, λόγον ἀρχιτεκτονικόν. τὸ
λου καὶ ὁ λόγος πεῖραν μὴ ἔχων συνοῦσαν αὐτῷ ἀρχιτεκτονικ
μόνον καὶ διορίσεται, οὐ μέντοι γε καὶ πράξει διὰ τὴν ἀπειρ
σης δὲ αὐτῷ καὶ τῆς πείρας ἄμφω δράσει καὶ διορίσεται καὶ
ἐσται ἅμα ἀρχιτεκτονικὸς τε καὶ πρακτικός. ἔστι δὲ καὶ ἡ πο
ἡ φρόνησις ἡ αὐτὴ μὲν ἑξίς, τὸ μέντοι εἶναι οὐ τὸ α
ἡ αὐτὴ μέν ἐστιν ἡ πολιτικὴ καὶ ἡ φρόνησις κατὰ τὸ ἀμφ
ργον, τὸ εὐ βουλεύεσθαι, καὶ τοῦ ἀρίστου ἀνθρώπῳ τῶν πρακ
σθαι κατὰ τὸν λογισμόν. διότι δὲ ἡ μὲν φρόνησις τοῦ καθ'
νημου ἐστι καὶ τοῦ στοχαζομένου τοῦ ἑαυτῷ ἀρίστου τῶν πρ
πολιτικὴ τῶν κοινῇ τῇ πολιτείᾳ ἀρίστων στοχάζεται, διὰ τοῦτο
ἀνήκουσι τῷ λόγῳ. ἔστι γὰρ καὶ ἡ πολιτικὴ φρόνησις στοχα
τῶν συμφερόντων τῇ πόλει κοινῇ. ἡ δὲ μὴ πολιτικὴ φρόν
ληθὴς τῶν ἰδίως ἑνὶ ἀρίστων στοχάζεται. ὥστε αὕτη μὲν πολ
τις, ἐκείνη δὲ πολιτικοῦ. ἐπεὶ καὶ πολίτης μὲν ὁ εἷς τῶν
ὠφελιμων ἑαυτῷ στοχαζόμενος καὶ ἑαυτῷ μόνῳ τὰς πολιτικὰς
τορίοῦν φροντιὰ ποιούμενος, ἢ τῷ πείθεσθαι τοῖς ἐμφρονεσ
μαθεῖν αὐτὸν καὶ λόγους ἔχειν ὧν πράττει καὶ ἐνεργεῖ. ἀγόντ
κατ' ἄνθρωπον τελειότητα· πολιτικὸς δὲ ὁ ἔχων μὲν καὶ τὴν

1 τῶν B: τὰ a καθέκαστα a: καθέκαστον B 4 καὶ κατὰ B: κατὰ
ne ad αὐτὸ αὐταῖς (p. 1141b21) a 16 ἐξήρτηται a: ἐξήρται B
e B: δικτεκτονικὸς καὶ a 28 τοῦ ἑαυτῷ a: τῷ ἑαυτῷ B 29 α
[illegible]

ὅπως δεῖ πολιτεύεσθαι, φροντίζων δὲ καὶ κοινῶς πάσης τῆς πόλεως, ὡς 99v
ἂν ἐν πᾶσι τοῖς ἐν αὐτῇ κατορθοῖτο τὸ βέλτιον. οὕτω γὰρ καὶ ἐξ ἀρ-
χῆς ἡμᾶς ὁ Ἀριστοτέλης ἐδίδαξε. διὰ τοῦτό φησιν οὐ τὸ αὐτὸ τὸ εἶναι 100r
ἀμφοτέραις αὐταῖς. ὧν γὰρ ἕξεων τὰ ὑποκείμενα διαλλάττουσιν, ἐξ ἀνάγ-
5 κης καὶ αὐταὶ διαφέρουσιν.

p. 1141b24 Τῆς δὲ περὶ πόλιν ἡ μὲν ὡς ἀρχιτεκτονικὴ φρόνησις
νομοθετική, ἡ δὲ ὡς τὰ καθ' ἕκαστα τὸ κοινὸν ἔχει ὄνομα πο-
λιτική· αὕτη δὲ πρακτικὴ βουλευτική. τὸ γὰρ ψήφισμα πρακ-
τὸν ὡς τὸ ἔσχατον. 5

10 Διελὼν τὴν φρόνησιν εἰς εἰδικὴν καὶ κοινήν, καὶ τὴν μὲν εἰδικὴν ὀνο-
μάσας τῷ κοινῷ ὀνόματι, πολιτικὴν δὲ τὴν κοινὴν ὡς κοινῆ περὶ τῆς πο-
λιτείας στοχαζομένην, ὑποδιαιρεῖ ταύτην εἰς τὸ καθόλου καὶ τὸ καθ' ἕκαστον.
καὶ τὴν μὲν ὀνομάζει ἀρχιτεκτονικὴν καὶ νομοθετικήν, τῇ δὲ τὸ κοινὸν
ὄνομα τίθησι, πολιτικὴν καλῶν. ὥσπερ γὰρ ἀνωτέρω τὴν τὸν λόγον ἄνευ
15 τῆς πείρας ἔχουσαν φρόνησιν ἀρχιτεκτονικὴν ἔλεγεν ὡς τοῖς καθ' ἕκαστα 10
πράττουσι διατάττουσαν, οὕτω κἀνταῦθα τὴν νομοθετικὴν καθόλου κανόνας
τιθεῖσαν, καθ' οὓς ὀφείλουσι πράττειν οἱ καθ' ἕκαστα τὰ πολιτικὰ μεταχειρι-
ζόμενοι, ἀρχιτεκτονικὴν ὀνομάζει ὡς ἐπιτάττουσαν μὲν τοῖς πράττουσιν.
αὐτὴν δὲ ἡ αὐτή ἐστι μὴ μεταχειριζομένην τὰς πράξεις. ἡ δὲ καθ' ἕκαστα.
20 φησί, τὸ κοινὸν ἔχει ὄνομα, καλουμένη πολιτική, ἥτις καὶ δικαστικὴ λέγεται.
διὰ τί δὲ τὸ κοινὸν αὐτῇ ἰδίως ὄνομα ἐπιτέθειται; διότι αὐτή ἐστιν ἡ 15
πολιτευομένη καὶ πράττουσα τὰ καθ' ἕκαστα, ὡς εἶναι τὴν μὲν νομοθετικὴν
πολιτικὴν ὀνομαζομένην, ὅτι αἰτία τῇ πολιτείᾳ ἐστὶ τῆς συστάσεως. κοι-
νοὺς γὰρ ἔχοντες νόμους καὶ τῇ τούτων κοινωνίᾳ ἀλλήλοις συνιόντες καὶ
25 συναγελαζόμενοι, οὕτω πολῖται καὶ πολιτικοὶ λέγονται. ἡ δὲ ἰδίως πολι-
τικὴ καὶ δικαστική, διότι τοιαύτη ἐστὶ κατ' ἐνέργειαν, κρεῖττον δὲ πολιτικὴν
ταύτην ἢ δικαστικὴν λέγεσθαι, διότι οὐ μόνον δίκας καὶ δικαστήρια καὶ 20
βουλὰς καὶ βουλευτήρια καὶ ἕτερα τοιαῦτα τῆς πολιτείας οἰκεῖα μεταχει-
ρίζεται. καὶ γὰρ ἀγορὰ καὶ δημοτελεῖς ἑορταί, χρησμοί τε καὶ θρησκεί-
30 γίαι καὶ ἕτερ' ἄττα οἰκεῖα εἰσι πολιτικῇ, ἔστι δὲ αὕτη καὶ πρακτικὴ βου-
λευτική, διότι βουλευομένη πράττειν τὰ καθ' ἕκαστα εἰς τοὺς κειμένους νό-
μους καὶ τὰ ἔθη ἀνάγουσα τὰ πραττόμενα. τὸ γὰρ ψήφισμα πρακτὸν
ὀρθῶς εἴρηται καὶ τοῦτο, ὅτι τὸ ψήφισμά ἐστιν, ὃ τελευταῖον ὁ κρίνας ἢ
βουλευσάμενος ἀπεφήνατο, τί δεῖ γενέσθαι ἐπὶ τῷ προτεθέντι ζητήματι, 25
35 οὐχ ὡς καθόλου φαινόμενον ἀλλ' ὡς ἔσχατον καὶ καθ' ἕκαστον. τὸ γὰρ
καθόλου πράξει οὐχ ὑποτίθεται.

8 πρακτικὴ βουλευτική Ba et Arist. codd. KbLb: πρακτικὴ καὶ βουλευτικὴ Arist. vulg.
10 εἰδικὴν a: ἰδικὴν B (priore loco) 14 ἀνωτέρω] p. 1141b22 20 κρεῖττον a: κρα-
τεῖ B 29 δημοτελεῖς B: δημοκρατεῖαι a 30 ἕτερ' ἄττα B: ἕτερα τὰ τοιαῦτα a
πολιτικῇ B: τῇ πολιτικῇ a 32 post πρακτὸν add. ὡς τὸ ἔσχατον a: om. B 36 ὑποτί-
θεται B: ὑποτέθεται a

p. 1141b28 Διὸ πολιτεύεσθαι τούτους μόνον λέγουσι· μό
πράττουσιν οὗτοι ὡς οἱ χειροτέχναι.

Ἐκ τούτου δῆλον, ὅτι καλῶς ἡμῖν εἴρηται ἰδίως πολιτικ
ἕκαστα τὰ πολιτικὰ μεταχειριζομένη καὶ πράττουσα διὰ τοῦτο
τοῦτο μεταχειρίζεται. ἴδε γὰρ ὅτι καὶ τὸ νῦν παρὰ τοῦ φιλοσό
μενον ἐκείνοις ἰσοδυναμεῖ. πολιτεύεσθαι γὰρ τοὺς νομοθέτας
διὰ τὸ μὴ πράττειν πολιτικῶς, καὶὸ νομοθέται εἰσίν, ἀλλὰ μόν
τοῦ ὅπως πολιτευτέον ἐκτίθεσθαι. μόνοι δ' οἱ πράττοντες οὕτ
ζονται. διότι μόνοι τὰ πολιτικὰ πράττουσιν. εἰ δέ τις ἴσως εἴη
θέτης, καὶ πράττει ὡς μὲν νομοθέτης, ἔστιν ἀρχιτεκτονικὸς τ
κοῖς. ὡς δὲ πράττων πολιτικός, ἐπεὶ καὶ χειροτέχναι οἱ κατὰ τ
πραττοντες, οὐχὶ δὲ οἱ τοῖς πράττουσι κατ' αὐτὰς διατάττοντες·
εἴη καὶ διατάττων καὶ πρακτικός, ἀρχιτέκτων μὲν ὡς διατάττω
χειροτέχνης δὲ ὡς πράττων καὶ τὰ καθ' ἕκαστα μεταχειριζόμενο

1 p. 1141b29 Δοκεῖ δὲ καὶ φρόνησις ⟨μάλιστ'⟩ εἶναι ἡ πε
καὶ ἕνα. καὶ ἔχει αὐτὴ τὸ κοινὸν ὄνομα, φρόνησις· ἐκ
ἡ μὲν οἰκονομία, ἡ δὲ νομοθεσία, ἡ δὲ πολιτική, καὶ
μὲν συμβουλευτική, ἡ δὲ δικαστική.

Περὶ τῆς φρονήσεως οὐδεὶς ἀμφιβάλλεται καὶ πῶν ἕξεων τ
χων αὐτή, ἐρῶ δὲ οἰκονομικῆς νομοθεσίας πολιτικῆς. τούτων
πᾶσαι ἀλλήλαις, διότι καὶ πᾶσαι αὗται βουλευτικαὶ καὶ περὶ τὰ
ἄριστα καταγίνονται. διαφέρουσι δὲ ἀλλήλων, ὅτι ἡ μὲν φρόν
μάλιστα εἶναι. ὡς αὐτός φησιν, ἡ περὶ τὸν αὐτὸν καὶ ἕνα τῷ
ἔχουσα καὶ τῶν αὐτῷ ὠφελίμων στοχαζομένη. διὸ καὶ τὸ κ
ὄνομα, φρόνησις καλουμένη. κἂν δὲ καὶ τὰς ἄλλας φρονήσεις λ
ἄτοπον, ἐπεὶ κἀκεῖναι περὶ τὰ ἐνδεχόμενα καὶ βουλευτὰ καὶ
ὠφέλιμα καταγίνονται. ἀλλ' ἐπεὶ τῷ πλήθει διάφορα τὰ οἷς ἐπ
μα καὶ συμβαίνει ταῦτα διάφορα εἶναι καὶ πρὸς αὐτὴν τὴν φρ
πρὸς ἀλλήλας ὡς ἐνταῦθεν διαφερούσας κατὰ τὰ ὑποκείμενα, εἰ
διάφορα ἐκ τῶν ὑποκειμένων ὀνόματα ἐκλῃρώσαντο, ἡ μὲν οἰκο
γομένη, ὅτι περὶ οἶκον καὶ τοὺς ἐνοικοῦντας αὐτῷ τὴν ἐνέργειαν
ἡ δὲ περὶ τοῦ πῶς πολιτευτέον καὶ καθόλου κανόνας ἐκτιθε
περὶ πόλεις καὶ τοὺς ἐν αὐτῇ πολιτευομένους ἑαυτὴν ἐπιδείκν
τοῦτο ἡ μὲν οἰκονομική, ἡ δὲ νομοθεσία, ἡ δὲ πολιτικὴ λέγεται
δὲ καὶ τὴν πολιτικὴν εἰς δύο, βουλευτικὴν καὶ δικαστικήν.

1 μόνον Ba et Arist. codd. KbMbOb: μόνους Arist. vulg. 2 ὡς B: ὥσπερ a
καλῶ B: καλῶς a 12 κατ' αὐτὰς a: καθ' αὐτὰς B 13 ἐνθεῖ
15 μάλιστ' a et Aristoteles: om. B 18 συμβουλευτική B: βουλευτ

μάλιστα τὰ ἐν ταῖς πολιτείαις ἐπικρατέστερα, ἡ μὲν περὶ τῶν συμφερόν- 100ᵛ
των ζητοῦσα καὶ ἐξετάζουσα, ἡ δὲ στεφανοῦσα τοὺς κατορθοῦντας καὶ
διορθουμένη τοὺς ἁμαρτάνοντας. |

p. 1141ᵇ33 Εἶδος μὲν οὖν ἄν τι εἴη γνώσεως τὸ αὐτῷ εἰδέναι· 100ᵛ
ἀλλ' ἔχει διαφορὰν πολλήν· καὶ δοκεῖ ὁ τὰ περὶ αὑτὸν εἰδὼς
καὶ διατρίβων φρόνιμος εἶναι, οἱ δὲ πολιτικοὶ πολυπράγμονες.

Τὴν διαφορὰν διδάσκει διὰ τούτων τοῦ καθ' ἑαυτὸν φρονίμου πρὸς
οἰκονομικὸν καὶ πολιτικόν. καί φησιν, ὅτι ἑκάστῳ μὲν τούτων καὶ γνῶσίς
ἐστι καὶ φρόνησις, πλὴν ἔχουσι διαφορὰς πρὸς ἄλληλα, τῷ γένει μὲν ἴσως
ὄντα ταὐτά, διαφέροντα δὲ πολὺ τούτων πρὸς τὰ λοιπά, καὶ τοσοῦτον,
ὥστε καὶ δοκεῖν τὸν εἰδότα τὰ περὶ αὐτὸν καὶ περὶ αὐτὰ διατρίβοντα φρό-
νιμον εἶναι, τὸν δὲ πολιτικὸν οὐ φρόνιμον ἀλλὰ πολύπραγμονα ὡς τὰ
ἔξω ἑαυτοῦ ζητοῦντα καὶ ἐξετάζοντα. αὕτη μὲν τῶν ῥήσεων ἡ δύναμις.
ἴδωμεν δὲ καὶ κατὰ μέρος τῶν εἰρημένων ἕκαστον. τοίνυν τὰ μὲν τῶν
ἀντιγράφων, εἰδός τι ἂν εἴη ἔχουσι γνώσεως, τὰ δὲ εἰδός τι ἂν εἴη
φρονήσεως. τὸ μὲν οὖν γνώσεως εἶπεν χωρίζοντός ἐστιν ὑποτυπῶσαι 10
τὴν περὶ αὐτὸν καὶ ἑνὸς φρόνησιν τῶν ἄλλων, ὡς αὐτῇ ὁρισάσης μόνῃ
τοῦ ὀνόματος τῆς φρονήσεως, κατὰ τὸ τῆς γνώσεως ὄνομα μόνον κοινω-
νουσῶν τῶν ἄλλων αὐτῇ. εἰ δὲ ἀντὶ τῆς γνώσεως φρονήσεως λάβωμεν,
κοινὸν ἤδη τιθέμεθα πάσαις ταύταις τὸ ὄνομα τῆς φρονήσεως, λέγομεν δὲ
διαφέρειν ἀλλήλων κατά τε τὰ ὑποκείμενα καὶ τἄλλα ἃ προϊὼν ὁ λόγος
δηλώσει. τὸ δὲ τὸ αὐτῷ εἰδέναι ἐλλιπῶς εἴρηται, καὶ δεῖ ἐξακούεσθαι
τὸ ὠφέλιμον ἢ τὸ συμφέρον ἢ τὸ ἄριστον, ὡς εἶναι τὸ ὅλον τὸ ἑαυτῷ 15
εἰδέναι ὠφέλιμον ἢ συμφέρον ἢ ἄριστον. ἀλλ' ἔχει διαφορὰν πολλήν,
φησί. εἰ γὰρ καὶ εἶδος γνώσεως ἡ τοῦ ἑαυτῷ ὠφελίμου καὶ συμφέροντος
γνῶσις, ἀλλ' ἔχει διαφορὰν πολλὴν πρὸς τὴν οἰκονομικὴν καὶ πολιτικήν,
καὶ μᾶλλον πρὸς τὴν πολιτικήν. ἡ γὰρ οἰκονομικὴ ἐγγίζει τῇ γνώσει τῇ
τοῦ οἰκείου συμφέροντος ἑνός τινος. ὁ γὰρ οἶκου κύριος τῶν κατ' οἶκον
καὶ τοῦ οἰκείου συμφέροντος ἀντιποιούμενος τὸ κοινῇ συμφέρον πᾶσι τοῖς 20
κατ' οἶκον σκοπεῖ, ἅτε καὶ ἐντὸς ἑαυτοῦ πάντας ἔχων καὶ κοινὰ ποιού- 20
μενος τὰ ὠφέλιμα. καὶ δοκεῖ ὁ τὰ περὶ αὑτὸν εἰδὼς φρόνιμος εἶ-
ναι. τὸ δοκεῖ ἐνταῦθα ὡς κοινὸν δοξαζόμενον εἴληπται· δηλοῖ δὲ τὸ
ῥητόν, ὅτι καὶ ἀνωτέρω γνώσεως οἰκειότερον λέγειν παρὰ φρονήσεως. ἴδε
γὰρ τὸν τὰ περὶ αὐτὸν εἰδότα καὶ περὶ αὐτὰ διακρίνοντα τοῦτον εἶναι
φρόνιμον λέγων κατὰ τὴν ὑπόληψιν κοινήν. οἱ δὲ πολιτικοὶ πολυ- 25
πράγμονες, ἢ φιλοπράγμονες, τουτέστι δοκοῦσι· διττῶς γὰρ ἐν τοῖς
ἀντιγράφοις λαμβάνεται. πιστοῖ δὲ τοῦτο, λέγω δὲ τὸ φρόνιμον εἶναι τὸν

4 ἄν τι B: τι ἂν a et Aristoteles τὸ αὐτῷ B et Aristoteles: ὡς τὸ αὐτόν a 8 ἑκάστῳ a: ἕκαστος B 9 ἄλληλα B: ἀλλήλους a 10 ὄντα B: ὄντας a ταὐτά B: ταύτας a διαφέροντα B: διαφέροντας a 13 ἑαυτοῦ B: ἑαυτῆς a 35 ὑπόληψιν B: ἀπόληψιν a

περὶ τὰ ἑαυτῷ ὠφέλιμα καταγινόμενον, τὸν δὲ περὶ τὰ πολιτικ
πραγμονα καὶ φιλοπράγμονα ὡς φιλοῦντα τὰ πράγματα καὶ π
πράγματα καταγινόμενον, καὶ οὐχ ἓν ὡς ὁ φρόνιμος· πολλὰ γὰ
κίλα τὰ τῇ πόλει ἁρμόζοντα. καὶ τὸν τραγικὸν Εὐριπίδην πα
μαρτυρίαν οὕτωσὶ λέγοντα ἐν τῷ Φιλοκτήτῃ

p. 1142a2 Πῶς δ' ἄν φρονοίην, ᾧ παρῆν ἀπραγμόνως
πολλοῖς ἠριθμημένον στρατοῦ ἴσου μετασχεῖν; τοὺς γὰ
σοὺς καί τι πράσσοντας πλέον.

Ἐκ τούτων τῶν ἰαμβείων τοῦ Εὐριπίδου λέξεις μόνας εὑρίσ
στώσας τὴν φρόνησιν ἀπὸ τῆς οἰκονομικῆς καὶ πολιτικῆς, πρα
ἢ οὐδ' ὅλως ἢ ἀμυδρῶς. τὸ γὰρ πῶς δ' ἂν φρονοίην, ᾧ
ἀπραγμόνως ἐν τοῖσι πολλοῖς ἠριθμημένον στρατοῦ ἴσο
σχεῖν δεικνύει τὸν λέγοντα ἑαυτὸν διαστέλλοντα τοῦ φρονίμου.
ὃν αὐτῷ χωρὶς πραγμάτων τὰ ἑαυτοῦ ἐξετάζοντα καὶ περὶ τ
μελετῶντα συμφέροντα. εἶη καὶ οὕτω φρόνιμον εἶναι, ὁ δ' ε
ἑαυτὸν εἰς τὰ κοινὰ καὶ πολιτικὰ περισσὸς ἀντὶ τοῦ φρονίμου
περισσὸς δὲ διὰ τὸ πλῆθος τῶν φροντίδων, ὧν ἀναδέχεται ἄνθ
πολιτεύεσθαι ὑποδύς, ἤγουν τὸ πράττειν τὰ κοινά. ὡς οὖν εἴρητα
Εὐριπίδου ἰαμβείων τοῦτο μόνον σχεδὸν ἐμάθομεν, ὅτι ἄλλος ὁ
καὶ ἄλλος ὁ πολιτικός. εἰ δέ τις καὶ τὰ πράγματα εἰς μέσ
περὶ ἃ τούτων ἑκάτερος καταγίνεται, εἴσεται ἐξ αὐτῶν τὴν τελεί
διαφοράν. διαφέρει δὲ ἡ φρόνησις τῆς οἰκονομικῆς καὶ πολιτικῆς
κατὰ τὰ ὑποκείμενα, ὅτι ἐκείνη μὲν τὰ ἑνὶ ὄντα τῇ φρονίμῳ σκο
μόζοντα, ἡ δὲ οἰκονομικὴ τὰ τῷ οἴκῳ καὶ πᾶσι τοῖς ἐν αὐτῷ.
λιτικὴ τὰ τῇ πόλει καὶ τοῖς ἐν αὐτῇ πολιτευομένοις ἅπασι, καὶ
τὸν εἶδος καὶ κοινὰ κατὰ τὴν πολιτείαν τὰ συμφέροντα ἔχουσιν,
καὶ κατ' εἶδος, ὅτι καὶ τῷ εἴδει διαφέρουσιν ἀλλήλων τὰ ἑνὶ ὄ
ζοντα καὶ τὰ οἴκῳ καὶ τοῖς κατ' οἶκον καὶ τὰ τῇ πόλει καὶ τ
λιτευομένοις. ὁ μὲν γὰρ φρόνιμος περὶ τῶν οἰκείων φροντίζων
τε τοῦ οἰκείου σώματος φροντίσει καὶ τῆς ψυχῆς. πῶς ἔξει αὐ
σμότερον κατὰ φύσιν ὄντων ἑκατέρου, ὥστε τὸ σῶμα συνίστασθαι
σιν καὶ τὴν ψυχὴν εὖ ἔχειν λογισμοῦ καὶ πράξεων καὶ παθ
οἰκονομικῆς, πῶς ἕξει ἡ οἰκία οὐ μόνον ὀχυρότητος καὶ μονίμου
ἀλλὰ καὶ εὐπνοίας καὶ εὐαερίας εὖ διακειμένη πρὸς ψυχὴ κ
κατά τι τῶν ἐνοικούντων ὠφέλιμον καὶ πῶς αὐτῇ περιέσται φ
ἀσφάλεια εἰς ἔργα τε καὶ λόγους καὶ πῶς τοῖς συζῶσιν ἱκανῶ
πρὸς ζωήν, μήτε βλαπτομένοις παρά του μήτε μήν τινα βλαπτ

1 Εὐριπίδην . . . ἐν τῷ Φιλοκτήτῃ] frg. 787 sq. Nauck² 6 Διὸ καὶ εὐριπίδης
in rhesi principio: om. B 7 ἠριθμημένον B et Arist. codd. K^b N
Arist. vulg. ἴσου B et Arist. cod. Lb: ἴσον a et Arist. vulg. 14 ἑαυτοῦ
B: ἀπὸ a 33 ὀχυρότητος B: ὀχυρό a 36 συζῶσιν Diels

πῶς τῶν συνοικούντων ἕκαστος τὸ οἰκεῖον ἕξει ἑαυτῷ κατὰ τὴν οἰκείαν 100v
ποιότητα τῆς ψυχῆς καὶ τοῦ σώματος καὶ κατὰ ἡλικίαν καὶ κατὰ γένος,
λέγω δὲ ἄρρεν καὶ θῆλυ καὶ κατὰ τὸ ἄρχειν καὶ ἄρχεσθαι καὶ ὅσα τοι-
αὐτα ἐν ταῖς οἰκίαις ὁρῶμεν πρὸς ἄλληλα διαφέροντα, καὶ μέχρις ἐπιτη-
δευμάτων αὐτῶν περιβολῆς τε καὶ βρώσεως καὶ πόσεως. ἡ δὲ πολιτικὴ 101
περὶ νόμον τε σκοπήσει, ὅπως ἔσονται ἄριστοι καὶ ὠφέλιμοι κατά τε τὰ
ἤθη τῶν συμπολιτευομένων ἀλλήλοις καὶ τὴν θέσιν τῆς γῆς, ἐν ᾗ ἡ πό-
λις διάκειται, καὶ κατὰ τοὺς πλησιάζοντας καὶ κατὰ τοὺς πόρρω μέν. ὀρ-
θρωθῶς δὲ ἡ φιλικῶς τῇ πόλει διακειμένους καὶ κατὰ τὰ χρειώδη, πόθεν
τε καὶ κατὰ ποίους τρόπους συγκομισθήσονται, πῶς ἕξει τὰ τείχη τῆς πο- 5
λεως, πῶς ἔσται ἡ καθαριότης ἐντός, οὐ μόνον εἰς ὑγίειαν τοῖς πολίταις
συμβαλλομένη, ἀλλὰ καὶ πρὸς τὸ μὴ χραίνεσθαι καὶ μολύνεσθαι, καὶ περὶ
ὑδάτων δὲ οὐχ ἧττον καὶ λουτρῶν καὶ τοῦ καθ' ἕκαστα πορισμοῦ τῶν ὠνί-
ων καὶ τῶν πρὸς βρῶσιν καὶ πόσιν οὐκ ἔλαττον φροντίσει τινός. καὶ περὶ
πολέμου καὶ εἰρήνης καὶ πρὸς τίνας καὶ ἀπὸ τίνων ἔχθραν καὶ φιλίαν 10
προσδέξεται καὶ ὅσα τοιαῦθ' ἕτερα τοῖς πολιτευομένοις συμβουλὰς καὶ
συζητήσεις παρέχουσι, καὶ περὶ δικαίων καὶ ἀδίκων καὶ καλάσεων καὶ τι-
μῶν καὶ τεχνῶν καὶ ἐπιστημῶν, τίνας οἱ πολῖται μαθήσονται καὶ τίνων
ἀφέξονται καὶ ἐν τίσι καὶ μέχρι τίνων ἑκάστῃ χρήσονται καὶ τοιούτων
ἑτέρων, καὶ πρὸ πάντων περὶ ὁσιότητος καὶ τῆς εἰς θεὸν καὶ τὰ θεῖα τι- 15
μῆς. σκόπει οὖν ταῦτα πάντα, ἃ ταῖς τρισὶν ὑπόκειται ταύταις, καὶ γνῶθι
ὅτι διαφόρου κατ' εἶδος ὄντων καὶ πάμπολυ καὶ φρονήσεως καὶ γνώσεως
καὶ τρόπου μετελεύσεως. εἰ δὲ ταῦτα τῷ εἴδει διάφορα, πῶς οὐχὶ καὶ
αὐτὰ κατ' εἶδος; καθόλου γὰρ ὧν τεχνῶν καὶ ἐπιστημῶν διάφορα κατ'
εἶδος τὰ ὑποκείμενα, καὶ αὐταὶ ἀλλήλων κατ' εἶδος διάφοροι, εἰ δὲ καί 20
τινα εὑρηται δοκοῦντα κοινὰ ταῖς τρισίν, ἀλλ' ὁ τρόπος τῆς μετελεύσεως
τοῦ ἰδίως καὶ κοινῶς διάφορος παρ' αὐτοῖς, καὶ αὐτὰ διατίθησιν ὁποῖα
καὶ ἡ ὁσιότης ἐστί. λέγω δὲ ὁσιότητα τὴν τῷ θεῷ καὶ τοῖς θείοις
ἕξιν ἀνήκουσαν. δεῖ γὰρ πάντως πάντας ἀνθρώπους εὐσεβεῖν ἰδίᾳ τε
καὶ κοινῇ.

p. 1142a7 Ζητοῦσι γὰρ τὸ αὐτοῖς ἀγαθόν, καὶ οἴονται δεῖν πράττειν.

Περὶ τῶν φρονίμων καὶ τοῦτό φησι πληθυντικῶς οὕτω λέγων, εἰ καὶ
ἄνωθεν ἑνικῶς τὸν φρόνιμον ἔλαβε. τὸ γὰρ ἑαυτῷ ἀγαθὸν ζητεῖν καὶ οἴ-
εσθαι δεῖν ἕκαστον πράττειν ὑπὲρ περιττὸν ἐπιχρέοντα ὑπὲρ πραγμα-
πολλοῖς ἑαυτὸν ἐμβιβάζοντα φρονίμου εἴρηται ἴδιον, ὥστε κἂν πολλοὶ εἶεν
οἱ τηροῦντες τοῦτο τὸ ἴδιον, φρόνιμοι ἂν εἶεν, οὐ μέντοι πολιτικοί, ἀλλ'

9 τε (prius) B: τὲ καὶ a 11 καθαριότης B 13 καθέκαστα a: καθεκάστην B
25 αὐταὶ a: αὐτὰ B διάφοροι a: διάφορα B 31 οἴονται δεῖν B: οἴονται τοῦτο δεῖν
a et Aristoteles 35 δεῖν a: δὲ B

ἴσως πολῖται, ὡς καὶ ἐν τῷ πρώτῳ βιβλίῳ τῆσδε τῆς πραγματείας
ται. καὶ ἠθικὴ αὕτη ὀνόμασται, καθ' ἣν εἷς τις ὢν ἕκαστος ἑαυτὸ
τηρήσει ἐν τῷ βελτίονι ἢ παιθόμενος τοῖς ἐμφρονεστέροις ἢ καὶ
παιδείας μεταλαβὼν καὶ ἀφ' ἑαυτοῦ τοὺς λόγους τῶν πραγμάτων
οὐ μὴν ἱκανὸς ὢν πόλεως προΐστασθαι καὶ κοινῶν ἀντιποιεῖσθαι προ
ὥστε καὶ πολιτικὸς ὀνομάζεσθαι.

p. 1142a8 Ἐκ ταύτης οὖν τῆς δόξης ἐλήλυθε τὸ περὶ τ
φρονίμους εἶναι καὶ τοὺς ὅσως οὐκ ἔστι τὸ αὐτοῦ ἄνευ
μίας οὐδ' ἄνευ πολιτείας.

Λέγει καὶ ἔτι πόθεν ἐλήλυθε τὸ φρονίμους ἐκείνους λέγεσθ
ζητοῦντας τὸ ἑαυτοῖς ἀγαθὸν μόνον, ὅτι ἐκ τῆς εἰρημένης δό
κουσης. οἱ γὰρ ἐξ ἀρχῆς τοῦτο δοξάσαντες παρεπέμποντι τὴν δό
ἐρεῖσι, ᾧ δὲ ἐπιφέρει, ὅθεν ἂν ἐμφανὲς ἑαυτὸν μὴ ἀρεσκόμενο
τῇ δόξῃ. τῷ γὰρ λέγειν ὅτι ἴσως οὐκ ἔστι τὸ αὐτοῦ ἄνευ
μίας οὐδὲ ἄνευ πολιτείας φανερός ἐστι παραπέμπων τὸν σκ
τὸ ἑαυτοῦ μόνον ἀγαθὸν τῷ οἰκονομικῷ καὶ πολιτικῷ, ὡς μὴ δυ
ἀφ' ἑαυτοῦ τὸ εἰδέναι. ἀλλὰ δεόμενον ἐκείνων τινός, ἵνα ἐξ ἐκείνω
μαθήσεται. ἐμφρονέστερος γὰρ ὢν ὁ οἰκονομικὸς ἑκάστου τῶν ἐν τ
διδάξει ἕκαστον αὐτῶν, τί τὸ ὠφέλιμον αὐτῷ. τοῦτο δὲ ποιησε
πολιτικὸς πρὸς ἕκαστον τῶν ἐν τῇ πόλει. διὰ τοῦτο ἔφη, ὅτι ἀ
νομίας ἢ ἄνευ πολιτείας οὐκ ἔστι τὸ ἑαυτοῦ ἀγαθὸν ἑκάστῳ, ὡς δ
ἑκάστου πρὸς τὴν εἴδησιν τοῦ ἰδίου ἀγαθοῦ, τῆς τε οἰκονομικῆς τ
τῆς πολιτικῆς ἐπικρατεστέρων αὐτῶν ἀμφοῖν τῆς ἠθικῆς. καὶ τα
τὸ ἑαυτοῦ ἑκάστου ὄντος ἑνός, καίτοι ἐξ ἀρχῆς μὲν ἴσως τοῦτ' ἀν
οὐκ ἀδύνατον δὲ διὰ χρόνου τινὸς μαθόντα καὶ παιδευθέντα
εἶναι ὥστε αὐτῷ περιποιεῖσθαι τὰ δέοντα. ἢ οὖν οὕτως ἢ ὅτι ἐ
νωνικὸν ὁ ἄνθρωπος φύσει καὶ συναγελαστικόν, ἑπόμενος ὁ φιλόσ
τοιαυτῃ φύσει τοῦ ἀνθρώπου φησίν, ὡς οὐκ ἂν ἐροῦμεν τὸν φρόνιμ
ἑαυτὸν τὴν ἀρετὴν κατορθοῦν τὸ οἰκεῖον μετεχόμενον ἀγαθόν,
οἴκῳ ποιούμενον τὴν κατόρθωσιν μήτε ἐν πόλει, ἀλλὰ καθ' ἑαυ
γοντα καὶ ἀκοινώνητον ἀνθρωπον ὑπάρχοντα. τὸ γὰρ οὕτως ἔχ
ὡς ὑπὲρ ἄνθρωπον ἢ λειπόμενον ἀνθρώπου ὡς θηριῶδες καὶ
ἔτι δὲ τὸ αὐτοῦ πῶς δεῖ διοικεῖν ἄδηλον καὶ σκεπτέ
τοῦτο τὸ ἐπιχείρημα δεικτικόν ἐστι τοῦ ἐξ ἀνάγκης δεῖσθαι ἐν

1 πρώτῳ βιβλίῳ] c. 1 p. 1094a27 7 τούτους B et Arist. vulg.: π
om. a et Arist. cod. Kb
Arist. cod. LbOb: αὐτοῦ cὸ Arist. vulg. 9 rhesis usque ad
1142a11) a 14 τῷ a: τὸ B ὅτι B: om. a 22 τε B: on
σκοπουσῶν B: σκοποῦσα a 26 ἢ οὖν B: ει
B: ποιοῦμεν a 33 τὸ αὐτοῦ Ba: τὰ αὐτοῦ Aristot. vulg.: τὸ τὰ α
M

εἶναι τὸν φρόνιμον. ἐπεὶ γὰρ δεῖ αὐτὸν διοικεῖν τὸ ἑαυτοῦ ἀγαθόν, ἤτοι 101r
διευθετεῖν καὶ διεξάγειν καὶ κατορθοῦν, πῶς δὲ δεῖ τοῦτο ποιεῖν, ἄδηλον.
ὥστε δεῖν σκέψεως ἵν' εὑρίσκοιτο τὸ ἄδηλον. τῇ δὲ σκέψει δεῖ κοινωνοῦ,
ἡ δὲ κοινωνία ἢ οἰκονομικὴ ἢ πολιτική. καλῶς ἄρα εἴρηται ὅτι ἄνευ οἰ- 30
5 κονομίας ἢ ἄνευ πολιτείας οὐ δυνατὸν εἰδέναι τὸν φρόνιμον τὸ ἑαυτοῦ
ἀγαθόν.

p. 1142ᵇ11 Σημεῖόν δ' ἐστι τοῦ εἰρημένου καὶ διότι γεωμετρικοὶ
μὲν νέοι καὶ μαθηματικοὶ γίνονται καὶ σοφοὶ τὰ τοιαῦτα, φρό-
νιμος δ' οὐ δοκεῖ γίνεσθαι.

10 Πιστοῦται τὰ λεγόμενα καὶ ἀπὸ σημείου, μαρτύρου παρόντος τὴν 101
ἐνέργειαν. ὅτι γάρ φησιν ἀληθές, ὃ λέγομεν, ὅτι οὐκ ἔστι φρόνιμον γενέ-
σθαι τινὰ τὸ ἑαυτοῦ ἀγαθὸν σκοποῦντα καὶ τοῦτο εὑρίσκοντα, εἰ μὴ ἀν-
θρώποις ἔμφροσι συναναστραφῇ καὶ κοινωνὸς αὐτοῖς γένηται πράξεων καὶ
ἐμπειρίαν σχοίη τῶν ἀνθρωπίνων, δῆλον καὶ ἀπὸ τούτου, ὅτι τοὺς νέους 5
15 τῶν ἀνθρώπων φρονίμους εἶναι οὐ δυνατόν, ἐπειδὴ μὴ χρόνος αὐτοῖς ἱκα-
νὸς δεδαφθεύεται πρὸς τὸ πεῖραν εἰληφέναι τῶν καθ' ἕκαστα πράξεων, αἳ
ἐν τῇ πρὸς ἀλλήλους τῶν ἀνθρώπων κοινωνίᾳ καὶ συναναστροφῇ ἐνεργεῖ-
σθαι πεφύκασιν. ἵνα δὲ μή τις τῷ χρόνῳ μόνῳ τὴν αἰτίαν ἐπιγράψηται
τοῦ μὴ εἶναι φρονίμους νέους, οὐχὶ δὲ καὶ τῇ ἀπειρίᾳ τῶν πραγμάτων,
20 ὡς μήπω πεφυκότων τῶν νέων φρονεῖν διὰ τὴν ἡλικίαν, τὴν κατὰ τὰς 10
ἐπιστήμας προφέρει ἐνέργειαν, ὅτι γεωμέτρας καὶ ἁπλῶς μαθηματικοὺς
νέους εἶναι ἐνδέχεται, ἐντρέχειαν ἐχούσης τῆς φύσεως καὶ τῇ τῆς ἡλικίας
νεότητι, ὡς καὶ δυσχερῆ κατορθοῦν αὐτοὺς θεωρίαν τὴν ἐν μαθήμασι, καὶ
εἶναι δῆλον, ὡς τὸ τῆς ἡλικίας ὀλιγοχρόνιον αὐτὸ καθ' αὑτὸ οὐκ ἔστι τῇ
25 ψυχικῇ ἐντρεχείᾳ ἐμπόδιον, ἀλλ' ὅτι ἡ φρόνησις ἐκ πείρας πολλῆς τῶν
καθ' ἕκαστα καὶ αἰσθήσει ὑποκειμένων ἡμῖν περιγίνεται ἐνεργοῦσι πολλὰ
καὶ πάσχουσιν ἐν οἷς τὰ καθ' ἕκαστα μεταχειριζόμεθα, καὶ οὕτως ἐκ τοῦ
ὁρᾶν πολλὰ καὶ ἀκούειν πραττόμενα καὶ λεγόμενα καὶ ἁπλῶς ἐνεργούμενα
καὶ λύπας φέρειν καὶ ἀτυχίας ἀκολουθούσας ἐν ταῖς τῶν πραγμάτων μετα- 15
30 χειρίσεσιν, εἰς ἕξιν ἥκομεν τοῦ φρονεῖν καὶ εὑρίσκειν τὰ ἑαυτοῖς ἀγαθά,
καὶ ταῦθ' αἱρεῖσθαι καὶ πορίζειν ἑαυτοῖς διὰ τρόπων ἁρμοδιωτάτων τοῖς
πράγμασιν εὐμεταχειρίστως μετερχόμενον αὐτά. ταῦτα δὲ οὐκ ἄλλως ἡμῖν
περιέσται, εἰ μὴ διὰ χρόνου μακροῦ καὶ τῆς πρὸς ἀνθρώπους κοινωνίας
καὶ συναναστροφῆς καὶ συμπράξεως, προσέχοντας ἀεί τινι πραχθέντι ἢ
35 [τινὶ ἐνεργηθέντι ἢ] ἁπλῶς ἐνεργηθέντι, τί ἠκολούθησεν οὐ μόνον ἡμῖν 20
ἀλλὰ καὶ ἑτέροις, οὓς ὁρῶμεν πράττοντας ἢ λεγόντων ἀκούομεν.

---

3 δεῖν B: δεῖ a 8. 9 φρόνιμος B et Aristoteles: φρόνιμοι a 14 ἀνθρωπίνων B: ἀνθρώπων a 21 προφέρει B: προσφέρει a 32 μετερχόμενοι a: μετερχομένους B 35 τινὶ ἐνεργηθέντι ἢ B: om. a

p. 114ª11 Νέου δ' ὅτι καὶ τῶν καθ' ἕκαστά ἐστιν ἡ φρόνη
ἃ γίνεται γνώριμα ἐξ ἐμπειρίας.

Νέον φησὶ τοῦ μαθηματικὸν μὲν γενέσθαι νέον, φρόνιμον δὲ
τὸ μὲν μαθηματικὰ ἐπιστημονικὰ εἶναι, τὰ δὲ ἐπιστημονικὰ καθόλ
ἐννοήματικα, τὰ δὲ τοιαῦτα ῥᾴον τῷ λόγῳ τῆς ψυχῆς προσγίνεσθ
μὴ δεῖσθαι χρόνου μακροῦ τὴν ψυχὴν εἰς τὴν τούτων περίληψιν.
φρόνησις περὶ τὰ καθ' ἕκαστα, ἃ γίνεται φρόνιμα ἐξ ἐμπειρίας, τουτ
φρονίμως καθ' ἕκαστα ἀποτελεῖται, ἐκ τοῦ πεῖραν ἔχειν πολλὴν τὸν
που τῶν καθ' ἕκαστα πράξεων. διὰ τοῦτο νέος φρονίμως κατορθοῦν
αὐτὰ οὐ δύναται, μήπω ἐσχήκως ἐμπειρίαν, διὰ τὸ μήπω χρόνον
κατὰ τὸν βίον τοσοῦτον, ὅτ' ὀσου ἱκανὸν ἐν πείρᾳ γενέσθαι πολλῶν
τομένων καθ' ἕκαστα. πλῆθος γὰρ χρόνου ποιήσει, φησίν, ἐμπε
τὸ ποιήσει κατὰ τὸν μέλλοντα χρόνον εἴρηκεν, ὥσπερεὶ τὸν νέ
κτήσιν τῆς φρονήσεως προτρεπόμενος, ὥστε σπουδάσαι αὐτὸν διὰ
πείρᾳ τε πολλῶν πραγμάτων λαβεῖν καὶ ἀριθμῶσαι εἰς ἕξιν φρονή

p. 114ª13 Ἔπει καὶ τοῦτ' ἂν τις ἀφέλοιτο, διὰ τί μαθημα
μὲν παῖς γίνεται ἂν, τοῦτο δὲ ἡ φυσικὸς οὔ. ἢ ὅτι μ
ἀναιρέσεως ἐστι, τῶν δ' αἱ ἀρχαὶ ἐξ ἐμπειρίας· καὶ τὸ μ
πιστεύουσιν οἱ νέοι ἀλλὰ λέγουσι, τῶν δὲ τὸ τί ἐστι
ἀδηλον.

Περὶ φρονήσεως λέγων καὶ ἀπαγορεύων τοῦ νέου αὐτὴν ὡς δε
χρόνου μακροῦ καὶ τῆς τῶν πραγμάτων πολυπειρίας, ὧν ὁ νέος
ἀπηλαυσε καὶ ὅτι τῷ νέῳ πρὸς μὲν τὸ μαθηματικῷ εἶναι ὁ χρόν
ζωῆς ἐξαρκεῖ, πρὸς δὲ φρονῆσιν οὐ, διὰ τὸ πλείονος δεῖν χρόνου πρ
κτῆσιν αὐτῆς, ἐπιφέρει καὶ ἕτερον τούτῳ ὅμοιον, καί φησι καὶ αὐτ
σκέψεως ἄξιον, ἵνα καὶ αὐτοῦ τὴν αἰτίαν τις ἀποδῷ. τοῦτο δέ
μαθηματικὸν μὲν παῖδα ἐνδέχεται γενέσθαι, σοφὸν δὲ ἢ φυσικὸν ο
ἀποροῦσιν τινὲς τῶν ἐξηγητῶν· ὧν μέν, ὅτι τὰ μαθηματικὰ ἀπ' α
σεως καταλαμβάνονται, τῆς δὲ σοφίας καὶ τῆς φυσικῆς ἐξ ἐμπει
ἀρχαί. ἔστι δὲ τὸ λεγόμενον τοιοῦτον, ὅτι τὸ νέον μαθηματικὸ φρό
νιμον ὑπάρχειν καὶ ἡ φαντασία καὶ διανοια ἐχει τὴν τοιαύτην. ἐν
φυσικὸν τὸ φρόνιμον. ἀπὸ δὲ τῆς διανοίας ἀποδίδωσιν τὸ δὲ τοῦ
ἀφαιρέσεως λαμβάνομεν. ἤτοι ἐκσπῶντες αὐτὸ καὶ ἀναιρούντες ὅ
ἀποδιδοῦσιν· ἐκ δὲ τοῦ ἐμπειρίας καὶ τοιούτους αὐτὸ εἶναι τῇ φύσει

[illegible] Ba et Arist. codd. KᵘLbOb: ὅτι Arist. vulg. [illegible] rhesis usque ad

λως καὶ ἀσωμάτως δεχομένη ταῦτα ἀπὸ τῆς αἰσθήσεως, ἢ ἀμέσως ὡς 101b
αἰσθητοῖς οὖσι καὶ ἐν ὑποκειμένῳ αὐτοῖς ἐπιβάλλουσα, παραπέμπει τῇ
φαντασίᾳ τοὺς τύπους αὐτῆς, ἡ δ' ἐν ἑαυτῇ τούτους δεχομένη καὶ συντη-
ροῦσα ὥσπερ τις πίναξ ὑποτίθησι τῇ διανοίᾳ αὐτούς, ἡ δ' ὡς ὅμμα τῆς
ψυχῆς αὐτοῖς ἐπιβάλλουσα ἐξετάζει περὶ αὐτῶν καὶ τῶν ἑπομένων αὐτοῖς
καὶ εὑρίσκει ταῦτα καὶ τοὺς λόγους αὐτῶν ἀποδίδωσι. τοῦτο δὲ γίνεται 30
ἐπὶ τῶν ἀριθμῶν καὶ μεγεθῶν, ἃ ὑποκείμενα ταῖς μαθηματικαῖς ἐπιστή-
μαις εἰσίν. ἥ τε γὰρ γεωμετρικὴ καὶ ἡ ἀστρονομικὴ περὶ μεγέθη ἔχει
καὶ τὰ ἐν τούτοις σχήματα ἐπίπεδά τε καὶ στερεά (ἐπίπεδα μὲν τρίγωνα
καὶ τετράγωνα καὶ κύκλους καὶ τὰ τοιαῦτα, στερεὰ δὲ σφαίρας κυλίνδρους
κύβους κώνους τὰ ὅμοια). ἥ τε ἀστρονομία ὡσαύτως περὶ μεγέθη καὶ
αὐτή· ἀλλ' ἐκείνη μὲν περὶ ἀκίνητα μεγέθη, ἡ δὲ ἀστρονομία περὶ κινού- 102a
μενα. ὅσα γὰρ σχήματα περὶ οὐρανὸν καὶ τὰ οὐράνια ἡ ἀστρονομία
σκοπεῖ, ὡς μετὰ κινήσεως θεωρούμενα ἐξετάζει αὐτά. ὡς δὲ καὶ ἀριθμη-
τικὴ περὶ ἀριθμοὺς καταγινομένη καὶ τὸ διωρισμένον ποσόν, ὡς καθ' ἑαυ-
τοὺς θεωρουμένους ἐξετάζει αὐτούς. ἡ δέ γε μουσικὴ περὶ ἀριθμοὺς μὲν
καὶ αὐτή, ἀλλ' ὡς ἐν σχέσει ὄντας τούτους λαμβάνει. ἐπ' ὄγδοον γὰρ
λόγον ἀριθμοῦ πρὸς ἀριθμὸν καὶ ἐπίτριτον καὶ ἡμιόλιον καὶ διπλάσιον καὶ
τοιαῦτα ἕτερα ἔχει τὰ ἐξεταζόμενα παρ' αὐτῆς, ὧν οὐδὲν μὲν ὑφέστηκεν
ἄνευ ὑποκειμένου. χρῶνται δὲ αὐτοῖς αἱ ἐπιστῆμαι ἀφαιρούμεναι τὰ εἴδη
ἀπὸ τῶν ὑποκειμένων αὐτοῖς, καὶ αὐτὰ καθ' αὑτὰ ἐπινοητικῶς ἐξετάζουσαι
καὶ τὰ ἑπόμενα αὐταῖς ἀνευρίσκουσαι. διὸ ταῦτ' οὐκ ἂν εἴη μαθήματος
μὲν γίνεται, ἀφαιρεῖν τὰ τῶν μεγεθῶν καὶ τῶν σχημάτων εἴδη ἀπὸ τῶν
ὑποκειμένων δυνάμενος καὶ περὶ αὐτῶν τῶν ἑπομένων αὐτοῖς θεωρεῖν.
σοφὸς δὲ ἡ φυσικὸς οὔ, διὰ τὸ ταύτας τὰς ἕξεις τὰς ἀρχὰς λαμβάνειν ἐξ 10
ἐμπειρίας. πῶς δὲ τοῦτό ἐστι καὶ πῶς ὁ σοφὸς καὶ ὁ φυσικὸς ἐξ ἐμπει-
ρίας λαμβάνουσι τὰς ἀρχάς, οὐκ ἄδηλον οἶμαι καὶ τοῖς τυχοῦσι. σοφὸν
δὲ ἐντελῆ τὸν θεωρητικὸν εἶναί φησι τὸν περὶ τὸ θεῖον καὶ ἄριστον καὶ τὸ
ὑποστατὸν τὴν σπουδὴν καὶ ζήτησιν ἔχοντα, φυσικὸν δὲ τὸν περὶ τὰ ἔνυλα
καὶ ὧν ἡ ὕπαρξις οὐκ ἄνευ τῆς κατὰ τόπον κινήσεως ἢ ἐν διαστάσει θεω- 15
ρουμένων φορᾷ κατὰ μόρια· εἰ καὶ κατὰ τὰς ὁλότητας τοὺς τόπους οὐκ
ἐξαλλάττουσιν, ἢ πῇ μὲν ἠρεμούντων πῇ δὲ κινουμένων καὶ κατ' αὐτὰς
τὰς ὁλότητας, καὶ διὰ τοῦτο λεγομένων φυσικῶν ἁπάντων. ὡς ἀρχὴν ἐχόν-
των ἠρεμίας τε καὶ κινήσεως, ἥτις ἡ φύσις ἐστί. πρῶτον τοίνυν εἰπωμεν
διὰ τί καὶ πῶς δὴ ἡ μὲν μαθηματικὴ θεωρία περὶ τὰ ἐξ ἀφαιρέσεως συ- 20
τάγίνεται καὶ πόθεν ἀφαιροῦνται τὰ ἀφαιρούμενα· οὔτε δὲ τὰ τῇ φυσικῇ
ὑποκείμενα ἐξ ἀφαιρέσεώς ἐστι. τούτων γὰρ ἐξετασθέντων καλῶς, ἴσως
ἡμῖν φῶς ὑπαναφθήσεται πρὸς τὸ θεωρῆσαι ὀρθῶς τὰ ὑπ' Ἀριστοτέλους
λεγόμενον. ἐξ ἀφαιρέσεως μὲν οὖν τὸ μαθηματικὸν γίνεται, ἀφαιρεῖ τὰ

2 οὖσι scripsi: οὐσία B: οὖσα a αὐτοῖς B: αὐταῖς a 3 ἡ δ' a: ὁ δ' B
11 τὰ ὅμοια B: καὶ τὰ ὅμοια a 14 ἐξετάζει αὐτά secluserim 20 εἴδη
ὄντα a 27 ἄδηλον B: εὔδηλον a 35 δὴ B: δεῖ a 38 φῶς bis B
39 λέγονται B: λέγεται a

καὶ μεγάλη ἦτον σχήματα μεγεθῶν, ὅτι ποσὰ μέν εἰσι καὶ ποιὰ
ὑποκειμέναις οὐσίαις τὴν ὑπόστασιν ἔχουσι, χωρὶς τῶν ὑποκειμέ
ἐνέργειαν ὑφίστασθαι μὴ δυνάμενα. ἀφαιροῦνται δὲ κατ' ἐπίνοια
ὑποκειμένων ἐν οἷς ὑφεστήκασι καὶ ὡς ἐν φαντασίᾳ ὑφεστηκότα
διανοίας τὴν ἐξέτασιν δέχονται παρὰ τῶν ἑπομένων αὐτοῖς. ἀφ
δὲ, ὅτι μὴ ἔν τι τῷ γένει ὑποκειμένων ἔχουσιν ἀλλ' ἐν διαφόροι
μένοις δύνανται γίνεσθαι. ἕκαστός τε γὰρ ἀριθμὸς ἐν διαφόροι
μένοις ὑφίστασθαι δύναται, σώμασί τε καὶ ἀσωμάτοις, οἷον ὁ ι
ὁ μετρῶν καὶ ἐν ι σώμασι καὶ ἐν ι ψυχαῖς δύναται ἐπιγίνεσθαι.
ἀριθμῶν ἕκαστος ὡσαύτως, εἴπερ καὶ ἓν σῶμα δύναται εἶναι κ
καὶ μία ψυχὴ καὶ πολλαὶ καὶ νοῦς καὶ νόες ὡσαύτως εἰς τε κ
καὶ ἁπλῶς τὸ πλῆθος οὐχ ὥρισται, ἀλλὰ καὶ ἐπ' ἐλαττόνων δύ
πλειόνων λαμβάνεσθαι. καὶ τὰ σχήματα δὲ ὡσαύτως· οὐδὲ α
ἕκαστον ὡρισμένον ἔχει τῷ γένει τὸ ὑποκείμενον. ἤ τε γὰρ σ
μόνον ἐν τῷ τοῦ παντὸς ὑφισταμένῳ τεθεώρηται σώματι, ὡς μὴ
τῳ δυναμένῳ ὑφίστασθαι. ἀλλὰ δύναται ταύτην καὶ ξύλον καὶ
χρυσὸς καὶ ἄργυρος καὶ χαλκὸς καὶ σίδηρος δέχεσθαι καὶ ὁ κ
ἐν οὐρανῷ διαγράφεσθαι μόνον ἀλλὰ καὶ παντοίοις σώμασιν. ὁ
τὰ ἕτερα σχήματα. στερεά τε ὁμοῦ καὶ ἐπίπεδα. διὰ τοῦτο ὦ
ἑνός τινος εἴδους σωματικοῦ τῶν σχημάτων ὁτιοῦν ἀφαιρούμενον
ὄλεσον γίνεσθαι, οὕτω καὶ ἐκ παντὸς ἀφαιρεθὲν κατ' ἐπίνοια
σία τε ὡς ἐν ὑποκειμένῳ τινὶ γράφεται καὶ κατὰ τὴν διανοιαν ἐ
καὶ μαθηματικὰ ταῦτα λέγεται, διότι κατὰ μάθησιν καὶ ἐπίνοιαν
ἀφαιρεσις γίνεται, μὴ δυναμένων ἐνεργεῖν χωρὶς ὑποκειμένου τινὸ
σθαι. ὥστε καὶ ὁρίζονται ἅπαντα ὑποκειμένου χωρίς, μὴ συλλα
νου τινὸς ἐν τοῖς λόγοις αὐτῶν. ἐν γὰρ τῷ λέγειν ὅτι κύκλος ἐσ
ἐπιπέδου ὑπο μιᾶς γραμμῆς περιεχόμενον, πρὸς ἣν ἀφ' ἑνὸς σημ
εντος τοῦ σχήματος κειμένων πᾶσαι αι προσπίπτουσαι εὐθεῖαι ἴ
λαις εἰσίν, οὐδὲν προσλαμβάνεται ὑποκείμενον, ἀλλ' αὐτὸ καθ'
σχῆμα ὁρίζεται χωρὶς παντὸς ὑποκειμένου. οὕτω καὶ τὰ λοιπὰ
καὶ οἱ ἀριθμοὶ ὡσαύτως. ἥ τε γὰρ ἀριθμὸς ὁ μετρῶν σωρεία
λέγεται, τοῦ ὁρισμοῦ μηδὲν προσλαμβάνοντος ὑποκείμενον, κα
ἀριθμὸς ὁμοίως, οἷον ὁ τ μονάδων δέκα σωρεία, καὶ οὕτως ἅπα
μόνον ἀριθμοὶ λαμβανόμενοι χωρὶς ὑποκειμένων λαμβάνονται κα
οις ἀριθμητοῖς ἐφαρμόζεσθαι δύνανται, τὰ δὲ οὐσιώδη εἴδη
ἔχουσιν, ἀλλ' ἄυλα ὄντα καὶ αὐθυπόστατα οὐσίαι εἰσὶν ἄυλοι κα
ὑποκειμένου εἰσὶ χωριζόμενα κατ' ἐπίνοιαν, ὅτι μηδὲ ἔν τινι ὑπ
ἑδράζονται ἀλλ' αὐτὰ ἑαυτοῖς εἰσιν ἕδραι, ὡς οἵ τε καθαροὶ νό
λογικαὶ ψυχαί. καὶ αὗται γάρ, ὅταν μετὰ σωμάτων λαμβάνωνται
σώμασιν ἑδράζονται, ἀλλὰ μᾶλλον ἐν ἑαυταῖς ἐκεῖνα ἑδράζουσι κ

1 ἔχουσι scripsi: ἔχουσα Ba 4 παρὰ B: περὶ a 25
ἀλλήλαις B: ἀλλήλοις a 34 ἀριθμοὶ B: ἀριθμόν

αὐτὰ συνέχουσιν, ὡς καὶ ἐξ αὐτῶν χωριζόμενα ἀκίνητα εἶναι καὶ ἀνενέρ- 102r
γητα, καὶ μηδὲν τὸν οἰκεῖον ὅρον δυνάμενα δέχεσθαι. ὡς αὐτοὺς ἡρμοττε. συνεζευγμένους ἐκείνοις οὐχ ὡς σώμασιν ἁπλῶς ἀλλ' ὡς τοιοῖσδε σώμασιν, ἅτοι οἰκείως ἔχουσι ταῖς ψυχαῖς, αἷς συνεζευγμένα ἐτύγχανεν. ἢ ἔνυλα ὑπάρχοντα ἀτελῆ | μέν εἰσιν ὡς ἐν εἴδεσιν, ἅτε ὑποκειμένων δεό- 102v
μενα, οἷς ἐνιδρυνθήσονται, τελειοῦντα δ' ὅμως τὰ ὑποκείμενα διὰ τὸ ὁρᾶσθώς τινος αὐτοῖς ἀξιολόγου γίνεσθαι αἴτια, ἧς ἐστέρητο πρὸ τοῦ τὰ εἴδη αὐτὰ παραδέξασθαι. διὰ τοῦτο καὶ οὐσιώδη ἐστὶ καὶ φυσικά, ὡς τὴν φύσιν ἀρχὴν ἔχοντα, ἢ τά τε ὑποκείμενα τοῖς εἴδεσι προσήρμοσε καὶ τὰ εἴδη τοῖς ὑποκειμένοις οἰκεῖα εἰργάσατο. ταῦτα δέ εἰσιν αἱ ἄλογοι ζωαὶ καὶ αἱ φυσικαί, καὶ εἴ τι ταύταις ἀνάλογον ἕτερον, ἀλλὰ καὶ ἡ φύσις οὕτως ἔχει αὐτή, εἶδος ἔνυλον οὖσα καὶ αὐτὴ καὶ τοῦ ὑποκειμένου ἀχώριστον καὶ μετὰ τῆς ὕλης ὁριζομένη. διὰ τοῦτο οὔτε αὐτοτελὴ εἶδε καν αὐτὸ ὁραστα καὶ μὴ ὑποκειμένου τινὸς πρὸς τὸ ἑδρασθῆναι δεόμενα, ὧν ἐξ ἐκείνου ἀφαιρεθήσονται κατ' ἐπίνοιαν. ταῦτα δ' ὅτι ἐν ὑποκειμένῳ θεωρούμενα τοῦ ὑποκειμένου εἰσὶν ἀχώριστα καὶ συνηρμένως τῷ ὑποκειμένῳ τὸν ὁρισμὸν ἐπιδέχονται. ζῷον γὰρ ἄλογον χρεμετιστικὸν ὁ ἵππος ὢν καὶ τὸ ὑποκείμενον ἐν τῷ λόγῳ ἔχει συλλαμβανόμενον. καὶ ὁ ἄνθρωπος κατὰ τὸ συναμφότερον λαμβανόμενος. καθὰ δὴ καὶ φυσικῶς ὁρίζεται. καὶ τὸ ὑποκείμενον ἔχει κατὰ τὴν ἀπόδοσιν συναιρούμενον· ζῷον γὰρ λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν ἐστι. καὶ τό τε ζῷον ὑπὸ τὸ σῶμα τὸ ἔμψυχον, ὃ ὡς ὕλη τῇ ψυχῇ ὑποτίθεται, τό τε θνητὸν τῆς τοῦ σώματος φύσεως. καὶ οἱ φυσικοὶ πάντες ὁρισμοὶ συνηρμένα τὰ ὑποκείμενα τοῖς εἴδεσιν ἔχουσι φυσικῶς ἀποδιδόμενοι, ὡς τῶν ὑποκειμένων χωρὶς ὄντως εἶναι λαμβανομένους αὐτούς, ὥσπερ ὁ λέγων ὅρος, τὸν θυμὸν ὄρεξιν εἶναι ἀντιλυπήσεως, καὶ μέχρι τούτου ἱστάμενος ἀτελής ἐστιν, ὅτι μὴ συμπεριλαμβάνει τὸ ὑποκείμενον. καὶ δῆλον ὅτι οὐδ' ἀντιστρέφει, ὅπερ ἀναγκαίως τῷ ὁρισμῷ ἐποφείλεται. ἐνδέχεται γάρ τινα ὀργιζόμενον ἀντιλυπῆσαι κατὰ τὸ θυμικὸν ὀρεμεῖν, μὴ ἐνδιδόντα τῷ πάθει. εἰ δὲ μέλλει ἀντιστρέφειν ὁ ὅρος καὶ λαμβάνειν τὸ τέλειον, δεῖ οὕτως ὁρίζεσθαι τὸν θυμόν, ζέσιν τοῦ περὶ καρδίαν αἵματος δι' ὄρεξιν ἀντιλυπήσεως. ⟨ἔστι γὰρ τὸ μὲν ζέσις τοῦ περὶ καρδίαν αἵματος ἐκ τῆς ὕλης λαμβανόμενον, τὸ δὲ δι' ὄρεξιν ἀντιλυπήσεως⟩ ἐκ τοῦ εἴδους, τὸ γὰρ ἐν τῇ καρδίᾳ αἷμα ὑπόκειται μὲν καὶ τῷ πυρετῷ παρὰ φύσιν ὄντι θερμῷ νοσήματι, ὑπόκειται δὲ καὶ τῷ θυμῷ, πάθει ὄντι ὀρεκτῷ καὶ φύσει τῷ ζῴῳ ὑπάρχοντι. διὰ ταῦτα δὴ τὰ εἰρημένα τὰ οὐσιώδη εἴδη, οὔτε τέλειον εἴτε ἀτελῆ εἶναι, οὔτε εἰσὶν ἐξ ἀφαιρέσεώς ποτε οὔτε λέγονται. ταῦτα μὲν εἴρηται πρὸς γνῶσιν τοῦ τῇ μὲν μαθηματικῇ ἐπιστήμῃ ἐξ ἀφαιρέσεώς εἶναι τὰ ὑποκείμενα, τῇ

1 αὐτῶν a: ἑαυτῶν B χωριζόμενα B: χωριζόμεναι a 3 συνεζευγμένους B: συνεζευγμένα a σώμασιν a: σώματα B 4 ἐτύγχανεν B: ἐτύγχανον a 7 [illegible] B: ἐστέρηται a 11 ἀνάλογον B: εἶδος ἀνάλογον a 12 αὐτὴ a: αὐτὸ B ἀχώριστον B: ἀχώριστος a 31 cf. p. 259,32 (166,8. 136,25) περὶ καρδίαν B: περικαρδίου a ἐστι γὰρ—ἀντιλυπήσεως (33) a: om. B [illegible] καθαιρέσεως a

ὁ φυσικὴ καὶ πρώτη φιλοσοφία, ἣ καὶ κατ' ἐξαίρετον σοφία κοινεῖται.
πῶς ὁ δὲ ἐμπειρίας αἱ ἀρχαὶ τῇ σοφίᾳ καὶ τῇ φυσικῇ, ἔτι μᾶλ
πεται. οἶμαι δὴ ἡ ἐμπειρία ἐνταῦθα οὐ κατὰ τὸ σύνηθες σημαι
σθαι. ὅσα γὰρ ὄντως σημαίνῃ τριβήν. ἀλλ' ἀντὶ τῆς πραγμα
καὶ κατ' ἐπιβολὴν γνώσεως. τοῦτο γὰρ τὸ εἶδος τῆς γνώσεως κ
τὴν μαθηματικὴν γνῶσιν ἀντιδιήρηται, περὶ τὸ ἐξ ἀφαιρέσεως οὖ
σεται· ὁ τοίνυν παρὰ τὴν τῶν φυσικῶν εἰδῶν γνῶσιν ἐνεργήσα
γουσι. ὁ ἐντεῦθεν ἀρξώμεθα, παρὰ τὰ ὑπὸ τῆς φύσεως γινόμ
σποῦδην ἐνδείξασθαι βούλεται. ταῦτα δέ εἰσι τὰ ἔνυλα καὶ καθ'
οὐ γὰρ τὸν ἁπλῶς ἄνθρωπον ἡ φύσις ποιεῖ, ἀλλὰ τὸν τινὰ καὶ τὸ
ὡσαύτως καὶ τῶν φυσικῶν ἕκαστον, ὥστε ὁ μὴ λογικῶς ἀλλὰ
λέστερον τὸ φυσικὸ προσβλέπων ἐκ τῶν καθ' ἕκαστα τὰς ἀρχὰς τ
σεως λήψεται. ταῦτα δὲ αἰσθητά, ὥστε καὶ ὁ λόγος τῷ φυσικῷ
ἀρξάμενος, τὴν οἰκείαν θεωρίαν καὶ ἐπιστήμην ἑνόλως ἐνεργῶν κα
τῆς ὕλης τὴν περὶ τῶν εἰδῶν ποιούμενος διανόησιν καὶ ταῖς λογι
ὁδοῖς παρὰ τὰ ἔνυλα χρώμενος, ὡς εἶναι αὐτῷ τὰς ἐπιβολὰς
ἔνυλα καὶ αἰσθητὰ πρώτιστα, οἷς ἐπιφέρειν τὸ καθόλου οὕτως ἐ
οἰκείαν τέχνην ἢ ἐπιστήμην συνίστησιν. ἐκ γὰρ τοῦδε τοῦ ἀνθρώ
γόμενος καὶ ἑκαστον οὕτως ἔχειν ὑπολαμβάνων τὸ ἐπὶ πάντων
θεωρούμενον καθόλου τε ὑπάρχειν καὶ τεχνικὸν ὑποτεθεὶς τὸ
καὶ ἐπιστημονικόν. οἰκειωσάμενος τοῦ λόγου θεωρητικῶς, ὃ αὐτῷ
κῶς ἐκ τῆς αἰσθήσεως ὑποβέβληται. ἐπὶ μὲν οὖν τῆς φυσικῆς
ἐπὶ δὲ τῆς σοφίας πῶς ὑπάρχει. οὐκ ὄντων αἰσθητῶν τῶν ὑπο
αὐτῇ ἀλλὰ θείων καὶ ὑπὲρ αἴσθησιν; ἢ καὶ ἐπὶ τα
πρὸς ἡμᾶς πρῶτα ὁρᾶται τῆς καταλήψεως γίνονται, οὐχὶ τὰ φύσ
γοντα πρότερον. τὰ μὲν γὰρ φύσει πρότερον ἐν τοῖς θείοις ἢ τὸ
του παραγομένου ἐστὶν ἡ τὸ τελεσιουργὸν τοῦ τελεσιουργουμέν
φρουρητικὸν τοῦ φρουρουμένου ἢ τὸ καθαρτικὸν τοῦ καθαιρουμέν
φωτιστικὸν τοῦ φωτιζομένου καὶ ἁπλῶς τὸ ὑπερέχον τοῦ ὑπερε
ἀλλ' ἡμῖν οὐκ ἔστιν εὐθὺς ἐξ ἀρχῆς κατειληφέναι τὰ πρότερον,
πρὸς ἐκεῖνα ἐπιβολῆς τοὺς περὶ τῶν δευτέρων λόγους ἀποδιδόν
ὄντα πρώτως καὶ τὰ ἔσχατα ἐκείθεν ἀποτελούμενα. ταῦτα
σώμασι θεωρούμενα, ἅ ἐστιν αἰσθητὰ καὶ καθ' ἕκαστα, οἷς ἐπιβάλλ
τὴν τούτων ποικιλίαν καὶ σύστασιν καὶ συνοχὴν καὶ διεξαγωγὴν
τόμενοι ἀεὶ πρὸς τὸ προσεχὲς διὰ τῆς λογικῆς καὶ μεθόδου θεω
τρέχομεν αἴτιον, ἕστ' ἂν διὰ τῶν μέσων διακόσμων εἰς τὴν πρ
μίαν ἀρχὴν καταντήσωμεν. ὡς εἶναι κἀνταῦθα τὴν ἀρχὴν τῆ
σεως ἐκ τῶν αἰσθητῶν καὶ καθ' ἕκαστα ἐξ ἐμπειρίας ὑπαρχου
ἣ καὶ τὰ μὲν οὐ πιστεύουσιν οἱ νέοι ἀλλὰ λόγῳ τε καὶ
ἔννοιαν, ὡς οἱ νέοι περὶ τῶν φυσικῶν καὶ τῶν θείων ἀκούοντες,
πω τῆς προσηκούσης αὐτοῖς ἐμπειρίας ἀπήλαυσαν, χρόνου δεόμεν

νος καὶ τριβῆς, λέγειν μὲν καὶ διὰ στόματος προφέρειν ἃ ἐν ταῖς οἰκείαις 103r
ἀκοαῖς περὶ αὐτῶν ὑπεδέξαντο δύνανται. καταληψιν δὲ ἔχειν ἀδυνατοῦσιν 5
ἐν πράγμασιν. ἐπὶ δὲ τῶν μαθηματικῶν οὐ μόνον λόγους προφέρουσιν
ἀλλὰ καὶ τὸ τί ἐστιν οἴδασι διὰ τὸ μὴ πολλοῦ δεῖσθαι χρόνου πρὸς τῷ
καὶ τοὺς ὅρους αὐτῶν ἐπίστασθαι. τὸ γὰρ οὐ πιστεύουσι τοῦτο δηλοῖ,
ὅτι οὐκ ἐν πίστει καὶ πληροφορίᾳ τῶν πραγμάτων καθίστανται. νέους
δὲ ὀνομάζει ἐνταῦθα τοὺς παῖδας, ἐπεὶ καὶ ἐξ ἀρχῆς περὶ παίδων τὴν ζή-
τησιν προῦθετο, διότι μαθηματικὸς μὲν παῖς γένοιτ' ἄν, σοφὸς δὲ ἢ φυ-
σικὸς οὔ, παῖδα ὀνομάζων ἴσως τὸν ἐγγὺς τῆς ἥβης ἢ τὸν ἡδὴ ἡβάσκοντα 10
ἢ καὶ μετὰ τὴν ἥβην μικρόν.

p. 1142ª20 Ἔτι ἡ ἁμαρτία ἢ περὶ τὸ καθόλου ἐν τῷ βουλεύε-
σθαι ἢ περὶ τὸ καθ' ἕκαστα. ἢ γὰρ ὅτι πάντα τὰ βαρύσταθμα
ὕδατα φαῦλα, ἢ ὅτι τοδὶ βαρύσταθμον.

Τοῦτο πρὸς τὰ ἀνωτέρω ἐστίν, ὅτι δεῖ τῇ εἰδήσει τοῦ οἰκείου ἀγα-
θοῦ τῆς τοῦ κοινοῦ ἀγαθοῦ γνώσεως, ὡς δεῖσθαι τὸν ἑαυτῷ φρόνιμον τοῦ
οἰκονομικοῦ ἢ καὶ αὐτοῦ τοῦ πολιτικοῦ. ὁ γὰρ βουλευσάμενος ἢ ἥμαρτε 15
περὶ τὴν βούλευσιν ἢ κατέσχησε. τὸ δὲ εὐστοχῆσαι καὶ ἁμαρτεῖν ἐν
ἑκατέρῳ γενέσθαι δύναται, ἔν τε τῷ καθόλου καὶ τῷ καθ' ἕκαστα· ὥστε
ἄμφω δεῖ τὸν φρόνιμον ἔχειν, καὶ τὴν τοῦ καθόλου ἀγαθοῦ γνῶσιν καὶ
τὴν τοῦ καθ' ἕκαστα. καθόλου δὲ ἀγαθὸν λέγει καὶ καθ' ἕκαστα τὸ κοινὸν
καὶ ἰδικόν. ἔστι δὲ τὸ μὲν ἰδικὸν τοῦ ἰδίως φρονίμου, τὸ δὲ κοινὸν τοῦ
οἰκονομικοῦ καὶ ἔτι τοῦ πολιτικοῦ, ὥστε δεῖ τῷ ἰδίως φρονίμῳ τοῦ οἰκο-
νομικοῦ καὶ πολιτικοῦ, ἵνα μὴ μόνον τοῦ ἰδίου ἀγαθοῦ ἔχῃ τὴν εἴδησιν
ἀλλὰ καὶ τοῦ κοινοῦ, ἵν' εὖ βουλεύοιτο καθ' ἑκάτερον. παράδειγμα δὲ 20
εἴθηκε τοῦ μὲν καθόλου καὶ κοινοῦ ἀγαθοῦ τὸ πάντα τὰ βαρύσταθμα ὕδα-
τα φαῦλα εἶναι, τοῦ δὲ μερικοῦ καὶ καθ' ἕκαστα τὸ ὅτι τοδὶ τὸ ὕδωρ βα-
ρύσταθμον. ὁ δὲ ἁμαρτάνων περὶ τὴν χρῆσιν τῶν ὑδάτων ἀδιαφόρως
τοῖς ὕδασι χρήσεται καὶ προσήσεται τὰ φαῦλα ὡς μὴ μετέχοντα τῆς φαυ-
λότητος ἢ ἁπλῶς ἢ καθ' ἕκαστα. ὡς οὖν ὁ κακῶς βουλευόμενος περὶ τῶν
ὑδάτων καὶ καθόλου καὶ ἐν μέρει καὶ τὰ φαῦλα καὶ τὸ φαῦλον προσήσε- 25
ται καὶ ἁμαρτητικῶς αὐτοῖς χρήσεται, οὕτω καὶ ὁ περὶ ταγαθοῦ βουλευσά-
μενος ἢ καθόλου ἁμαρτήσεται ἢ καθ' ἕκαστον. καὶ ἐπεὶ τελειότερον τὸ κοι-
νὸν τοῦ καθ' ἕκαστα ὡς περιεκτικὸν αὐτοῦ, τελειότερος ἔσται ὁ φρόνιμος, ὁ
τοῦ κοινοῦ κεκτημένος εἴδησιν. δεῖ ἄρα τῷ ἰδιαῖως φρονίμῳ τοῦ οἰκονο-
μικοῦ καὶ πολιτικοῦ, ὡς τῶν κοινῶς ὠφελίμων ἐχόντων καταλῆψιν.

2 περὶ scripsi: παρ' Ba 7 ἐπεὶ B: ἐπειδὴ a ἐξ ἀρχῆς] A 1 p. 1095ª2
10. 11 βουλεύεσθαι corr. ex βούλεσθαι B: βουλεύσασθαι a et Aristoteles 12 [illegible] 1
ἕκαστον a et Aristoteles 20 καὶ καθ'ἕκαστα B: καὶ καθ'ἕκαστον a 22 καὶ [illegible]
λιτικοῦ B: om. a 23 ἔχῃ B: ἔγει a 31 ἁμαρτητικῶς scripsi: ἁμαρτικῶς Ba
33 καθ'ἕκαστα B: καθ'ἕκαστον a

p. 1142a23 Ὅτι δ' ἡ φρονησις οὐκ ἐπιστήμη, φανερόν. τοῦ
ἐσχάτου ἐστίν, ὡσπερ εἴρηται. τὸ γὰρ πρακτὸν τοιοῦ

Τοῦτο ὡς πόρισμα τοῖς προσεχῶς εἰρημένοις ἠκολούθησεν.
μὲν γὰρ καὶ ἀνωτέρω τὸ διάφορον ἐπιστήμης καὶ φρονήσεως.
καὶ νῦν ἀδυνατον, εἰδυῖᾶ διὰ τῶν προσεχῶς εἰρημένων φρόνιμον ἐ
νέον, διότι ἐμπειρίας δεῖ πρὸς τὴν φρονησιν, ἧς ὁ νέος ἀμέτοχος
πρακτὰ περὶ ἃ ἡ φρόνησις καθ' ἕκαστα ἐστι. τὸ δὲ καθ' ἕκαστα ἐ
καὶ ἐμπειρίας καταλαμβάνεται, τοῦτο μὲν αὐτῷ συνετέλεσεν εἰς τὸ
μὴ δύνασθαι εἶναι τὸν νέον φρόνιμον. ἠκολούθησε δὲ ἐξ ἀνάγκης ἐ
καὶ τὸ ὅλως γενέσθαι τὸ εἶναι ἑτέρας ἀλλήλων ἐπιστήμην καὶ φ
εἴτε ἡ μὲν ἐπιστήμη περὶ τὰ καθόλου. ἡ δὲ φρόνησις περὶ τὰ καθ'
καὶ ἄλλως. ὅτι ὁ νέος ἐπιστήμων εἶναι δύναται. νέος μὲν ὤν, φ
δὲ οὐ, διὰ τὸ δεῖσθαι πολλοῦ χρόνου καὶ πολλῆς ἐμπειρίας τὴν φ

p. 1142a25 Ἀνατίθεται μὲν δὴ τῷ νῷ. ὁ μὲν γὰρ νοῦς τῶν
ὧν οὐκ ἔστι λόγος. ἡ δὲ τοῦ ἐσχάτου οὐ οὐκ ἔστιν ἐπι
ἀλλ' αἰσθήσεως, οὐχ ἡ τῶν ἰδίων, ἀλλ' οἵα αἰσθανόμεθ
τὸ ἐν τοῖς μαθηματικοῖς ἔσχατον τρίγωνον· στήσετ
κασι· ἀλλ' αὕτη μᾶλλον αἴσθησις ἡ φρόνησις. ἄκεῖ
ἄλλο εἶδος.

Ὥσπερ τῆς ἐπιστήμης διὰ τοῦ ῥηθέντος πορίσματος διάφορ
φρόνησιν ἔδειξε, προσθήκην τοῦτο ποιησάμενος ἐπὶ τοῖς πρότερον
σκεψόμεθ' αὐτῶν εἰρημένοις, οὕτω καὶ ταῦτα προστίθησιν, ἐφ' οἷς
περὶ φρονήσεως εἴρηκε καὶ τοῦ νοῦ, δεικνύων καὶ αὐτοῦ τὴν φρόνη
φρονεῖν. ἀντικεῖσθαι γὰρ φησι τὴν φρόνησιν τῷ νῷ κατὰ τὸ ὁ
νον. ὡς καὶ τὴν ἐπιστήμην. καὶ γὰρ τῆς ἐπιστήμης περὶ τὸ
καταγινομένης, διαφέρει αὐτῆς ἡ φρονησις, ὅτι περὶ τὰ καθ' ἕκαστ
νον τοίνυν διαφέρει ἡ φρόνησις ὅτι ὁ μὲν νοῦς ὅρων ἐστὶ γνωστ
οὐκ ἔστι λόγος. ὅρους δέ φησιν ἢ τοὺς ὁριστικοὺς λόγους, οἷς
οἱ μαθηματικοί. ἕκαστος κατὰ τὴν ἑαυτῶν ἐπιστήμην. οἷον ὁ μὲν
τικός, τί ἐστιν ἀριθμὸς ἁπλῶς ἢ τί ἐστι περισσὸς ἀριθμὸς ἢ τι ἀρ
τοὺς λοιποὺς, ὁ δὲ γεωμέτρης τί ⟨ἐστι⟩ στιγμή, τί ἐστι γραμμή,
ἐπιφάνεια, τί σῶμα, τί κύκλος, τί τρίγωνον καὶ τῶν σχημάτων
καὶ ὅσα ἕτερα ὁριστικῶς ἐκεῖσε λαμβάνονται ἢ ἁπλῶς τὰς πρώτας
πᾶσαι γὰρ αἱ ἀρχαὶ τῶν ἐπιστημῶν ὅροι πώς εἰσιν, ἐπεὶ ἀναλύσ
μενοι, μέχρις αὐτῶν ἀνιόντες, παυόμεθα, ζητοῦντές τι τῶν ἀρχῶν

15 οὖ B et Arist. vulg.: om. a et Arist. codd. $K^b M^b$ 20 διάφορον
1 21 τῷ νῷ B: καὶ τῷ νῷ a 31 ἐστι addidi: om. Ba
ἀγία B 35 παυόμεθα a: παύομεν B

ρον. ἐπεὶ τοίνυν τοῦθ' οὕτω καὶ διττῶς ἐξείληπται, καὶ τὸ ὢν | οὐκ 103v
ἔστι λόγος διττῶς νοηθήσεται, ἢ λόγος ὁ τὸ τί ἦν εἶναι, ἢ αἰτίας ἀπό-
δοσις καὶ συλλογισμός. καθ' ἑκάτερον γὰρ οὐκ ἔσονται ἀρχαὶ αἱ ἀρχαί,
ὥστε καὶ εἰς ἄπειρον ἀνιοῦσι μηδὲ ἐπιστήμας εἶναι τὰς ἐπιστήμας συμ-
βήσεται. δείκνυσι δὲ ἐνταῦθα ἑτέραν τοῦ νοῦ τὴν φρόνησιν διὰ τὸ
τὸν μὲν νοῦν τῶν πρώτων εἶναι, ἅ εἰσιν οἱ ὅροι, τὴν δὲ φρόνησιν τῶν
ἐσχάτων, ἅ εἰσι τὰ αἰσθητὰ καὶ καθ' ἕκαστα. ὥστε καὶ ταύτῃ διαφέρει
κατὰ τὰ ὑποκείμενα, ὡς ἀδύνατον εἶναι ἓν ὑπάρχειν καὶ τὸ αὐτὸ κατ'
εἶδος τό τε περὶ τὰ πρῶτα γινόμενον καὶ τὸ περὶ τὰ ἔσχατα. ὅρα δὲ ὅτι
τὰ ἀμφοῖν ὑποκειμένα, φρονήσει καὶ νῷ, κοινωνοῦσι κατὰ τὸ ἀνεπίστημον.
οὔτε γὰρ τῶν ὅρων ἐπιστήμη οὔτε τῶν αἰσθητῶν καθ' ἕκαστα, ἀλλ' ἐκεῖ
μὲν διὰ τὸ ὑπερκεῖσθαι τῆς ἐπιστήμης τοὺς ὅρους, ἐνταῦθα δὲ διὰ τὸ
λείπεσθαι ἐπιστήμης τὰ ὑποκείμενα τῇ φρονήσει, αἴσθησιν δὲ εἶναι τὴν
ταῦτα γινώσκουσαν. πῶς δὲ ἐπὶ μὲν τοῦ ὑποκειμένου τῷ νῷ τῷ πλήθυν-
τικῷ ἐχρήσατο ἀριθμῷ, ἐπὶ δὲ τοῦ ὑποκειμένου τῇ φρονήσει τῷ ἑνικῷ,
καίτοι τὰ καθ' ἕκαστα πλείω τῶν καθόλου τῷ ἀριθμῷ· τὸ μὲν γὰρ καθό-
λου ἕκαστον ἕν, τὰ δὲ καθ' ἕκαστα πλείω ὄντα εἰς ἓν τὸ προσεχὲς καθό-
λου ἀνάγονται, ὡς ὁμοῦ περιεχόμενα ὑπ' αὐτοῦ; ἢ ὅτι ἡ μὲν φρόνησις
ἐν ταῖς ἐνεργείαις αἰεὶ ἓν τι λαμβάνει τῷ ἀριθμῷ περὶ οὗ σκοπεῖ καὶ με-
λετᾷ τὴν κατόρθωσιν, ὁ δὲ νοῦς καθόλου αἰεί, τὸ δὲ καθόλου περιεκτικὸν
πολλῶν. ὥστε τὸ ἓν τοῦ νοῦ πολλὰ τῇ περιοχῇ. διὰ τοῦτο ἐκεῖ μὲν
πληθυντικῶς εἶπεν, ὧδε δὲ ἑνικῶς. αἴσθησις δὲ φησιν οὐχ ἡ τῶν
ἰδίων, ἀλλ' οἷα αἰσθανόμεθα. οὐχ οὕτω, φησίν, αἴσθησιν λέγομεν
τὴν ἐνεργοῦσαν περὶ τὸ ὑποκείμενον τῇ φρονήσει, ὡς λέγομεν ἐφ' ἑκάστου
γένους τῶν αἰσθητῶν, ἰδίαν εἶναι αἴσθησιν τὴν ἐνεργοῦσαν περὶ αὐτό, ὡς
περὶ μὲν τὰ χρώματα τὴν ὅρασιν, περὶ δὲ τοὺς ψόφους τὴν ἀκοήν,
περὶ δὲ τὰς ὀδμὰς τὴν ὄσφρησιν, περὶ δὲ τοὺς χυμοὺς τὴν γεῦσιν, καὶ τὴν
ἁφὴν περὶ τὰ ἁπτά, ἀλλ' ἁπλῶς τὰ καθ' ἕκαστα καὶ ἐν οἷς ἡ αἰσθητικὴ
γνῶσις ἐνεργεῖν πέφυκεν. εἰ γάρ τις περὶ τῆσδε τῆς εἰρήνης ἢ τοῦδε
τοῦ πολέμου βουλεύοιτο, εἰ δεῖ ἔσεσθαι ἢ μή, καὶ εἰ ἔσται, πῶς ἔσται
καὶ διὰ τί ἔσται, καὶ εἰ οὐκ ἔσται ὡσαύτως, οὐχ ὡς περὶ ἰδίου μιᾷ τινι
τῶν αἰσθήσεων χρώμεθα, ἀλλὰ περὶ τοῦ ἁπλῶς καὶ καθ' ἕκαστα αἰσθη-
τοῦ. τίθησι δὲ καὶ παράδειγμα τοῦ εἰρημένου τὸ τοῖς μαθηματικοῖς ἔσχα-
τον. εἰ γὰρ καὶ μαθηματικῆς ἐπιστήμης ἐστὶ τὸ ἀποδεῖξαι περὶ τῶν καθ'
αὐτὸ ὑπαρχόντων τῷ τριγώνῳ, καὶ καθόλου ἡ ἀπόδειξις γίνεται, ἀλλὰ τὸ
ἔσχατον τριγώνων ἧττον τὸ ἄτομον καὶ καθ' ἕκαστον ἡ τοιοῦτόν ἐστιν οὐκ
ἐπιστήμῃ ἀλλ' αἰσθήσει ὑπόκειται, οὐχ ὡς χρῶμα οὐδ' ὡς ψόφος οὐδ'
ὡς ἄλλο τι, ὃ παρά τινος μιᾶς τῶν αἰσθήσεων κρίνεται, ἀλλ' ὅτι καθ'
ἕκαστον. ὅτι δὲ αἰσθητὸν τοῦτο, ἔδειξεν ἐκ τοῦ εἰπεῖν στήσεται γάρ
κἀκεῖ. ὅτι γάρ, φησίν, αἰσθητὸν τὸ ἔσχατον τριγώνων, δῆλον ἐντεῦθεν.

2 αἰτίας B: αἰτία a 5 ἑτέραν B: καὶ ἑτέραν a τοῦ νοῦ τὴν B: τὴν τοῦ νοῦ a 7 ταύτῃ B: ταῦτα a 13 ἐπιστήμης B: ἐπιστήμην a 31 διὰ τι B: διότι a

κατιών γὰρ ἄν τις ἀπὸ τῶν καθόλου καὶ περιεχόντων εἰς τὰ μερ
περιεχόμενα. στήσεται εἰς τὸ ἔσχατον, ὡς καὶ ἐπὶ τῶν ἄλλω
ὁπόσα τις ἀπὸ τῶν καθόλου κατεισιν. ἵσταται γὰρ ὁ κατιών, ἐλθὼ
ἔσχατα. δύο γὰρ ἕξεις τῶν γνωστικῶν δυνάμεων αἱ ἀκρότητες
καὶ ἔσχαται· κάτωθεν μὲν ἀνιόντων ἡμῶν ὁ νοῦς ἔσχατος, ὃ
αὐτοῦ καὶ τῶν ὑπ' αὐτοῦ γινωσκομένων ἡ ἄνοδος, ἡ δὲ αἴσθησι
ὅτι ἀπὸ ταύτης τῆς ἀνόδου ἀρχόμεθα· εἰ δ' ἄνωθεν τὴν ὁρμ
μεθα καὶ τὴν κίνησιν ἀπὸ τοῦ νοῦ πρώτου ἀπὸ τῶν γνωστικῶν
δέων, καὶ πρῶτα καὶ ἀρχὰς τὰ παρ' αὐτοῦ γινωσκόμενα τίθ
ἐσχατην δὲ καταντῶμεν τὴν αἴσθησιν, καὶ ἃ ὑπ' αὐτῆς γινώσκ
φύκε· ταῦτα δὲ τὰ μερικὰ καὶ καθ' ἕκαστα. καὶ ὅταν οὕτω λέγ
μεν τοὺς λαμβάνοντας τῶν κατὰ μέρος αἰσθήσεων. οἷον ὅρασιν ἢ
ἀέρα τινὰ τῶν στοιχείων ὅλα ἁπλῶς τὴν κοινήν. δεῖ γὰρ
ἐσχάτου τινός, ὃ κρίνει ταναντία ἐπὶ τῶν αἰσθητῶν καὶ τὰ
οἷον (ἐν) ὡς ἐπὶ παραδείγματος εἴπωμεν τῆς ὁράσεως, τὸ μὲν
ὁρᾷ εἰς τὸν ἀέρα καὶ αὐτὸν κατὰ τὰ εἴδη τῶν ὁρατῶν διατίθη
παραπεμπόμενον τούτου τῇ κορῇ, ἡ δὲ τῷ αἰσθητῷ πνεύματι, τὸ δὲ
αἰσθήσει ἢ ἀμερὴς οὖσα καὶ ταναντία καταλαμβάνει καὶ τί ἄλλ
φέρουσι κρίνειν ὑναται. οὕτως ἐπ' ἀκουστῶν, οὕτως ἐπὶ ὀσφρα
των ἐπὶ πάντων τῶν αἰσθητῶν γίνεται, ὡς δύνασθαι τὴν κοινὴν
ἀμερῆ οὖσαν καὶ ταναντία καὶ τὰ ἑτερογενῆ κρίνειν πρὸς ἄλλη
φέρουσαν. ἀλλ' αὕτη μᾶλλον ἡ αἴσθησις ἢ φρόνησις, ἐ
ἄλλα εἴδη. ἐπεὶ περὶ τῶν πρακτῶν καὶ βουλευτῶν εἴρηκε κ
γνωστικὴ καθ' ἕκαστα καὶ αἰσθητικὸν. καὶ περὶ ταῦτα τὴν φρόνησιν κατ
ὡς ἂν τὰ ὑποπίπτοντα προσχρῶς αὐτῶν ἐφαπτόμενον, ὥσπερ
ποιεῖται τοῦ μετὰ φρονήσεως αἰσθάνεσθαι τοῦ καθ' ἕκαστα καὶ τ
ἦν κατὰ τὴν κοινὴν αἴσθησιν. τὸ γὰρ οἷα αἰσθανόμεθα τοῦ
ἦν τῇ κοινῇ αἰσθήσει καθ' ἣν ἡμῖν προσγίνεται τὸ αἰσθάνε
σθαι καὶ κοινῇ πρὸς παντα ἐνεργοῦσα τὰ αἰσθητά. ἡ γὰ
ὄψις, τις κατὰ τὰ αἰσθητὰ γίνεται, ὧν δεῖ τῇ κοινῇ αἰσθήσει.
γανοις χρωμένη αὐτοῖς τοῖς διαφόροις κατὰ γένος προσβάλλη
σθήσεσι. ταύτην δὲ μίαν καὶ ἡ αὐτὴ ἐστι, καὶ ὥσπερ ποιότης
τὴν κοινότητα τῇ ἁπλῶς προσάπτων αἰσθήσει. οὐ λεγομεν
σθησιν τὴν τῶν ἰδίων αἰσθητῶν τῆδε ἢ τῆδε, ὃ δ' αἰσθητ
γορεῖ. ἀλλὰ τοιαύτην λέγομεν ὁποίᾳ αἰσθήσει ἁπλῶς καὶ κοιν
νόμεθα. φησὶ δὲ ταύτην μᾶλλον εἶναι αἴσθησιν, τὴν κατὰ φρο
σιν τὸν λόγον καὶ ἐπιστασίαν, ἐκείνην δὲ ἀνεπίστατον καὶ ἀνεπίστα
σιν τὸ μετὰ λόγου κρεῖττον τοῦ ἄνευ λόγου. τοσούτων κρειττον

1 B: om. a 10. 11 πέφυκε B: πεφύκασι a 15 B:
16 a: om B 17 αἰσθητῷ B: αἰσθητικῷ a 22
τοτέλης ἐκείνη Ba: ἐκεῖνα Aristoteles 25
 B:

ἡ φρόνησις τῆς τοῦ αἰσθητοῦ ἰδίας αἰσθήσεως· διὸ καὶ ἄλλο εἶδος 104r
ἐκείνη ἡ αἴσθησις ταύτης τῆς αἰσθήσεως, ὡς καὶ τὸ λογικὸν τοῦ ἀλόγου
ἕτερον.

p. 1142a31 Τὸ ζητεῖν δὲ καὶ τὸ βουλεύεσθαι διαφέρει· τὸ γὰρ
βουλεύεσθαι ζητεῖν τί ἐστι.

Διδάξας ἱκανῶς ἤδη περὶ τῶν πέντε εἰδῶν, λέγω δὴ φρονήσεως τέ-
χνης ἐπιστήμης σοφίας νοῦ, καθ' ἃς τὸ ἀληθεύειν ἀνθρώποις ἐστι, προτι-
θεται καὶ περὶ ἑτέρων τινῶν εἰδῶν διδάξειν, οἳ καὶ αὐτοὶ τῇ φύσει θεω-
ροῦνται τῶν ἀνθρωπίνων πράξεων ἐνεργούντων κατὰ λόγον. ἔχρην γάρ,
ὡς ἐπὶ τῶν πρακτικῶν ἐνεργειῶν ἀνέλιπῆ τὴν διδασκαλίαν εἰργάσατο,
οὕτω ποιῆσαι καὶ ἐπὶ τῶν διανοητικῶν, καὶ πρῶτον παραδίδωσι περὶ εὐ-
βουλίας. ποιεῖται δὲ κἀνταῦθα τὴν διδασκαλίαν ὁμοιότροπον τῇ προτέρᾳ,
διϊστὰς μὲν ἑκάστην τούτων τῶν ἕξεων ἀπὸ τῶν ἄλλων, πρὸς ἃς ἔχει
τινὰ ὁμοιότητα, καὶ ἀποδιδοὺς τὸν λόγον αὐτῆς ἰδιάζοντα καὶ ἀντιστρέφον-
τα πρὸς αὐτήν. ἐπεὶ δὲ περὶ φρονήσεως ἔλεγε προσεχῶς, οἰκεῖον δὲ τῇ
φρονήσει τὸ εὖ βουλεύεσθαι, διὰ τοῦτο καὶ περὶ εὐβουλίας πρῶτον τὸν
λόγον ποιεῖται. ἀλλ' ἐπεὶ τὸ ἁπλῶς βουλεύεσθαι περιεκτικὸν τοῦ εὖ τοῦτο
ποιεῖν ἢ μή, τούτου ἕνεκα λέγει τι πρῶτον μικρὸν περὶ τοῦ βουλεύεσθαι.
ἀλλὰ καὶ ζητητικὸς ὁ ἄνθρωπος ὡς καὶ βουλευτικός, καὶ ἐοίκασιν ἀλλή-
λαις ζήτησις καὶ βούλευσις. διὰ τοῦτο τίθησι πρότερον τὴν διαφορὰν
τοῦ ζητεῖν τε καὶ τοῦ βουλεύεσθαι, καὶ λέγει καθολικώτερον εἶναι τὸ ζη-
τεῖν τοῦ βουλεύεσθαι. πᾶς γὰρ ὁ βουλευόμενος ζητεῖ, οὐ μὴν καὶ πᾶς
ὁ ζητῶν βουλεύεται. ἡ μὲν γὰρ βούλευσις περὶ τῶν πρακτέων ἐστὶ ζή-
τησις, ἔστι δὲ καὶ ζήτησις περὶ ἕτερα θεωρητά, οὐχὶ πρακτέα, τυγχάνοντα.
τὸ γὰρ ζητεῖν εἰ σύμμετρος ἢ ἀσύμμετρος ἡ διάμετρος τῇ πλευρᾷ ἢ εἰ
σελήνη τῇ σκιᾷ ὑποπίπτει τῆς γῆς ἢ μή, οὐχὶ τῶν πρακτῶν εἰσὶν ἀλλὰ
τῶν θεωρητῶν. διὰ τοῦτό τις ζήτησις ἡ βούλευσις, ὡς εἶδος οὖσα ζητή-
σεως, καί τι ζητεῖν τὸ βουλεύεσθαι.

p. 1142a32 Δεῖ δὲ διαλαβεῖν καὶ περὶ εὐβουλίας τί ἐστι, πότε-
ρον ἐπιστήμη τις ἢ δόξα ἢ τι ἄλλο γένος.

Τῷ περὶ φρονήσεως διδάξαντι ἀναγκαῖον ἦν καὶ περὶ εὐβουλίας εἰ-
πεῖν, διότι τῇ φρονήσει ἀναγκαῖόν ἐστι τὸ ὀρθῶς βουλεύεσθαι. διὰ τοῦτο
περὶ φρονήσεως διδάξας ἀκολούθως καὶ τὴν εὐβουλίαν τί ἐστι παραδίδωσι,
πρῶτον μὲν τί οὐκ ἔστι λέγων καὶ διαστέλλων αὐτὴν ἀπὸ τῶν ἕξεων, ὧν
εἰκὸς δόξαι μίαν αὐτὴν τοῖς μὴ σὺν ἀκριβείᾳ σκοποῦσιν, ἃς καὶ ἐκτίθεται.

4 τὸ (ante βουλεύεσθαι) B et Arist.: om. a 8 αὐταὶ scripsi: αὖται Ba 8. 9 τῶν ἀνθρώπων θεωροῦνται a 14 καὶ (ante ἀποδιδοὺς) B: om. a 18 περὶ scripsi: παρὰ Ba 29 διαλαβεῖν Ba et Arist. cod. Ob: λαβεῖν Arist. vulg. 30 post ἢ δόξα add. ἢ εὐστοχία a et Arist.: om. B τι ἄλλο B: ἄλλο τι a

p. 1142a34 Ἐπιστήμη μὲν δὴ οὐκ ἔστιν· οὐ γὰρ ζητοῦσ
ὧν ἴσασιν, ἡ δ' εὐβουλία βουλή τις, ὁ δὲ βουλευόμεν
καὶ λογίζεται.

Πρὸ τῶν ἄλλων τῆς ἐπιστήμης τὴν εὐβουλίαν διίστησιν, οὗ
γιζόμενος· ἡ ἐπιστήμη οὐ ζητεῖ, ἡ εὐβουλία ζητεῖ, ἡ εὐβουλί
ἐστιν ἐπιστήμη. καὶ ἔστιν ὁ συλλογισμὸς ἐν δευτέρῳ σχήματι
σκευάζει τὴν μὲν μείζω πρότασιν οὕτως. ὁ ἐπιστήμων ἴσησι
τὰ περὶ ὧν τις ἴσησιν οὐ ζητεῖ. ὁ ἐπιστήμων ἄρα οὐ ζητεῖ
ἐπιστητῶν. καὶ ἔστιν οὗτος ὁ λόγος ἐν πρώτῳ σχήματι. τὴν
πρότασιν οὕτως· ἡ εὐβουλία βουλή τις· ὁ βουλευόμενος ζητεῖ.
ἄρα ζητεῖ. βουλὴ γὰρ καὶ βούλευσις τὸ αὐτό. ἕτερον δὲ
παρὰ τὴν βουλὴν καὶ τὴν βούλευσιν. ἐκεῖ γὰρ οὐκ ἔστι ζήτη
μόνον ὁρᾶς τοῦ βουλητοῦ πράγματος. τὸ δὲ καὶ λογίζεται
ἔστι πρὸς τὸ δεῖσαι ζητοῦντα τὸν βουλευόμενον, ἵνα τοιοῦτος ὁ
νηται· ὁ βουλευόμενος λογίζεται. ὁ λογιζόμενος ζητεῖ. ὁ βου
ἄρα ζητεῖ. εἶπε δὲ οὐ γὰρ ζητοῦσι περὶ ὧν ἴσασι πρὸς
στημονας ἀναπέμπων τὸν λόγον, ἐν εἴη οὕτω νοούμενον τὸ λεγό
δὲ οὐκ ἔστιν ἡ ἐπιστήμη ἡ εὐβουλία. δῆλον ἀπὸ τοῦ τοὺς ἐ
μὴ ζητεῖν περὶ ὧν εἰσιν ἐπιστήμονες. μεταβὰς δὲ τὸν λόγον
ἐπιστήμης ἐπὶ τοὺς ἐπιστήμονας ὅτι τὸ τὴν ἐπιστήμην μὲν
ἐν τῇ ψυχῇ, τοὺς ἐπιστήμονας δὲ εἶναι τοὺς ἐναργῶς
ἐκτός.

p. 1142b2 Ἀλλὰ μὴν οὐδ' εὐστοχία· ἄνευ γὰρ λόγου
χύ τι ἡ εὐστοχία, βουλεύεται δὲ πολὺν χρόνον, κ
πράττειν μὲν δεῖν ταχὺ τὰ βουλευθέντα, βουλεύεσθαι
δέως.

Ἐπεὶ τὸ στοχάζεσθαι ἔχει τινὰ κοινωνίαν πρὸς τὸ βουλεύε
ἀμφότερα πρὸ τοῦ πράγματος γίνονται, πρὸς ὃ ἀφορῶσιν ὅ τε β
νος καὶ ὁ στοχαζόμενος, εἰκὸς ἦν δόξαι τινὰ ταὐτὸν εἶναι τὸ στ
καὶ βουλεύεσθαι. καὶ διὰ τοῦτο ταὐτὸν καὶ τὸ εὖ ἐνεργεῖν καὶ
διαστέλλει τοίνυν καὶ ἀπὸ τῆς εὐστοχίας τὴν εὐβουλίαν· ἡ δὲ
κατὰ τὸν χρόνον, καὶ φησι τὴν μὲν εὐστοχίαν ἄνευ λόγου εἶναι,
κατὰ τὸν λόγον μελέτης καὶ σκέψεως καὶ ἐπὶ χρόνον βραχύν.
λευόμενος μελετᾷ καὶ πολὺν χρόνον βουλεύεται, ἐνδεὴς ὢν τῆς
μένης πρὸς τὸ πρᾶγμα φρονήσεως καὶ ἀγνοῶν ἐξ ἀρχῆς, ὅπως
βουλευόμενον ἀνυσθήσεται. ταῦτα δ' ἀλλήλων διάφορα. φέρ

2 βουλή τις B et Aristoteles: βουλή τις ἐστίν a 20 ἔκτος γρ. B: κ
21 toteles 21 βούλεται, suprascripto εὖ B 1 et Aristotel
ται B: γίνεται a 29 στοχάζεσθαι καὶ B στοχάζεσθαι καὶ a

τὴν δημώδη παροιμίαν εἰς μαρτυρίαν, συμβουλεύουσαν ἐπὶ μακρὸν 104r
μὲν βουλεύεσθαι, ταχέως δὲ πράττειν τὸ βουλευόμενον, ὡς τῆς μὲν βου-
λῆς μακροῦ τινος δεομένης χρόνου, ὥστε τὸν τρόπον συστήσασθαι τῆς
ἐπιτυχίας τοῦ πράγματος, τῆς δὲ πράξεως ταχύτητος, | ἵνα μὴ ἐναλλα- 104v
3 γέντος τοῦ βουλευτοῦ ἀνοικείως ἔξει πρὸς αὐτὸ ὁ μελετηθεὶς τρόπος τῆς
ἐπιτεύξεως. ὃ ἔστι τῆς τῶν συνεχομένων ἀφροντιστίας. χρῆται δὲ τῇ
παροιμίᾳ ταύτῃ καὶ Ἰσοκράτης ἐν ταῖς πρὸς Νικοκλέα ὑποθήκαις. τὸ δὲ
βουλεύεται δὲ πολὺν χρόνον ἐλλιπῶς εἴρηται, καὶ δέον προσκεῖσθαι
τὸ ὁ βουλόμενος.

10 p. 1142b5 Ἔτι ἡ ἀγχίνοια ἕτερον καὶ ἡ εὐβουλία· ἔστι δὲ εὐ- 5
στοχία τις ἡ ἀγχίνοια.

Ἕτερον ἐπιχείρημα ἕτερα δεικνύον πρὸς ἄλληλα εὐβουλίαν καὶ εὐ-
στοχίαν, ἐκ μέρους ἢ ἐξ εἴδους τῆς εὐστοχίας ἔχον τὴν σύστασιν. ὁμο-
λογούμενον γὰρ λαβὼν τὸ τὴν ἀγχίνοιαν εὐστοχίαν εἶναί τινα, δείκνυσι διὰ
15 τούτου, ὡς οὐ ταὐτὸν εὐβουλία καὶ εὐστοχία. εἰ γὰρ ἦν τὸ αὐτό, ἔδει 10
καὶ τὴν ἀγχίνοιαν, ἐπεὶ εὐστοχία τίς ἐστιν, εἶναι καὶ εὐβουλίαν τινά. ἀλλὰ
μὴν οὐκ ἔστιν εὐβουλία τις ἡ ἀγχίνοια, οὐκ ἄρα ταὐτὸν εὐβουλία καὶ εὐ-
στοχία. ὅτι δὲ οὐκ ἔστιν ἡ ἀγχίνοια εὐβουλία, δῆλον ἐκ τοῦ ὅρου τῆς
ἀγχινοίας. ἀγχίνοια γάρ ἐστιν ἀσκεπτος ἀπόδοσις τοῦ μέσου· μέσον δὲ λέγομεν
20 τὴν αἰτίαν, δι' ἣν ὁ ἐν τῷ συμπεράσματι κατηγορούμενος ὑπάρχει τῷ
ὑποκειμένῳ, ὅταν ἐρωτώμενός τις, διὰ τί τόδε τῷδε ὑπάρχει. ἀσκέπτως
καὶ ἀμελετήτως ἀποδῷ τὴν αἰτίαν, ὡς ἀγχίνους τοῦτο ποιεῖν λέγεται, οἷον
εἰ τύχῃ, εἴ τις ἐρωτηθείη, διὰ τί τὸ διὰ τῆς τοιᾶσδε καταγραφῆς τῶν
κύκλων ἀποτελούμενον τρίγωνον ἰσόπλευρόν ἐστιν, εἴποι ἀσκέπτως, διότι 15
25 αἱ δύο πλευραὶ τῇ μιᾷ εἰσιν ἴσαι. οὕτω γὰρ λέγων κατὰ ἀγχίνοιαν ἀπο-
δέδωκεν. ἡ δὲ ἀσκεπτος ἀπόδοσις ἀμελετήτως· ἡ δὲ εὐβουλία βούλευσις
ἀγαθή· πᾶσα δὲ βούλευσις μελέτη καὶ σκέψις ἐστί, πᾶσα δὲ μελέτη καὶ
σκέψις διὰ μακροῦ τινος τὴν γένεσιν δέχεται· ὥστε καὶ ἡ εὐβουλία διὰ
μακροῦ. πῶς οὖν τὸ ἄσκεπτον καὶ ἀβούλευτον ὑπὸ τὴν σκέψιν ἀναχθῇ
30 καὶ τὴν βούλευσιν, ὅτι δὲ ἡ ἀγχίνοια εὐστοχία, δῆλον. συντόμως γὰρ ἡ 20
ἀγχίνοια μετὰ ὁρμῆς στοχασμὸν τὸ μέσον ἀποδίδωσιν. οὐ γὰρ ὁ τυχὸν
ἀποδοὺς οὗτος ἀγχίνους ἐστίν, ἀλλ' ὃς τὸ κυρίως αἴτιον τοῦ πράγματος
ἀσκέπτως ἀποδιδῷ. οὐκ ἐπὶ μόνων δὲ θεωρεῖται τῶν θεωρητῶν ἡ ἀγχί-
νοια, ἀλλ' οὐδὲν ἧττον καὶ ἐπὶ τῶν πρακτῶν. ὁ γὰρ λογισθετούμενος ἐπὶ
35 πράξεσι λόγους ἀποιτεῖται τῶν πεπραγμένων. εἰ γοῦν ἔχει τούτους ἐτοίμους 25
καὶ καλῶς αὐτοὺς ἀποδίδωσιν, ἀγχίνους ὀνομάζεται. διὰ τοῦτο χρὴ τὸν

4 ταχύτητος a: ταχύτητα B 5 ἕξει B: ἕξῃ a 7 ἐν ταῖς πρὸς Νικοκλέα ὑπο-
θήκαις] immo πρὸς Δημόνικον § 31 25 αἱ δύο πλευραὶ a: τῶν δύο πλευρῶν
ἑκάτερα ex correct. B 33 ἀποδιδῶ B: ἀποδῶσι a 34. 35 ἐπὶ πράξεσι B: ἐπὶ
ταῖς πράξεσι a

μετὰ λόγου ὀφεῖν ἐν τῷ περὶ αἱρουμένων λόγους ἔχειν ἀεὶ τῶν
μενων εὐ ἔχοντας, καὶ ἕτοιμον εἶναι, εἴ τις αὐτὸν εὐθύνας ἀπο
πράξεων, ἀποδιδόναι τοὺς λόγους αὐτῶν, ὡς ἑαυτὸν φυλάττειν
ἄλλως γὰρ σπουδαῖον εἶναι ἀδύνατον.

p. 1142b6 Οὐδὲ δὴ δόξα ἡ εὐβουλία ⟨οὐδεμία⟩, ἀλλ' ἐπ
κακῶς βουλευόμενος ἁμαρτάνει, ὁ δὲ εὖ ὀρθῶς βου
δῆλον ὅτι ὀρθότης τις ἡ εὐβουλία ἐστίν, οὔτ' ἐπιστ
οὔτε δόξης. ἐπιστήμης μὲν γὰρ οὐκ ἔστιν ὀρθότης (ο
ἁμαρτία), δόξης δ' ὀρθότης ἀληθεια· ἅμα δὲ καὶ ὃ
ἤδη πᾶν, οὐ δόξα ἐστίν.

Δείκνυσι δὲ τούτων τὴν εὐβουλίαν δόξης οὖσαν καὶ ἐπιστήμ
ὧν δὲ ὅτι οὐκ ἔστι δόξα οὐδεμία ἡ εὐβουλία, καὶ μέλλων καὶ
στήμην εἶσιν ἀκοινώνητοι. τοῦτο δέ ἐστιν ὀρθότης. ἣν δείξ τῇ
ὑπαρχουσαν ἐκ τοῦ ἐναντίου αὐτῇ, τῆς κακοβουλίας. κακοβουλί
εὐβουλία ἐναντία πρὸς ἄλληλα καὶ ἁμαρτία καὶ ὀρθότης. τοίνυν
κοβουλία ἁμαρτία, ὀρθότης ἡ εὐβουλία. εἰ γὰρ τῷ ἐναντίῳ τὸ
καὶ τῷ ἐναντίῳ τὸ ἐναντίον. ὅτι μὲν οὖν ὀρθότης ἡ εὐβουλία,
γέγονεν. ὅτι δὲ οὐτε ἐπιστήμης οὐτε δόξης ἐστὶν ὀρθότης, δείκνυσ
ἐπιστήμης μέν. ὅτι οὐκ ἔστιν ἁμαρτία ἐπιστήμης, ὥστε οὐδὲ
τὰ γὰρ ἐναντία περὶ τὸ αὐτὸ ὑποκειμένων ἢ εἰδει ἢ γένει· γένει
λευκὸν καὶ μέλαν ἐν σώματι (ἅπαν γὰρ χρῶμα ἐν σώματι), εἴδ
ὑγίεια καὶ νόσος ἐν ἁρμῷ σώματι, ὥστε εἰ ἦν ἐπιστήμη ἀκατ
τος, ἦν ἂν δεκτικὴ καὶ ἁμαρτίας. ἐπεὶ δὲ οὐκ ἐστιν ἁμαρτίας
οὐδὲ ὀρθότητος ἄρα. αὐτὸ μὲν γὰρ τοῦτο ὀρθότητα εἶναι εἴ
τὴν ἐπιστήμην ἐκ τῶν καθ' αὑτὸ καὶ ἡ αὐτὸ καὶ πρώτων κ
τοῦ συμπεράσματος γνῶσιν οὖσαν, καὶ διὰ τοῦτο ἀναγκαίαν καὶ
γομένην ἄλλως ἔχειν, δεκτικὴν δὲ ὀρθότητος οὔ. εἰ γὰρ τοῦτο
ἔσται ὀρθότης ὀρθότητος. καὶ οὕτως ἔσται καὶ κινήσεως κίνησ
κίνησις γένεσις, ἃ ἀδύνατα παρ' αὐτοῦ τοῦ Ἀριστοτέλους ἐν τοῖς
οὐδέτερον. ὀρθότης δὲ οὖσα οὐδὲ ἁμαρτίας ἔσται δεκτική, οὐ
γειν τὸ ἐναντίον ὑποκεῖσθαι τῷ ἐναντίῳ πρὸς ὑπαρξιν. ὅτι δ
ὀδὲν οὕτως ὡς ἡ εὐβουλία ὀρθότητα δέχεται, δείκνυσιν οὕτως,
δόξης ὀρθότης ἡ ἀληθειά ἐστιν. ὀρθοδοξαστικὸς γὰρ ὁ ἀληθῶς
ἐστὶ καὶ λέγεται· ὥστε καὶ δόξα ὀρθὴ ἡ ἀληθεια. ὁ δὲ εὖ βου
οὐκ ἐξ ἀνάγκης ὁ ἀληθεύων ἐστίν. ἔστι γὰρ ποτε τὸν ὀρθῶς βου

1 μετὰ λόγου B: μὲν λόγον a 5 οὐδεμία a et Aristoteles: om. B
et Aristoteles: ἡ ἀλήθεια a ὁπότερα Ba et Arist. cod. M^b: ὁπότερα A
ἢν B: εἶην a 31 ἐν τοῖς Φυσικοῖς E 2 p. 225b15 33 δὲ B: om.

καὶ περὶ αὐτοῦ τοῦ ψεύδους βουλεύσασθαι, ἵν' ἐπίτηδες ψεύσηται πρός 104v
τινα ἢ ἐχθρὸν ὄντα, ἵνα σφάλῃ αὐτόν, ἢ φίλον, ἵν' ἐκκόψῃ αὐτὸν ἀπὸ
κακοῦ. καὶ τούτων τὰ παραδείγματα ἐν ταῖς ἱστορίαις πολλά, καὶ εἰσὶν
αἱ τοιαῦται βουλαὶ ἅμφω εὐβουλίαι, ὡς εἰς ὠφέλειαν οὖσαι τῶν βουλευο-
μένων καὶ ὀρθαὶ διὰ τοῦτο οὖσαι. ὀρθὴ δὲ οὐκ ψευδὴς οὐδέποτε. 105r
εἰπὼν δὲ οὐδὲ δὴ δόξα ἡ εὐβουλία, ἐπήγαγε τὸ οὐδετέρα. ὅτι διαφορὰ τὸ γένη τῶν ὄντων. αἱ μὲν γὰρ αὐτῶν συμπεράσματα διανοίας εἰσίν, ἃ καὶ ἐξ ἀναγκαίων προτάσεων περαινόμενα ἀληθῆ καὶ ἀναγκαῖα ὑπάρχουσι, εἰσὶ δὲ καὶ ἐξ αἰσθήσεως καὶ φαντασίας ἀποτικτόμεναι, αἱ καὶ ψευδεῖς πολλάκις εἰσίν, ὡς τὸ δοξάζειν τὴν ἐν τῷ ὕδατι κώπην κε- 5
κλασμένην, ἄκλαστον οὖσαν καὶ ὑγιῆ, τῆς ὄψεως οὔσης κεκλασμένης τῷ σάλῳ τοῦ ὕδατος. πολλαὶ γὰρ πλάναι ταῖς φαντασίαις καὶ ταῖς αἰσθήσεσι γίνονται, καὶ αἱ ἐξ αὐτῶν πλανωμένων δόξαι ἀποτικτόμεναι πεπλανημέναι εἰσὶ καὶ αὐταὶ καὶ ψευδεῖς. διὰ τοῦτο δὲ τὴν ἐπιστήμην τῇ δόξῃ συνέταξεν, ἐν τῷ δεικνύναι αὐτὰς διαφερούσας τῆς εὐβουλίας, διότι πολ- 10
λαὶ δόξαι ἐπιστημῶν εἰσι συμπεράσματα καὶ διὰ τοῦτο κοινωνοῦσαν ταῖς ἐπιστήμαις. ἅμα δὲ καὶ διώρισται ἤδη πᾶν, οὐ δόξα ἐστίν. ἑτέρα διαφορὰ τῆς δόξης πρὸς τὴν εὐβουλίαν. ἡ μὲν γὰρ δόξα ἢ κατάφασίς ἐστιν ἢ ἀπόφασις ἀπηρτισμένη ἤδη καὶ τεταγμένη. τοῦτο γὰρ δηλοῖ ἐνταῦθα τὸ διωρίσθαι τὸ ἀπηρτίσθαι καὶ τετάχθαι, ἤτοι ἐν ὥρᾳ καταστῆσαι καὶ πέρατι. ἡ δὲ εὐβουλία ζήτησίς ἐστιν ὀρθῶς γενομένη καὶ ἐπί τι προβαίνουσα, οὔπω τι πρᾶγμα ἀπηρτισμένον.

p. 1142b12 Ἀλλὰ μὴν οὐδ' ἄνευ λόγου ἡ εὐβουλία. διανοίας ἄρα λείπεται· αὕτη δὲ οὔπω φάσις· καὶ γὰρ ἡ δόξα οὐ ζήτη-
σις ἀλλὰ φάσις τις ἤδη.

Τῆς αὐτῆς ἔχεται διανοίας καὶ τοῦτο τὸ ἐπιχείρημα, εἰ καὶ καθ' 15
ἑκάτερον τρόπον μετακεχείρισται. δηλοῖ γὰρ καὶ τοῦτο τὴν μὲν εὐβουλίαν μήπω ἀπηρτίσθαι, τὴν δὲ δόξαν ἤδη εἶναι ἀπηρτισμένην, λαμβάνει δὲ τὸν λόγον κοινὸν ὄντα εὐβουλίας καὶ δόξης καί φησι μὴ ἄνευ μὲν λόγου εἶναι τὴν εὐβουλίαν, ἐπεὶ δὴ μὴ ἀπήρτισται, λείπεται ἄρα διανοίας· καὶ τίθησι τοῦτο συμπερασματικῶς ὥσπερεὶ συλλογιζόμενος· ἡ εὐβουλία οὐκ ἔστι λόγος τέλειος, ἡ διάνοια λόγος τέλειος· ἡ εὐβουλία ἄρα οὐκ ἔστι διάνοια. τότε γὰρ διάνοια λέγεται ὁ λόγος, ὅταν ἀπηρτισμένος ᾖ, τὸ οἰκεῖον εἰλη- 20
φὼς συμπέρασμα. ἡ δὲ εὐβουλία ἐν τῷ ζητεῖσθαι ἔχει τὸ εἶναι. διὰ τοῦτο οὔπω φάσις ἡ εὐβουλία ἀλλὰ πρὸς φάσιν χωροῦσα, ἤτοι κατάφασιν ἢ ἀπόφασιν, οὔπω δέ τι τούτων οὖσα. ὅταν δέ τι τούτων γίνηται, οὐκέτι

4 εὐβουλίαι B: εὐβουλία a 5 ψευδὴς B: ψευδεῖς a 13 αἱ B: om. a ἀποτικτόμεναι B 20. 21 πέρατι B: περάσει a 24 αὕτη δὲ B: αὕτη γὰρ a et Aristoteles 30 ἐπεὶ δὴ μὴ a: ἐπεὶ δὲ B 31 ὥσπερεὶ B: ὡς περὶ a 34 γίνεσθαι a: τίθεσθαι a 36 τούτων B: τοιοῦτον a οὐκέτι B: τότε οὐκέτι a

βουλή (διὰ τοῦτο οὐδ' εὐβουλία, πᾶσα δ' εὐβουλία βουλή) ἀλλὰ δ
ρεῖν ἤδη πρὸς τοῦργον περὶ οὗ βεβούλευται, ὥστε οὐδὲ δόξα
γὰρ δόξα οὐ ζήτησις ἀλλὰ φάσις τις ἤδη ἡ κατάφασις ἢ ἀπόφα
τοῦτο λείπεται μὲν τῆς διανοίας ἡ εὐβουλία ὡς γένεσίς τις κα
καντεῦθεν ἀτελὴς ἐνέργεια, τῆς διανοίας τὸ τέλειον ἐχούσης
τοῦ λόγου ἐνέργειαν. οὔτε δὲ δόξα ἐστίν, ὡς καὶ τῆς δόξης τ
ἐχούσης κατὰ τὸ ἀποφαίνεσθαι, ὃ τῇ εὐβουλίᾳ οὐ πρόσεστιν, ὡς
εἴρηται.

p. 1142b14 Ὁ δὲ βουλευόμενος, ἐάν τε εὖ ἐάν τε κακῶς β
10 ται, ζητεῖ τι καὶ λογίζεται.

Ἀπὸ τῆς εὐβουλίας εἰς τὴν βουλὴν μετέβη, βουλόμενος γέ
τῆς εὐβουλίας τὴν βουλήν, οὗ προσιέμενος καὶ τὸς ὁρισμοὺς
ἀπαρτίζει καὶ τῆς εὐβουλίας τὸν ὅρον. καὶ ἃ γὰρ εἶπε περὶ τ
λίας μέχρι καὶ τοῦδε ὡς τὸ γένος αὐτῆς ζητῶν ἔλεγεν. ἀπαγορ
τὰ ἴσως δοξάζοντα γένη εἶναι αὐτῆς, οἷον τὴν εὐστοχίαν τὴν
τὴν δόξαν, ζητῶν δὲ εὑρεῖν ἀκριβῶς ὑφ' ὃ ἀληθῶς ὡς ὑπὸ γέ
ται· ποιεῖται δὲ τὸν λόγον συνεχῆ τοῖς εἰρημένοις, διϊστῶν καὶ
τῆς εὐβουλίας καὶ τῆς δόξης. τῷ γὰρ εἰπεῖν, ὅτι ὁ βουλευόμενο
εὖ ἐάν τε κακῶς βουλεύηται ζητεῖ τι καὶ λογίζεται, τὴν βε
τῆς δόξης διϊστησιν. ἅμα δὲ καὶ διαιρεῖ τὴν βουλὴν εἰς τὸ εὖ βο
καὶ κακῶς, ἤτοι εὐβουλίαν καὶ κακοβουλίαν, καὶ λέγει κοινὸν εἶ
τό τι ζητεῖν καὶ λογίζεσθαι, ἴδιον δὲ τοῦ γένους αὐτοῦ τῆς βουλ
ἑκάτερον· φάσεως οὔσης, ὡς εἴρηται, καὶ ἡ πεπερασμένης
του, ἀλλ' οὐκ ἐν τῷ ζητεῖν ἔτι θεωρουμένης καὶ τῷ λογίζεσθ
οὖν διαιρεταὶ καὶ διαφοραὶ τῆς βουλῆς καὶ συστατικαὶ τῶν εἰδ
εὐβουλία τε καὶ κακοβουλία, τὸ εὖ καὶ κακῶς βουλεύεσθαι· ε
ἤδη τὸ γένος τῆς εὐβουλίας καθαρῶς καὶ ἀναμφιβόλως.

p. 1142b16 Ἀλλὰ ὀρθότης τίς ἐστιν ἡ εὐβουλία βουλῆς
βουλὴ ζητητέα πρῶτον τί καὶ περὶ τί.

Εἰπὼν τὰς διαφορὰς τῆς βουλῆς εἶναι τὸ εὖ καὶ κακῶς
σθαι, ἀπονέμει νῦν τῇ εὐβουλίᾳ θατέραν τῶν διαφορῶν, ὃ ἔστι
λεύσασθαι, καί φησι, δύο οὐσῶν τῶν διαφορῶν τὸ εὖ τῆς εὐβου
ὡς καὶ τοὔνομα παριστᾷ. τὸ γὰρ ὀρθῶς ταὐτὸν τῷ εὖ. ἡ εὐ
ὀρθότης τίς ἐστι βουλῆς. οὕτω γὰρ ἐξεῖ τὸ εὖ ἡ βουλή, εἰ ὀρ
το. ἐπεὶ οὖν ἡ βουλὴ γένος εὐβουλίας, ὅει ζητῆσαι πρῶτον περ

1 ante τῆς διανοίας add. ἐγούσης κατὰ a: om. B 3 καὶ (ante τῆς) B: om. a 23. 24 ἀπεράντου B 26 εὐβουλία τε καὶ κακοβουλία a: εὐβουλίας τε καὶ κακοβουλίας B 31 Aristoteles: εὐβουλία B 31 ὃ B: ἡ a

τί ἐστι καὶ περὶ τί καταγίνεται, ἵνα τὸ γένος τῆς εὐβουλίας ὁρισάμενοι 105r
ἔχωμεν ἤδη γράφειν τὸ τί τῆς εὐβουλίας, ἤτοι τὴν οὐσίαν καὶ τὸ γένος
αὐτῆς. ἑκάστου γὰρ εἴδους τὸ τί τὸ γένος αὐτοῦ ἐστιν, αἱ δὲ διαφοραὶ
ποιότητές εἰσι. περὶ οὐσίαν τοίνυν φροντίσωμεν. καλῶς δὲ καὶ τὸ περὶ
τί ζητεῖν οὐδὲν ἧττον συμβαλλόμενον εἰς κατάληψιν τῆς βουλῆς. ἐκ γὰρ
τῶν ὑποκειμένων μάλιστα περὶ ἃ καταγίνονται αἱ τῆς ψυχῆς ἕξεις κατα- 50
λαμβάνονται καὶ αἱ ἐνέργειαι. καλῶς δὲ εἶπε καὶ τὸ ὀρθότης τίς ἐστι,
διότι ἔστιν ὀρθὴν λέγεσθαι βουλὴν καὶ ἐπὶ ἀγαθῷ καὶ φαύλῳ, καθὼς αὐ-
τὸς ἐρεῖ ἑξῆς.

p. 1142b17 Ἐπεὶ δὲ ἡ ὀρθότης πλεοναχῶς, δῆλον ὅτι οὐ πᾶσα. 105v
ὁ γὰρ ἀκρατὴς καὶ ὁ φαῦλος ὃ προτίθεται ἰδεῖν ἐκ τοῦ λογι-
σμοῦ τυγχάνει, ὥστε ὀρθῶς ἔσται βεβουλευμένος, κακὸν δὲ
μέγα εἰλημφώς.

Ἐπὶ τῷ γένει τῆς εὐβουλίας, ὃ ἦν ἡ βουλή, τὰς προσηκούσας εἰδο- 105v
ποιοὺς διαφορὰς ἐκλεγόμενος καὶ συνάπτων ἀλλήλαις αὐτάς, ἵν' ἀποτελέ-
σῃ τὸν ὅρον, πρώτην εὐθὺς μετὰ τὸ γένος ἔταξε τὴν ὀρθότητα. ἔπει δὲ
ὁμώνυμος ἡ ὀρθότης (ἡ γὰρ ἀγαθὸν τὸ προτιθέμενον τῷ βουλευομένῳ
τέλος καὶ ἡ βουλὴ ⟨ὀρθὴ⟩ διὰ τοῦτο ὡς πρὸς ἀγαθὸν ἀποφέρουσα, ἢ τὸ
μὲν τέλος οὐκ ἀγαθόν, οἰκείως δὲ ὁ βουλευόμενος τῷ τέλει βουλεύεται,
ὡς εὐστόχως εἰς τὸ τέλος ἀγόντων τῶν βουλευμάτων αὐτοῦ, καὶ διὰ τοῦτο
ὀρθὴ βουλή, ὅτι πρὸς τὸ τέλος εὐθυβολεῖ), οὐ μέντοι γε ὀρθὴ οὕτως, ὅτι
⟨οὐκ⟩ ὠφέλιμος, καὶ παράδειγμα τίθησι τὸν ἀκρατῆ καὶ τὸν φαῦλον ἁπλῶς. ὁ
γὰρ ὁ ἀκρατὴς καὶ ἁπλῶς ὁ φαῦλος προτίθεται ὡς τέλος ἰδεῖν, ἤτοι σκέ-
ψασθαι, ὅπως αὐτοῦ ἐπιτεύξεται καθὸ ἀκρατὴς καὶ φαῦλος, οὐκ ἔσται ὠφέ-
λιμον. εἴ γε ἡ ὄρεξις αὐτοῦ ἐκ πονηρᾶς προϊοῦσα ἕξεως οἰκεῖον ἔχει τὸ
ἕξει ὀρεκτόν, τεύξεται μὲν ἐκ τοῦ λογισμοῦ τοῦ τελείου, ὡς εὐθυβόλως 10
πρὸς αὐτὸ λογισάμενος, καὶ κατὰ τοῦτο ἔσται βεβουλευμένος ὀρθῶς. κα-
κὸν δὲ μέγα ἐκ τοῦ βουλεύματος λήψεται, ὡς τέλος ἑαυτοῦ τῇ σκέψει
προθέμενος πονηρόν. ἐπεὶ ἐκ πονηρᾶς ἕξεως τὴν ὄρεξιν προεβάλλετο, οὐκ
ἄρα ἡ ἁπλῶς ὀρθότης τῆς βουλῆς εὐβουλία ἐστίν, ἀλλὰ δεῖ τι προστεθῆ-
ναι, ἵν' ᾖ ὅλον ὁποία ὀρθότης τῆς βουλῆς εὐβουλία ᾖ. δοκεῖ δὲ ἀγα-
θόν τι εἶναι τὸ εὖ βεβουλεῦσθαι. ἡ γὰρ τοιαύτη ὀρθότης βουλῆς εὐ- 15
βουλία, ἡ ἀγαθοῦ τευκτική. τοῦτο κατασκευαστικὸν τοῦ μὴ καὶ τὴν
πρὸς πονηρὸν τέλος ἄγουσαν ὀρθότητα τῆς βουλῆς εὐβουλίαν εἶναι. ὁμο-
λογεῖται γὰρ ἀγαθόν τι εἶναι τὸ εὖ βεβουλεῦσθαι, ὅτι καὶ τὸ εὖ ἐπὶ ἀγα-
θοῦ παρὰ πᾶσι λαμβάνεται. ὥστε ἡ τοιαύτη ὀρθότης τῆς βουλῆς εὐβου-
λία ἐστίν, ἥτις εἰς ἀγαθοῦ τέλους ἐξάγει ἐπίτευξιν.

1 γένος B: τέλος a 13 εἰλημφώς B et Arist. vulg.: ὑπειληφώς a et Arist. cod. Ob rhesis usque ad ἀγαθοῦ τευκτική (p. 1142b22) a 14 γένει B: λέγειν τὸ γένος a 18 ὀρθὴ a: om. B 22 οὐκ ὠφέλιμος a: ὠφέλιμος B 26 τελείου B: τέλους a 31. 32 ἀγαθόν Ba: ἀγαθόν τι εἶναι Aristoteles

[illegible] ὅτι καὶ τούτου ψευδεῖ συλλογισμῷ τὸ
καὶ ὁ μὲν δεῖ ποιῆσαι τυχεῖν, ὅτι οὐ δὲ μή, ἀλλὰ ψευ
μεσον ὅρον εἶναι, ὥστ' οὐδ' αὐτὴ πως εὐβουλία, καθ
δεῖ μεν τυγχανει, οὐ μέντοι ὅτι οὐ δέει.

Ἔθηκε τὴν ὀρθότητα τῆς βουλῆς καὶ ἕδεκτ[ὸ]ν μὴ οὖσαν εὐβου
σαν βουλῆς ὀρθότητα ἀλλὰ δεῖν καὶ π[ρ]ὸς ἀγαθοῦ τέλους γενέσθαι
λην, εἰ μέλλει εὐβουλία ὑπάρχειν. ἐπεὶ δὲ καὶ ἔτι λείπεται, πρ
καὶ ἕτερον. τοῦτο δέ ἐστι τὸ καὶ προσήκοντα εἶναι τὸν τρόπ
τὸ τέλος ἐπιτυγχάνεται. ἐπεὶ δὲ δύο ὅρων ὄντων τῶν ἄκρων, τοῦ
τοῦ πράγματος καὶ τοῦ ὀρεγομένου αὐτοῦ, μέσος ὅρος ὁ τρόπος
οὗ τὰ ἄκρα ἀλλήλοις συναπτονται, τό τε ὀρεκτὸν καὶ τὸ ὀρεγόμεν
ρεισαγει τουτο ὡς ἐπ' γινομενου συλλογισμου, οὗ τὸ μὲν συμπέρασ
ιδές, ὁ δὲ μέσος ψευδής, ἤτοι ψευδὴς ἢ ὑποκείμενος ἢ κατηγορ
εἴτε ἀποφατικῶς εἴτε καταφατικῶς καθ' οἱονδήποτε σχῆμα καὶ
ὡς γὰρ ἐν τῷ συλλογισμῷ ἐνδέχεται ἀληθὲς εἶναι συμπέρασμα τ
καμβανομένου ψευδοῦς, εἴτε καθ' ἕνα εἴτε κατ' ἄμφω τὰ διαστήμ
τως ἐνδέχεται καὶ διὰ ψεύδους τρόπου τέλος ἀποβῆναι χρηστόν, οὗ
[illegible] ἐπεὶ γὰρ ὅ τε πλοῦτος δοκεῖ ἀγαθὸν τῷ πλουτήσαντι καὶ ἡ ἐπευθ
αἰχμαλώτῳ, δόξειεν ἂν ἀγαθὸν εἶναι τὸ μοιχεῦσαι ἢ τὸ αἰχμαλωτισθῆ
τέρῳ· ἀλλὰ τοῦτο ψεῦδος. ὥστε τὸ ἀγαθὸν κατὰ τοῦ μέσου, ἤτοι τῆς
κατηγορουμένου [illegible] ὁρῶν ποιήσει τὴν πρότασιν. δόξειε δ' ἂν ἴσως ἀσύνα
ρος εἶναι τὸ μέσον ἐν τῇ πλοκῇ τοῦ συλλογισμοῦ, δι' οὗ τὸ ἀγαθὸν
[illegible]ῳ [illegible] οὔτε τῷ πλουτήσαντι ὁ πλοῦτος οὔτε τῷ αἰχμ
[illegible] ἀγαθὸν ἡ [illegible], ἀλλὰ μέσον μὲν τὸν τρόπον λαμβανεσθ
σεις δὲ εἶναι καὶ τὰς προτάσεις. εἰ γὰρ ἀληθές, ὅτι ὁ πένης με
καὶ διὰ τοῦτο εὐπόρηκε, πῶς ἔσται ὁ μέσος ὅρος τοῦ μεν
κατηγορούμενος, τῷ δὲ ἀληθῶς ὑποκείμενος, τοῦτο ὁ ὢν ἐ
οὐ ἀπαλλαγέντος αἰχμαλωσίας διὰ μοιχείαν. πῶς οὖν ἐρωδμεν
τοῦτό φησι ψευδὲς εἶναι τὸ μέσον, ἢ ὡς ὅτι πέπρακται ἢ ὡς ὅτι
τοῦ τὸ ἀγαθὸν τῷ πράξαντι ἀποβέβηκεν, ἀλλ' εἰς τοῦτο ψευδές,
θὸν καὶ τὸ μέσον ἀγαθοῦ ὄντος τοῦ δι' αὐτὸ ἀποβάντος. ὥστε
τέρου γενομένου συλλογισμοῦ τοῦτο ψευδὲς συμπεραίνεται, οὐκ ἐν
τέρῳ συλλογισμῷ μέσου τιθεμένου τοῦ τρόπου, ἀλλ' ἄκρου μὲν κ
τονος, τῆς μείζονος δὲ καὶ περιεκτικῆς ψευδῶς ἐπί τι λαμβανομέ

1 οὗτου B et Aristoteles: τοῦτο a 2 δι' B et Arist. vulg.: τούτου δ
Lb Pb μή, B: οὔ a et Aristoteles 3 αὐτή Ba et Arist
ὅτη Arist. vulg. πως Ba et Arist. LbMPb: πω Arist. vulg.
Arist. vulg.: τυγχάνειν a et Arist. cod. Lb 13 ψευδές, ἢ ὑποκείμεν
μενον a 14 ἀποφατικῶς a καταφατικῶς a 21 ἢ τὸ
[illegible] B

τάσεως, οἷον ἵνα τις φαίη, ὁ δεῖνα διὰ μοιχείαν ἀγαθὸν εὗρηκε, πᾶν δι' 105
οὗ τις ἀγαθὸν εὑρίσκει ἀγαθὸν ἐστιν, ἡ μοιχεία ἄρα ἀγαθόν ἐστι· καὶ
ἰδοὺ ψευδὴς ὁ ἐκεῖσε μέσος εὑρίσκεται, ἔλαττον μὲν ἄκρον ἐνταῦθοῦ λαμ-
βανόμενος, διὰ δέ τινος μέσου καθολικωτέρου καὶ καινοτέρου τὸ ψευδῶς 15
εὑρίσκων ὑποκεῖσθαι τῷ μείζονι. ἐπεὶ γὰρ ἐνδέχεται ἀγαθόν τι κτᾶσθαι
διὰ τρόπου καὶ ἀγαθοῦ καὶ φαύλου, ψευδὴς ἐπί τι ἡ μείζων πρότασις, ἡ
πᾶν λέγουσα τὸ δι' οὗ τις ἑαυτῷ πορίζει τὸ ἀγαθόν. τοῦτο ἀγαθὸν εἶναι.
καλῶς ἄρα εἴρηται τῷ Ἀριστοτέλει, ὅτι ὁ μέσος ψευδής, δι' οὗ ἡ ἀλη-
θὴς συνῆκται τοῦ συμπεράσματος ὕπαρξις, ὅταν φαύλη ἡ ἐπιτήδευσις, δι'
ἧς τὸ ὀρεκτὸν ὂν ἀγαθὸν ἀποβέβηκεν. οὐ γὰρ ὡς ὑπάρξαν ψευδὲς τὸ 20
μέσον ὠνόμασται, ἀλλ' ὡς ἀγαθὸν λεγόμενον, ὅτι ἀγαθὸν αὐτῷ ἠκολούθη-
σεν. ἢ οὖν οὕτως ἢ ὅτι ἐπεὶ τὸ ὀρεκτὸν ἀγαθὸν καὶ ἔδει τυχεῖν αὐτοῦ
διὰ τρόπου τινός, εἰ μὲν διὰ τοῦ δέοντος ἔτυχε τρόπου, ἀληθῶς τὸ δέον
κατὰ τοῦ τρόπου κατηγορηθήσεται, εἰ δὲ τὸ μὲν ὀρεκτὸν δέον, ἔτυχε δέ
τις αὐτοῦ διὰ τρόπου μὴ δέοντος, ψευδῶς κατὰ τοῦ τρόπου μέσου ὄντος 25
τὸ δέον ῥηθήσεται, οἷον εἴ τινι πλούτου δέον, τὸν μὲν πλοῦτον ἢ ἐμπορίαν
ἢ ἄλλο τι τοιοῦτον ἐπιτηδεύσας τοῦ πλούτου τέτευχε, δέον καὶ ὁ τρόπος
καὶ προσῆκον. εἰ δὲ κλοπὴν ἢ ληστείαν, κἀντεῦθεν εὐπόρηκε, ψευδῶς τὸ
δέον κατὰ τοῦ τοιούτου τρόπου ῥηθήσεται. ὥστε ἡ μὲν ἐπιτυχία δέον- 106r
τος πράγματος γέγονε, διὰ δὲ τρόπου φαύλου καὶ μὴ δέοντος. καὶ οὕτως 30
ὁ μέσος ψευδής, ψευδῶς ἔχων κατ' αὐτοῦ τὸ δέον κατηγορούμενον· ψευδὴς
οὖν κἀνταῦθα ἡ μείζων πρότασις ἡ λέγουσα, πᾶν τὸ δι' οὗ τις τυγχάνει
τοῦ δέοντος, δέον κἀκεῖνό ἐστιν, εἴπερ ἐστὶ δέοντός τινος τυχεῖν οὐ
μόνον διὰ τρόπου δέοντος ἀλλὰ δὴ καὶ μὴ δέοντος· οἷον εἴ τις φαίη συλ- 35
λογιζόμενος περὶ τοῦ διὰ κλοπῆς ἢ ληστείας πλουτήσαντος ἢ τινος ἄλλης
φαύλης ἐπιτηδεύσεως, ὁ δεῖνα πλούτου τυχὼν δέοντος ἔτυχε πράγματος.
πᾶς ὁ τυγχάνων δέοντος πράγματος διὰ δέοντος τρόπου τυγχάνει αὐτοῦ.
ὁ δεῖνα ἄρα διὰ δέοντος τρόπου πλούτου ἔτυχεν, ἔτυχε δὲ διὰ κλοπῆς.
δέον ἄρα ἡ κλοπή. τοῦτο δὲ ψεῦδος, ὃ ἠκολούθησε διὰ τὸ ψευδῆ εἶναι τὴν 40
ληφθεῖσαν τὴν μείζω πρότασιν. ἐν δὲ τῷ δευτέρῳ συλλογισμῷ· ὅστις δὲ
οὗτος. ὁ δεῖνα δέοντος πράγματος τοῦ πλούτου διὰ κλοπῆς ἔτυχε· πᾶν 10
τὸ δι' οὗ τις δέοντος πράγματος τυγχάνει, δέον κἀκεῖνό ἐστιν· ἡ κλοπὴ
ἄρα δέον. τὸ δὲ δέον ἐνταῦθα τὸ συμφέρον εἴρηται καὶ ὠφέλιμον. ἐν μὲν
οὖν τῷ πρώτῳ συλλογισμῷ τὸ ὑπάρξαι τὸ πρακτὸν ἀγαθὸν συνῆκται τῷ 45
πράξαντι διὰ μέσου τοῦ τρόπου, δι' οὗ προσγέγονε, καὶ ὡς ἀληθεῖς αἱ
προτάσεις ἐλήφθησαν, ἐν δὲ τῷ δευτέρῳ ὁ μέσος τε ὡς ἔλαττον ἄκρον
τέθειται καὶ τὸ περιέχον αὐτὸν μέσον τέθειται καὶ ἐπεὶ ψευδῶς τῷ μεί-
ζονι ὑποτέτακται, καὶ τὸ συμπέρασμα ψευδὲς ἀπετέλεσεν. 15

9 συμπεράσματος a: πράγματος B 12 ἢ οὖν scripsi: εἰ οὖν Ba 15 τις a: τῆς B 29 ψευ-
δὴ B: ψεῦδος a 30 δευτέρῳ] βῳ B: πρώτῳ a 37 ψευδῶς a: ψευδῆ l

p. 1142 b 26 Ὅτι δ' ἐστὶ πολὺν χρόνον βουλευόμενον τυχεῖν, τ
ταχυ. οὐκοῦν οὐδ' ἐκεῖνος πω εὐβουλία, ἀλλ' ὀρθότης
τὸ ὠφέλιμον. καὶ οὐ δεῖ καὶ ὡς καὶ ὅτε.

Ἐπεὶ μήπω ἱκανῶς τὰ εἰρημένα πρὸς ἀπαρτισμὸν τοῦ ὅρου τ
. ναι. προστίθησι καὶ λέγει. τί δὲ τὸ προστεθειμένον ἐστίν; τὸ μὲ
χρόνου. ὁ ἀνήκει τῇ βουλῇ τῇ περί τινος πράγματος, ἵν' ἀρμό
τὸ εὐβουλία εἶναι. ἔστι γὰρ καὶ διὰ πλείονος χρόνου καὶ ἐλάττο
σθῆναι τὴν βουλήν. εἰ οὖν δι' ἐλάττονος ἀνυσθῆναι δέον, διὰ
ἀνύσει τὸ ἔργον ὁ βουλευόμενος, κατὰ μὲν τὰ προλαβόντα ἴσως
εὖ, πλείω δὲ χρόνον τοῦ δέοντος κατατρίψας ἐν τῷ βουλεύεσθ
στήσεται τοῦ εὖ. ὥστε οὐδὲ ἡ διὰ πλείονος ἢ δεῖ χρόνου ἀνυ
ή ἐστι πω εὐβουλία. πολλοὶ γὰρ τῶν ἀνθρώπων ἢ διὰ νωθρίαν
ἢ δειλίαν ψυχῆς ἢ ἄλλο τι πάθος ἀργότερον διατιθέμενοι περὶ τ
ματα πλείω χρόνον τοῦ ἀναγκαίου καταναλίσκουσι, κἀντεῦθεν ἢ
τῶν τελῶν ἀποπίπτουσιν ἢ οὐ τελείως αὐτῶν ἐφάπτονται ἢ με
νων ἐπιτυγχάνουσι. καὶ αὐτὸ δὲ τοῦτο ἁπλῶς, τὸ πλείω τοῦ δέο
νον καταναλίσκειν ἐν ταῖς βουλεύσεσι, ψεκτὸν καὶ οὐκ εὐβουλο
πόθεν ἐπαναλαμβάνει τὰ εἰρημένα καί φησιν, ὅτι ἐκείνη ἡ ὀρθ
βουλὴ ἔστιν εὐβουλία. ἢ καὶ τὸ ὠφέλιμον ἔχει τοῦ τέλους καὶ
που τὸ ἐπαινετόν. ὁ γὰρ τὸ ὡς. καὶ τοῦ χρόνου τὸ ἀρκοῦν,
καὶ τὸ ὅτε. τὸ δὲ ὠφέλιμον καὶ οὐ δεῖ ἐκ παραλλήλου ἐστὶ
ὡς εἶναι τοιοῦτον τὸ λεγόμενον κατὰ τὸ ὠφέλιμον καὶ οὐ δεῖ ὠφ
τὸ οὐ δεῖ ἀντὶ τοῦ οὐ χρεία ἐστὶν ὡς συμφέροντος καὶ συμβαλλ

p. 1142 b 28 Ὅτι ἔστι καὶ ἁπλῶς εὖ βουλεύεσθαι καὶ
. ναι. ἢ μὲν οὖν ἁπλῶς ἡ πρὸς τὸ τέλος τὸ ἁπλῶς κα
σα. ἡ τίς δὲ πρὸς τι τέλος. τὸ δὴ τῶν φρονίμων τὸ εὖ
βεύεσθαι. ἡ εὐβουλία τότε ἂν ὀρθότης κατὰ τὸ συμφέρ
τι τέλους οὗ ἡ φρόνησις ἀληθὴς ὑπόληψις ἐστί

Τὸν μὲν ὁρισμὸν τῆς εὐβουλίας ὅλιγον ἂν ἦν ἀποδεικνύ
30 τητα μὲν βουλῆς ὡς γένους ὑπάρχειν δέοντος. τὰ δὲ λοιπὰ ὡς
οὐκ ἐπιπληρούσας τὴν διαφοράν, ὡς μὴ πω οὔσης εὐβουλίας
εἰρημένων τινὸς ἀπαιτουμένου. εἴτε τοῦ τέλους μὴ ὄντος ὄντος,
θεται, εἴτε τοῦ τρόπου δι' οὗ τὸ τέλος ἐπιτυγχάνεται, εἴτε τ
παραπλησίως ἢ δεῖ καταναλισκομένου. ὃ ὅσον ἡ βουλευτικὴ γίνε

12 τοῦ B | 13 ἐστὶ — 14 ἐστὶν om. B | 14 ἐστὶν om. B | 15 ἐστὶν om. B | 16 ἐστὶν om. B | 17 ἐστὶν om. B | 18 ἐστὶν om. B | 19 ἐστὶν om. B | 20 ἐστὶν om. B | 21 ἐστὶν om. B |

δὲ τὸ τέλος διχῶς λαμβάνεται, τό τε ἁπλῶς καὶ πρὸς ὃ πάντα τὰ κατὰ 106r
μέρος ἀναφέρεται κατορθούμενα παρὰ τοῖς ἀνθρώποις, καὶ οὗ ἐφιέμενος
ἄνθρωπος καὶ ἐπιτυγχάνων τέλειος ὡς ἄνθρωπος γίνεται. ὅπερ ἐστὶν ἡ
εὐδαιμονία, ὅλον τι οὖσα κατόρθωμα καὶ τέλος ἐκ τῶν κατὰ μέρος κατορ-
θουμένων συγκείμενον, καὶ ἔστι καὶ πρὸς τοῦτο τὸν ἄνθρωπον εὖ τε βου-
λεύσασθαι καὶ μή, τὸ μὲν τὴν ὄντως εὐδαιμονίαν εὐδαιμονίαν εἶναι
ὑπολαμβάνοντα καὶ τὰ πρὸς αὐτὴν φέροντα ὀρθῶς καὶ ἁρμοδίως ἐπιτηδεύ-
οντα, τὸ δὲ περί τε τὸ τέλος αὐτὸ πλανώμενον καὶ τὸ μὴ ὂν τέλος ὡς
τέλος ἡγούμενον καὶ πάσαι τινὰ ὡς πρὸς αὐτὸ φέροντα μεταχειριζόμενον.
ἔστι δὲ καὶ κατὰ μέρος περὶ τῶν ἀναφερομένων μερῶν εἰς τὴν δοξαζο-
μένην εὐδαιμονίαν ὀρεκτά τινα προτίθεσθαι καὶ περὶ τῆς αὐτῶν ἐπιτεύ-
ξεως βουλεύεσθαι εὖ τε καὶ ὡς ἕτερος. περὶ τούτου νῦν παραλήψεται διαφο-
ράν τινα παριστὰς περί τε τῆς κατὰ τὴν εὐδαιμονίαν εὐβουλίας, ἥτις ἐστὶν
ἁπλῶς εὐβουλία ἐστί, πρὸς τὸ ἁπλῶς τέλος ἄγουσα καὶ περὶ τῆς κατὰ
μέρος, ἥτις ἐστὶν ἡ πρὸς ἕκαστον μέρος τῆς εὐδαιμονίας τὸν βουλευόμε-
νον ἀποφέρουσα. ὅτι δὲ καὶ περὶ τοῦ ἁπλῶς τέλους, ἤτοι τῆς εὐδαιμο-
νίας, ἔστι καὶ ὀρθῶς βουλεύσασθαι καὶ πλημμελῶς καὶ περὶ τῶν κατὰ μέρος
τελῶν, δῆλον ἐντεῦθεν. οἱ γὰρ πλοῦτον εὐδαιμονίαν ἡγούμενοι ἢ ἡδονὴν
ταράξαι ἢ ὑγείαν ἢ ἄλλο τοιοῦτον τῆς εὐδαιμονίας ἀποσπάσασι, καὶ
ὅπόσα ἂν ἑαυτοῖς | περιποιεῖσθαι σπουδάζωσι, σκοπὸν τοῦ ἑαυτῶν βίου 106v
καὶ τέλος προθέμενοι, ματαιοπονοῦντές εἰσι καὶ κενὰ βουλευόμενοι. οἱ δ'
ἐνέργειαν ψυχῆς κατ' ἀρετὴν ἐν βίῳ τελείῳ τὸ ἀνθρώπινον τέλος ὑπάρχειν
θέμενοι, οὗτοι δηλονότι καὶ περὶ τοῦ τέλους ὁρίζεσθαι καὶ τὰ προσ-
ήκοντα πρὸς αὐτὸ κατὰ μέρος πάντα ὀρεκτὰ ἑαυτοῖς προτιθέμενοι ὁπόταν
καὶ καθόλου τυγχάνουσιν εὐβουλοι, εἰ δὲ κἂν τοῖς κατὰ μέρος εἰσί, σώζον-
τοντες τὰ τῆς εὐβουλίας παρατηρήματα. εἰσὶν ἂν κἀν τοῖς κατὰ μέρος βου-
λευτοὶ εὐβουλοι. διὸ τοῦτ' ἔφη ταῦτα διαφέρειν χρὴ ὑπάρχειν καὶ
τοῦ τε κοινοῦ τέλους, πρὸς ὃ τὰ κατὰ μέρος ὠφέλιμα προσφέρουσιν ἅπαν-
τα καὶ αὐτῶν τῶν κατὰ μέρος τελῶν καὶ τῆς κοινῆς εὐβουλίας καὶ τῶν
κατὰ μέρος εὐβουλιῶν, ὡς τῆς μὲν πρὸς τὸ κοινὸν ἁρμοττούσης τέλος, τῆς
δὲ ἑκάστης πρὸς ἕκαστον τῶν κατὰ μέρος. προσθεὶς δὲ τὸ ὅτι ἐν τῇ
ἀρχῇ τοῦ προκειμένου νοήματος, οὐ μικρὸν ἐμπόδιον τέθεικε τῇ πρώτῃ
βούσῃ αὐτῷ διανοίᾳ πρὸς τὴν τῶν λεγομένων κατάληψιν. δοκεῖ γὰρ ὡς
καὶ ἕτέραν τινὰ διαφορὰν προτιθέναι τῷ ὅρῳ βουλόμενος οὕτως εἰπεῖν
ὥσπερ ἐχομένου τοῦ νοήματος τῶν ἤδη ῥηθέντων· οἶμαι δ' ὅτι οὐδ' οὕ-
τως ἔχει. ἀλλὰ τὸν ὅρον ὑπαρτίσας τῆς εὐβουλίας, ἕτερον τοίνυν ὑπεισά-
γει θεώρημα τὸν ἁπλῶς εὔβουλον διαχωρίζων τοῦ κατὰ μέρος. ἐξετα-
στέον δὲ καὶ αὐτὴν τὴν λέξιν τοῦ Ἀριστοτέλους καὶ ῥητέον τὰ εἰκότα καὶ
ἐπ' αὐτῇ. ἔτι ἔστι καὶ ἁπλῶς εὖ βεβουλεῦσθαι καὶ πρός τι
τέλος. τὸ ἁπλῶς εὖ βεβουλεῦσθαι περὶ τοῦ κοινοῦ τέλους ἐστί, τὸ δὲ
πρός τι εὖ βεβουλεῦσθαι περί τινος τέλους ἐστίν, ὃ ἐστι καὶ αὐτὸ ἀγαθόν.

20 σπουδάζωσι B: σπουδάζουσι a 37 διαχωρίζων B: χωρίζων a

μέρος ὂν τοῦ κοινοῦ καὶ εἰς τὸν ἐκείνου ἀπαρτισμὸν συμβαλλόμενον.
τοίνυν ἁπλῶς μὲν εὐβουλος ὁ τὰ ἁπλανῶς τὸ ἁπλῶς τέλος εἰδὼς
ὅλως ἐπιτηδείων τὰ πρὸς αὐτὸ φέροντα. πρός τι δὲ εὐβουλος ὁ τ
μον ἑαυτῷ ὡς τέλος προθέμενος καὶ τὰ τῆς εὐβουλίας φυλάττο
τηρήματα ἐν τῷ περὶ τοῦ τοιούτου βουλεύεσθαι. εἰ δή τῶν φρο
εὖ βουλεύεσθαι. ἡ εὐβουλία εἴη ἂν ὀρθότης ἡ κατὰ τὸ συμφέ
τι τέλος. οὐ ἡ φρόνησις ἀληθὴς ὑπάρχειν ἐστι. τὰ μὲν μέχρι το
ἐξήγησιν εἰρημένα ἐστὶν ἐφαρμόσαι τοῖς μέχρι τοῦδε τοῦ Ἀρισ
ρητοῖς περὶ τοῦ καθόλου εὖ βεβουλεῦσθαι εἰρημένοις, τὰ δὲ ἑξῆς
ὅρῳ ἐφαρμόζειν τῆς κατὰ μέρος εὐβουλίας. ἐπεὶ γὰρ περί πρακ
ριως ἅπασα βούλευσις, τὸ δὲ πρακτὸν καθ' ἕκαστον, περὶ τὰ καθ' ἕκ
ἡ πᾶσα βούλευσις. διὸ καὶ δέον προστίθεσθαι τῷ ὅρῳ τῆς εὐβο
πρός τι τέλος. ἐπεὶ δὲ καὶ τῶν φρονίμων τὸ εὖ βουλεύεσθαι, δεῖ
φρόνησιν ἐν τῷ ὅρῳ παραλαμβάνεσθαι. καὶ οὕτως ἔσται τέλει
εὐβουλίας ὅρος, ἐκτεθειμένος ὡδί, ὡς ἐνταυθοῖ ὁ Ἀριστοτέλης ἐξέθε
ὀρθότης ἡ κατὰ τὸ συμφέρον πρός τι τέλος, οὗ ἡ φρόνησις
ὕστερον φησί. ἡ μὲν ὀρθότης ὡς γένος ἀντικειμένη οὖσα πρὸς τὴν δια
ἅτις ἐστὶν ἀνικανότης πρὸς τὸ προκείμενον τέλος καὶ ἐπιτυγχάνο
μενον. τὸ δὲ κατὰ τὸ συμφέρον πρὸς τὴν εἰς καλὸν ἀφορῶσαν κ
φορον βούλευσιν. πρὸς ἣν ὀρθότης μὲν εἶναι δύναται βουλῆς, ὡς
τυχίαν συμβαλλομένη τοῦ βλαβεροῦ, οἷον ὡς εἴ τις περὶ κλοπῆς ἀ
πραγμάτων βουλεύοιτο, καὶ τὸν οἰκεῖον πρὸς τοῦτο τρόπον ἐπιτ
τοῦτο γὰρ ὀρθότης μέν ἐστι διὰ τὸ ἄγειν πρὸς τὸ τέλος, περὶ ὃ τ
οὐ μὴν καὶ εὐβουλία ὅτι μηδὲ ἀγαθὸν ἐκεῖνο περὶ ὃ τὸ βουλεύε
πρός τι τέλος, διὰ τὴν περὶ τὸ καθόλου βουλήν. τὸ δὲ οὗ ἡ φ
ἀληθὴς ὑπόληψίς ἐστιν ὥσπερ ἐσχάτη τίς ἐστιν ἐν τῷ ὅρῳ τῆς
διαφορὰ ἀντιστρέφουσα πρὸς τὴν εὐβουλίαν, ὡς ἐν τῷ ὅρῳ τοῦ ἀ
τοῦ νοῦ καὶ ἐπιστήμης δεκτικόν. πᾶσα γὰρ εὐβουλία τέλος ἔχει
ἡ φρόνησις ἀληθὴς ὑπόληψίς ἐστι καὶ πᾶν βουλευτόν, οὗ ἡ
ἀληθὴς ὑπόληψίς ἐστιν, εὐβουλίας τέλος ἐστίν. ἐπεὶ γὰρ ἡ
ἁπλανῶς ἔχει περὶ τὰ ὁρεκτὰ καὶ βουλευτά, πάντα τὰ αὐτῇ πρ
περὶ ἐπιτυχίας προτιθέμενα ὁρκτά ἐστι καὶ ὠφέλιμα καὶ οἱ τρόπο
καὶ τοῖς τέλεσι ἐφαρμόζοντες, δι' ὧν αἱ ἐπιτυχίαι προσγίνονται ὑ
ἀγαθὴς ἐπιτηδευόμενοι τῆς φρονήσεως. δεῖ ἄρα τῇ εὐβουλίᾳ κα
προσκεῖσθαι τὴν διαφοράν, ὡς οὐσιῶδές τι ἴδιον διαστέλλον αὐ
γμάτων μὲν ἰδίων τὴν διαφοράν, προτιθεμένων δὲ φρονήσεως τ
ὑπολαμβανούσης περὶ τοῦ τέλους αὐτῆς, καὶ ἴσως διὰ τοῦτο ἐν
νοήματος τὸ ἔτι προτέτακται, ὡς ἔτι προσθήκης δεομένου τοῦ
βουλίας λόγου, ὃν ὁ ὅρος αὐτῆς ἀποδοθῇ, διαστέλλων αὐτὴν
ἁπλῶς εὐβουλίας, ἡ τοῦ ἁπλῶς τέλους ἐστίν, ἀλλὰ περὶ τῶν καὶ

προθέμενος B: προθέσθαι a 12 προστίθεσθαι scripsi: προτίθεσθαι Ba
B 19 τὸ συμφέρον B: συμφέρον a 30 εὐβουλίας B: εὐβου
8 ἔτι — αὐτὴν ἀπό (39) a: om. B 40 καθέκαστα a: καθεκάστην B

προτιθεμένων τοῖς ἀνθρώποις, εἰς ζήτησιν ὠφελίμων τε ὄντων καὶ διὰ 106ᵛ
τρόπων δεόντων κατορθουμένων καὶ διὰ χρόνου προσήκοντος. τὸ πρός τι
οὖν τέλος ἐν τῷ παρόντι ὅρῳ αὐτῆς λαμβανόμενον, διάστασιν αὐτὸν ἀπὸ
τῆς περὶ τὸ ἁπλῶς τέλος γινομένης εὐβουλίας. καὶ διὰ τοῦτο ἦν ἀναγ-
καῖον οὕτως ὁρισθῆναι αὐτήν. οὕτω μὲν ἡμῖν διὰ τούτων ἐξείληπται ἡ εὐ
καθόλου εὐβουλία καὶ ἡ κατὰ μέρος, ὡς περὶ τοῦ ἁπλῶς βουλευτοῦ καὶ
τῶν κατὰ μέρος βουλευτῶν γεγενημένου τοῦ λόγου. εἰ δέ τις βούλοιτο, εἰ-
λήφθω μὲν τὸ καθόλου ὡς ἐνδεχομένου καὶ καθόλου βουλεύεσθαι καὶ ἐν
μέρει, ὡς τινὸς μὲν ὄντος ἀεὶ περὶ ὃ βουλευόμεθα, παντὸς δὲ τοῦ τινὸς
πρὸς καθόλου ἀναγομένου, ὡς εἶναι καὶ τὸ τί βουλευτὸν ὑπὸ τὸ ἁπλῶς
ἀναφερόμενον βουλευτόν. πλὴν τὸ οὕτω καθόλου οὐδέποτε ἔσται ἐνέρ-
γεια. οὔτε μὴν ἡ βουλὴ περὶ τοῦ καθόλου βουλευτοῦ, διότι οἱ πράττοντες 107ᵛ
καὶ βουλευόμενοι τῶν καθ' ἕκαστα, καὶ ἃ πράττουσι καὶ περὶ ἃ βουλευόν-
ται πάντα τῶν καθ' ἕκαστα. ὃ δὲ λέγομεν ἁπλῶς τέλος καὶ ἁπλῶς βου-
λευτὸν οὐχ οὕτως ἁπλῶς ἐστιν ὡς ἐννοηματικόν, ἀλλ' ὡς ὅλον τι καὶ
τὰ καθ' ἕκαστον βουλευτὰ ὡς εἰς ὅλον μέρη ἀνάγονται εἰς αὐτό, εἰ μετὰ
φρονήσεώς τέ εἰσιν ὀρεκτὰ καὶ ἡ φρόνησίς ἐστιν ἡ τὰς ἐπιτυχίας κατορ-
θοῦσα αὐτῶν.

p. 1142ᵇ31 Ἔστι δὲ καὶ ἡ σύνεσις καὶ ἡ ἀσυνεσία, καθ' ἃς λέ-
γομεν συνετοὺς καὶ ἀσυνέτους, οὔθ' ὅλως τὸ αὐτὸ ἐπιστήμῃ ἢ
δόξῃ (πάντες γὰρ ἂν ἦσαν συνετοί) οὔτε τις μία τῶν κατὰ μέ-
ρος ἐπιστημῶν, οἷον ἡ ἰατρικὴ περὶ ὑγιεινῶν ἂν ἦν ἢ γεωμε-
τρία περὶ μεγέθη. οὔτε γὰρ περὶ τῶν ἀεὶ ὄντων καὶ ἀκινή-
των ἡ σύνεσίς ἐστιν οὔτε περὶ τῶν γιγνομένων ὁτῳοῦν ἀλλὰ
περὶ ὧν ἀπορήσειεν ἄν τις καὶ βουλεύσαιτο. 10

Ὡς καὶ ἐπὶ τῶν πρακτικῶν ἀρετῶν γενικὰς ἐλάβομεν ἀρετὰς σοφρο-
σώφρονα δικαιοσύνην, ἐλαμβάνομεν δὲ καὶ ἑτέρας οἰκειοτέρας, μεγαλο-
πρέπειαν μεγαλοψυχίαν, οὕτω καὶ ἡ φρόνησις, ἀρετὴ οὖσα
ἐννοηματική καὶ γενική, ἔχει ὑπ' αὐτὴν ἀναφερομένας τὰς ἐφεξῆς ἐνταῦθα
λαμβανομένας, εὐβουλίαν ἀγχίνοιαν σύνεσιν συγγνώμην, περὶ ὧν ὁ Ἀριστο-
τέλης ἐνταῦθα διδάσκει, τὰς μὲν ὕλῃ παραδοὺς καὶ ὁρισάμενος, περὶ δὲ
τῶν τὰς ἀποδείξεις ζήτῃ ποιούμενος. ὥσπερ τοίνυν περὶ τῆς εὐβουλίας
διδάσκων διέστησεν αὐτὴν ἀπὸ ἐπιστήμης καὶ δόξης καὶ εὐστοχίας καὶ

4 γινομένη εὐβουλία B 7 τῶν B: τοῦ a 9 τοῦ B: om. a 16 τὰ B: om. a βουλευτὰ B: βουλευτὸν a 22 post οἷον add. κατὰ μέρος, οὔτε a: om. B et Aristoteles ἡ ἰατρικὴ B et Arist. codd. KᵇMᵇ: ἰατρική a et Arist. vulg. ὑγιεινῶν a et Arist.: ὑγιεινὸν B ἂν ἦν B: γὰρ ἂν ἦν a et Arist. codd. LᵇMᵇOᵇ: om. Aristot. vulg. 23 μεγέθη B et Arist. cod. KᵇOᵇ: μεγέθους Aristot. vulg.: μεγέθη γὰρ a et Arist. Mᵇ 24 γενομένων B ὁτωοῦν Ba et Arist. codd. LᵇOᵇ: ὁτουοῦν Arist. vulg. 25 βουλευσ..ται B 26 πρακτικῶν a: πρακτῶν B

ἑτέρων γενῶν, διάφορον δείξας αὐτὴν ἑκάστης ἐκείνων, εἶτα τὸ γέν
τῆς εὑρὼν καὶ τὰς ἁρμοττούσας αὐτῇ συστατικὰς διαφορὰς συναγα
ἁρμοδίως ταύτας τῷ γένει συνάψας τὸν οἰκεῖον ὅρον αὐτῆς ἀπο
τὸ αὐτὸ ποιεῖ καὶ ἐπὶ τῆς συνέσεως. τί δέ ἐστιν ἡ σύνεσις καὶ
5 κειμένη αὐτῇ ἀσυνεσία, δείκνυσιν ἐκ τῶν μετεχόντων αὐτῆς, οὓς
τῶν παρανόμως συνετοὺς καὶ ἀσυνέτους καλοῦμεν. ποιοὶ γὰρ ὁ
καὶ ὁ ἀσύνετος, ἀπὸ τῆς συνέσεως καὶ ἀσυνεσίας ὀνομαζόμενοι,
δὲ οὕτως ἐξ αὐτῶν ποιοὶ ὠνομάζοντο, εἰ μὴ ποιότητες ἦσαν ἡ
καὶ ἡ ἀσυνεσία. οὕτω δείξας ὅτι εἰσί, ζητεῖ ἐφεξῆς τί ἐστιν ἡ σύν
10 πρὸ τούτου δείκνυσι τί οὐκ ἔστιν, ἵνα τῶν τριῶν ἀποχωρίσας α
κῶν, τὸ οἰκεῖον καὶ προσεχὲς προσαρμόσῃ αὐτῷ, καὶ οὕτω τὰς οἰκ
φορὰς ἐπαγαγὼν τέλειον αὐτῆς ἀποδώσει τὸ τί ἐστιν, ὃ καὶ ἐπὶ τῆ
λίας ἐποίησε. φησὶ τοίνυν ὅτι οὔτε ὅλως τὸ αὐτὸ ἐπιστήμῃ ἢ
σύνεσις. εἰ γὰρ τὸ αὐτὸ ἦν, ἦσαν ⟨ἂν⟩ πάντες συνετοί τινες ἢ
15 στάμενοι ἢ δυξάζοντες ἢ ὅλως καὶ καθόλου ὁ ἐπιστάμενος ἢ
ἐπίσταται συνετὸς οὔτε τις μία τῶν κατὰ μέρος ἐπιστημῶν. ἐ
ὁ συνετὸς κοινῷ λόγῳ καὶ τὰς τέχνας φησί· διὸ καὶ τὴν ἰατρ
ἐπιστήμην παραλαμβάνει. ἔστι γάρ τις ὅρος τῆς ἐπιστήμης, καθ
αἱ τέχναι ταῖς ἐπιστήμαις συντάσσονται. οὗτος δέ ἐστιν ὁ λέ
20 ἐπιστήμη ἐστὶν ἡ πρώτων καὶ δευτέρων τάξιν ἔχουσα. πᾶσα γὰ
καὶ πᾶσα ἐπιστήμη τάξιν ἔχει τῶν παρ' αὐτῇ παραδεδομένων, ὡς
πρῶτα τάττεσθαι, τὰ δὲ μετ' αὐτὰ μὴ δυναμένων τῶν δευτέρω
θοῦσθαι, μὴ προηγησαμένων τῶν πρωτέρων. δείκνυσι δὲ ὅτι οὐ
οὐκ ἐπιστήμη ἐστὶν ἡ σύνεσις ἐκ τῶν ὑποκειμένων ταῖς τέχναις
25 ἐπιστήμαις. εἰ γὰρ ἦν ἰατρική, διελάμβανεν ἂν περὶ ὑγιεινῶν κ
δῶν καὶ οὐδετέρων, εἴτε σωμάτων εἴτε διαιτημάτων εἴτε φαρμά
ἄλλων τινῶν τοιούτων. περὶ ὧν διαλαμβάνει ἡ ἰατρική. εἰ δὲ γε
περὶ μέγεθος ἂν κατεγίνετο, περὶ ταῦτα γὰρ ἡ γεωμετρία, οὐ
αἰεὶ ὄντα εἰσὶ καὶ ἀκίνητα, ἤτοι κατ' οὐσίας ἀμετάβλητα, οἷα τὰ
30 σώματα, ὡς αὐτὸς ἐν τῷ Περὶ οὐρανοῦ δείκνυσι. ταῦτα γὰρ εἰ κ
τόπον κινεῖται, ἀλλὰ κατ' οὐσίαν ὡσαύτως ἀεί φησιν ἔχουσι, κ
τόπον δὲ κινούμενα, οὐ καθόλου κινούμενα ἀλλὰ κατὰ μόρια,
τες ὁμοίους ἐν ταὐτῷ μένουσι, τοὺς τόπους οὐκ ἐναλλοττοντες.
νεται οὖν ἡ γεωμετρία περὶ μεγέθη, ἐπίπεδά τε καὶ στερεά, ἐπί
35 ὡς κύκλους καὶ τρίγωνα καὶ τετράγωνα καὶ τὰ λοιπὰ σχήματα, ἃ
ὄντα θεωροῦνται κατ' ἐπιφάνειαν, μὴ ἔχοντα τὸ τέλειον ἐν μεγέ
γαρ τρια παντῃ και το [illegible] παντῃ και το κατα τρια διαστατο
τε διαστατὸν καὶ μεγέθει τέλειον, ὡς αὐτὸς ἐν τῷ Περὶ οὐρα

2 αὐτῇ a: αὐτῆς B 4 τι B: [illegible] a 8 ὠνομάζοντο B: ὀνομάζοντ
11 προσεχὲς B: προσεχῶς a 12 [illegible] B: [illegible] a 15 ἐπ
[illegible] B: [illegible] a 30 Περὶ οὐρανοῦ] A 3 p. 2
[illegible] Περὶ οὐρανοῦ] A
[illegible] A

περὶ τούτου διείληφε, καὶ περὶ στερεᾶ δέ, οἷον σφαίρας κυλίνδρους κύ- 107r
βους κώνους πυραμίδας καὶ τὰ τούτοις ὁμοταγῆ, ἃ κατὰ τρεῖς θεωρούμενα
διαστάσεις στερεὰ ὀνομάζεται, μῆκος βάθος καὶ πλάτος ἔχοντα. ὧν τὰ
μὲν οὐράνια ὡσαύτως ἔχειν δεῖ φησι καὶ κατ' οὐσίαν εἶναι ἀκίνητα. εἰσὶ
δὲ τούτων ἃ καὶ γίνεταί τε καὶ φθείρεται, οἷα τὰ μεγέθη τὰ ἐν ταῖς γε-
νηταῖς καὶ φθαρταῖς οὐσίαις γινόμενα. περὶ ὧν οὐδετέρως τὴν θεωρίαν
ποιεῖται ἡ σύνεσις, ἀλλὰ περὶ ὧν ἀπορήσειεν ἄν τις καὶ βουλεύσαιτο.

p. 1143a6 Διὸ περὶ αὐτὰ μὲν τῇ φρονήσει ἐστίν, οὐκ ἔστι δὲ
ταὐτὸν σύνεσις καὶ φρόνησις. ἡ μὲν γὰρ φρόνησις ἐπιτακτική
ἐστιν· τί γὰρ δεῖ πράττειν ἢ μή, τὸ τέλος αὐτῆς ἐστιν· ἡ δὲ
ξύνεσις κριτικὴ μόνον· ταὐτὸ γὰρ ξύνεσις καὶ εὐξυνεσία, καὶ
γὰρ οἱ συνετοὶ καὶ εὐξύνετοι.

Αἴτιαι μὲν δὴ αἱ κατὰ τὰς ἀρετὰς ἕξεις τῶν ἐξ αὐτῶν προϊουσῶν
προχειρίσεων ἦτοι ἐνεργειῶν· καὶ φύσει πρότεραι, εἴπερ αἴτιαι, ὡς δὲ 107v
πρὸς ἡμᾶς, πρότεραι τῶν ἕξεων αἱ ἐνέργειαι. ὅτι καὶ αἰσθήσει καταλαμ-
βάνονται. αἱ δὲ προχειρίσεις ἐν τοῖς πράγμασίν εἰσι, περὶ ἃ καταγίνονται.
τὰ δὲ πράγματα αἰσθητά. διὰ τοῦτο τὰ πράγματα ἡμῖν γνωριστικὰ τῶν
ἕξεων γίνονται, περὶ ἃ αἱ ἕξεις τὴν ἐνέργειαν κέκτηνται. διὸ καὶ ἐπὶ τῆς
συνέσεως τὰ πράγματα παραλαμβάνει, περὶ ἃ ἡ σύνεσις καταγίνεται, ἵν' ἐκ
ἐξ αὐτῶν ἡμῖν γνωρίσῃ τὴν σύνεσιν. περὶ ἐκεῖνά φησι τοίνυν αὐτὴν κα-
ταγίνεσθαι, περὶ ὧν ἀπορήσειεν ἄν τις καὶ βουλεύσαιτο. ταῦτα δέ ἐστι
τὰ ἐφ' ἡμῖν, ἃ καὶ ἐπίσης ἐνδεχόμενα λέγεται διὰ τὸ οὐχ ἧττον οὕτε
μᾶλλον ἐνδέχεσθαι αὐτὰ εἶναι ἢ μὴ εἶναι. περὶ τούτων γὰρ ἀποροῦμεν
καὶ ζητοῦμεν καὶ βουλευόμεθα, ὥστε κοινωνεῖ ἡ σύνεσις τῇ φρονήσει κατὰ
τὰ ὑποκείμενα, εἴ γε καὶ ἡ φρόνησις περὶ τὰ οὕτως ἐνδεχόμενα ποιεῖται 10
τὰς προχειρίσεις. οὔτε γὰρ περὶ τῶν ἀναγκαίων ἄν τις βουλεύσαιτο συνε-
τὸς ἀνὴρ οὔτε περὶ τῶν ἐνδεχομένων μέν, ὡς ἐπὶ τὸ πολὺ ⟨δὲ⟩ ἢ ὡς ἐπ'
ἔλαττον (τὰ μὲν γὰρ οὕτως ἔχει ἢ ἕξει, κἂν βουλεύσαιτό τις κἂν μὴ βου-
λεύσαιτο), οἷον περὶ τοῦ ἡμέραν εἶναι, εἰ ὁ ἥλιος ὑπὲρ γῆν ἐστιν, ἢ περὶ
τοῦ μετὰ τὸ ἔαρ θέρος γενέσθαι, οὔτε περὶ τοῦ εἰ τὸ ἐσόμενον παιδίον
ὀπώρησεται πενταδάκτυλον οὔτε μὴν εἰ μὴ πενταδάκτυλον· τὰ τοιαῦτα
γὰρ πάντα τῆς θείας προνοίας καὶ φύσεως καὶ οὐδὲν τούτων ἐφ' ἡμῖν. 15
περὶ ἐκείνων δέ τις καὶ ζητεῖ καὶ βουλεύεται, ἃ ἐκ τῆς αὐτοῦ ζητήσεως
καὶ βουλεύσεως ἀποβαίνειν ἐνδέχεται, ὡς αὐτὸς βουλεύεται. περὶ τὰ τοι-
αῦτα τοίνυν ἡ σύνεσις. οὕτω μὲν οὖν αὐτὴν τῷ οἰκείῳ ὑποκειμένῳ ὑφί-
στησι καὶ τῶν ἄλλων διίστησιν ἕξεων, ὅσαι περὶ τὰ τοιαῦτα μὴ καταγί-
νονται. ἐπεὶ δὲ περὶ τὰ τοιαῦτά ἐστι καὶ ἡ φρόνησις, διαστέλλει καὶ ἐκ
ταύτης τὴν σύνεσιν, κατὰ τὸ διαφορὰν ἔχειν ταύτας ἀμφοτέρας περὶ τὰ 20
αὐτὰ τὴν ἐνέργειαν, ὃ εὑρεῖν ἔστι κἀπὶ τῶν ἐπιστημῶν πολλάκις καὶ τῶν

1 διείληφε Diels: δὲ εἴληφε Ba 4 ἔχειν B: ἔχει a 5 οἷα B: οἷον a 8 αὐτὰ Ba: τὰ αὐτὰ Aristoteles 11. 12 καὶ γὰρ οἱ Ba et Arist. cod. Lb: καὶ Aristoteles vulg. 19 παραλαμβάνει a: καταλαμβάνει B 27 δὲ a: om. B 38 διαφορὰν B: διάφορον a

τεχνῶν. ἔστι γὰρ καὶ ἐπιστήμας εὑρεῖν περὶ τὸ αὐτὸ μὲν οὖσας
μενον, διαφερούσας δ' ἀλλήλων τῷ ἄλλως καὶ ἄλλως πιστεύειν
τὴν διάνοιαν. καὶ τέχνας ὡσαύτως· ἐπιστήμας μέν, ὡς περ
ἀστρονομία καὶ γεωμετρία, ἡ μὲν ὡς περὶ ὀλίγα, ἡ δὲ ὡς π
24 τὸ δὲ δυνάμει — εἰ μὴ δυνάμει (26) a: om. B
28 ἑκατέρα B: ἑκατέρῳ a
29 μηθὲν a et Aristoteles: μηθενὸς B

p. 1144a3 Ἔπειτα καὶ ποιοῦσι μέν, οὐχ ὡς ἰατρικὴ ὑγ
ἀλλ' ὡς ὑγίεια, οὕτως ἡ σοφία εὐδαιμονίαν.

Τριττῶν ὄντων τῶν ἀγαθῶν τῶν παρὰ τοῖς ἀνθρώποις θεωρ
τῶν μὲν ψυχικῶν, τῶν δὲ σωματικῶν, τῶν δ' ἐξωθεν, καὶ πρώτων
κυριωτέρων τῶν ψυχικῶν, δευτέρων δὲ καὶ ἥττον κυρίως τῶν ἐν
τῶν σώμασι, τρίτων δὲ τῶν ἔξωθεν, ἔστι τῆς εὐδαιμονίας ὡς μέ
πληροῦντα αὐτὴν τὰ ἐν ἑκάστῳ γένει τῶν εἰρημένων τερπνά.
Θεωρητικαὶ καὶ πρακτικαὶ ἀρεταὶ ὡς ψυχικὰ ἀγαθά. ὑγίεια δὲ
καὶ εὐαισθησία καὶ ῥώμη καὶ κάλλος σωματικόν. ὑγίεια μὲν ἀνα
δικαιοσύνη, ὡς ἑκάστου τῶν ἐναντίων, ἐξ ὧν τὸ ἀνθρώπινον σῶμα
ται, τὸ οἰκεῖον ἑαυτοῦ φυλαττοντος μέτρον, κάλλος δὲ σωφροσύνη
αὐτῇ τῶν ὀργανικῶν μορίων ἐχόντων τὸ πρὸς ἄλληλα σύμμετρον
εὐχροιαν, ῥωμη δὲ ἀνδρεία, ὡς ἐν αὐτῇ τὸ εὐτονον καὶ καρτε
τοῖς πόνοις τοῦ σώματος ἐχοντος, εὐαισθησία δὲ φρονήσει, γνῶσ
σωματική καὶ τοῦ ὑποκειμένου ἀχωρίστως. τὸ δὲ ἔξωθεν εὐκ
πλοῦτος καὶ τῶν ἀνὰ χεῖρας συντήρησις καὶ εὐδοσις. ἐπεὶ οὖν
κυριωτάτοις τὰ ἀγαθὰ τῆς ψυχῆς. ἃ δὴ αἱ ἀρεταὶ εἰσι, μία δὲ τ
τῶν καὶ ἡ σοφια. πρωτιστη οὖσα πασῶν, ὡς τοῦ πρωτίστου κα
μορίου ὑπάρχουσα, λέγω δὴ τοῦ θεωρητικοῦ νοῦ, εἴη ἂν μάλιστα τ
τον μέρος τῆς εὐδαιμονίας αὐτη. ὁμοίως καὶ ἡ φρόνησις, ὡς κ
τοῦ πρακτικοῦ νοῦ τελειωτικη. ὥστε καὶ ποιοῦσιν αὐται ἀμφω
δαιμονίαν, ἀλλ' οὐχ οὕτως ὡς ἰατρικὴ ὑγίειαν, ἀλλ' οὕτως ὡς μέ
πληρωτικὰ τῆς εὐδαιμονίας. εἰ γὰρ ὑγιεια σωματικον οὖσα ἀγαθ
την εὐδαιμονιαν μετὰ τῶν ἄλλων ἀγαθῶν, συμπληροῦσα καὶ αὐτὴ
ρος οὖσα εὐδαιμονίας, πολλῷ μᾶλλον ἡ σοφία καὶ ἡ φρόνησις. ἔσ
τῶν κρειττόνων μορίων τῆς ψυχῆς κοσμητικαὶ καὶ τελειωτικαί.
τοῦ θεωρητικοῦ νοῦ καὶ πρακτικοῦ. ἡ μὲν γὰρ ἰατρικὴ ὡς ὑπο
τῇ φύσει κατορθοῖ τὴν ὑγίειαν, ἡ δὲ ὑγίεια ὡς κρείττων οὖσα τ
θῶν τῶν τοῦ σώματος ἀναπληροῖ τὴν εὐδαιμονίαν ὡς μέρος αὐτῆ
ἡ μὲν ἰατρικὴ τῆς ὑγείας ἕνεκα, ἡ δὲ ὑγεία τὸ τέλος καὶ τὸ ο
τῆς ἰατρικῆς. μέρος γὰρ οὖσα τῆς ὅλης ἀρετῆς τῷ ἔχ
ποιεῖ καὶ τῷ ἐνεργεῖν εὐδαίμονα. οὕτω ποιεῖ, φησίν, ἡ σο
εὐδαιμονίαν ὡς μέρος οὖσα τῆς ὅλης ἀρετῆς. ἡ δὲ ὅλη ἀρετή,
συνισταμένη ὡς ὅλον τι ἐκ μερῶν τῶν θεωρητικῶν ἀρετῶν καὶ
κῶν. οὖσα οὖν ἡ σοφία ἐν τῇ ψυχῇ καὶ ἐχομένη ὑπ' αὐτῆς, ἥ
σταμένη ἐν αὐτῇ καὶ ἐνεργοῦσα, ποιεῖ τὸν ἄνθρωπον εὐδαίμονα. ο

1 ἰατρικὴ B: ἰατρικὴ δὲ a et Aristoteles 2 ὑγίεια B et Arist. cod. Mb: ἡ
Arist. vulg. post ὑγίεια add. τὰ εὐεκτικὰ a: om. B et Arist. vulg.
que ad ἐνεργεῖν εὐδαίμονα (p. 1144a6) a 3 τριττῶν B: τριῶν a
κωτέρων) B: om. a 5 τῶν a: καὶ B 6 μέρη B: μέτρον a
B: δὲ a 22 ἰατρικὴ B: ἡ ἰατρικὴ a 31 τῷ ἐνεργεῖν — εὐδαίμονα (32

καὶ ἡ φρόνησις· μέρος γὰρ καὶ αὐτὴ τῆς ὅλης ἀρετῆς. καὶ συμπεραίνει καὶ αὐτὴ τὴν εὐδαιμονίαν τῷ ἔχεσθαι τῇ ψυχῇ καὶ τῷ ἐνεργεῖν.

p. 1144a6 Ἔτι τὸ ἔργον ἀποτελεῖται κατὰ τὴν φρόνησιν καὶ τὴν ἠθικὴν ἀρετήν. ἡ μὲν γὰρ ἀρετὴ τὸν σκοπὸν ποιεῖ ὀρθόν, ἡ δὲ φρόνησις τὰ πρὸς τοῦτον.

Τὰ μὲν εἰρημένα κοινὰ ἦν σοφίας καὶ φρονήσεως, δηλοῦντα τὴν τούτων ἀμφοῖν τιμιότητα καὶ ὑπεροχήν, καὶ ὅπως μάλιστα πάντων τῇ εὐδαιμονίᾳ συντελοῦσιν εἰς σύστασιν. τὸ δὲ παρὸν ἐπιχείρημα τῇ φρονήσει μόνῃ προσβάλλεται. δίκαιον οὖν ἀναμνῆσαι, οὗτινα τρόπον τὴν πρὸς χείρισιν ἑκάστης τῶν κατ' ἀρετὴν ἕξεων. τὸ γὰρ ἔργον, φησί, καὶ ἡ πρᾶξις ἡ κατ' ἀρετὴν κατὰ τὴν φρόνησιν καὶ τὴν ἠθικὴν ἀρετὴν ἀποτελεῖται. πᾶσα γὰρ ἠθικὴ ἀρετὴ τινός ἐστιν ἢ τινῶν μορίων ἕξις τοῦ παθητικοῦ ψυχῆς, οἷον θυμικοῦ μὲν ἀνδρεία, ἐπιθυμητικοῦ σωφροσύνη, ἑκατέρων δὲ ἀμφοτέρων, ἑκατέρῳ τούτων τὸ ἄξιον νέμουσα πρὸς ἄλληλά τε καὶ πρὸς τὸν λόγον, ὡς θυμῷ μὲν ὑπείκειν ἐπιθυμίαν. ταῦτα δὲ τῷ λόγῳ ἀμφότερα, καὶ οὕτως εἶναι τὴν φρόνησιν ἐφεστηκυῖαν ταῖς ἀρεταῖς πάσαις καὶ διατάττουσαν. πῶς δὲ ποιεῖ ἡ πρακτικὴ ἀρετὴ ὀρθὸν τὸν σκοπόν, ἡ δὲ φρόνησις τὰ πρὸς τοῦτον; ὅτι παιδευθέντων τῶν ὀρεκτικῶν τούτων δυνάμεων ὑπὸ τοῦ λόγου πρότερον, ὥστε τῶν δεόντων ὀρέγεσθαι καὶ μηδέποτε ἐκπίπτειν πρὸς τὰ ἀπρεπῆ ὀρεκτά, γίνεται ὀρθὸς ὁ σκοπὸς τῶν | ὀρέξεων, ὡς μηδέποτε διαστρέφεσθαι τὰς ὁρμὰς ἐπ' τι τῶν ἀπρεπῶν, 113r ἀλλ' εἶναι τὰ τέλη ἐπαινετὰ καὶ ἁρμόδια, πρὸς ἃ αἱ ὀρέξεις ἐκτείνονται, ἤδη λογικευθεῖσαι ὑπὸ τοῦ λόγου καὶ τρόπον τινὰ λογικῶς ἐφίεσθαι τῶν ὀρεκτῶν συνεθίσασαι. τοιούτων δὲ προκειμένων τῶν ὀρεκτῶν, τὴν πρὸς ταῦτα εὐόδωσιν ποιεῖται ἡ φρόνησις, ἐφευρίσκουσα καὶ ἐπιτηδεύουσα τοὺς τρόπους τῶν κατορθώσεων, ὥστε τὴν κυριότητα ἐν ταῖς ἀρεταῖς καὶ ταῖς κατ' αὐτὰς πράξεσιν ἡ φρόνησις κέκτηται.

p. 1144a9 Τοῦ δὲ τετάρτου μορίου τῆς ψυχῆς οὐκ ἔστιν ἀρετὴ τοιαύτη, τοῦ θρεπτικοῦ· οὐθὲν γὰρ ἐπ' αὐτῷ πράττειν ἢ μὴ πράττειν.

Ψυχὴν ἐνταῦθα κοινῶς λαμβάνει, ὡς αὐτὸς ἐν τῷ Περὶ ψυχῆς διωρίσατο, ψυχὴν εἶναι λέγων ἐντελέχειαν σώματος φυσικοῦ, ὀργανικοῦ, δυνάμει ζωὴν ἔχοντος, καὶ ταύτην φησὶ διαιρεῖσθαι εἰς τέσσαρα, ἐπιστημονικὸν λογικὸν ὀρεκτικὸν θρεπτικόν, ἐν τῷ ὀρεκτικῷ περιλαμβάνων καὶ τὸ αἰσθητικόν, διότι πάσῃ ὀρέξει ἀλόγῳ σύνεστιν αἴσθησις. αἰσθανόμενοι γὰρ τῶν ἡδέων καὶ λυπηρῶν, τῶν μὲν ὀρεγόμεθα, τὰ δ' ἀποστρεφόμεθα. ὡς

1 γὰρ καὶ B: γὰρ a 3 κατὰ τὴν B et Aristoteles: κατά τε τὴν a 8 εἰς σύστασιν συντελοῦσιν a 21 ὀρέξεων a: ἕξεων B 31 ἐν τῷ Περὶ ψυχῆς] B 1 p. 412a27 secundum lectionem codicis X 32 ἐνδελέχειαν a

οὖν ἐν τῷ ἀνθρώπῳ τούτων ὄντων ἁπάντων, φησὶν ὅτι τὰ μὲν τρία
ρια τῆς ψυχῆς πεφύκασι κτᾶσθαι ἀρετὴν τὴν κατὰ προαίρεσιν
ἐπ' τῷ κτωμένῳ εἶναι, ὥστε κτᾶσθαι αὐτὴν ἢ μή. ἐπιστήμην γ
κτώμεθα βουλόμενοί τε καὶ προαιρούμενοι, ἥτις ἐστὶ τοῦ θεωρητικ
καὶ φρόνησιν, ἥτις ἐστὶ τοῦ λογιστικοῦ, καὶ ἀνδρείαν καὶ σωφροσύ
δικαιοσύνην, αἳ εἰσι τοῦ κατὰ τὴν ζωτικὴν δύναμιν ὀρεκτικοῦ. κα
μὸν γὰρ καὶ ἐπιθυμίαν ἡ ὄρεξις, (ὧν αἱ πρακτικαὶ ἀρεταὶ τῇ κρ
λογιστικοῦ κατορθούμεναι. ἡ γὰρ βούλησις λογικὴ ὄρεξις) καὶ ἄλ
ναμεως κρείττονος. τοῦ δὲ ὀρεκτικοῦ, ὃ τέταρτον μέρος τῆς ψυχῆ
ρίθμηται, οὐκ ἔστιν ἀρετή τινα αὐτῷ, ἤγουν ἡ κτωμένη ἐξ ὀρέξεως κ
αἰσεσεως. αἱ γὰρ τοιαῦται ἀρεταὶ ἐπὶ τοῖς κτωμένοις, ἤτοι ἐπὶ τ
ἐνεργοῦσι καὶ θελήσει αὐτῶν. τῷ δὲ τετάρτῳ μορίῳ τῆς ψυχ
τοῦ τι ἐπ' αὐτῷ. οὔτε γὰρ ὄρεξις οὔτε προαίρεσις αὐτῷ πρόσεστ
τοῦ δὲ, ἐπ' τῶν φυτῶν· φορείται μὲν γὰρ καὶ καμπτεται ὑπὸ τῶν φυ
μοίων, καὶ εὐκαρπία δὲ εὑρίσκεται ἐν αὐτοῖς, ἃ εἰσι φυσικαὶ ἀρε
ἐκ φύσεως αὐτοῖς προσγινόμενα, ὄρεξις δὲ οὐδὲ προαίρεσις πρόσεστ
τουτο οὐδέ τις κατ' αὐτὸν ἀρετή.

p. 1144a 11 Περὶ δὲ τοῦ μηδένα εἶναι πρακτικώτερους ὁ
φρόνησιν τῶν καλῶν καὶ δικαίων, μικρὸν ἄνωθεν ἀρκτέο
βοντας ἀρχὴν ταύτην. ὥσπερ γὰρ καὶ τὰ δίκαια λέγομεν
τοντάς τινας οὔπω δικαίους, οἷον τοὺς τὰ ὑπὸ τῶν νόμ
ταγμένα ποιοῦντας ἢ ἄκοντας ἢ δι' ἄγνοιαν ἢ δι' ἕτερόν
μὴ δι' αὐτά (καίτοι πράττουσί γε ἃ δεῖ καὶ ὅσα δεῖ τὸν
δαῖον), οὕτως, ὡς ἔοικεν ἔστι τὸ πῶς ἔχοντα πράττειν ἐ
ὥστ' εἶναι ἀγαθά, λέγω δ' οἷον διὰ προαίρεσιν καὶ αὐτῶν
τῶν πρακτομένων.

Ἐν ἦν καὶ τοῦτο τῶν ἠπορημένων περὶ φρονήσεως, ὡς ὀν
γαρ ἕξεις πρακτικὰς εἶναι τὰ καλὰ καὶ τὰ δίκαια. ἐκ τοῦ μόνον εἶναι
τὰς ἐπὶ τῇ ψυχῇ, οἷον δικαιοσύνην καὶ ἀνδρείαν καὶ σωφροσύ
ν. ταύτας οὖν τὰς ἕξεις ἀναφέρονται, ὡς εἰδικωτέρας πρὸς γενι
κὸν ὃ καὶ τὴν αὐτὴν ἀπορίαν, ἄνεισι πρός τινα θεωρίαν ἀρχικ
ρχὴν τοιαύτην ἐποιήσεις, ὅτι οὐ πᾶς ὁ πράττων τὰ δίκαια καὶ
εὐθὺς διὰ τοῦτο αὐτὸς σπουδαῖός ἐστιν, οἷον δίκαιος ὁ τὰ δίκαια
ἢ σώφρων ὁ τὰ σωφρονικὰ ἢ ἀνδρεῖος ὁ τὰ ἀνδρικά. ἐνδέχεται
ὑπὸ τῶν νόμων τεταγμένα πράττοντά τινα πράττειν αὐτὰ διὰ φόβ
σεων ἀπειλουμένων τοῖς μὴ ἐμμένουσιν οἷς οἱ νομοθέται διώρισαν
κωλύειν ἢ ἀπειλοῦσι τοῖς ἐμμένουσιν, ἢ καὶ δι' ἄγνοιαν ἐνιοτε.
ται γὰρ δι' ὄρεξιν ἰδίαν πράττειν τινὰ δικαίων τι ἢ σωφρονικῶν ἢ

πρακτικαὶ — ὄρεξις (S) a: om. B 11. 12 τῆς αὐτεξουσίου
τους a 21 δικαίους B: δικαίους εἶναι a et Aristoteles 23 καὶ
Aristoteles 25 ἀγαθά B: ἀγαθόν a et Aristoteles

ον μὴ εἰδότα, ὅτι τοιοῦτον τὸ πραττόμενον, ἢ ἐνεργοῦντα κατὰ τὸν νόμον 113r
μὴ εἰδέναι, ὅτι ὁ νόμος τῆς πόλεως οὕτως ἐνεργεῖν τοὺς κατ' αὐτὴν πο-
λίτας ἐντέλλεται. οἱ οὖν τὰ καλὰ καὶ τὰ δίκαια πράττοντες διά τι τοιοῦ-
τον ἢ ἕτερον τοῖς εἰρημένοις ὁμοίων οὐκ εἰσὶ δίκαιοι οὐδὲ σπουδαῖοι, ὅτι
οὐ πράττουσι τὰ καλὰ καὶ τὰ δίκαια δι' αὐτὰ ἀλλὰ διά τι ἕτερον, ὡς οὖν
ἐπὶ τούτων, οὕτω καὶ καθόλου περὶ παντὸς τοῦ πράττοντος ταγαθὰ ἐξετά-
ζομεν τὸ πῶς ἔχων πράττειν, καὶ εἰ μὲν ὡς προαιρούμενος καὶ κατ' οἰ- 15
κείαν ὄρεξιν καὶ εἰδὼς ὅτι καλὰ καὶ δίκαια τὰ πραττόμενα καὶ διότι τοι-
αῦτα πράττων αὐτὰ κριθείη ἂν σπουδαῖος ὁ πράττων καὶ ἀγαθός, εἰ δὲ
δι' ἄγνοιαν ἢ φόβον ἢ δι' ἐλπίδα τοῦ ἀπολαῦσαί τινος ὀρεκτοῦ ἐκ τῆς
πράξεως, οὐκ ἂν σπουδαῖος ῥηθείη οὐδ' ἀγαθὸς ὁ πράττων. κἂν εἴη τὰ
πραττόμενα παρ' αὐτοῦ ἀγαθά. δεῖ γὰρ πῶς ἔχοντα πράττειν ἕκαστον, 20
ἵν' εἴη ἀγαθὰ καὶ σπουδαῖα.

p. 1144a20 Τὴν μὲν οὖν προαίρεσιν ποιεῖ ὀρθὴν ἡ ἀρετή, τὸ δ' ὅσα ἐκείνης ἕνεκα πέφυκε πράττεσθαι οὐκ ἔστι τῆς ἀρετῆς ἀλλ' ἑτέρας δυνάμεως.

Ἐντεῦθεν ἄρχεται δεῖξαι, πῶς ἀναγκαία ἡ φρόνησις τοῖς ζῆν καὶ πράτ-
τειν βουλομένοις κατ' ἀρετήν. φησὶ τοίνυν, ὅτι ἡ μὲν ἀρετὴ ὀρθῶς ποιεῖ
τὴν προαίρεσίν πως, ὅτι ἐν ἕξει τοῦ ἀγαθοῦ τῶν ἐν ἡμῖν ὀρεκτῶν γενο-
μένων δυνάμεων, ἤγουν θυμοῦ καὶ ἐπιθυμίας, ὀρθοῦται καὶ ἡ προαίρεσις,
τὸ μὲν πονηρὸν | ἀποτρεπομένη, ἀεὶ δὲ ταγαθὸν προτιθεμένη καὶ μη- 113v
δέποτε διαστρεφομένη πρὸς τοὐναντίον. οὐκ ἔστι δ' αὐτοτελὴς ἡ τοῦ ἀγα-
θοῦ ὄρεξις. δεῖ δὲ αὐτῇ τρόπων καὶ ἐπινοιῶν, δι' ὧν τοῦ ὀρεκτοῦ ἐφι-
κέσθαι δυνήσεται. ὅσα οὖν, φησί, φύσιν ἔχει πράττεσθαι ἕνεκα τῆς προ-
αιρέσεως, ἤγουν τοῦ τῇ προαιρέσει ὀρεκτοῦ, ὃ αὐτὴ προείλετο καὶ προτε-
τίμηκεν, οὐκ ἔστι τῆς ἀρετῆς ἀλλ' ἑτέρας δυνάμεως. ἡ γὰρ πρακτικὴ 5
ἀρετὴ περὶ ἧς ἦν ὁ λόγος, τῶν ἀλόγων ἐστὶ δυνάμεων παιδεία καὶ ῥύθ-
μισις. αἱ δὲ ἄλογοι δυνάμεις ἐπιτηδεῖαι τε οὐ πέφυκαν τὸ ἄγαν αὐτὰς
εἰς ἐπίτευξιν τοῦ αὐταῖς ὀρεκτοῦ, ἀλλ' ἑτέρας δυνάμεως χρεία, δι' ἧς εὐ-
ρεῖν ἐνδέχεται τοὺς τρόπους τῆς κατορθώσεως. οὐδὲ γὰρ ἡ προαίρεσις
εὑρετικὴ τούτων πέφυκε γίνεσθαι, μόνον δὲ τόδε τοῦδε προτίθεσθαι, τὸ
κρεῖττον δηλονότι τοῦ χείρονος, ὀρθὴ γενομένη ἐκ τῆς κατ' ἀρετὴν ἕξεως.
μέχρι τούτου ἀληθὴς μὲν ὁ λόγος αὐτῷ, πλὴν συγκεχυμένος καὶ ἀδιάρθω-
τος· διὰ τοῦτο ἐπιφέρει τὰ ἑξῆς σαφηνίζων τὰ εἰρημένα.

4 τοῖς εἰρημένοις B: τῶν εἰρημένων a 14 ποιεῖ ὀρθὴν B: ὀρθὴν ποιεῖ a et Aristotelis 21 τοῦ bis B 27 περὶ ἧς ἦν ὁ a: περιῆξά B sic 28 οὐ B: om. a 33 τούτου B: τούτους a

p. 1144a22 Λεκτέον ὁ ἐπιστήσασι σαφεστέρον περὶ αὐτ
τι δή τις δύναμις, ἣν καλοῦσι δεινότητα. αὕτη δέ (ἐστι
κύτη, ὥστε τὰ πρὸς τὸν ὑποτεθέντα σκοπὸν συντείνοντα
ῆθαι ταῦτα πράττειν καὶ τυγχάνειν αὐτῶν. ἂν μὲν οὖν ὁ
πὸς ἦ καλός, ἐπαινετή ἐστιν, ἂν δὲ φαῦλος, πανουργία.
καὶ τοὺς φρονίμους δεινοὺς καὶ πανούργους φαμὲν εἶνο

[illegible] ἐστιν. ἐπεὶ τὰ πρὸς τὸν σκοπὸν ἄγοντα ἐστὶ τὰ ἀληθῆ
[illegible] ἐστὶν ἡ ἀλήθεια. δεῖ τοίνυν τὸν ἐπιστήσαν τὸν σκοπ
καὶ τὸν λόγον ἀπλώσαντα τοὺς τρόπους παρέρχεσθαι ὁ προκείμενος.
ἡ πρὸς τὸ ζητηθὲν λύσις σαφεστέρα γένηται. ἀναπτρέχει τοίνυν
τερον, περὶ οὗ διασκοπῶν ἡμᾶς δεικνυσι καὶ τὴν φρόνησιν ἀναγκαί
καὶ ἀπαραίτητον τοῖς ἐνεργεῖν βουλομένοις κατ' ἀρετήν. εἰς ὃ ἀ
λέγει. ἐστὶ δύναμις τις, ἣν καλοῦσι δεινότητα, ἣν καὶ ὁρίζονται, ὅ
[illegible] πρὸς τὸν [illegible] συντεινόντων. ὅτ
ἡ δύναμίς ἐστι τοιαύτη, φησίν. ὥστε τὰ πρὸς τὸν ὑποτεθέντα τ
πὸν συντείνοντα συνασθαι πράττειν καὶ τυγχάνειν αὐτῶν.
μὲν οὖν ὁ φιλόσοφος, ὅτι οὐ διὰ δεῖ ἐπιστήσαντας τὴν τῶν
νοιαν. πᾶς γὰρ ἄνθρωπος ἐνεργῆσαι βουλόμενος σκοπόν τι κα
ωτῷ τῆς πράξεως τίθεται. ὅσῳ οὖν αὐτῷ δυνάμεως τινος καὶ ἐπ
ήκτος, εἰς ἣς πράττειν συνίσεται ταῦτα, ἃ πρὸς τὸν σκοπὸν ἐκεῖνο
χὶ συντείνοντα, καὶ πρὸ τοῦ σκοπὸν τυγχάνειν ἐκείνων, ἃ σὺν τ
ὸν ὡς εἰς τέλος. εἰ μὲν οὖν εὐφυία ἥρκει μόνη πρὸς τὸ κατορθοῦ
ἂν ἑτέρας τινὸς ἢ δυνάμεως ἢ ἕξεως ἐδεόμεθα πρὸς τὰς ἀγαθὰς
των τῶν πράξεων. ἐπεὶ δὲ τὴν εὐφυίαν ταύτην μόνην ἔχοντες
ω σπουδαίοι ἐς ἀναγκης ἐσμεν, ἀλλ [illegible] καὶ ἕξεως τι
ς, διὰ τοῦτο ὅτι καὶ προσηκης οὐ τῆς [illegible]. αὕτη ὁ ὅσ
ἡ ὁ προτεθεὶς σκοπὸς ἀγαθός, καὶ οὕτως ἔσται ἐπαινετὴ καὶ ἡ δ
ί δὲ φαῦλον εἴη τὸ τέλος τὸ προτεθέμενον, πανουργία ὀνομάζεται
ως. διὰ τοῦτο καὶ τοὺς φρονίμους δεινοὺς καὶ πανούργ
ν εἶναι· δεινοὺς μέν· τῷ τῆς εὐφυίας ταύτης ὀνόματι ὑπὸ τῆ
ξεως καταχρώμεθα. ἄλλως τε καὶ ὑπέστη τῇ ἕξει καὶ τῇ [illegible]
οῦτο ἡ δύναμις καὶ ἡ ἐπιτηδειότης· διὸ καὶ ἀληθὲς ἔστι. δεῖ
ων λέγεσθαι· πανούργους δὲ παραχρώμενοι τῇ κλήσει τῆς
ρίτου σκοποῦ ἀγούσης δεινότητος. ἔστι δὲ πανουργία τὸν φρονίμο
μεν ὅτι τὸ ἐντρεχὲς αὐτοῦ τῆς διανοίας καὶ πρὸς [illegible]
τατον. πᾶν εὑρισκοντα τὸ πρὸς τὸν σκοπὸν ἄγον [illegible]
ν Ὁμηρικὸν δὲ Ὀδυσσέα δεινὸν λέγομεν φρονίμου ὄντα καὶ εὐ

[illegible] ἐστιν ἃ: om. B [illegible] τὸ πράττειν τα
[illegible] ἐν B: εἰν καὶ a [illegible] 32 παοῦσι B: παοῦσ
[illegible]

τῶν πρὸς τὸν ὑγιῆ σκοπὸν συντελούντων. καὶ τὸν Περικλέα ὁ Θουκυδίδης 113v
τοιοῦτόν τινα λέγει, ἐξ οἰκείας συνέσεως τὰ πρὸς τὸν προκείμενον συντε-
λοῦντα σκοπὸν ἐξευρίσκοντα καὶ οὔτε προμανθάνοντά τι οὔτ' ἐπιμανθά-
νοντα, τῶν τε παραχρῆμα δι' ἐλαχίστης βουλῆς κράτιστον γνώμονα καὶ
τῶν μελλόντων ἐπὶ πλεῖστον τοῦ γενησομένου ἄριστον εἰκαστήν. τούτῳ
γὰρ διαφέρει δεινότης φρονήσεως, ὅτι ἡ μὲν τῶν πρὸς τὸν ἁπλῶς σκοπὸν
συντελούντων ἐξευρετική ἐστι δυνάμεως. ἡ δὲ φρόνησις τῶν πρὸς τὸν εὖ
σκοπόν, καὶ ὅτι ἡ μὲν φρόνησις ἕξις ἐκ πολυπειρίας προσγινομένη τῇ ψυ-
χῇ, δεῖται δὲ τῆς δεινότητος, δυνάμεως οὔσης καὶ εὐφυΐας καὶ ἐκ φύσεως
προσούσης τῷ ἐν ἡμῖν λόγῳ, ἵν' ἐν αὐτῇ ἐπιγένηται καὶ κοσμήσῃ αὐτήν,
καὶ οὕτω σκοπὸν ἀεὶ προτιθεμένη ἀγαθὸν ἐπιτυγχάνει τῶν σκοπουμένων,
τὰ πρὸς αὐτὸν συντελοῦντα εὑρυῶς ἐφευρίσκουσα. διὰ τοῦτο καὶ Ἀριστο-
τέλης ἐπάγει τοῖς εἰρημένοις, τὴν διαφορὰν παραδοὺς δεινότητος καὶ φρο-
νήσεως· ἔστι γὰρ

p. 1144a28 Ἔστι δ' ἡ φρόνησις οὐχ ἡ δύναμις, ἀλλ' οὐκ ἄνευ
τῆς δυνάμεως ταύτης. ἡ δ' ἕξις τῷ ὄμματι τούτῳ γίνεται τῆς
ψυχῆς οὐκ ἄνευ ἀρετῆς, ὡς εἴρηταί τε καὶ ἔστι δῆλον.

Οὐκ ἔστι, φησίν, ἡ φρόνησις ἡ εἰρημένη δύναμις, ἀλλὰ δεῖται τῆς
δυνάμεως ταύτης, ἵνα ἐν αὐτῇ ἐπιγένηται. διὸ οὐκ ἄνευ ταύτης ὑπάρξαι
δύναται, ὡς οὐδ' ἄλλη τις ἕξις, εἰ μὴ ἔχοι τὸ ὑποκείμενον δεκτικόν, οὐκ
ἂν δ' εἴη δεκτικόν, εἰ μὴ ἔχοι τὴν πρὸς τὴν ἕξιν ἐπιτηδειότητα καὶ εὐ-
φυΐαν. ἡ δὲ ἕξις ἡ ἐπιγινομένη τῇ δεινότητι, ἥ ἐστιν ἡ φρόνησις, γίνεται
τῷ ὄμματι τούτῳ τῆς ψυχῆς. ποίῳ τούτῳ; ἥγουν τῷ εἰρημένῳ, ὅ ἐστιν
ὁ πρακτικὸς νοῦς. οὗτος δέ ἐστιν ὁ αὐτὸς μὲν τῷ θεωρητικῷ κατὰ τὴν
οὐσίαν, τῇ δὲ ἐνεργείᾳ, ἕτερος, ὡς καὶ πρότερον εἴρηται. ὁ γὰρ αὖ- 114r
τὸς νοῦς ὅτε μὲν περὶ τὰ καθόλου καὶ τὰ ὑπὲρ αἴσθησιν καταγίνεται,
σοφίαν τε κατορθοῖ καὶ ἐπιστήμην, καὶ νοῦς θεωρητικὸς καὶ διάνοια λέγε-
ται, ὅτε δὲ περὶ τὰ καθ' ἕκαστα καὶ πρακτά, νοῦς τε πρακτικὸς καὶ λο-
γισμὸς ὀνομάζεται. πῶς δ' οὐκ ἄνευ ἀρετῆς ἡ ἕξις αὕτη τῷ ὄμματι τῆς
ψυχῆς γίνεται, εἴρηται μὲν καὶ τῷ Ἀριστοτέλει, ῥητέον δὲ καὶ ἔτι. ἡ
γὰρ ἀρετὴ τὰς ὀρέξεις ποιεῖ ἀγαθάς, τοῦ ἡγεμονεύοντος λόγου ταύτας
ῥυθμίσαντος, καὶ διὰ τοῦτο καὶ τὰ ὀρεκτά, τὰ δὲ ὀρεκτὰ εἰσὶ τὰ τέλη καὶ
οἱ σκοποί, πρὸς ἃ ὁ λόγος τὰ συμβαλλόμενα ἐφευρίσκειν δυνάμενος φρό-
νησις λέγεται. ὡς πρὸς ἀγαθῶν σκοπῶν καὶ τελῶν ἐπιτυγχάνουσα τὸ συντε-
νοντα ἐφευρίσκουσα. οὐκ ἂν δὲ ἄλλως ἀγαθαί τε ὀρέξεις ἔσονται καὶ ἀγα-

1 ὑγιῆ a: ὑγιᾶ B Περικλέα] immo Themistoclem v. Thucyd. A 138 4 ἐλαχίστης Thucydides: ἐλαχίστου Ba 5 τοῦτω B: τοῦτο a 12 αὐτὸν a: αὐτὴν B 13 πα-
ραδοὺς B: παραδιδοὺς a 15 δ' ἡ B et Aristoteles: δὲ a δύναμις Ba et Arist. codd. KbLbOb: δεινότης Arist. vulg. 16 ὄμματι B et Aristoteles: ὀνόματι a
26 τὰ ὑπὲρ B: ὑπὲρ a 28 πρακτὰ a: πρακτικὰ B 33 ἡ B: om. a 34 σκοπῶν
B: σκοπὸν a

διὰ ὀρεκτὰ ἄνευ ἀγαθῶν ἕξεων ὑπαρχουσῶν ταῖς ὀρεκτικαῖς δυ
αὐταί ὁ ἐστὶν αἱ ἀρεταί, καὶ οὕτω δῆλόν ἐστιν, ὡς ἄνευ ἀρετῆς
ἡ φρονησις.

p. 1144ª31 Οἱ γὰρ συλλογισμοὶ τῶν πρακτῶν ἀρχὴν ἔχ
σιν, ἐπειδὴ τοιόνδε τὸ τέλος καὶ τὸ ἄριστον, ὁτιδήπο

Τὸ προκείμενόν ἐστι δεῖξαι τὴν τῆς φρονήσεως ἕξιν μὴ
αὐτὸ ἀρετὴς τῷ ὄμματι τούτῳ τῆς ψυχῆς, ἤτοι τῷ εἰρημένῳ
ορδομένῳ πρὸ μικροῦ, ὅ ἐστιν ὁ πρακτικὸς νοῦς. διὰ τοῦτο καὶ
τῷ φωνῇ, ὀεικτικῇ οὔσῃ, ἐχρήσατο, ὥσπερ προκειμένου τοῦ π
διὰ τὸ προσφάτως εἰρῆσθαι περὶ αὐτοῦ. ὀεικνυσι δὲ οὕτως, ὅτι ο
γισμοὶ τῶν πρακτῶν ἀρχὴν ἔχοντές εἰσιν, ἀρχὴν λέγων τὸ
ἡ ἐστι τὸ προκείμενον σκοπόν, ὃς κατόρθωσιν, ὅπερ δεῖ εἶναι ἀγαθ
ἡ φρόνησις τοὺς τρόπους ἐφευρίσκει δι' ὧν ἐκεῖνο κτηθήσεται
ἂν εἴη φρόνησις, εἰ μὴ ἀγαθὸν ὂν σκόπιμον ἑαυτῇ ποιεῖται καὶ
σεις ἐπινοεῖται, ἵν' αὐτοῦ ἐπιτεύξηται. τὸ γὰρ μὴ ἀγαθὰ τίθε
πιμα καὶ τελικὰ τῶν πράξεων αἴτια πανουργίας ἐστίν, οὐ φρονή
εἴρηται· οὐκ ἂν δὲ εἴη τὸ σκοπούμενον καὶ ἐν ὀρέξει κείμενον α
μὴ ἀρετὴ εἴη ἡ ὀρεγομένη αὐτοῦ. πῶς οὖν οἱ συλλογισμοὶ ἐν
οὕτως γίνονται; καὶ πῶς τὸ ἀγαθὸν καὶ τὸ ἄριστον τελικὴν ἀρ
ται; τόδε τὸ προκείμενον ἀγαθόν ἐστιν, τὸ ἀγαθὸν ἄξιον ἐπιμε
τὴν κτῆσίν ἐστι, τὸ προκείμενον ἄρα ἄξιον ἐπιμελείας καὶ μελετ
πρὸς τὴν κτῆσιν ἐστιν. εἰπὼν δὲ ὅτι μὲν γὰρ συλλογισμοὶ τ
τῶν πρακτῶν ἀρχὴν ἔχοντές εἰσιν, ἐπήγαγε τῷ λόγῳ τοῦτο τῇ
ποίησιν. λόγος δὲ τοιόσδε· τὸ τέλος καὶ τὸ ἄριστον ὅ
ὄν, συγκεχυμένως εἰπὼν τὸ ὁτιδήποτε ὂν ἄνευ ὁρισμένου τι
ὀείγματος. ὃ γὰρ ἂν εἴη ἀγαθὸν, ἐστι καὶ ἄριστον, ἐπεὶ ἐξ ἀρε
τον γέγονε. διὸ καὶ τῇ φρονήσει, ἕξει οὔσῃ τοῦ ὄμματος τῆς ψυχ
κρίνεται ἐπιμελείας καὶ σπουδῆς.

p. 1144ª33 Ἔστω γὰρ λόγου χάριν τὸ τυχόν. τοῦτο δ' ε
ἀγαθῷ, οὐ φαίνεται. διαστρέφει γὰρ ἡ μοχθηρία καὶ
ὀεσθαι πῶς περὶ τὰς πρακτικὰς ἀρχάς.

Ἔτι τὸ αὐτὸ κατασκευάζει, ὅτι ὑπὸ τῆς ἀρετῆς τὸ τέλος
καὶ σκοπὸς τῇ φρονήσει γίνεται τοὺς τρόπους ἐπιτηρουσῃ
κατόρθωσιν. ποιεῖται δὲ καὶ πάλιν τὸν λόγον κοινότερον, μὴ
ν τι ὡρισμένως τῶν ἀγαθῶν ἀλλὰ τὸ τυχὸν λέγων, οὐχ ὡς
ὄν, εἴτε πονηρὸν εἴη εἴτ' ἀγαθόν, ἀλλ' ὡς ἐν μὲν τῶν πρακτῶ

1 ὀρεκτικαῖς B: ὀρεκταῖς a 7 τῆς scripsi: κατὰ B: περὶ a 15. l
ωα a 20 ἐπιμελείας B: ἐπιμελείας καὶ μελέτης a 23 ἐλάττω B
l ὠγάς a et Aristoteles: ὀρετάς B thesis usque ad ὄντα ἀγαθὸν (

οὐχ ὡς τοῦτο δὲ ἡ ἐκείνη, ἀλλ' ἡ ἂν τοιαύτη προαιρουμένου ἑαυτῶν. τοιοῦτ[illegible] III
δ' οὐ φαύλου τοιοῦτον ἄν. εἰ μὴ τῷ ἀγαθῷ. τῷ γὰρ πονηρῷ τὸ [illegible]
ἀνθρώπῳ οὐκ ἐφαρμόζει ταὐτόν, ὡς οὐδὲ τῇ λελοξευμένῃ γραμμῇ ἡ εὐ-
θεῖα. τῆς δὲ γνώμης τῆς ἀγαθῆς ψυχῆς φανερὸν ταὐτὸν γίνεται, ὡς
ἐφαρμόζον αὐτῇ. διὰ τοῦτό φησι καὶ αὐτός, ὅτι ἡ μοχθηρία διαστρέφει
τὴν γνῶσιν ποιεῖ τῆς ψυχῆς καὶ διαψεύδεσθαι ποιεῖ περὶ τὰς πρακτικὰς
ἀρχάς. ἀπαρέσκεται γὰρ ἡ πονηρία τοῖς ἀγαθοῖς σκοποῖς καὶ τέλεσι. τοῦτο
δὲ πονηροῖς ἐπαρέσκεται, καὶ διὰ τοῦτο ὁ πονηρὸς τελικὰς ἀρχὰς τὸ μο-
χθηρὸν τίθεται καὶ τούτων ἐπιτυγχάνειν ἐρίζεται. εἴπωμεν δὲ καὶ ἐπὶ παρα-
δείγματος· προκείσθω καλὸς Ἕλένης καὶ ἐπιβαλλέσθων ἄμφω τὰς τοῦ
ἄρτι. Δωρίδης τε ὁ Τελέως καὶ ὁ Πραξιδᾶς Ἀλεξάνδρου· ὁμοῦ Δωρίδη τοῦ
μὲν ἀνὴρ καὶ προσφορώτερος εἶναι χρήσιμον τὴν ἐνέργειαν τῆς ὁράσεως
τῆς ὁράσεως στήσεται· καὶ τῇ ταύτης τάξει τὸ ὑστερικὸν ἔξει τῆς αὐτοῦ
ὁρατοῦ ἀπολαύσεως, ὁ δὲ Πάρις ἀκόλαστος ὢν οὐκ ἀρκετῶς ἔξει, εἰ μὴ
τοῦ ὁρατοῦ καὶ κατὰ τὴν ὥρην ἀπολαύσεται. ἕτερον εἶδος παρὰ τὴν ὁρα-
σιν ὀρεγόμενος καὶ ἀρχὴν ἑτέραν καὶ σκοπὸν αὐτῷ θέμενος ἕτερον, τὸ
διαφθεῖραι γάμον ἀλλότριον, ὃν ἡ μοχθηρία τῷ φαύλῳ ἐποίησεν. οὕτως
ἂρ' ἀλλήλων δέονται ἡ ἀρετὴ καὶ ἡ φρόνησις, ἵν' ἡ μὲν σκοπὸν καὶ τέ-
λος τὸ ἀγαθὸν προθῆται, ἡ δὲ ἐπαρεσκομένη τούτῳ τοὺς τρόπους ἐπιτη-
δεύσῃ τῆς κτήσεως. καλῶς ἄρα εἴρηκεν ὁ Ἀριστοτέλης ὅτι ἀδύνατον
φρόνιμον εἶναι μὴ ὄντα ἀγαθόν, ἤτοι σπουδαῖον καὶ ἀρετὴν ἔχοντα
γάμετον.

p. 1144b 1 Σκεπτέον δὴ πάλιν καὶ περὶ ἀρετῆς· καὶ γὰρ ἡ ἀρε-
τὴ παραπλησίως ἔχει ὡς ἡ φρόνησις πρὸς τὴν δεινότητα· οὐ
ταὐτὸν μέν, ὅμοιον δέ· οὕτως ἡ φυσικὴ ἀρετὴ πρὸς τὴν κυρίαν.

Μέχρι μὲν τοῦδε τὴν φρόνησιν ἔδειξεν ἄνευ μὴ οὖσαν τῆς ὀρεκτι-
κῆς δερομένην αὐτῆς περὶ τὰς προθέσεις | τῶν σκοπῶν καὶ τελῶν, ἵν' εἴη 114v
ἀγαθὰ ταῦτα, ὡς ἀγαθῶν ἕξεων ὄντα ὀρεκτά. ἕξῆς δὲ δεῖξαι προτίθεται
τὸ ἀνάπαλιν, ἤτοι τὴν ἀρετὴν εἶναι μὴ δυναμένην ἄνευ φρονήσεως. πρό-
τερον δὲ τίθησιν ἔχουσάν τινα ὁμοιότητα πρὸς τὴν φρόνησιν τὴν ἀρετήν.
ὡς γὰρ ἐκείνη φυσική τις δύναμις προϋπόκειται ἡ λεγομένη δεινότης, εὐ-
φυΐα τις οὖσα πρὸς αὐτήν, τὴν ψυχὴν προπαρασκευάζουσα πρὸς ὑποδοχὴν
τὴν αὐτῆς, οὕτω κἀνταῦθα ἡ φυσικὴ ἀρετὴ προϋπάρχει τῆς κυρίας. εὐ-
φυΐα τις οὖσα καὶ αὐτὴ πρὸς ὑποδοχὴν τῆς κυρίας ἀρετῆς. διὸ καὶ
φησιν, ὅτι δεῖ καὶ περὶ ἀρετῆς ἐπισκέψασθαι, ὅτι καὶ ἡ ἀρετὴ παραπλη-
σίως τι ἔχει πρὸς τὴν φρόνησιν. ὡς γὰρ ἡ φρόνησις πρὸς τὴν δεινό-
τητα· οὐ ταὐτὸν μέν, ὅμοιον δέ· οὐ ταὐτὸν μέν, ὅτι ἐκείνη μὲν
ἐκ φύσεως ταῖς ψυχαῖς πρόσεστιν, εὐφυΐα τις οὖσα καὶ ἐπιτηδειότης πρὸς

3 ἀνθρώπῳ B: ἀνθρώπου a 15 καὶ κατὰ τὴν ἀφὴν τῆς τοῦ ὁράτου a 25 οὕτως
B et Arist. cod. Ob: οὕτω καὶ a et Arist. vulg. 27 τῶν σκοπῶν a: τοῦ σκοποῦ B
38 ταῖς ψυχαῖς B: τῆς ψυχῆς a

φρόνησιν, ἡ δὲ φρόνησις ἐπίκτητός ἐστιν ὄρεξις καὶ ἐξ ἐπιμελεί
πολλῆς προσοχῆς καὶ πείρας πραγμάτων ἡμῖν περιγίνεται· ὁμοίω
ὥσπερ ἐκεῖνη ἐφευρετικὴ ἐστι τῶν συντελούντων πρὸς σκοπόν, ο
ἡ φρόνησις ἐκ τῆς ἀρετῆς τὸν σκοπὸν προτιθέμενον θεωροῦσα,
αὐτὸν ἀγοντα βουλευομένη συνίστησι. οὕτω καὶ ἐπὶ τῶν ἀρετῶν
εἶναι κἀνταῦθα τὴν φυσικὴν ἀρετὴν ὡς ἐκεῖ τὴν δεινότητα, τὴν δ
ἀρετὴν ἐνταῦθα ὡς ἐκεῖ τὴν φρόνησιν.

p. 1144b4 Πᾶσι γὰρ δοκεῖ ἕκαστα τῶν ἠθῶν ὑπάρχειν
πως· καὶ γὰρ δίκαιοι καὶ σωφρονικοὶ καὶ ἀνδρεῖοι καὶ
ἔχομεν εὐθὺς ἐκ γενετῆς· ἀλλ' ὅμως ζητοῦμεν ἕτερόν τι
ρίως ἀγαθὸν εἶναι καὶ τὰ τοιαῦτα ἄλλον τρόπον ὑπάρ

Ὅτι, φησίν, ἄλλη ἐστὶν ἡ φυσικὴ ἀρετὴ καὶ ἄλλη ἡ κυρία,
τῆς κοινῆς ὑπολήψεως τῶν πολλῶν. πάντες γάρ, φησί, δοκεῖ ἕκαστα τῶν
ὑπάρχειν φύσει πως. ἤθη λέγομεν τὰ ἐκ φύσεως ὑπάρχοντα ταῖ
ἰδιώματα, οὐ μόνον ἐπὶ τῶν λογικῶν ἀλλὰ καὶ τῶν ἀλόγων ζώων
ὅταν λέοντα λέγωμεν φύσει ἀνδρεῖον, τολμηρὸν ὄντα, καὶ ἄλκιμον
φοβούντων καταφρονητικόν, ἀλώπεκα δὲ πανοῦργον καὶ δολερὰν δ
ταῦτα ἐκ φύσεως τοιαύτην φαίνεσθαι, πρόβατον δὲ εὔηθες καὶ ἀπ
καὶ ἄλλο τῶν ζώων ἀλλοῖον καὶ ἑτεροῖον ἕτερον, οὕτω κἀν τοῖς
πως φαμὲν τὸν μὲν τοιόνδε εἶναι τὸ ἦθος, ἑτεροῖον δὲ ἄλλον. π
σε τὸ ⟨πῶς τῷ⟩ φύσει, διότι μὴ πᾶσι τοῖς ζῴοις τὰ αὐτὰ ἤ
ἀλλὰ διάφοροι τρόποι ἠθῶν τοῖς ἀλόγοις καὶ λογικοῖς. καὶ γὰρ δίκα
σωφρονικοὶ καὶ ἀνδρεῖοι· καὶ τἄλλα ἔχομεν εὐθὺς ἐκ γενε
μεν φρονήσεως καὶ δεινότητος, ὡσπερ ἐν τοῖς πραγμασι διαφορα ἐστι
καὶ κτητοις, οὕτω καὶ ἐν τῇ κλησει. δεινότης μεν γὰρ ἡ δε φ
ναμις ὀνομαζεται, αρετη τις ουσα και αὐτὴ φυσικὴ, μηπω τ
ταύτην ρυθμίσαντος. ἡ δὲ κυρία ἀρετὴ τοῦ λογιστικοῦ φρονησις
ται, εἰδοποίησις οὖσα τις καὶ μορφωσις της δεινότητος. επι δε
κῶν ἀρετῶν ὁμωνυμοῦσιν ἀλλήλαις αἱ φυσικαί τε καὶ ἠθικαί, καὶ
ἡ μὲν γὰρ δεινότης τοῦ λόγου καὶ τῆς διανοίας ἐστὶ φυσικὴ ἀ
κυρίως ἐστὶ καὶ ἡ φρόνησις ἀρετή. διὰ τοῦτο τοῖς ἀλόγοις δει
πρόσεστι, λόγων μὴ κεκτημένοις μηδὲ διάνοιαν. αἱ δὲ ἠθικαὶ ἀρε
καὶ λογικοῖς καὶ ἀλόγοις ἐκ φύσεως προσεισιν, ὀνομάζεται μὲν ὁ
τοῖς αὐτοῖς ὀνόμασι διὰ τὸ μὴ ἔχειν ἐπὶ τῶν ἀλόγων ὀνόματα ἐτ
σε μόνον διαφορον τὸ [illegible]
[illegible]
[illegible]
[illegible]

σικοῦ, ἵν' εἶεν ἠθικαὶ ὁμωνύμως πᾶσαι καλούμεναι, ἀλλ' ἐκεῖναι μὲν λέ- 114v
γονται ἠθικαί, αὗται δὲ φυσικαί; ἢ οὐκ ἀπὸ τοῦ ἤθους αἱ ἠθικαὶ ἀλλ'
ἀπὸ τοῦ ἔθους κατὰ τροπὴν τοῦ βραχέος εἰς μακρόν, ἐθισμῷ καὶ ἀσκή-
σει καὶ μετὰ λόγου περιγινόμεναι. ἐκεῖναι δὲ φυσικαί, διότι οὐκ ἐκ γενε- 10
τῆς ὑπάρχουσιν οἷς ὑπάρχουσιν. ἐπεὶ οὖν αἱ μὲν τὴν φύσιν, αἱ δὲ τὸ
ἦθος ποιητικὸν αἴτιον ἔχουσι, κυριώτερον ἡ κλῆσις, ἥτις ἑκατέρῳ τῷ γέ-
νει ἐκ τῆς αἰτίας τῆς ποιητικῆς ἐπιτέθειται. τὸ γὰρ ἦθος οὐκ αἰτία ἀλλ'
ἐξ αἰτίας τῆς φύσεως. ὅτι δὲ ἐκ τοῦ ἤθους αἱ ἠθικαὶ ὀνομάζονται, μάρ-
τυς Ἀριστοτέλης αὐτός, τὸ τῆς ἠθικῆς φάσκων ὅλως πραγματείας ὄνομα
εὐθὺς ἐξ ἀρχῆς ἐκ τοῦ ἔθους οὕτως λέγεσθαι μικρὸν παρεκκλίνον. οὐ
γὰρ φυσικὸν καὶ τὸ ἔθος ὥσπερ τὸ ἦθος, ἀλλ' ἐκ γυμνασίας καὶ ἀσκήσεως
προσγινόμενον καὶ δι' ἐθισμοῦ εἰς ἕξιν ἐρχόμενον. ὑπάρχουσι μὲν οὖν
ἐκ γενετῆς ἐπιτηδειότητες πρὸς ἑκάστην τῶν ἠθικῶν ἀρετῶν ταῖς ψυχαῖς.
οὐ μὴν ὅμως οὐκ ἀφοριοῦμεθα λέγειν ἐκείνας τὰς κυρίως ἀρετάς, ἀλλὰ ζητοῦ-
μεν ἕτερόν τι τὸ κυρίως ἀγαθόν, τουτέστιν τὴν κυρίως ἀρετήν, κἂν
ὁμωνύμως καὶ ἐπὶ τῶν φυσικῶν τοῖς αὐτοῖς ὀνόμασι χρώμεθα. καὶ τὰ
τοιαῦτα ἄλλον τρόπον ὑπάρχειν, ἤγουν τὰ κυρίως ἀγαθὰ καὶ τὰς
κυρίως ἀρετὰς οὐχ οὕτως ὑπάρχειν ἐκ φύσεως, ἀλλὰ τρόπον ἕτερον, τουτέστιν 50
ἐξ ἀνάγκης καὶ μελέτης καὶ μετὰ νοῦ ἐπιστατοῦντος καὶ προστατεύοντος.

p. 1144b8 Καὶ γὰρ παισὶ καὶ θηρίοις αἱ φυσικαὶ ὑπάρχουσιν
ἕξεις, ἀλλ' ἄνευ νοῦ βλαβεραὶ φαίνονται οὖσαι.

Ὅτι γάρ, φησίν, οὐκ εἰσὶν ἀρεταὶ κυρίως αἱ φυσικαί, δῆλον ἐκ τοῦ
παισὶ καὶ θηρίοις ὑπάρχειν αὐτάς, ἀλλὰ τοῖς τε παισὶν οὔπω νοῦς ἔσται
καὶ οὔπω ὠμμάτωνται αὐτῶν αἱ ψυχαὶ διὰ τὸ νεωστὶ τῆς ὑπάρξεως |
καὶ πείρας τῶν ἐν βίῳ πραγμάτων ἀμέτοχον, κἂν πεφύκασιν ὅμμα τε 115r
λαβεῖν τῆς ψυχῆς καὶ νοῦ ἐνέργειαν κτήσασθαι μεταχειριζόμενοι ὀρθῶς
τὰ καθ' ἕκαστα. τοῖς τε θηρίοις λόγου πάντῃ ἐστερημένοις οὐκ ἔστιν
ὅλως τὸ πεφυκέναι ὀρθῶς ποτε ταῖς φυσικαῖς ὁρμαῖς χρήσασθαι. διὰ
τοῦτο καὶ ἄνευ νοῦ οὖσαι καὶ τοῖς παισὶ καὶ τοῖς θηρίοις αὗται βλαβεραὶ
φαίνονται, τὸ μετροῦν αὐτὰς καὶ τάττον μὴ ἔχουσαι.

p. 1144b10 Πλὴν τοσοῦτον ἔοικεν ὁρᾶσθαι, ὅτι ὥσπερ σώματος
ἰσχυροῦ ἄνευ ὄψεως κινουμένῳ συμβαίνει σφάλλεσθαι ἰσχυρῶς
διὰ τὸ μὴ ἔχειν ὄψιν, οὕτω καὶ ἐνταῦθα. ἐὰν δὲ λάβῃ νοῦν, ἐν
τῷ πράττειν διαφέρει.

Ὑποδὺς αἱ κατὰ τὰς ἀρετὰς ἕξεις ταῖς αἰσθήσεσιν ὁμοιοῖ εἶναι φα

3 τροπὴν a: τρόπον B βραχέος a: βραχέως B 6 ἥτις B: ἡ τῆς a ἑκατέρῳ B: ἑκατέρας a 7 αἰτία a: αἴτιον B 9 Ἀριστοτέλης] B 1 p. 1103a17 13 ἑκάστην B: ἕκαστον a 25 πραγμάτων B: πράττων a 26 ἐνέργειαν B: ἐνεργείας a μεταχειριζόμενοι B: μεταχειριζομένου a 31 σώματι B et Aristoteles: ἐν σώματι a
34 rhesis usque ad κυρίως ἀρετή (p. 1144b14) a 36 ἀφανεῖς B: ἀφεγγεῖς a

[illegible] ἀρετῶν τε καὶ πραγμάτων. παιδίον
[illegible] παράδειγμα τοῦτο παραλαμβάνω
[illegible] τὸ δὸ τῆς προσούσης ἰσχύος δυνάμενον.
[illegible] κινεῖσθαι, σφάλλεται ἰσχυρῶς διὰ τὴν
στέρησιν. τῆς μὲν κινήσεως σφοδρᾶς γενομένης. τῆς δὲ στερ
[illegible] ἀφαιρούσης τὴν κίνησιν. οἷον εἴ τις π
[illegible] προσούσῃ μεγάλῃ γιγνόμενος κατὰ πατρὸς ἢ ἄλλου
τιμῶν, διὰ ἀφασίαν ἀγνοῶν τὸν πληττόμενον καὶ ὡς πρός τινα
νης ἀξίων πρὸς τὸν αὐτῷ διατιθέμενος ὕβριν. ἐν γὰρ ἰσχυ
πληγὴν καταφερομένων οὐ τὸ τυχὸν ἂν κακὸν ἀποτέλεσεν. ἀλλ' ἢ
[illegible] ὑποδεχόμενον τὴν πληγὴν ἢ καὶ πάντῃ ἄχρηστον ἔδειξεν
[illegible] τούτων. οὕτω καὶ ἐπὶ τῶν κατ' εὐφυίαν ἀρετῶν. ἡ γὰρ
φυὴς τῆ τοῦ σώματος ἀνάλογον· εἰ οὖν καὶ ὅμμα τῇ ψυχῇ
[illegible] ἂν τὰ κράτιστα, μεγάλως ὀδηγουμένη ὑπὸ τοῦ ὄμμα
κατορθώσας μέγα καὶ ἀξιόλογον, ὑπουργὸν μὲν ἔχουσα τὴν σ
φυσικήν, ὀδηγὸν δὲ τὸ κτηθὲν ὅμμα ἐκ τῆς κατὰ τὸν βίον π
μὲ δὲ τὸ ὅμμα τοῦτο μὴ πρόσεστιν, ὡς ἐν ἀφασίᾳ τῆς φυσικῆς
ὁρμῆς. μετὰ πολλῆς τῆς σφοδρότητος, ἔσται μέγα τι κακὸν τὸ
μενον. εἰπὼν δὲ τὸ παράδειγμα ὡς ὁμοιότητα ἔχον πρὸς τὸ π
τοῦτο δέ ἐστι τὸ ἰσχυρὸν σῶμα κινούμενον ἄνευ ὄψεως καὶ σ
ἰσχυρῶς, οὐκ ἐπήνεγκε τὸ πρὸς τοῦτο ὅμοιον. οἷον τὴν φυσικὴ
ότητα τὴν ἄνευ κινουμένην ὄμματος ψυχικοῦ καὶ φρονήσεως, ἀλ
τίον. οὕτω γὰρ καὶ ἐνταῦθα, φησίν, ἂν λάβῃ νοῦν ἐν τῷ πρα
ρέῃ. τοῦτο δὲ πεποίηκε τῇ συντομίᾳ συνήθει χρώμενος
εἶναι διάφορον τὸ μετὰ νοῦ ἐνεργεῖν τοῦ ἄνευ τούτου τὸν ὁρισε
τὸν ἄνθρωπον τῇ φυσικῇ ἐπιτηδειότητι μόνον. ἡ δ' ἕξις ὁμ
κυρίως ἀρετή. ἕξιν ὀνομάζει τὴν ἐξ ἔθους γι
καὶ οὕτω ὑπάρχουσαν ἐπιτηδειότητα, καὶ ὀνομάζει ὁμοί
αὐτὴν τὴν ἐν τῇ εὐφυίᾳ. ἑτερογενεῖς γὰρ ἀλλήλων αὐταί εἰσι
μὲν φυσική, ἡ δὲ ἠθική. οὔκουν διὰ τὴν ὁμοιότητα κυρίως ἐρο
κυρίως ἀρετή. ὅταν
ἀσκήσεως τὸ βέβαιον ἕξει πρὸς τὸ κατὰ λόγον καὶ ὀρθ

p. 1144b 14 Ὥστε καθάπερ ἐπὶ τοῦ δοξαστικοῦ δύο εἴδη,
καὶ φρόνησις, καὶ ἐπὶ τοῦ ἠθικοῦ δύο ἐστί, τὸ μὲν ἀρετ
τὸ δ' ἡ κυρία, καὶ τούτων ἡ κυρία οὐ γίνεται ἄνευ φρ

Τοῦτο συμπέρασμά ἐστι τῶν εἰρημένων. ἔδειξε γὰρ ἠδ

1 δὲ a: δὴ B 10 ἀπέκτεινε] ἀπεκτόνει B: ἀπεκτίνει a 13 pos
τυχὸν a: om. B 14 καί τι B: καίτοι a 17 τούτῳ a: τοῦτο B
ουένης a 24 συντομίᾳ συνήθει B: συνηθείᾳ συντόμως a 28 ὅμοι
29 αὐταί a: αὐτοί B 33 δύο B: δύο ἐστὶν a et Aristoteles 34 κα

δεομένας εἰς τὸ εἶναι ὅπερ εἰσὶ τὴν φρόνησιν καὶ τὴν ἀρετήν, τοῦτο δὲ 115r
δέδεικται ἐκ τοῦ ὁμοίως ἔχειν ἐπὶ τὴν φρόνησιν πρὸς τὴν δεινότητα, οὕτω 35
τὴν κυρίως ἀρετὴν πρὸς τὴν φυσικήν. ὅλη γὰρ ἡ μὲν δεινότης χορηγου-
μένη ἐκ φύσεως τῇ φρονήσει κοσμούσῃ ἐκείνην καὶ εἰς τὸ κύριον ἀγούσῃ
τῆς κατὰ τὸ λογιστικὸν ἀρετῆς, τῇ δὲ κατὰ τὸ ἠθικὸν ἀρετῇ ἡ φυσικὴ
ἀρετή. αἱ γὰρ φυσικαὶ ἀρεταὶ εὐφυΐαι πρὸς τὰς κυρίως ἀρετάς, αἳ μορ-
φωτικαί εἰσι τῶν φυσικῶν ὡς ὑλῶν, ἐκ τῆς πρὸς τὸν ὀρθὸν λόγον ἀκο-
λουθήσεως τῶν ὀρέξεων δεχόμεναι τὴν τελείωσιν καὶ οὕτω τὰς μὲν ὀρέξεις 40
καθιστῶσαι ἐν τῇ ἁρμοττούσῃ ταύταις ὀρθότητι, τὸν δὲ λόγον ἔχουσαι πρὸς
10 ἀγαθὸν σκοπὸν τὰς κινήσεις βάλλοντα. προτιθέμενον ἐξ αὐτῶν περιλαμβά-
νειν ἐν βραχεῖ τὰ εἰρημένα δυνάμει τοῦτο λέγων. δέδεικται ἄρα, ὅτι καὶ
ἐπὶ τοῦ δοξαστικοῦ δύο εἴδη δεινότης καὶ φρόνησις· ἡ μὲν δεινότης ὡς
φυσικὴ ἀρετή, εὐφυΐα τις οὖσα καὶ δύναμις πρὸς τὸ ἐφευρίσκειν τὰ πρὸς
τὸν προκείμενον σκοπὸν συμβαλλόμενα, ἡ δὲ φρόνησις κυρία ἀρετὴ τοῦ λο-
15 γιστικοῦ, ἀγαθὸν ἔχουσα σκοπὸν προτιθέμενον καὶ τὰς οἰκείας ἐνεργείας 45
πρὸς αὐτὸν ἀπευθύνουσα, ὃν δὴ σκοπὸν ἡ ἠθικὴ ἀρετὴ αὐτῷ κεχορήγη-
κεν εὖ ἔχουσα τῶν ὀρέξεων, καὶ ὅτι ὁμοίως τῷ δοξαστικῷ δύο εἴδη καὶ
τοῦ ἠθικοῦ, ἡ φυσικὴ ἀρετὴ καὶ ἡ κυρία, καὶ δεῖται ἡ κυρία ἀρετὴ τῆς
φρονήσεως κατὰ δύο ταῦτα, ὅτι τε αἱ φυσικαὶ ἀρεταὶ ἄνευ μὲν νοῦ ἀρε-
20 ταί εἰσι, νοῦν δὲ προσλαβοῦσαι τὸν αὐτὰς ἀπευθύνοντα εἰς τὸ γίνεσθαι
ἠθικαὶ προάγουσαι καὶ κυρίως ἀρεταὶ ἀποτελοῦνται. καὶ ὅτι ἄνευ φρονή-
σεως τῶν οἰκείων ὀρεκτῶν οὐκ ἐπιτελέσουσιν αὐτῆς ἐφευρίσκουσης τὰ
πρὸς τὸν ἀγαθὸν σκοπὸν ἄγοντα. δοξαστικὸν δέ φησι τὸ λογιστικόν, ὅτι
ὑγρᾷ φύσει καὶ ὑπὸ τῶν ἐγκάτων συνεχομένη τῆς ψυχῆς πρώτη ἐν ταῖς
25 λογικαῖς καὶ γνωστικαῖς δυνάμεσιν ἡ δοξαστικὴ ἀναφαίνεται τὰ καθόλου
γινώσκουσα, τῶν αἰσθητῶν καταγινομένων περὶ μόνα τὰ μερικὰ καὶ καθ'
ἕκαστα, ὥσπερ ἠθικὸν ὠνόμασε τὸ ὀρεκτικὸν καὶ ἄλογον διὰ τὸ καὶ τὸ
ἦθος ἐπὶ τῶν ἰδιωμάτων λέγεσθαι, ἃ | ταῖς ἀλόγοις παρέπονται ζωαῖς καὶ 115v
φύσεσιν, ἄλλως τε ἡ δόξα ἢ ἐκ τῶν αἰσθήσεων καὶ τῆς αὐτῆς περὶ τὰ
30 καθ' ἕκαστα ἐναργείας τὸ ἀναγκαῖ(ον) ἐσχηκυῖα ἐν ἑαυτῇ τὸ καθόλου τῶν
στησι καὶ τὴν ἑαυτῆς λογικὴν ποιεῖται ἐνέργειαν, ἣ ἐξ ὧν ἡ διάνοια συμ-
περαίνεται. ἐπεὶ τοίνυν ὥσπερ τινὰ γενητὰ πρὸς τὰς ἐναργούσας περὶ
τὰ καθ' ἕκαστα δυνάμεις, ἤτοι τὰς αἰσθήσεις καὶ τὰς ἀλόγους ὀρέξεις τὸ
δοξαστικὸν κέκτηται, καταγίνεται δὲ περὶ τὰ τοιαῦτα καὶ τὸ λογιστικόν, λο-
35 γικὴ μὲν ὂν δύναμις, περὶ τὰ καθ' ἕκαστα δὲ ποιούμενον τὴν ἐνέργειαν,
εἰκότως αὐτὸ δοξαστικὸν ὠνομάσαμεν. ἐστι δὲ ζητήσεως ἄξιον, πότερον
ἴσας θήσομεν, τὴν ἠθικὴν ἀρετὴν καὶ τὴν φρόνησιν, ὅτι ἀλλήλων δεόμεναι
ἀνεφάνησαν ἢ θατέρας τὴν ἑτέραν ὑπερθήσομεν, καὶ εἰ τοῦτο, ποίᾳ δώ-
σομεν τὴν ὑπεροχήν; ἢ πάντως τῇ καθ' ἑαυτὴν λογικῇ, ὅτι καὶ τοῖς ἤθεσι
40 καὶ ταῖς ἀλόγοις δυνάμεσιν αὕτη ἐστὶν ἡ τὸ μέτρον καὶ τὴν τάξιν παρέ- 10
χουσα καὶ εἰς ἕξιν αὐτὰς τοῦ καλοῦ καὶ τελείωσιν φέρουσα. αὕτη γὰρ

2 ἐπὶ Ba: an ὡς? 20 προσλαβοῦσαι a: προλαβοῦσαι B 37 [illegible] μεναι a 39 ἑαυτὴν B: ἑαυτὸ a

μένην τὰς ὁρμάς, τὰς αὐτῶν ἐνεργείας ῥυθμίζουσα καὶ τῷ λόγ
ὑπηρετοῦσαν καὶ τῇ αὐτῆς μετοχῇ ταῖς ἀρεταῖς χορηγοῦσα τ
καν τὴν ὑπαφήν, εἰ καὶ μήπω εὐθὺς φρόνησις λέγεται. ἕξει κα
πους ἀγαθούς, πρὸς οὓς τὰς ἑαυτῆς ἐνεργείας ἀποτείνεται, πρακ
μένη νοῦς διὰ τὸ μεταχειρίζεσθαι τὰ πρακτὰ καὶ καθ' ἕκαστα,
θεωρεῖν καὶ χρόνῳ προέχουσα, τῷ δὲ πράττειν ταῖς ἠθικαῖς κ
καὶς γινομένη ὁμόχρονος διὰ τὸ ἀδύνατον εἶναι πρακτικὸν ἀγαθ
θρωπον γίνεσθαι ἢ σκοπῶν μὴ προκειμένων ἀγαθῶν, οὓς αἱ ἠ
ταὶ προτιθέασιν, ἢ τοῦ λόγου μὴ ἐφευρίσκοντος τὰ πρὸς κατόρθ
τα, ὅ ἐστι τῆς φρονήσεως. ὅρα οὖν τὴν ἑκατέρου χρείαν πρὸ
λέγω δὲ τῆς φρονήσεως πρὸς τὴν ἠθικὴν ἀρετὴν καὶ τῆς ἠθι
πρὸς τὴν φρόνησιν, καὶ γνώσῃ καθαρῶς τὸ διάφορον καὶ κρ
τῷ λόγῳ τὴν πρὸς ἀλλήλας ὑπεροχὴν καὶ ἔλλειψιν. ἡ μὲν γὰ
αἱ τῆς ἠθικῆς ἀρετῆς, ἵν' ἔχῃ τὰ τέλη προσήκοντα ἃ τῆς
γματιώσεως προτιθέμενα, ἡ δ' ἐν ἕξει τὴν φρόνησιν ἐκ τῆς σ
μεως τὴν τῶν ἀγαθῶν τελῶν κατορθοῦσαν ἐπίτευξιν. ὡς εἶναι
τέλη τῶν ἠθικῶν ἀρετῶν, εἰ μὴ παροῦσα ἐνεργήσει ἡ φρόνησις
οὐκ ἂν εἴη πολλῷ τῶν ἠθικῶν ἀρετῶν ἡ φρόνησις ὑπερέχουσα.
ὡς λόγος ὀρθὸς μέτρον καὶ ῥυθμὸν ταῖς ὀρέξεσιν ἐπιτίθησι κα
θοῦ ἔχειν τὰ τέλη αἴτια γίνεται καὶ τὸ ἐφικνεῖσθαι τούτων α
ρετῶν.

p. 1144b17 Διό τινές φασι πάσας τὰς ἀρετὰς φρονήσεις
Σωκράτης τῇ μὲν ὀρθῶς ἐζήτει, τῇ δ' ἡμαρτανεν· ὅτι
νήσεις φετο πασας τας αρετας, ημαρτανεν. οτι ο
φρονησεως, καλῶς ἔλεγε.

Καὶ τοῦτο πρὸς σύστασιν παραλαμβάνει τοῦ ἀναγκαίαν εἶνα
καὶς ἀρεταῖς τὴν φρόνησιν, ὅτι καὶ τισι τῶν παλαι σοφῶν φρο
πασας τας αρετας εδοξε διὰ τὸ ὁρᾶν τὴν φρόνησιν ἐφισταμένην
καὶ ἐπικρατοῦσαν ἐν ταῖς ἀγαθαῖς πράξεσι καὶ ταῖς ἑαυτῆς ἐνε
τῶν ἠθικῶν ἀρετῶν ἐνεργείας ὥσπερ ἐπικαλύπτουσαν. καὶ τὸν
τωνα δὲ Σωκράτην εἰς μέσον ἄγει, ἐν τῇ Πολιτείᾳ φρονήσεις
ἀρετὰς δοξάζοντά τε καὶ λέγοντα, ὃν καὶ ἐν μέρει μὲν ἐπαινεῖ
δὲ καθάπτεται τῶν παρ' αὐτοῦ λεγομένων. ὅτι μὲν γὰρ ἁπ
φρονήσεις πάσας τὰς ἀρετάς, ἐπιμέμφεται αὐτῷ, ὅτι δὲ μὴ ἁ
σεως αὐτὰς εἶναι ἔλεγεν, ἐπαινεῖ αὐτὸν ὡς καλῶς λέγοντα.
λέγει ὀρθῶς αὐτόν, ὀρθῶς οὐχὶ ἀποφαίνεσθαι, διότι μηδὲ ἁπλῶ

γους ἀποτεινόμενος ἔλεγεν, ἀλλὰ διαλογικῶς προσομιλῶν καὶ ζητητικῶς. 115v
οἶμαι δ' ὅτι οὐκ ἀπεικότως ὁ Σωκράτης φρονήσεις ἢ ἐπιστήμας ἐκάλει
τὰς ἀρετάς, ἀλλ' ἐπεὶ κατὰ τὸν ὀρθὸν λόγον πάσαις αὐταῖς ἡ ἐνέργεια,
καὶ οὗτος αὐτῶν ὁ προϊστάμενος ἐν ταῖς πράξεσι καὶ τὸ παθητικὸν τῆς 40
ψυχῆς ἀνηρτημένον αὐτοῦ, τὴν μετ' ἀρετῆς διεξάγει βίωσιν, διὰ τοῦτο
καὶ φρονήσεις καὶ ἐπιστήμας αὐτὰς πάσας ὠνόμαζεν. ἐκ τοῦ κρατοῦντος
τῆς ψυχῆς μορίου καὶ ὑπερέχοντος κοινῶς αὐταῖς τὴν κλῆσιν ταύτην τι-
θέμενος, ἐπεὶ καὶ ἐν τῷ ἀνθρώπῳ αἱ λογικαὶ πάρεισι δυνάμεις καὶ ἄλο-
γοι, ἀλλ' οὐ λογικόν τε καὶ ἄλογον αὐτὸν ὀνομάζομεν ἀλλ' ἁπλῶς λογικόν
διὰ τὸ καὶ τὰς ἀλόγους ἐν αὐτῷ δυνάμεις λογικεύεσθαί πως τῷ πείθεσθαι 45
λόγῳ καὶ οἰκειότερον εἶναι ἐκ τοῦ κρείττονος καὶ ἐπικρατοῦντος αὐτὸν ὀνο-
μάζεσθαι. ἄλλως τε καὶ ἄλλως μὲν ἔχει πολιτικοῦ ἀνδρὸς ἀρετή, ἄλλως
δὲ πολίτου. ἡ μὲν γὰρ μετ' ἐπιστήμης ἐστί, τί τέ ἐστιν εἰδότος τοῦ πολι-
τικοῦ ἑκάστη τῶν ἀρετῶν καὶ ποίου μορίου τῆς ψυχῆς καὶ πῶς κατορθοῦ-
σθαι πέφυκε καὶ τί τὸ τέλος αὐτῶν καὶ ὅσα τοιαῦτα, ὃς ἑαυτῷ τε τὰς
ἀρετὰς κατορθοῖ καὶ τοῖς ὑπ' αὐτὸν πολίταις. πολίτου δὲ ἀρετὴ ἐκ τοῦ
πείθεσθαι τοῖς ἐμφανεστέροις καὶ τοῖς νόμοις ἕπεσθαι καὶ τοῖς σπουδαίοις
ἄρχουσι πέφυκε γίνεσθαι. ἐπεὶ οὖν κρειττόνων ἔχουσι καὶ τελειοτέρως αἱ 50
ἀρεταὶ μετὰ τῆς προηκούσης αὐταῖς ἐπιστήμης ἀποτελούμεναι, διὰ τοῦτο
παρὰ τοῦ Σωκράτους καὶ ἐπιστῆμαι καὶ φρονήσεις κατωνομάσθησαν.

p. 1144b21 Σημεῖον δέ· καὶ γὰρ πάντες νῦν, ὅταν ὁρίζωνται τὴν
ἀρετήν, προστιθέασι τὴν ἕξιν, εἰπόντες καὶ πρὸς ἃ ἐστι, τὴν
κατὰ τὸν ὀρθὸν λόγον· ὀρθὸς δ' ὁ κατὰ τὴν φρόνησιν. |

Καὶ ἕτερον προτίθησιν εἰς βεβαίωσιν τοῦ δεῖν ἐξ ἀνάγκης συνεῖναι 116r
ἀλλήλαις τὴν φρόνησιν καὶ τὴν ἠθικὴν ἀρετήν, καὶ τοῦτο τίθησιν ὡς ση-
μεῖον καὶ γνώρισμα εἰς τὴν τοῦ εἰρημένου παράστασιν κοινῶς παραλαμ-
βανόμενον παρὰ πάντων τῶν ὁριζομένων τὴν ἀρετήν. τοῦτο δ' ἐστὶ τὸ
ἕξιν αὐτὴν εἶναι κατὰ τὸν ὀρθὸν λόγον, ὃς λόγος ὁ κατὰ τὴν φρόνησιν.
ἡ μὲν γὰρ ἀρετὴ περὶ πράξεις καὶ πάθη καταγίνεται. ταῦτα γὰρ τὰ πρὸς 5
ἃ ἐστιν, ἐπεὶ πρὸς ταῦτα ἀποτείνεται πᾶσα ἡ ἀπὸ τῆς κατ' ἀρετὴν ἕξεως
προβαίνουσα ἐνέργεια. λέγοντες οὖν ἕξιν εἶναι αὐτὴν περὶ ταῦτα, οὐκ ἀρ-
κοῦνται τῷ τῆς ἕξεως ὀνόματι καὶ τῷ ὑποκειμένῳ, περὶ ὃ καταγίνεται,
ἀλλὰ προστιθέασιν ὡς ἴδιόν τι τῆς ἀρετῆς τὸ κατὰ τὸν ὀρθὸν λόγον, ὡς
μὴ οὔσης τῆς ἀρετῆς ἕξεως ἁπλῶς περὶ πράξεις καὶ πάθη, ἀλλὰ καὶ τὸν
ὀρθὸν λόγον ὑπάρχειν αὐτῇ. τὸν δὲ ὀρθὸν λόγον τὸν κατὰ τὴν φρόνησιν
ἔσται ὃ λέγεται. ἐπεὶ δ' ὀρθὸς λόγος ὁ κατὰ τὴν φρόνησίν ἐστιν, οὐκ
ἔσται ἡ ἀρετὴ μὴ οὔσης φρονήσεως, καὶ εἴη ἂν τοῦτο κοινή τις δόξα καὶ

5 διεξάγει B: διεξάγων a 13 πολίτου B: πολίτης a 15 ὃς B: ὡς a τε B: περὶ a 21 πάντες νῦν B: νῦν πάντες a et Aristoteles 23 ὁ a et Aristoteles: ἡ B rhesis usque ad τὴν φρόνησιν (p. 1144b25) a 24 προτίθησιν B: προστίθησιν a 27 παρὰ B: περὶ a

ἔννοια παρὰ πᾶσι τοῖς ὁρίσασθαι τὴν ἀρετήν. δύναται δὲ φ
σθαί πως ἅπαντες ὅτι ἡ τοιαύτη ἕξις ἀρετή ἐστιν ἡ κ
φρόνησιν. ὥσπερ ἀπαρεσκόμενος οἷς ἄλλοι τὴν ἀρετὴν ὁρίζον
παραλαμβάνεσθαι τὸν ὀρθὸν λόγον ἀποδεχόμενος τὸ τῷ ταῦτα
διὰ τοῦτο μαντικὸν ἐοικέναι φησὶ τοὺς πρὸ αὐτοῦ ὁριζομένους τ
ὡς γὰρ ἡ μαντικὴ στοχαστικὴ οὖσα τέχνη περὶ τῶν μελλόντων
κῶς ἀποφαίνεται, οὕτως ἐστοχάσαντο κἀκεῖνοι μὴ ἄνευ φρονήσ
τὴν ἠθικὴν ἀρετήν. διὰ τοῦτο καὶ τὴν κατὰ τὴν φρόνησιν ἐ
σιν ἐν τοῖς πρᾶξιν καὶ τοῖς πάθεσιν ἀρετὴν εἶναι κοινῶς ἅπα
φησαντο.

p. 1144b25 Δεῖ δὲ μικρὸν μεταβῆναι· οὐ γὰρ μόνον ἡ κ
ὀρθὸν λόγον, ἀλλ' ἡ μετὰ τοῦ ὀρθοῦ λόγου ἕξις ἀρετ
ὀρθὸς δὲ λόγος περὶ τῶν τοιούτων ἡ φρόνησίς ἐστ

Μικρόν τι παραλλάττει τὴν λέξιν, ἣν οἱ πρὸ αὐτοῦ τὴν ἀρ
ζόμενοι ἔφασαν, ἵν' εἴη σύμφωνος πρὸς ἃ αὐτὸς ἐνταῦθα παραδέ
ἀρετῆς ὁρισμὸν ἀναγράψας. δεῖ γάρ, φησί, μικρὸν μεταβῆνα
ἢ προσθεῖναι ἢ μικρὸν παραλλάξαι τὴν λέξιν. φησὶν γὰρ ὃν φ
καὶ ἄμφω ταῦτα ἢ τε ἀπ' ἐλάττονος εἰς πλεῖον καὶ ἡ ἀπὸ λ
μετάθεσις. οὐ γὰρ μόνον ὡς μέτρον δεῖ τάξαι τὸν ὀρθὸν λ
κατ' ἀρετὴν ἐνεργοῦντα ἢ πάσχοντα, ἵν' ἡ πᾶσα τοῦ λόγου ἀρετὴ
τον. τὸ γὰρ μέτρον ἐνδέχεται ποτὲ τοῦ μετρουμένου χωρίζεσθαι
σε ποτὲ πράττειν ἢ πάσχειν κατ' ἀρετήν, χωριζομένης φρονήσε
σεῖ παρεῖναι καὶ τὸν ὀρθὸν λόγον ἀεὶ καὶ μετ' αὐτοῦ τὰς πράξε
καὶ τοὺς πάθεσιν, ἵνα κατ' ἀρετὴν γίνοιντο, καὶ ἡ μετὰ τοῦ ὀρθ
ἕξις ἀρετή ἐστιν. ὁ δὲ περὶ πράξεων καὶ παθῶν διατατόμεν
οὐκ ἔστι τις ἕτερος ἀλλ' ἢ γνοῦν μόνον ἡ φρόνησις. ὅτι δὲ μετὰ
μόνου καὶ τῆς φρονήσεως αἱ κατ' ἀρετὴν πράξεις καὶ τὰ
σαρκῆ σώφρονα γίνεσθαι, δῆλον. πάθη μὲν γάρ ἐστιν ἃ περὶ
τὰ ἀνήκεστα θυμοῦ καὶ ἐπιθυμίας. πράξεις δὲ αἱ ἀποτελούμεναι
πρὸς ἃ ἐνεργεῖσθαι τῶν ἀρετῶν. οὔτε δὲ τὰ πάθη ὀρθῶς ἂν
τὸ ἀνυπόμονον γένοιτο μὴ ἐφισταμένου τοῦ λόγου καὶ τὸ προσηκο
ποιοῦντος παρέχοντος, οὔτε αἱ πρὸς τὰ τέλη ἄγουσαι ὁρασεις πρὸ
ἀπολοῦντο, μὴ τοῦ λόγου παρ' ἑαυτοῦ χορηγοῦντος τὰ δέοντα.

p. 1141 a 20 Διωρισμένων μὲν οὖν λόγους τὰς ἀρετὰς φε
ἐπιστήμην γὰρ ἐνταῦθα κρεῖττον ἡγοῦμαι τοῦ

Τὴν διαφορὰν τίθησιν ἣν ἔχουσι πρὸς αὐτὸν οἱ Σωκρα

1 ... B: ἢ a 33 rhesis usque ad
(1144b32) a 36 πως a: πρὸς insequente lacuna 6 fere litterarum B

ἀρετῆς λέγοντας. ἵνα μή τις φανῇ περιττὸν εἶναι αὐτόν. ὑπὸ τοῦ Σωκράτους 116
καθάπαξ ὡς τι παρ' αὐτὸν ἄλλο λέγοντος. ὑπὸ κακίας καὶ αὐτὸ τὸ μὴ
γον παραλαμβάνουσιν ἐν τῷ λέγειν περὶ ἀρετῆς, καί φησιν ἐκεῖνον μὲν
αὐτὸ τοῦτο λόγους λέγειν τὰς ἀρετάς. ὑπὸ ἐπιστήμας αὐτὰς ὑπαγόντα
(αἱ γὰρ ἐπιστῆμαι λόγοι γνωστικοὶ τῶν ἐπιστητῶν), οὗτος ὁ οὐ λόγους
ἀλλὰ μετὰ λόγου ταύτας εἶναι ἡμῖν παραδέδωκεν. ἕτερον δέ ἐστι τὸ εἶ
ναί τι τόδε τι καὶ μετὰ τοῦδέ τινος εἶναι. δῆλον τοίνυν ἐκ τῶν εἰ
ρημένων, ὅτι οὐχ οἷόν τε ἀγαθὸν εἶναι ἄνευ φρονήσεως οὐδὲ
φρόνιμον ἄνευ τῆς ἠθικῆς ἀρετῆς. δείξας ἱκανῶς ὅτι δέονται ἀλλή-
λων ἡ ἠθικὴ ἀρετὴ καὶ ἡ φρόνησις πρὸς τὸ εἶναι ὅ εἰσιν, ὥστε τὴν μὲν
ἠθικὴν ἀρετὴν τὸν σκοπὸν καὶ τὸ τέλος προτίθεσθαι ὑγιῶς καὶ ἀδιαστρό-
φως ἐχουσῶν τῶν ὀρέξεων, τὴν δὲ φρόνησιν τὰ πρὸς τὸ τέλος ἐπιτηδεύ-
ειν, ἵν' αὐτοῦ ἐπιτεύξηται, συμπεραίνει τὰ εἰρημένα καί φησι δῆλον ἐξ
αὐτῶν εἶναι, ὅτι οὔτε ἀγαθὸν ὑπάρχειν ἄνευ φρονήσεως δυνατὸν οὔτε φρό-
νιμον ἄνευ ἠθικῆς ἀρετῆς. τὸ δὲ κυρίως ἀγαθὸν πρὸς ἀντιδιαστολὴν τί-
θησι τῆς φυσικῆς ἀρετῆς. οὐ γὰρ ὁ ἐκ φύσεως δίκαιος ἢ ἀνδρεῖος ἢ σώ-
φρων κυρίως ἀγαθός, ἀλλὰ μόνον εὐφυὴς καὶ ἐπιτήδειος πρὸς τὰς ἀρετὰς
ἢ πάσας ἢ τινὰς ἢ τινά, οἷον ἀρετῆς τινος μόρια, ὥσπερ ἂν εἴ τις εἴη
πρὸς δικαιοσύνην ἐκ φύσεως ἐπιτήδειος, καταφρονητικὸς ὢν χρημάτων
καὶ παρὰ φύσιν τοῦτο πεποίηκεν. ὅτι μηδὲ ἡ εὐφυὴς μόνη πρὸς
τὸ κατ' ἀρετὴν τέλειον, ἀλλὰ δεῖ καὶ τῆς κατὰ προαίρεσιν σπουδῆς καὶ
ἀσκήσεως, ἵν' αἱ κατ' ἀρετὴν ἕξεις τῇ ψυχῇ προσγένωνται. |

p. 1144b32 Ἀλλὰ καὶ ὁ λόγος ταύτῃ λύοιτ' ἄν, ᾧ διαλεχθείη 116v
τις ἂν ὅτι χωρίζονται ἀλλήλων αἱ ἀρεταί. οὐ γὰρ ὁ αὐτὸς
εὐφυέστατος πρὸς ἁπάσας. ὥστε τὴν μὲν ἤδη τὴν ὁ οὕπω
ληφὼς ἔσται. τοῦτο γὰρ κατὰ μὲν τὰς φυσικὰς ἀρετὰς
χεται ⟨καθ' ἃς δὲ ἁπλῶς λέγεται ἀγαθός, οὐκ ἐνδέχεται·⟩ ἅμα
γὰρ τῇ φρονήσει μιᾷ οὔσῃ πᾶσαι ὑπάρξουσι.

Δόξης οὔσης κοινῆς παρὰ τοῖς σοφοῖς, ὅτι ἀντακολουθοῦσιν ἀλλήλαις
αἱ ἀρεταί, ἀπορίαν πρὸς ταύτην τὴν γνῶσιν κινεῖ. κατὰ διαλεκτικὴν προϊ-
οῦσαν μέθοδον. εἰ γὰρ ἐνδέχεταί τινα εὐφυῆ ὄντα πρὸς τήνδε τὴν ἀρε-
τὴν ἀνεπιτήδειον εἶναι πρὸς τὴν ἑτέραν, ἐνδέχοιτ' ἂν καὶ πρώτην κτήσα-
σθαι πρὸ τῆς ἑτέρας, πρὸς ἣν ἦν ἐπιτήδειος. ὥστε ἔσται ἡ κτηθεῖσα
ἀρετὴ τῆς ἑτέρας χωρίς, καὶ οὐκ ἀνάγκη ἀντακολουθεῖν ἀλλήλαις τὰς ἀρε-
τάς. ἀλλ' ἐκ τῶν εἰρημένων, φησί, περὶ φρονήσεως καὶ τῆς ἠθικῆς ἀρετῆς 10

1 ἀρετῆς B: ἀρετῶν a 2 παρ' αὐτὸν B: περὶ αὐτῶν a 7 τοίνυν Ba: οὖν Aristoteles 8 ὅτι — ἀρετῆς (9) B: om. a εἶναι B (sed cf. 403, 15) et Arist. cod. Mb: εἶναι κυρίως Arist. vulg. 12. 13 ἐπιτηδεύειν scripsi: ἐπιτηδεύει Ba 24. 25 ὁ εὐφυέστατος B: εὐφυέστατος a et Aristoteles 25 οὕπω B et Aristoteles: οὔτω a 26 γὰρ κατὰ μὲν B et Aristoteles: μὲν γὰρ κατὰ a 27 καθ' ἃς — ἐνδέχεται a: om. B 33 ἑτέρας B: δευτέρας a ἔστιν B: οὐκ a

[illegible] ἂν ὁ λόγος οὗτος, ὁ δεικνύων διαλεκτικῶς, ὅτι χωρίζονται ἀλ
αἱ ἀρεταί, μὴ ἔχουσαι ἀνάγκην τοῦ ἀλλήλαις ἀνθέπεσθαι. ὅτι
αὐτὸς εὐφυέστατος πρὸς ἁπάσας, τοῦτό φησι τὸ αἴτιον εἶναι τοῦ
γὴ εἶναι ἀνακολουθεῖν ἀλλήλαις τὰς ἀρετάς. καὶ γὰρ ὁ πρὸς μ
των εὐφυέστατος, εὐκόλως ἔχων πρὸς τὴν κτῆσιν αὐτῆς, λήψοιτο
την πρὸ τῶν ἄλλων, καὶ ἔσται ἐν αὐτῷ ἡ ληφθεῖσα, μήπω τῶν
οὐσῶν. ταῦτ' εἰπὼν ἐπάγει τὴν λύσιν. τοῦτο γάρ, φησί, τὸ οὖ
των κατὰ μὲν τὰς φυσικὰς ἀρετὰς ἐνδέχεται, καθ' ἃς οὐδὲ
κυρίως ἀγαθὸς ὁ ἔχων αὐτάς (κἂν τύχῃ τις πρὸς πάσας ὢν εὐφυ
10 ἀλλ' ἐπιτήδειος καὶ εὐφυὴς πρὸς τὸ ἀγαθόν· ἐνδέχεται γὰρ ὁ
κατὰ μίαν τῶν ἀρετῶν εὐφυῆ, κατὰ τὰς ἄλλας μὴ εἶναι τοιοῦτο
δὲ τὰς κυρίως ἀρετάς, καθ' ἃς καὶ κυρίως ἀγαθὸς λέγεται, οὐκ
ται. πῶς; ὅτι ἄνευ φρονήσεως οὐδεμίαν ἕξει κυρίως, φρονήσεω
σης. ἅμα ταύτῃ καὶ αἱ ἠθικαὶ ἀρεταὶ μετ' ἀλλήλων συνέσονται.
15 λόγου προισταμένου τῶν ὀρέξεων καὶ ταύτας αὐτῷ ποιουμένου ὑ
ἀγαθὸ ἔσται καὶ τὸ ὀρθὸν τοῖς ὀρέξεσιν ὡς καὶ τὰ φευκτὰ πανη
κτέον παραγγέλλει. πᾶσαι οὖν ἅμα ἔσονται αἱ ἠθικαὶ ἀρεταὶ
τέλη προτιθεμένων. τῆς δὲ φρονήσεως εὑρισκούσης τὰ πρὸς αὐτὰ
ἐπιτήδεια. ἡ μὲν οὖν αὐτῷ τῆς ἀπορίας ἡ λύσις ἀπὸ τῶν εἰρημέ
20 τῆς ἠθικῆς ἀρετῆς καὶ τῆς φρονήσεως. διὰ τοῦτο καὶ αὐτὸς εἰ
τοῦτο λύσει τὴν ἀπορίαν ὁ λόγος οὗτος ὁ ἄπορος.

[illegible] Δηλοῖ ὅτι κατὰ μὲν τὰς φυσικὰς ἀρετὰς ἐνδέχεται, ὅτι ἔδει ἂν
διὰ τὸ μηδὲν ὁρᾶσθαι κακὸν ἐν αὐτοῖς ἐπιτήδειον εἶναι ἕκαστον πρὸς
μὴ ἔχειν ἐμφρονήσεως. οὐδὲ γὰρ ἐν τούτοις ἀρετή ἐστιν ἡ φυσικὴ τοῦ τε
[illegible] τὸ τέλος ἐστὶν ἡ πρᾶξις.

Ἔστι μὲν οὖν ἡ φρόνησις καὶ πρακτικὸς νοῦς ὡς ταῖς πρακτικ
ταις τοὺς τρόπους εὑρουσκουσα, τοὺς πρὸς τεῦξιν συμβαλλομέν
τρόπων καὶ τῶν τελῶν. οὐ διὰ τοῦτο δὲ δευτέρα ἔσται καὶ τις
της αὐτῷ, ἐπεὶ ἔσται [illegible] καὶ αὐτοτελής. δεῖ γὰρ αὐτῆς κἂν μὴ
λει τοῖς πράξεσι. διότι [illegible] τῆς [illegible] ἔστι. τοῦτο δε
λογιστικόν. ὥστε καὶ κρεῖττον τῶν ἠθικῶν τούτων ἡ φρόνησις.
κρεῖττονος μέρους ἀρετὴ ἐστι. τὸ γὰρ λογιστικὸν κρεῖττον θυμ
παθητικοῦ. ὧν αἱ κεῖναι ἀρεταί εἰσι. σημεῖον δὲ καὶ τοῦτο. ὅτι
προαιρετικὴν δύναμις ὑπάρχον ψυχῆς οὐκ ἔστιν ἔχον τὴν αὐτῷ ἀ
σαν ὁρμωτικὰ, εἰ μὴ καὶ [illegible] ἡ ψυχή.
κοτὴ τὸ τέλος προτίθεται. ἡ δὲ [illegible]
ἡ λογικὴ, ἡ ἡ προαίρεσις ἐστὶ [illegible]
ἀρετὴ, ἀρα προαιρετικὰ. πρὸς ἃ μὴ ὁ ὀρθὸς ἀριθμὸς τῶν

κοσμουμένου B: παιουμένους a 18 αὐτά B: αὐτὴν a 22 ἕξει B et
3 ποίου B et Arist. cod. Lb: τοῦ ποίου a et Arist. vulg
[illegible] vulg.: om. a et Arist. Kb 29 γε B: om. a 38 ἕτοιμα B: ἑ

εἰσὶ δ' ἂν καὶ ταῦτα εἶναι πορίσματα τοῖς πρὸ βραχέος εἰρημένοις ἀκο- 116v
λουθήσαντα.

p. 1145a6 Ἀλλὰ μὴν οὐδὲ κυρία τ' ἐστὶ τῆς σοφίας οὐδὲ τοῦ
βελτίονος μορίου, ὥσπερ οὐδὲ τῆς ὑγιείας ἡ ἰατρική· οὐ γὰρ
χρῆται αὐτῇ, ἀλλ' ὁρᾷ, ὅπως γένηται. ἐκείνης οὖν ἕνεκα πρά-
τάττει, ἀλλ' οὐκ ἐκείνη.

Τοῦτο τὸ νῦν λεγόμενον πρὸς τὴν ἑτέραν ἐστὶν ἀπορίαν, ἣν καὶ αὐ-
τὴν προλαβὼν περὶ τῆς σοφίας ἐζήτησε καὶ φρονήσεως. μήποτε εἴη κυ-
ριωτέρα τῆς σοφίας ἡ φρονήσις, ὡς τῆς φρονήσεως μὲν ποιούσης καὶ ἐπι-
τακτούσης περὶ ἕκαστον τῶν πρακτέων καὶ τὰ τέλη κατορθούσης καθ'
ἑκάστην ὄρεξιν, τῆς δὲ σοφίας μόνον θεωρούσης καὶ λεγούσης, πραττούσης
δὲ μηδέν. ἐλέγετο γὰρ ἐξ ἀρχῆς τὰς ἐπιταττούσας καὶ τὰ τέλη ἐχούσας
τὸ ἀνακτικώτερον, τὰς δὲ μὴ τοιαύτας ἀνακτικωτέρας καὶ ἀρχικωτέρας. πρὸς ταύτην
τὴν ζήτησιν τὴν προκειμένην ἐπάγει λύσιν, οὐ κυρίαν εἶναι φάσκων, οὐ
καὶ κατασκευαστικὸν ἐπιφέρει τὸ οὐδὲ βελτίονος μορίου τῆς ψυχῆς, ἴσον
ὂν ὡς ἂν εἰ ἔλεγεν, ἐπεὶ μηδὲ βελτίονος μορίου τῆς ψυχῆς ἡ φρόνησίς
ἐστιν ἀρετὴ παρὸ ἡ σοφία, εἴπερ ἡ σοφία μὲν τοῦ θεωρητικοῦ ἕξις καὶ
ἀρετή, ἡ δὲ φρόνησις τοῦ πρακτικοῦ, κρείττων δὲ ὁ θεωρητικὸς νοῦς τοῦ
πρακτικοῦ, καθὰ δὴ καὶ ἡ θεωρία κρείττων τῆς πράξεως, καὶ τὸ μὲν θεω-
ρεῖν τοῦ κυρίως παρ' ἡμῖν νοῦ, ὃς καὶ καθ' ἑαυτὸν ἐνεργεῖ, τῶν συνηρ-
τημένων ἐξῃρημένος, τὸ δὲ πράττειν τοῦ πρακτικοῦ νοῦ, τοῦ συγχρωμέ-
νου ταῖς ἀλόγοις δυνάμεσι. παρεισάγει δὲ καὶ τῶν λεγομένων παράδειγμα
ἰατρικὴν καὶ ὑγίειαν, ἐξ ὧν δείκνυσιν, ὅτι οὐχ ἁπλῶς ἡ περί τινος διατ-
τάττουσα ἕξις κρείττων ἐστὶν ἐκείνου, περὶ οὗ | διατάττει, ἀλλ' ἡ τινι 117r
διατάττουσα καὶ χρωμένη ἐκείνῳ εἰς κατόρθωσιν ἑτέρου, ὡς ἡ ἱππικὴ τῇ
χαλινοποιητικῇ καὶ ἡ πολιτικὴ πάσαις ἁπλῶς τέχναις καὶ ἐπιστήμαις,
ὅσαι ἐν ταῖς πολιτείαις παραλαμβάνονται. οὔκουν ἡ ἰατρικὴ ἐπιτάττει τῇ
ὑγιείᾳ οὐδὲ χρῆται αὐτῇ, ἀλλὰ μᾶλλον ἐπιτάττει περὶ αὐτῆς καὶ παραπέμπει
χρῆσθαι, ὥστε οὐκ ἐκείνῃ ἐπιτάττει ἀλλ' ἐκείνης ἕνεκα, ὡς καὶ τὸ εἶναι
ἔχειν δι' αὐτήν, ἵν' ἐπιτάττῃ περὶ αὐτῆς καὶ ἐργάζηται αὐτὴν ἐν τοῖς σ
σώμασιν. ὁ αὐτὸς δὲ λόγος καὶ περὶ τῆς φρονήσεως. ἡ γὰρ καὶ ἡ φρό-
νησις λειπομένη καὶ δευτέρα τῆς σοφίας, ὡς ἐπιτάττουσα δι' αὐτήν, ἵν'
ἐν ταῖς ψυχαῖς γίνοιτο.

p. 1145a10 Ἔτι ὅμοιον κἂν εἴ τις τὴν πολιτικὴν φαίη ἀρχὴν
τῶν θεῶν, ὅτι ἐπιτάττει περὶ πάντα τὰ ἐν τῇ πόλει.

Ἕτερον παράδειγμα περὶ τῶν εἰρημένων παράγει, τοῦτο δέ ἐστιν ἡ πο
πολιτικὴ ἐπιστήμη καὶ οἱ θεοί. ἐπιτάττει γὰρ περὶ θεῶν ἡ πολιτική, ἀλλ

3 τε B: τι a: γ' Aristoteles 24 διατάττει a: διατάττεται B 34 ἀρχὴν Ba: ἀρχειν Aristoteles

ἐπιτάττει· περὶ γὰρ ναῶν καὶ ὕμνων καὶ θυσιῶν καὶ τ
τῶν καθ' ἕκαστα ἔτη πρὸς θεοὺς καθήκοντα· ἀλλ' οὐ διὰ ταῦτα κρ
θεοῦ ἢ θεῶν ἡ πολιτική. οὐ γὰρ ἐπιτάττει θεῷ ἢ θεοῖς τοῖς το
καὶ πρώτου μετέχουσιν, ἀλλὰ τοῖς ἀνθρώποις περὶ αὐτῶν, ὥστε ο
καὶ ὑπηρετεῖ θεῷ καὶ τοῖς θείοις, ἀλλ' οὐ κυρία αὐτῶν ἐστιν· ἀλλ
ἡ φρόνησις κυρία σοφίας, ὅτι ἐπιτάττει περὶ αὐτῆς, καὶ τοῦ καθ' ὅ
τῆς φρονήσεως σοφία, οὐ τῆς σοφίας ἡ φρόνησις, καὶ κρείττων ἀ
κυριωτέρα σοφία φρονήσεως. εἰ δέ τις ἔτι ἀπορεῖ, πῶς κατ' οὐσ
τις ὢν ὁ θεωρητικὸς καὶ πρακτικὸς νοῦς εἰς δύο μερίζεται, ὡς τ
αὐτοῦ κρεῖττον τὸ ὁ [illegible] καὶ τὸ προηγμέν
τούτου οὐχ ἱκανὰ ἡγεῖται, ἀλλ' ἔτι ἀπαιτεῖ σαφέστερόν τι ῥηθῆνα
ταῦτα προσκείσθωσαν. ἐν μὲν γάρ ἐστι κατ' οὐσίαν τὸ διανοητικ
ψυχῆς, τὸ ζητοῦν καὶ εὑρίσκον ἐν μὲν θεωρίαις ταληθές, ἐν δὲ π
τὸ ἀγαθόν. περὶ οὖν τὰ καθόλου καταγινόμενον νοῦς θεωρητικὸς
ζεται, καὶ ἔστιν αὐτοῦ τὰ ὑποκείμενα τὰ θεωρητὰ καὶ ἐπιστητα
τὰ καθ' ἕκαστα τὰς σπουδὰς ποιούμενον νοῦς λέγεται πρακτικό
τὸ [illegible] αὐτῷ πρακτὰ καὶ ἀγαθά. ἐν μὲν οὖν κατ' οὐσίαν
μέρος ἢ μία δύναμις τῆς ψυχῆς, διαιρεῖται δὲ εἰς δύο μόρια τὸ
τικὸν καὶ πρακτικόν, ὡς ἄλλος ὢν ἐν τῷ θεωρεῖν τὰ καθόλου κ
αἴσθησιν, καὶ ἄλλος τῷ ἐξετάζειν τὰ καθ' ἕκαστα, καὶ ἃ τῇ α
[illegible]. διὸ καὶ μόρια λέγεται ταῦτα, ὡς μέρους ὄντα μέρη τ
[illegible] τῆς ψυχῆς, καὶ οὐ ψεῦδος τὸ λέγειν ἓν κατ' οὐσίαν
ὑπάρχοντα δύο εἶναι, ὡς μιᾶς ὁλότητος μόρια, ὡς εἴ τις τὸν αὐτὸ
φυσικὸν ὀνομάζει καὶ ἰατρόν, τὸ μὲν ὡς περὶ τὰ ἐν τῇ φύσει κατ
νον καθόλου, τὸ δὲ ὡς περὶ τὰ καθ' ἕκαστα τῶν ἀνθρώπων σπου
σώματα, ἑκάστῳ αὐτῶν περιποιούμενον τὴν ὑγίειαν. εἷς γὰρ ὢν
αὐτὸς τῷ ἀριθμῷ περὶ διάφορά τε ὑποκείμενα καταγίνεται καὶ
ἔχει τὰ ἐν αὐτοῖς παρ' αὐτοῦ ἐνεργούμενα καὶ κατορθούμενα, ε
νοις μὲν εὑρίσκων τὸ ἀληθὲς καὶ τέλος ἔχων τούτου τὴν ἐφεσ
τούτοις τὸ αὐτῶν ἀγαθὸν κατορθῶν διὰ πράξεως καὶ τέλος ἔχων
του κατόρθωσιν, καὶ ῥηθήσεται ὀρθῶς δύο ἔχειν ἕξεις καὶ [illegible]
δύο τὰ ὑποκείμενα καὶ δύο τὰ κατορθούμενα.

ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ ΗΤΑ ΤΩΝ ΝΙΚΟΜΑΧΕΙΩΝ ΗΘΙΚΩΝ ΑΡΙΣΤΟΤΕΛΟΥΣ.

Διδάξας περὶ τῶν ἠθικῶν ἀρετῶν καὶ τῶν διανοητικῶν, νῦν διδάσκει καὶ περὶ ἐγκρατείας καὶ ἡρωϊκῆς τινος καὶ θείας ἀρετῆς. οὐκ ἐδίδαξε δὲ περὶ ἐγκρατείας, ἵνα ἐδίδασκε περὶ τῶν ἠθικῶν ἀρετῶν, ἢ καὶ περὶ τῆς ἡρωϊκῆς καὶ θείας ἀρετῆς. ἀλλ' ἰδίως διδάσκει περὶ ἐγκρατείας καὶ τῆς ἡρωϊκῆς καὶ θείας ἀρετῆς καὶ διεχώρισε ταύτας τῶν ἄλλων ἀρετῶν, εἰκότως. ἐπεὶ γὰρ ἡ ἐγκράτεια οὐκ ἔστι κυρίως ἀρετὴ ἀλλ' ἐγγίζει τῇ ἀρετῇ, ἀρετὴ δὲ κυρίως οὐκ ἔστιν (ἡ μὲν γάρ ἐστιν ἡ ἐγκράτεια ἐκ προαιρέσεως γινομένη καὶ περὶ πρακτὰ καταγινομένη, ἕοικεν ἀρετῇ, ἡ δὲ πάλιν οὐκ ἔστιν ἰσονομία ἐπὶ τῶν μερῶν τῆς ψυχῆς, ἀλλὰ μάχη τις καὶ στασιασμός, ἀρετὴ οὐκ ἔστιν. ὁ γὰρ ἐγκρατὴς ἔχει μὲν τὸν λόγον προστάσσοντα δεῖν ἀπέχεσθαι τῶν ἡδονῶν τῶν αἰσχρῶν, τὴν δὲ ἐπιθυμίαν ἔχει μὴ ἀκολουθοῦσαν τῷ λόγῳ ἀλλ' ἀντιτείνουσαν καὶ τῶν αἰσχρῶν ἡδονῶν ἀντέχεσθαι σπεύδουσαν. ἐπὶ δὲ τῶν ἀρετῶν ἰσονομία τίς ἐστι καὶ οὐ μάχη τῶν μερῶν τῆς ψυχῆς, ἀλλὰ ὁ σώφρων ἔχει μὲν τὸν λόγον προστάσσοντα δεῖν ἀπέχεσθαι τῶν αἰσχρῶν ἡδονῶν καὶ εὐθὺς ἔχει τὴν ἐπιθυμίαν ἐπακολουθοῦσαν τῷ λόγῳ καὶ μὴ ἀντιτείνουσαν, ὁμοίως δὲ καὶ ὁ ἀνδρεῖος ἔχει τὸν λόγον προστάσσοντα δεῖν ἀπτόητον περὶ τὰ φοβερὰ διαμένειν, καὶ εὐθὺς ἔχει τὸν θυμὸν ἐπόμενον καὶ μὴ ἀντιτείνοντα. ὅπου οὖν οὐκ ἔστιν ἡ ἐγκράτεια κυρίως ἀρετὴ ἀλλ' ἐοικυῖα ἀρετῇ, τούτου χάριν ἔδειξεν αὐτῷ ἴδιόν τι περὶ αὐτῆς διανοούμενος. ὁμοίως δὲ καὶ ἡ κακία, ἡ ἀντικειμένη τῇ ἀρετῇ, ἤτοι τῇ ἐγκρατείᾳ, ἑτέρα τίς ἐστι κακία παρὰ τὰς ἄλλας, τὰς ἀντικειμένας ταῖς ἠθικαῖς ἀρεταῖς, ἤγουν τὴν ἀκολασίαν καὶ τὴν δειλίαν καὶ τὰς λοιπάς. ὁ γὰρ ἀκρατὴς ἔχει μὲν τὸν λόγον ἐρρωμένον, ὅτι κακόν ἐστι τὸ μοιχεύειν, ἡττᾶται δὲ ὑπὸ τοῦ πάθους, καὶ γίνεται κἀνταῦθα μάχη τις τῶν μερῶν τῆς ψυχῆς· τῆς γὰρ ἐπιθυμίας σπευδούσης ἀντέχεσθαι τῶν αἰσχρῶν ἡδονῶν, ὁ λόγος ἀντιτείνει κἂν ἡττᾶται. ὁ

1 σχόλια εἰς τὸ ἦτα τῶν νικομαχείων ἠθικῶν ἀριστοτέλους B: ἀσπασίου σκόλια εἰς τὸ ἕβδομον τῶν τοῦ ἀριστοτέλους ἠθικῶν a 17 αἰσχρῶν B: αἰσχρὼς a

τοὺς ἀνθρώπους ποιοῦσα καὶ τῷ θεῷ ἐγγίζειν παρασκευάζουσα. ὥσως δέ 118r
τις εἴπεν, ὅτι ἐπεὶ ἡ τοιαύτη ἀρετή, ⟨ἡ⟩ ἡρωικὴ καὶ θεία, ὑπὲρ πᾶσαν
ἀρετήν ἐστι, λοιπὸν τοῖς θεοῖς προσήκει. λύων οὖν ταύτην τὴν ἔνστασιν 15
φησίν, ὅτι τοῖς μὲν θηρίοις ἀρετὴ οὐκ ἔστιν, διότι ἡ ἀρετὴ προαιρετή
5 ἐστιν, ἡ δὲ προαίρεσις τῶν λογικῶν ἐστιν· ἀλλ' οὐδὲ τοῖς θεοῖς ἀρετή
ἐστι, διότι ὑπὲρ πᾶσαν ἀρετήν εἰσιν οἱ θεοί. ἀλλ' ἡ μέν, ἤτοι ἡ ἡρωϊκὴ
καὶ θεία ἀρετή, τιμιωτέρα ἐστὶ πάσης ἀρετῆς καὶ ὑπὲρ πᾶσαν ἀρετήν, ἡ
δέ, ἤτοι ἡ θηριώδης, ἡ ἀντικειμένη αὐτῇ, ἕτερόν τι γένος, ἤτοι εἶδος,
κακίας ἐστίν, ἥτις ὑπὲρ πᾶσαν κακίαν ἐστί. θηριῶδες γάρ ἐστι τὸ πίνειν
10 αἵματα ἀνδρῶν καὶ ἐσθίειν ὠμὰ κρέατα. ὁ γοῦν ἔχων τὴν ἡρωϊκὴν καὶ 20
θείαν ἀρετὴν λέγεται θεῖος, τὸ δὲ θεῖόν τινα εἶναι σπανίον ἐστιν. ὀλίγοι
γὰρ ἔχουσι ταύτην τὴν ἀρετήν, καὶ οἱ Λάκωνες οὖν ὅταν ἠγάσθησάν τινα,
ἤτοι τινός, ἤτοι ὅταν ἐθαύμασάν τινα ὡς ὑπὲρ πάντα ἄνθρωπον ὄντα,
ἔλεγον, οὗτος ἀνὴρ θεῖός ἐστιν, ἤτοι θεῖος. οὕτω καὶ τὸ εἶναί τινα θη-
15 ριώδη ὥστε πίνειν αἵματα ἀνθρώπων καὶ ἐσθίειν ⟨ὠμὰ⟩ κρέατα ἀλόγων 25
σπανίον ἐστιν. ἐπὶ μὲν τῶν Ἑλλήνων οὐκ ἔστιν ἰδεῖν ἄνθρωπον τοιοῦτον
θηριώδη. οἱ γὰρ Ἕλληνες πεπαιδευμένοι εἰσὶ καὶ συντεθραμμένοι λόγῳ,
μάλιστα δὲ ἐν τοῖς βαρβάροις ἔστιν ἰδεῖν τοιοῦτον θηριώδη. οἱ γὰρ βάρ-
βαροι ἀπαίδευτοι καὶ οὐ συντεθραμμένοι λόγῳ. γίνονται δέ τινες θηριώ-
20 δεις καὶ διὰ νόσον εἰ μανίαν νοσοῦσι καὶ μαίνονται καὶ διὰ πήρωσιν. εἰσὶ 30
γάρ τινες πεπηρωμένον, ἤτοι βεβλαμμένον, ἔχοντες τὸ λογιστικὸν καὶ τῶν
οἰκείων φρενῶν ἐκστάντες θηριώδεις γίνονται καὶ πίνουσιν αἵματα καὶ ὠμὰ
κρέατα ἐσθίουσι. καὶ ἐπιθυσφημοῦμεν, ἤγουν ὑβρίζομεν, τὸν ὑπερβάλ-
λοντα τῇ κακίᾳ καὶ ὑπὲρ πᾶσαν κακίαν ὄντα, οἱ τὸν ἄδικον ὄντα καὶ ἀκό-
25 λαστον ὑπὲρ πάντα ἄδικον καὶ ἀκόλαστον ἐπιθυσφημοῦντες καὶ διασύρον- 35
τες ἐκεῖνον θηριώδη αὐτὸν ἀποκαλοῦμεν, οἷον ἦν ὁ Ἔχετος. περὶ μὲν
τῆς τοιαύτης διαθέσεως, ἤτοι τῆς θηριώδους, ὕστερον ἐροῦμεν. περὶ
δὲ τῆς κακίας, τῆς ἀντικειμένης ταῖς λοιπαῖς ἀρεταῖς, ἔμπροσθεν πρόκειται.
ὅτου περὶ τῶν ἠθικῶν ἀρετῶν ἐλέγομεν.

30 Περὶ δὲ τῆς ἀκρασίας καὶ τῆς μαλακίας καὶ τρυφῆς (τὸ καὶ ἀντὶ 40
τοῦ ἤτοι τρυφῆς· ἡ γὰρ μαλακία τρυφή ἐστιν· ὁ γὰρ τρυφηλὸς ἄνθρω-
πος μαλακὸς λέγεται) λεκτέον· ἡ γὰρ ἐγκράτεια καὶ ἀκρασία περὶ ὧν
μέλλομεν εἰπεῖν νῦν, οὐκ εἰσὶν ἕξεις αἱ αὐταὶ τῇ ἀρετῇ καὶ μοχθη-
ρίᾳ, ἤτοι τῇ κακίᾳ. οὔτε γὰρ ἡ ἐγκράτεια ἡ αὐτή ἐστι τῇ ἀρετῇ οὔτε
35 ἡ ἀκρασία ἡ αὐτή ἐστι τῇ κακίᾳ. οὔθ' ὡς ἕτερον γένος, ἤτοι οὔτε 45
ἕτερον [illegible] ἐστιν ἑτέρα τῆς κακίας, ἀλλὰ πῇ μέν εἰσιν αἱ αὐταί, πῇ δ' ἕτεραι. ἡ γὰρ ἐγκράτεια, ἡ μέν ἐστιν ἕξις προαιρετή, ἐγγίζει τῇ ἀρετῇ καὶ ἔστιν ἡ αὐτὴ τῇ ἀρετῇ, ἡ δὲ ἐπὶ τῆς ἀρετῆς ἐστιν ἰσονομία τῶν με-
40 ρῶν τῆς ψυχῆς καὶ οὐ μάχη τίς ἐστιν, ἀλλ' οἷον ἐπὶ τοῦ σώφρονος, τοῦ

2 ἡ a: om. B 6 ἤτοι a: ἢ B 9 θηριῶδες a: θηριώδια B 14 ἀνὴρ B: ὁ ἀνὴρ a σεῖος B: θεός a 15 ὠμὰ a: om. B 20 εἰ B: ἢ a πήρωσιν B: πηρώσεις a 32 ἀκρασία B: ἡ ἀκρασία a

λόγου προστάσσοντος δεῖν ἀπέχεσθαι τῶν αἰσχρῶν ἡδονῶν, εὐθὺς ἐ
ἐπιθυμίαν ἐπακολουθοῦσαν. ἐπὶ δὲ τῆς ἐγκρατείας οὐκ ἔστιν ἰσονο
μάχη τοῦ γὰρ λόγου προστάσσοντος δεῖν ἀπέχεσθαι τῶν αἰσχ
ἐπακολουθεῖ ἡ ἐπιθυμία ἀλλ' ἀντιπίπτει καὶ σπεύδει μᾶλλο
ὁράποδον ἑλκύσαι τὸν λόγον ταῖς ἑαυτῆς ὀρέξεσι ταῖς αἰσχραῖς.
ὀρεξις ἡ ἐγκράτεια. καὶ πάλιν, ἡ μέν ἐστιν ἡ κακία ἕξις παρὰ τ
λόγον, ἔστι δὲ καὶ ἡ ἀκρασία ἕξις παρὰ τὸν ὀρθὸν λόγον, ἔστιν ἡ
ταὐτὸν τῇ κακίᾳ, ἡ δὲ πάλιν ἐπὶ τῆς κακίας ἐστὶν ἰσονομία τῶν
μερῶν τῆς ψυχῆς, οὐκ ἐπὶ τῆς ἀκρασίας. τῆς ἐπιθυμίας ὀρμῆς πρὸ
10 σχρας ἡδονὰς οὐκ ἐχει τὸν λόγον ἀντιτείνοντα ἀλλ' εὐθὺς ὑπόμει
δὲ τῆς ἀκρασίας, οὐκ ἔστιν | ἰσονομία τῶν μερῶν τῆς ψυχῆς. τ
ἐπιθυμίας ὀρμῆς πρὸς τὰς αἰσχρὰς ἡδονὰς, οὐκ εὐθὺς ἕπεται
ἐστὶν αὐτῆς ὁ λόγος ἀλλ' ἀντιτείνει, κἂν ἡττᾶται, κατ' αὐτὸ τοῦ
πάντως ἡ ἀκρασία τῆς κακίας ἐστί. τοῦτο δὲ εἶπεν, ἵνα δείξῃ, ὅτ
1 τὴν μέλλει διαλαβεῖν περὶ αὐτῶν ἀλλ' ὡς ἑτέρων οὐσῶν ἐκείνων
κῶν ἀρετῶν καὶ τῶν κακιῶν. εἰκότως καὶ ἰδίως περὶ αὐτῶν
ὥσπερ καὶ τὰς ἄλλας ἀρετὰς ἐπιστοῦμεν ἀπὸ τῶν φαινομένων. ἡ
της τῶν πολλῶν οὐσῆς, οὕτω καὶ τὰς τοιαύτας ἕξεις ὁ εὐδόκιμ
περὶ ἐγκράτειαν καὶ ἀκρασίαν. καὶ διαορήσαντας, ἤτοι ἐνσ
πρὸς τὰς δόξας καὶ ὅσαι μὲν τῶν δοξῶν ἔχονται ἀληθείας, ταύτ
οὗτοι δὲ μὴ παλαιομένας καὶ τῆς ἀληθείας ἐξω. ταύτας ἐθσαν
οὗτοι γὰρ τε ἐγκράτειαν καὶ ἀκρασίαν. μάλιστα μὲν οὖν δεῖ π
δόξας οὗτοι εἰδόξασαν περὶ ταῦτα τὰ πάθη, ἤτοι τὴν ἐγκρα
τὴν ἀκρασίαν, λαβεῖν, εἰ δὲ μή, ἤτοι εἰ δὲ μὴ δύναται πάσας τ
λαβεῖν, ἕως οὖν λαβεῖν δεῖ τὰς πλείονας τῶν δοξῶν καὶ κυριωτέ
σπουδαιοτέρας τῶν ἄλλων. μέλλει γὰρ διαλαβεῖν πρῶτον περὶ αὐτ
ἀρετῶν τῶν δοξῶν, ἃς οἱ παλαιοὶ περὶ ἐγκρατείας καὶ ἀκρασίας
τῶν ἀληθῶν τῶν τούτων χωρίσαι τὰς ἀληθεῖς καὶ λαβεῖν αὐτάς, τὰ
λας ἀπελέγξαι ὡς κακῶς ἐχούσας, εἶτα εἰπεῖν καὶ τὴν αὐτοῦ δόξαν
τῶν. ἐὰν γὰρ λύσωμεν τὰς δυσχερεῖς τῶν δοξῶν, ἤτοι ὅσαι κακῶ
τὰ δ' ἐνδοξα, ἤτοι αἱ δόξαι αἱ καλῶς ἔχουσαι καταληφθῶσιν, ἱκα
ται ἡ ἐγκράτεια καὶ ἡ ἀκρασία δεδειγμέναι. ὀρέγουσιν οὖν πά
ἡ γραμματικὴ καὶ ἡ καρτερία τῶν σπουδαίων εἰσιν. ἤτον ὀρεκτ
δὲ ἀκρασία καὶ ἡ μαλακία. ὅτι τῶν φαύλων εἰσίν. ἤτον ὀρεκτ
καὶ οὐ κακὸς ἐστιν ὁ ἐγκρατὴς καὶ ὁ [illegible] ὁ
ἤτοι τῇ δόξῃ. ἤτοι καὶ ὀρέγουσιν, ὅτι ὁ [illegible] τῇ ὀ
καὶ οὐκ ἐμίσταται ταυτης, καίτοι της ἐπιθυμίας ἀντιτεινούσης πολ
ὀρέγει ὁ ἐγκρατής, ὅτι κακὸν ἐστι τὸ μοιχεύειν, ἡ δὲ ἐπιθυμία
[illegible] καὶ ἐπίζητει αὐτο. ἐμμένει οὖν ὁ ἐγκρατ
κὸν ὅλως ὅτι κακὸν τὸ μοιχεύειν, καὶ οὐκ ἐξίσταται αὐτῆς π
τοῦτον ἡ ἐπιθυμία τὸ μοιχεύειν ἐπιζητούσῃ, ὁ δ' ἀκρατὴς καὶ
τικὸς τοῦ λογισμοῦ. ἤτοι τῆς οἰκείας δόξης, ἐστιν ὁ αὐτὸς

γάρ ἐστιν ὃς ἔχει τὸν λόγον ἐρρωμένον καὶ δοξάζει κακὸν τὸ μοιχεύειν, 118v
τῆς δὲ ἐπιθυμίας ἀντιτεινούσης καὶ ἡδὺ τὸ μοιχεύειν νομιζούσης καὶ ἀγαθόν. ἵσταται τῆς δόξης, ἤτοι τοῦ δοξάζειν κακὸν τὸ μοιχεύειν), καὶ πράττει αὐτὸ καὶ νομίζει ὡς ἡδύ. καὶ ὁ μὲν ἀκρατὴς γινώσκων, ὅτι φαῦλόν ἐστι τὸ μοιχεύειν, πράττει αὐτὸ διὰ τὸ πάθος, ἤτοι ἡττηθεὶς ὑπὸ τοῦ πάθους, τουτέστι τῆς ἐπιθυμίας, ὁ δ' ἐγκρατὴς γινώσκων ὅτι φαῦλαί εἰσιν αἱ ἐπιθυμίαι οὐδ' ὅλως πράττει αὐτὰς οὐδ' ἀκολουθεῖ τῇ ἐπιθυμίᾳ οἰομένῃ τὰς ἡδονὰς ἀγαθὸν εἶναι διὰ τὸν λόγον, ἤτοι τοῦ λόγου προστάσσοντος, ὅτι κακὸν τὸ μοιχεύειν, οὐχ ἡττᾶται ὑπὸ τῆς ἐπιθυμίας νομιζούσης αὐτὸ ἀγαθὸν εἶναι, καὶ ἀντιτεινούσης τῷ λόγῳ. καὶ δοξάζουσιν, ὅτι ὁ σώφρων ἐστὶν ἐγκρατὴς καὶ καρτερικός. πάντα δὲ τὸν τοιοῦτον, ἤτοι τὸν ἐγκρατῆ, οἱ μὲν δοξάζουσιν εἶναι σώφρονα, οἱ δὲ οὐ δοξάζουσιν, ὅτι ὁ ἐγκρατὴς τῶν σωφρόνων ἐστὶ τοιαυτηρόνως. μὴ γὰρ εἶδέναι δυνατὸν ἀκόλαστον καὶ ἀκρατῆ τὸν μοιχεύοντα. ἤτοι ὁμοίως. δοξάζουσι τὸν ἀκόλαστον ἀκρατῆ εἶναι καὶ τὸν ἀκρατῆ ἀκόλαστον. οἱ δὲ δοξάζουσιν εἶναι ἕτερον τὸν ἀκόλαστον τοῦ ἀκρατοῦς, τὸν δὲ φρόνιμόν ποτε μέν τινες δοξάζουσιν εἶναι ἀκρατῆ, ποτὲ δὲ δοξάζουσί τινες τινας φρονίμους καὶ δεινούς. τὸ καὶ ἀντὶ τοῦ ἤτοι δεινοὺς ἀκρατεῖς. τοὺς γὰρ φρονίμους τοὺς δεινοὺς ἀκρατεῖς λέγουσιν εἶναι. ἔτι δοξάζουσιν ὅτι οὐ μόνον ἀκρατὴς λέγεται ὁ ὑπὸ τῆς ἐπιθυμίας ἡττᾶται, ἀλλὰ καὶ ὃς ἡττᾶται ὑπὸ τοῦ θυμοῦ καὶ ὑπὸ τῆς τιμῆς καὶ ὑπὸ τῆς φιλοχρηματίας. λέγομεν γὰρ ὅτι ἀκρατής ἐστι θυμοῦ. ὁμοίως δὲ καὶ ὁ ἀγαπῶν ὑπερβολικῶς κερδαίνειν ἢ ὑπερβολικῶς τιμᾶσθαι λέγεται ἀκρατὴς κέρδους, ἤτοι φιλοχρηματίας, καὶ ἀκρατὴς τιμῆς. ὁ δὲ τοιοῦτος γράφεται. ἤτοι αἱ φερόμεναι δόξαι, περὶ ἐγκρατείας καὶ ἀκρασίας αὐταί εἰσιν.

Εἶτα ἀπορεῖ καὶ πρὸς τὰς δόξας, καί φησιν, ὅτι εἰ ὁ ἀκρατὴς 119r
ἔστιν ὃς γινώσκει ὅτι κακόν ἐστι τὸ μοιχεύειν, καὶ ἤτοι τὸν τῶν τοιούτων μένον. ἡττᾶται δὲ ὑπὸ τῆς ἐπιθυμίας καὶ μοιχεύει, ⟨ἀπορήσει τις πῶς ὁ ἀκρατὴς ὑπολαμβάνων ὀρθῶς, ἤτοι γινώσκων ἀκριβῶς, ὅτι κακόν ἐστι τὸ μοιχεύειν, ἀκρατεύεται καὶ ἡττᾶται ὑπὸ τοῦ πάθους καὶ μοιχεύει.⟩ οὐ γάρ φασιν οἷόν τε εἶναι καὶ δυνατὸν τὸν ἔχοντα ἐπιστήμην τοῦ πράγματος παρασφαλῆναί ποτε. δεινὸν γὰρ ᾤετο ὁ Σωκράτης τὸ ἔνδια πάρεστιν ἐπιστήμη, ἐκεῖ ἄλλο τι κρατεῖν καὶ ἕλκειν τὸν λόγον ὥσπερ ἀνδράποδον. εἰ οὖν καὶ ὁ ἀκρατὴς ἐπιστήμην ἔχει τοῦ κακοῦ, ὅτι κακόν ἐστι, πῶς ἡττᾶται ὑπὸ τῆς ἐπιθυμίας καὶ περιέλκεται, ὡς ἀνδράποδον; ὁ Σωκράτης μὲν ἐμάχετο πρὸς τὸν λόγον τὸν ἀληθῆ, ὅτι ἀκρασία οὐκ ἔστι. καὶ ταῦτα φανεροῦ ὄντος ὅτι ἔστιν ἀκρασία. ἔλεγε γὰρ ὁ Σωκράτης ἀδύνατον εἶναί τινα ὑπολαμβάνοντα, ἤτοι δόξαν ἔχοντα τοῦ γινώσκειν βέλτιστον εἶναι τὸ μὴ μοιχεύειν, πράττειν παρὰ τὸ βέλτιστον, ἤτοι μοιχεύειν, ἀλλὰ τότε πράττειν τις παρὰ τὸ βέλτιστον, ἤτοι τότε πράττει τὸ κακὸν δι' ἄγνοιαν, ἤτοι ὅταν τις ἀγνοῇ τόδε κακὸν εἶναι, γινώσκων δέ τις ὅτι τόδε κακόν ἐστιν, οὐκ ἂν ποτε τοῦτο ὁράσῃ. οὗτος

2 τῆς δὲ—μοιχεύειν (3) a: om. B 23 καὶ ἀκρατὴς τιμῆς a: om. B 27 ἀπορήσει—μοιχεύει (29) a: om. B 33 καὶ ὁ B: ὁ a 41 γινώσκων B: γινώσκει a

μὲν οὖν ὁ λόγος, ἤτοι ὅτι εἰ γινώσκει τις τόδε, ὅτι κακόν ἐστιν
ἂν τοῦτο δράσῃ, μάχεται τοῖς φαινομένοις, ἤτοι τοῖς φανερο
μασιν. ὁρῶμεν γάρ τινας καθ' ἑκάστην γινώσκοντας, ὅτι τὸ μοιχεύε
καὶ πράττοντας τοῦτο. δέον οὖν ζητῆσαι περὶ τὸ πάθος,
ἀκρατὴς ἀγνοεῖ τὸ πάθος, ἤτοι ὅτι τὸ μοιχεύειν κακόν. ει
ἄγνοιαν τοῦ πάθους ἥττηται ὁ ἀκρατὴς καὶ πράττει τὸ κακ
ὁ τρόπος τῆς ἀγνοίας; οὐ μὲν γὰρ ὁ ἀκρατὴς καὶ προ
γίνεται ὅλως τοῦ πάθους καὶ πρὸν ἡττηθῇ ὑπὸ τῆς αἰσχρ
ἐπιθυμίας, οὐκ οἴεται, ἤτοι οὐ δοκάζει, κακὸν εἶναι τὴν αἰσχ
νήν. φανερὸν ἐστι τοῦτο. ὥστε ὅμως οὐκ ἄγνοιαν ἔχω
[illegible] ἄνω ὅτι ἀδύνατόν ἐστι, τὸν ἐπιστήμην ἔχον
[illegible]ηθῆναι καὶ πταῖσαι, καὶ ὑπὸ .... τι φησιν ὅτι ὁ ἐπιστή
παρατραπεὶς ἀλλ' οὐδὲ ὁ ὑπολαμβάνων, ἤτοι οὐδὲ ὁ ἔχων δόξαν.
[illegible] ἐπιστήμην, οὐδὲ οὗτος παρέξει τι παρὰ
πταῖσαι. καὶ φησὶν οὖν ὅτι ἔστιν οἳ τὸν μὲν συγχωροῦσι
καὶ ὁμολογοῦσιν, ὡς ὁ ἔχων ἐπιστήμην οὐκ ἂν ποτ
σφάλῃ, οὐδὲ δυνατόν ἐστι περιγενέσθαι τι τῆς ἐπιστήμης, τὰ δὲ οἱ
λογοῦσιν, ἤτοι τόδε, εἰ δόξαν ἔχει τις, ἤτοι εἰ δοξάζει τις, ὅτι
χεύειν βέλτιστόν ἐστι, μὴ πράξαί τι παρὰ τὸ νομισθὲν αὐτῷ
εἶναι, ἤτοι μὴ παρασφῆλαί ποτε καὶ ὁρᾶσαι τὸ κακόν, ἤτοι τὴν
οὐχ ὁμολογοῦσιν. ἡ γὰρ δόξα πταιστή ἐστι καὶ οὐκ ἔχει τὸ βε
τὸ ἀπταιστον. καὶ [illegible] ἀπταιστεῖ δοξάζει τις ὅτι ὁ ἔχων ἐπιστ
παρασφαλεῖ, ὁ δὲ δόξαν ἔχων παρασφαλεῖ. ἀβέβαιος γάρ ἡ δο
ὁρῶσι μὲν γὰρ τὸν ἀκρατῆ ἡττώμενον ὑπὸ τῶν αἰσχρῶν ἡδονῶν,
τοῦτό φασιν, ὅτι ὁ ἀκρατὴς κρατεῖται, ἤτοι ἥττηται, οὐχὶ ἐπιστή
ὅτι τόδε κακόν ἐστιν ἀλλα δόξαν.

Εἶτα φέρει ἔνστασιν, ὅτι εἰ ὁ ἀκρατὴς δόξαν ἔχει, ὅτι τό
ἐστι, καὶ εἰ ἡ γνῶσις, ἣν ἔχει ὁ ἀκρατὴς ἡ ἀντιτείνουσα πρὸς τὴ
μίαν ὁρισθεῖσαν πρὸς αἰσχρὰς ἡδονάς, οὐκ ἔστιν ἐπιστήμη ἀλλ
λῆψις, ἤτοι γνῶσις, ἀλλ' ἐμπειρία, ἤτοι ἀσθενὴς γνῶσις ἐστι.
οἱ δισταζοντες καὶ γνῶσιν ἔχοντες οὐ βέβαιαν οὐδ' ἀσθενῆ τινα
ὁρᾶν. εἰ οὖν ὁ ἀκρατὴς δόξαν ἔχει καὶ οὐκ ἐπιστήμην, ἡ δὲ δ
ἁπλῶς ἐστι, συγγνώμη ἄρα ἐστὶν αὐτῷ ἐν τῷ μὴ ἐμμένειν ἐν
ἔχων ταῖς ἀσθενεῖς δόξαις πρὸς τὰς ἰσχυρὰς ἐπιθυμίας, ἤτοι ἀν
ὑπὸ τῶν ἰσχυρῶν ἐπιθυμιῶν τῶν αἰσχρῶν, συγγνώμη ἐστιν αὐτ
γὰρ ἦν ἄξιος τιμωρίας, ὅταν γὰρ ἀκριβῶς γινώσκων, ὅτι τόδε κα
καὶ πάλιν ὑπὸ τῆς ἐπιθυμίας ἡττώμενος αὐτὸ πράττει. [illegible]
[illegible] τι τόδε κακόν ἐστιν, εἰ μὴ ἐμμένῃ τῇ [illegible]
[illegible], ἀλλ' ἡττηθῇ ὑπὸ τῆς αἰσχρᾶς ἐπιθυμίας [illegible]
ὡς ἀγαθὸν αὐτὸ δράσει, συγγνώμη ἐστὶν αὐτῷ, καὶ εἰ συγγνώμη

1 ὅτι B: om. a 8 ὅλως B: ὅλως a 9 καλὸν corr. ex κακὸν B: κακὸν a
τε fenestra 4 litterarum capax B: om. a 19 πράξει B: πράξει a
παρασφάλλ Ba 37 καὶ πάλιν — κακόν ἐστιν (39) a: om. B

τεῖ πράττοντι τὸ κακόν, λοιπὸν ἡ ἀκρασία κακία οὐκ ἔστι. τῇ δὲ μοχ- 119r
θηρίᾳ, ἤτοι τῇ κακίᾳ, οὐκ ἔστι συγγνώμη, οὔτε ἄλλῳ τινὶ τῶν φαυλοτάτων. τὸν γὰρ κακόν, ἤτοι τὸν ἀκόλαστον ἢ τὸν δεινόν, οὐ συγγνωμονοῦμεν ἀλλὰ τιμωροῦμεν. ἡ ἀντιτείνουσα γνῶσις. ὁ γὰρ ἀκρατὴς τῆς ἐπιθυμίας ὀργώσης πρὸς τὰς αἰσχρὰς ἡδονὰς ἔχει τὸν λόγον ἀντιτείνοντα μὴ ἐπακολουθεῖν αὐτῇ, κἂν καὶ κρατῇται καὶ καταδουλοῦται αὐτῇ, ὃ οὖν ἀτο- 119v
πόν τι συμβαίνει. ὅτι ἡ ἀκρασία κακία οὐκ ἔστιν ἐν τῷ δοῦναι, ὅτι δόξαν ἔχει ὁ ἀκρατής, οὐχ ἐπιστήμην, λοιπὸν φρόνησίς ἐστιν ἡ ἀντιτείνουσα ἐπὶ τοῦ ἀκρατοῦς μὴ ἐπακολουθεῖν τῇ ἐπιθυμίᾳ. ὁ γὰρ ἀκρατὴς τὴν φρόνησιν ἔχει ἀντιτείνουσαν πρὸς τὴν ἐπιθυμίαν. αὕτη γὰρ ἡ φρόνησίς ἐστιν ἰσχυροτάτη, καὶ διὰ τοῦτο τῷ ἀκρατεῖ συγγνώμη οὐκ ἔστιν, ἀλλ' εἰ καὶ τοῦτο δώσομεν, ὅτι ἡ φρόνησίς ἐστιν ἡ ἀντιτείνουσα, ἀλλ' οὐκ ἄτοπον συμβαίνει. ἔσται γὰρ φρόνιμος καὶ ἀκρατὴς ὁ αὐτός, ὁ δὲ φρόνιμος ἑκὼν τὸ κακὸν οὐδέποτε πράξει. φρονήσεως γὰρ παρούσης, ὡς εἴπομεν, πᾶσαι αἱ ἠθικαὶ ἀρεταὶ ἕπονται. ἡ γὰρ φρόνησις ἀντιληπτική τίς ἐστι τῶν ἐσχάτων, ἤτοι τῶν μερικῶν, ἔχουσα ἑπομένας καὶ τὰς ἄλλας ἀρετὰς τὰς ἠθικάς, ἔνθα πάρεστιν· ἔτι εἰ ὁ ἐγκρατὴς ἐγκρατὴς λέγεται, διότι αἰσχρὰς ἐπιθυμίας ἔχει καὶ ἰσχυρὰς τὰς ἀντιτεινούσας καὶ μὴ θελούσας ἕπεσθαι τῷ λόγῳ προστάσσοντι ἀπέχεσθαι τῶν αἰσχρῶν ἡδονῶν, καὶ ἰσχυρῶς ἥττηται ὑπ' αὐτῶν, λοιπὸν ὁ ἐγκρατὴς σώφρων οὐκ ἔστιν. ὁ γὰρ σώφρων οὐδ' ὅλως ἔχει αἰσχρὰς ἡδονὰς ἐπηρεαζούσας αὐτόν, ἀλλὰ τοῦ λόγου προστάσσοντος δεῖν ἀπέχεσθαι τῶν αἰσχρῶν ἡδονῶν, εὐθὺς ἔχει τὴν ἐπιθυμίαν ἐπακολουθοῦσαν αὐτῷ καὶ μένει ἠρεμῶν. οὐ γὰρ τοῦ σώφρονός ἐστι τὸ ἄγεσθαι ἢ τὸ πολεμεῖσθαι ὑπὸ αἰσχρῶν ἡδονῶν καὶ ἰσχυρῶν, οὐδὲ τοιαύτας ἔχειν ἐπιθυμίας τοῦ σώφρονός ἐστιν. ἀγαθῶν γὰρ ὁ σώφρων [illegible] ἀλλὰ μὴν δεῖ γε, ἤτοι ἀλλὰ μὴν εἰ ὁ ἐγκρατὴς καὶ ὁ σώφρων ταὐτόν ἐστιν, ἕδει καὶ τὸν σώφρονα φαύλας καὶ ἰσχυρὰς ἡδονὰς ἔχειν, ἐπηρεαζούσας αὐτὸν παραπλησίως τῷ ἐγκρατεῖ. ἐπεὶ δὲ οὐκ ἔχει φαύλας ἡδονάς, ἕτερος ἄρα ὁ σώφρων τοῦ ἐγκρατοῦς ἐστιν, ὃ οὐκ ἐγκρατὴς ἔχει τὸν λόγον ἀντιτείνοντα καὶ διϊσχυριζόμενον μὴ ἐπακολουθεῖν τῇ ἐπιθυμίᾳ.

Μέλλει οὖν ἐνταῦθα δεῖξαι ὅτι ἡ ἐγκράτεια ἔχει ὑποκείμενα τὰς φαύλας ἐπιθυμίας καὶ ἰσχυράς, καί φησιν ὅτι εἰ τοῦ ἐγκρατοῦς ἐπιθυμίαι ἀγαθαί εἰσι, λοιπὸν ἡ ἕξις, ἤτοι ὁ λόγος ὁ κωλύων μὴ ἀκολουθεῖν τῇ ἐπιθυμίᾳ, φαύλη ἐστὶ καὶ λοιπὸν ἄρα πᾶσα ἐγκράτεια σπουδαία ἐστίν, ἤτοι ἀγαθή. ἀλλ' ἡ μὲν ἐγκράτεια, ἣ ἔχει τὸν λόγον κωλύοντα μὴ ἕπεσθαι ταῖς αἰσχραῖς ἐπιθυμίαις, ἐστὶ χρηστή, ἡ δὲ ἔχει τὸν λόγον κωλύοντα ἕπεσθαι ταῖς αἰσχραῖς ἐπιθυμίαις, φαύλη ἐστίν. εἰ δ' ἀσθενεῖς εἰσιν αἱ ἐπιθυμίαι καὶ ἀνίσχυροι, μὴ κακαὶ δέ, οὐκ ἔστι τι σεμνόν, εἰ ἔχει τὸν λόγον μὴ ἐπακολουθοῦντα τῇ ἐπιθυμίᾳ ὁ ἐγκρατής, ἀλλὰ κρατεῖ τῆς ἐπιθυμίας. τότε γὰρ ἦν σεμνόν, ὅτε μεγάλων οὐσῶν τῶν ἐπιθυμιῶν καὶ ἀγαθῶν, ἐκράτει αὐτῶν, εἰ δὲ φαῦλαι εἰσιν αἱ ἐπιθυμίαι, ἀσθενεῖς δὲ καὶ

1 κακίᾳ B: κακόν a 14 ὡς εἴπομεν] Z 13 p. 1145a1 18 ἐπιθυμίας ἔχει B: ἐπιθυμίας a 29 ἕτερος ἄρα omiserat B, mox ἕτερος tantum insertum οὖν B: γοῦν

ωικραί. οὐδὲν μέγα [illegible]στιν. ὁ τούτων κρατεῖ ὁ ἐγκρατής, μικρῶν
καὶ ὀλιγωνῶν. λέγεται οὖν περὶ μεγάλας καὶ ἰσχυρὰς ἐπιθ
μάλλον τὴν ἐγκράτειαν καταζήτεσθαι. καὶ διὰ τοῦτο καὶ ὁ ἐγκρα
μάζεται, ὡς μεγάλων ἐπιθυμιῶν καὶ ἰσχυρῶν κρατῶν. εἶπεν ὅτι
ὁ ἐγκρατὴς ἐμμενετικὸς ἐστι ὀρθῆς τῆς οἰκείας καὶ φησὶ νῦν.
ἐγκρατὴς πάσῃ ὀρθῇ ὀφείλει ἐμμένειν, λοιπόν ἐστιν ὁ ἐγκρατὴ
εἰ καὶ τῇ ψευδεῖ, ἤτοι τῇ κακῇ, ὀρθῇ ἐμμένει. εἰ γὰρ ὁ
φαύλην ἔχει ὀρθαν. ἤτοι ὅτι καλόν ἐστι τὸ μοιχεύειν, καὶ ἐπιμέ
τῇ ὀρθῇ. ὥστε φαύλη ἐστὶν ἡ ἐγκράτεια. ὥστε ὁ ἐγκρατὴς
ὀρθῇ ἐστιν ἐμμενετικός. ἀλλὰ τῇ ἀγαθῇ ὀρθῇ. καὶ πάλιν εἶπεν
ὅτι εἰ ὁ ἀκρατὴς ἐκστατικὸς πάσης ὀρθῆς. καὶ φησιν ἔνστασιν
ὅτι εἰ πάσης ὀρθῆς ἐκστατική ἐστιν ἡ ἀκρασία, ἔστι καί τις
ἀγαθή. εἰ γὰρ τις ἔχει ὀρθαν φαύλην, οἷον εἰ ὅτι καλόν ἐστι τὸ
εἶναι ὁδοποιόν. καὶ ἐκστῇ τῆς τοιαύτης ὀρθῆς καὶ οὐ πράττει τὴν
ἡ τοιαύτη ἀκρασία ἐστὶν ἀγαθή. τοῦτο δὲ ἄτοπον. ἡ γὰρ ἀκρασ
ἐστίν, ὥστε οὐ πάσης ὀρθῆς ἐκστατικὴ ἡ ἀκρασία, ἀλλὰ τῆς ἀγα
γὰρ ἔχω ὀρθαν, ὅτι καλὸν τὸ μοιχεύειν, καὶ ἐκστὰς τῆς τοιαύτ
πράττω τὴν μοιχείαν, τότε ἀκρατὴς κληθήσομαι, καὶ ὁ Νεοπτόλε
σθεὶς παρὰ τοῦ Ὀδυσσέως ὀρθαν εἶχεν ἀπατῆσαι τὸν Φιλοκτή
ὕστερον ἐκστὰς τῆς τοιαύτης ὀρθῆς καὶ οὐκ ἐμμείνας οἷς ὑπὸ τ
σέως ἐπείσθη μὴ φέρων ψεύσασθαι, ἐπαινετός ἐστιν. ἔτι ὁ σοφ
λόγος, ἤτοι ὁ σοφιστεύων, γίνεται ψευδόμενος ἀπορία. οἱ γ
σταί βουλόμενοι ἐλέγχειν τὸν ἐρωτώμενον ἐρωτῶσιν αὐτόν, ὁμο
ὅτι ἐστὶν αὐτῷ ὀρθα, ὅτι ὁ λίθος οὐχ ὁρᾷ, καὶ ἐρωτῶσιν· ἆρ
τοῦτο ὁρᾷ, τοῦ δὲ εἰπόντος ναί, ἐπάγουσιν, ἀλλὰ μὴν τὸν
ὁρᾷ, ὁ λίθος ἄρα ὁρᾷ. ὁ τοιοῦτος οὖν συλλογισμὸς ἀπορία,
νερα καὶ ὄντως, καὶ ὅταν ἐπιτυχωσι καὶ μᾶλλον πείσωσι τὸν ἐρ
ὁμολογῆσαι, ὅτι ὁ λίθος ὁρᾷ. ἀπορία γάρ ἐστιν ὅταν ἡ διανοια
λῆται ἐμμένειν τῷ συμπεράσματι, ᾧ συγκατέθετο. ὅτι ὅτι ὁ λ
μὴ ἀρεσκόμενος αὐτῷ, πρώτην δὲ ἀδύνατον διὰ τὸ μὴ ὑπάρχ
τὸν λόγον. ἤτοι τὸ σόφισμα. εἰ οὖν ἡ ἐγκράτεια ἐστι πάσης ὀρ
νετική, ἡ δὲ ἀκρασία πάσης ὀρθῆς ἐκστατική, ἐπὶ τῶν σοφιστικῶ
γισμῶν εὑρεθήσεται ἡ μὲν ἐγκράτεια φαύλη (εἶπερ μὴ αἱρεῖται
γήσας, ὅτι ὁ λίθος ὁρᾷ, ἐμμένειν τῇ τοιαύτῃ ὀρθῇ), ἡ δ' ἀκρασί
εἰ γὰρ ἐκστῇ τῆς τοιαύτης ὀρθῆς, ἤτοι τοῦ δοξάζειν, ὅτι ὁ λί
ἀγαθόν ἐστι. συμβαίνει δὲ ἐκ τούτου τοῦ λόγου, ὅτι ἡ ἀκρα
[illegible] ἀγαθὸν καὶ ἀκρατὴς [illegible] ἡ μ
[illegible] τὸ ἀγαθὸν κακόν, ἤτοι ὅτι τὸ [illegible] καλόν

3 ης B: ἐγκρατὴς a καὶ φησιν post φέρων repetit B: om. a 14
igere 19 et 21 ὀδυσσέος Ba 24. 25 ὁρᾷ τις τοῦτο B: ὁρᾷ τοῦτο
ουσιν B: ἐπάγει a post λίθον supra lin. add. τις B.
29 βούλεται B: βούλεται a 30 ἀδύνατον B: ἀδυνατεῖ a 37 τὸ B

ἀκρατής. ἐξίσταται τῆς τοιαύτης δόξης, ἤτοι τοῦ δοξάζειν, ὅτι τὸ μοι- 120r
χεύειν ἐστὶ κακόν, ὑπολαμβάνει δὲ ἀγαθὸν αὐτὸ καὶ πράττει τὸ ἀγα-
θόν. τὸ δὲ πράττειν τὸ ἀγαθὸν ἀρετή ἐστιν. ἡ γὰρ ἀκρατής, τὰ ἐναν-
τία πράττει ὧν ὑπολαμβάνει, ὡς δὲ ἄρρων δοξάζει ὅτι τὸ ἀγα-
θόν, ἤτοι τὸ μοιχεύειν, ἐστὶ κακόν. ὥστε τὰ ἀγαθὰ πράξει διὰ τὴν
ἀκρασίαν, καὶ οὐ τὰ κακά.

Ἐνταῦθα μέλλει διδάξαι, ὅτι ὁ ἀκόλαστος τιμιώτερός ἐστι τοῦ ἀκρα-
τοῦς. φησὶ γάρ, ὅτι ὁ ἀκόλαστος μὴ ἔχων τὸν λόγον ἐρρωμένον, ἤτοι μὴ
γινώσκων ὅτι κακόν ἐστι τὸ πορνεύειν, πράττει αὐτό, ἂν δὲ παρ' ἑτέρου
ἀκούσῃ, ὅτι τοῦτο κακόν ἐστιν, ἐκφεύγει αὐτό, ὁ δὲ ἀκρατὴς εἰ γινώ-
σκων, ὅτι τὸ πορνεύειν κακόν ἐστιν, οὐκ ἐκφεύγει αὐτό, πῶς ἂν παρ'
ἑτέρου ἀκούσας τοῦτο κακὸν εἶναι, ἐκφεύγει αὐτό; ὥστε λοιπὸν τιμιώ-
τερός ἐστιν ὁ ἀκόλαστος τοῦ ἀκρατοῦς. ἔτι ὁ ἀκόλαστος πράττων τὰ
ἡδέα, ἤτοι τὸ πορνεύειν, καὶ προαιρούμενος ἐν τῷ πεπεῖσθαι, ἤτοι
πειθόμενος, καὶ οἰόμενος τὸ πορνεύειν ἀγαθὸν εἶναι, ἅτε μὴ ἔχων τὸν λό-
γον ἐρρωμένον, βελτίων δόξειε τοῦ ἀκρατοῦς, τοῦ πράττοντος τὸ ἀγαθόν,
ἤτοι τὸ μὴ πορνεύειν διὰ τὸν λογισμόν, ἤτοι διὰ τὸ ἔχειν τὸν λόγον
παρεφθαρμένον. ὁ γὰρ ἀκρατὴς τὸν λόγον ἔχει ἐρρωμένον, ἀλλὰ δι'
ἀκρασίαν. ὁ γὰρ ἀκόλαστος εὐιατώτερός ἐστι διὰ τὸ δύνασθαι παραπει-
σθῆναι καὶ φυγεῖν τὸ πορνεύειν, εἰ παρ' ἑτέρου ἀκούσει, ὅτι τὸ πορνεύειν
κακόν ἐστιν. ὁ δ' ἀκρατὴς ἔνοχος τῇ παροιμίᾳ φαίνεται, ὅτι ὅταν
τὸ ὕδωρ πνίγῃ, καὶ βλάπτῃ, τί ἕτερον δεῖ πίνειν; λέγεται αὕτη ἡ παροι-
μία ἐπὶ τῶν ἀνθρώπων τῶν βλαπτομένων ἀφ' ὧν οὕτω ὠφεληθῆναι.
εἰ γὰρ ἀπὸ τῶν δυναμένων ὠφελεῖν, ἤτοι εἰ ἀπὸ τῶν ὠφελίμων πραγμά-
των, βλάπτονται, τί ἂν οὗτοι πάθωσιν ὑπὸ τῶν μὴ δυναμένων ὠφελεῖν
πραγμάτων ἀλλὰ βλάπτειν; εἰ οὖν ὁ ἀκρατὴς ἔχων τὸν λόγον ἐρρωμένον
καὶ γινώσκων, ὅτι τὸ πορνεύειν κακόν ἐστιν, οὐκ ὠφελεῖται, πῶς ἂν ὠφε-
λοῖτο, εἰ παρ' ἑτέρων ἀκούσει τόδε κακὸν εἶναι, καὶ ἐστὶν οὗτος ὁ γὰρ
ὁ ἀκρατὴς μὴ ἐπέπειστο, ἤτοι οὐκ ἐγίνωσκεν, ὅτι ὃ πράττει, ἤτοι
ὅτι τὸ πορνεύειν κακόν ἐστι ὃ πράττει, τάχα ἂν μεταπεισθείη τῷ παρ'
ἑτέρου ἀκοῦσαι, ὅτι τοῦτο κακόν ἐστιν, ἐπαύσατο τοῦ πορνεύειν, νῦν δὲ
καὶ πεπεισμένος, ἤτοι γινώσκων κακὸν εἶναι τὸ πορνεύειν, οὐδὲν ἧττον
πράττει ἕτερον, ἀλλ' αὐτό. πρὸς τὸ ἄνω ῥηθέν ἐστι τοῦτο, ἄτοπον δέ
ἐστι τὸ ἐκ δύο κακιῶν ἀρετὴν ἀπογεννᾶσθαι, ἢ μᾶλλον εἰπεῖν ἀδύνατον.
οὐδὲ γὰρ ἐκ δειλίας καὶ θρασύτητος ἀρετή τις ἀπογεννηθῇ. εἶπεν ὄπισθεν,
ὅτι λέγεται καὶ ἀκρατὴς θυμοῦ καὶ ἀκρατὴς ἐπιθυμίας καὶ ἀκρατὴς τιμῆς.
φησὶν οὖν νῦν ὅτι εἰ περὶ πάντα, ἤτοι τὸν θυμὸν καὶ τὴν τιμὴν καὶ
τὸ κέρδος καὶ ἁπλῶς περὶ πάντα ἡ ἐγκράτεια καὶ ἡ ἀκρασία καταγίνεται,
ὁ ἁπλῶς, ἤτοι ὁ κυρίως, ἀκρατὴς τίς ἐστιν; οὐδεὶς γὰρ ἔχει πάσας
τὰς ἀκρασίας ἀλλ' ὁ μέν ἐστιν ἀκρατὴς θυμοῦ, ὁ δὲ ἀκρατὴς τιμῆς, ὁ δὲ

12 ἐκφεύγει a: ἐκφύγῃ a 15 [illegible] 23 ἀφ' B: ὑφ' a 28 ἐάσει a: [illegible] ει a (cum Arist.) εἰ a et Aristoteles: om. B

ἀκρατὴς φιλοχρηματίας. εἰ οὖν ὁ μὲν ἔχει τήνδε τὴν ἀκρασίαν τοῦ θυμοῦ, ὁ δὲ τήνδε, καὶ οὐδεὶς ἔχει πάσας, λοιπὸν ὁ κυρίως τῆς τίς ἐστι; λέγομεν γὰρ ὅτι εἰσί τινες ἁπλῶς, ἤτοι κυρίως, ἀ

Πρῶτον δὲ σκεπτέον πότερον οἱ ἀκρατεῖς εἰδότες, ὅτι τὸ κακόν, πορνεύουσιν ἢ μὴ εἰδότες. καὶ | ἐὰν εἰδότες πορνεύωσι εἰδότες, ἐπιστήμην ἔχοντες ἢ δόξαν, εἰδότες εἰσίν. εἰπὼν τῶν παλαιῶν νῦν προανακρούεται τί μέλλει ζητῆσαι. περὶ ποῖα ὑποκείμενα καταγίνεται ὁ ἐγκρατὴς καὶ ἀκρατής, ἢ πᾶσαν ἡδονὴν καὶ λύπην καταγίνεται ὁ ἐγκρατὴς καὶ ὁ ἀ πάντας ὡρισμένας. τῶν γὰρ ἡδέων [illegible] ὡς τιμὴ νίκη, τὰ δὲ εἰσιν ἡδέα ὅπως. εἰπὼν ὀπισθεν ὅτι καὶ ὡς ὁ ἐγκρατὴς καὶ ὁ καρτερικός ἐστιν ὁ αὐτός, νῦν εἰ αὐτός ἐστιν ἢ ἕτερος. ὁμοίως δὲ καὶ ἄλλα τινὰ μελ [illegible] ταύτην τὴν διδασκαλίαν. πῶν ἢ κατὰ τὰ ὑποκείμενα διαφέρ ἢ κατὰ τὸν τρόπον ἤτοι καὶ κατὰ τὰ ὑποκείμενα καὶ κατὰ τὸν τρόπον, οἷον [illegible] κατὰ τὰ ὑποκείμενα (ἡ μὲν ἡδονὰς καὶ λύπας καταγίνεται, ἡ δὲ περὶ θάρρη) καὶ κατὰ τὸν [illegible] οἷς δεῖ, ἡ δὲ θαρρεῖ οἷς δεῖ). πρῶτον θεωρήσω ὁ ἐγκρατὴς καὶ ὁ ἀκρατὴς διαφοραν ἔχοντες εἰσιν, ἤτοι διαφέρου περὶ ἢ ἤτοι τὰ ὑποκείμενα καὶ περὶ ἄλλα μὲν ὑποκείμενα κατ ἐγκρατής, περὶ ἄλλα δὲ ὁ ἀκρατής, ἢ τῷ πῶς, ἤτοι κατὰ τὸν τ φέρουσι, κατὰ δὲ τὰ ὑποκείμενα οὔ, ἤτοι [illegible] ἐγκρατοῦς τῷ περὶ ταὐτὰ τὰ ὑποκείμενα εἶναι ὁ ἀκρατής, τοῦ περὶ ἕτερα ὄντος, ἤτοι διαφέρουσι κατα τα ὑποκειμενα ἢ οὐ κατα τα ὑποκείμενα. ἀλλὰ τῷ ὡς. ἤτοι κατα τον τροπον, ἢ ο τρόπον διαφέρει ὁ ἐγκρατὴς τοῦ ἀκρατοῦς. ἐστι δὲ τὸ ἀληθὲς τὰ ὑποκείμενα οὐ διαφέρουσι. καὶ ὁ ἐγκρατης γαρ και ο ακρ τα αυτα υποκειμενα καταγινονται, ἤτοι περι τα αφροδισια, ἤτοι [illegible] τον τροπον διαφερουσιν. ο γαρ [illegible] των αφροδισιων. ἤτοι των αισχρων κερδων. και [illegible] ο δ [illegible]

Ἔτι μέλλομεν ζητῆσαι καὶ εἰ περὶ ἅπαντα, ἤτοι τὸν ἐ τὴν τιμὴν καὶ τὴν νίκην καταγίνεται καὶ ὁ ἐγκρατὴς καὶ ὁ ἀκρ περὶ ἅπαντα καταγίνεται. ἔλεγε γὰρ ὅπισθεν, ὅτι ἐστὶν ἀκρα καὶ τιμῆς καὶ κέρδους. λύει οὖν τὸ ἄπορον, ὅτι οὐ [illegible] τὴν τιμὴν καὶ τὸ κέρδος καταγίνεται ὁ κυρίως ἀκρατὴς ἀλλ ἀφροδίσια καταγινεται ο κυριως ακρατης, περι α καταγινεται κ λαστος. οὔτε ἐν τῷ πρὸς τοῦτο ἁπλῶς ἔχειν, ἤτοι οὔτε

1: τί a 5 πονεύωσι B: πόρνευουσι a 9 καὶ λύπην καὶ A
τὴν a 11 ὅπισθεν] c. 2 p. 1145b14 26 ὡς B et Aristoteles: πῶς a
— κατὰ τὸν τρόπον a: om. B 33 ἅπαντα Ba et Arist. codd. KbM
[illegible] τὰ Ba: ταῦτα Aristo

τρόπον κοινωνοῦσιν. ἐπεὶ γὰρ περὶ τὰ αὐτὰ ὑποκείμενα καταγίνεται ἡ 120ᵛ
ἀκρασία καὶ ἡ ἀκολασία, εἰ καὶ κατὰ τὸν τρόπον ἐκοινώνουν, ταὐτὸ ἂν ἦν
ἡ ἀκρασία τῇ ἀκολασίᾳ, ἀλλὰ διαφέρει ἡ ἀκρασία τῆς ἀκολασίας ἐν τῷ
ὡδὶ ἔχειν περὶ τὰ ὑποκείμενα, ἤτοι κατὰ τὸν τρόπον. ὁ μὲν γὰρ ἀκρα-
5 τὴς γινώσκων, ὅτι κακαί εἰσιν αἱ αἰσχραὶ ἐπιθυμίαι, ἡττᾶται ὑπ' αὐτῶν, 35
ὁ δὲ ἀκόλαστος οὐδ' ὅλως γινώσκει, εἰ κακαί εἰσιν αἱ αἰσχραὶ ἐπιθυμίαι
ἀλλ' ὡς ἀγαθὰς αὐτὰς οἴεται. ὁρᾶς ὅπως κατὰ τὸν τρόπον διαφέρουσιν
ὁ ἀκρατὴς καὶ ὁ ἀκόλαστος· ὁ μὲν γὰρ ἔχει τὸν λόγον ἐρρωμένον, ἤτοι
ὁ ἀκρατής, ὁ δὲ ἀκόλαστος ἔχει τὸν λόγον διεφθαρμένον. ὁ μὲν γὰρ
10 ἀκόλαστος ἄγεται καὶ ἡττᾶται ὑπὸ τῶν αἰσχρῶν ἡδονῶν προαιρού- 40
μενος καὶ οἰόμενος αὐτὰς εἶναι ἀγαθόν, καὶ νομίζων ἀεὶ δεῖν
ὡς ἀγαθὸν τὸ παρὸν ἡδὺ διώκειν, ἤτοι ἐπιζητεῖν, ὁ δὲ ἀκρατὴς
οὐκ οἴεται εἶναι τὸ πορνεύειν ἀγαθὸν ἀλλὰ κακόν, διώκει δὲ αὐτό, 45
ἤτοι ἐπιζητεῖ ἄκων καὶ ἀπροαιρέτως ὑπὸ τῆς αἰσχρᾶς ἐπιθυμίας
15 ἡττώμενος.

Ὅπισθεν εἶπεν ὅτι ὁ ἀκρατὴς οὐκ ἐπιστήμην ἔχει ἀλλὰ δόξαν. εἰ
γὰρ εἶχεν ἐπιστήμην, οὐκ ἂν παρέσφηλεν· ἡ γὰρ ἐπιστήμη ἄπταιστός
ἐστιν. ἐπεὶ δὲ παρασφάλλει ἡττώμενος ὑπὸ τῆς ἐπιθυμίας, λοιπὸν ἔχει
δόξαν. ἡ γὰρ δόξα πταιστή ἐστι καὶ ἀβέβαιος. φησὶν οὖν πρὸς τοῦτο,
20 ὅτι κἂν λέγωμεν, ὅτι ὁ ἀκρατὴς δόξαν ἔχει καθ' ἣν ἀκρατεύεται, καὶ
οὐχὶ ἐπιστήμην, οὐδὲν διαφέρει, ταὐτὸν γάρ ἐστιν. εἰ μὲν γὰρ πᾶσα
δόξα ἦν πταιστὴ καὶ ἀβέβαιος, οὐ καλῶς ἂν ἔλεγον ὅτι δόξαν ἔχει ὁ ἀκρα-
τής, καὶ οὐκ ἐπιστήμην. ἐπεὶ δέ ἐστι δόξα ἄπταιστος καὶ βεβαία οὐδὲν 50
ἧττον τῆς ἐπιστήμης, λοιπὸν οὐ καλῶς λέγουσιν. εἴτε γὰρ δόξαν λέγουσιν
25 ἔχειν τὸν ἀκρατῆ εἴτε ἐπιστήμην, οὐδὲν διαφέρει, ἐπεί ἐστι καὶ δόξα
ἄπταιστος οὐδὲν ἧττον τῆς ἐπιστήμης. τινὲς γὰρ τῶν δοξαζόντων οὐ
διστάζουσι καὶ ἀμφιβάλλουσιν οἷς δοξάζουσιν, ἀλλ' οἴονται ἀκριβῶς
εἰδέναι, ὡς ὁ Δημόκριτος ἐδόξαζεν, ὅτι τὰ σώματα ἐκ τῶν ἀτόμων
εἰσί, καὶ ἀκριβῶς δοξάζειν ἔλεγεν. εἰ οὖν οἱ δοξάζοντες διὰ τὸ ἠρέμα
30 πιστεύειν, ἤτοι διὰ τὸ ἔχειν δόξαν ἀσθενῆ | καὶ ἀμυδρὰν πίστιν περὶ 121ʳ
τοῦ πράγματος πράττουσι παρὰ τὴν ὑπόληψιν, ἤτοι δόξαν, τουτέστι
πταίουσι καὶ παρασφάλλονται μᾶλλον ἢ οἱ ἐπιστήμονες· καὶ οὐ διὰ
τοῦτο διαφέρει δόξα καὶ ἐπιστήμη, ἐπεί ἐστι καὶ δόξα ἄπταιστος.
ἔνιοι γὰρ πιστεύουσιν οἷς δοξάζουσιν οὐδὲν ἧττον παρὸ ἕτεροι, 5
35 ἤτοι οἱ ἐπιστήμην ἔχοντες πιστεύουσιν, οἷς ἐπίστανται. δηλοῖ δὲ καὶ
Ἡράκλειτος, ὅτι ἐστὶ βέβαιος καὶ ἰσχυρὰ δόξα καὶ οὐ πᾶσα δόξα ἐστὶν
ἀσθενής. ἐκεῖνος γὰρ δοξάζων, ὅτι κίνησις οὐκ ἔστιν, ἔλεγεν ὅτι ἀκριβῶς
οἶδα, δείξας ὅτι κἂν δόξαν ἔχειν λέγωσι τὸν ἀκρατῆ κἂν ἐπιστήμην, τῷ
αὐτῷ ἀτοπήματι ἐμπίπτουσι.

---

16 ὅπισθεν] c. 3 p. 1145ᵇ35 18 παρασφάλλει B: παρασφάλλη a 22 οὐ καλῶς a: τοῦ καλοῦ mox rubro nescio quid correctum B 32 ἢ οἱ ἐπιστήμονες B: τῶν ἐπισταμένων, πόσῳ μᾶλλον οἱ ἐπιστήμονες πράττουσιν. οὐ γὰρ πταίουσι μᾶλλον οἱ ἐπιστήμονες a
36 βέβαιος B: βεβαία a 38 οἶδα B: οἶδε a

Νῦν τὸ πῶς οἶδε ὁ ἀκρατὴς διὰ τεσσάρων ἐπιχειρήμα-
οὖν, ὅτι τὸ ἐπίστασθαι δύο σημαίνει· λέγεται γὰρ καὶ ἐπιστήμ-
τὴν μὲν καὶ τὴν ἐπιστήμην, μὴ χρώμενος δὲ τῇ ἐπιστήμ-
ἐνεργῶν δὲ κατὰ τὴν ἐπιστήμην· λέγεται καὶ ἐπιστήμων ὁ ἔχω-
τῆς γεωμετρίας καὶ τὴν ἐπιστήμην καὶ χρώμενος ταύτῃ, ἤτ-
κατὰ τὴν οἰκείαν ἐπιστήμην. διαφέρει οὖν τὸ πταῖσαί τινα ἐ-
ἔχοντα μὲν τὴν ἐπιστήμην μὴ θεωροῦντα δέ, ἤτοι μὴ ἐνερ-
κατὰ τὴν ἐπιστήμην, καὶ τὸ πταίσαι τὸν ἐπιστημονα, ἔχοντα μὲ-
στήμην καὶ θεωροῦντα, ἤτοι καὶ ἐνεργοῦντα κατὰ τὴν ἐπιστ-
τὸ πράττειν αὐτὸν ἐν τῷ ἐνεργεῖν ἃ μὴ δεῖ ποιεῖν τοῦ καὶ ἔχ-
ἐπιστημην καὶ θεωροῦντα, ἤτοι ἐνεργοῦντα. τοῦτο γάρ ἐσ-
καὶ ἄτοπον. τὸ ἐὰν τις ἔχων τὴν ἐπιστήμην καὶ ἐνεργῶν π-
παρασφάλλῃ, ἀλλ' οὐκ ἔστιν ἄτοπον οὐδὲ δεινόν, ἐάν τις παρασφα-
μὲν τὴν ἐπιστήμην μὴ θεωρῶν δέ, ἤτοι μὴ ἐνεργῶν δέ, οἷον
γραμματικὴς μὲν ἔχει τὴν ἐπιστήμην, οὐκ ἐνεργεῖ δὲ περὶ αὐ-
στερον τι τοσοῦ καὶ περὶ αὐτὸ τὸν νοῦν ἔχει, ἐρωτηθεὶς τὸ
τὸ ο . καὶ π μεγα , οὐκ ἔστιν ἄτοπον, ἀλλ' ἄτοπον εἰ τὸ ἐσ-
τικὸς καὶ ἐνεργῶν ὡς γραμματικὸς πταίσει. καὶ ὁ ἀκρατὴς ἔχ-
ἐπιστημην, ὅτι κακόν ἐστι τὸ πορνεύειν, οὐκ ἐνεργεῖ δὲ περὶ οὗ
ὑπέρκειται τοῦτο. καὶ εἰ ἐπιστήμην ἔχει μὲν οὐκ ἐνεργεῖ δέ, ο-
ἄτοπον· ὁ παρασυρεὶς ὑπὸ τῆς ἐπιθυμίας πορνεύσει.

Πάσων ἐπιχείρημα ὅτι δύο τρόποι εἰσὶ τῶν προτάσεων.
προτάσεων ἡ μέν ἐστι καθόλου, ἡ δὲ μερική. εἴ τις μὲν οὖν γι-
καθόλου πρότασιν, καὶ τὴν μερικὴν ἐξ ἀνάγκης δυνάμει γινώσκ-
γεῖν. ἡ γὰρ μερικὴ πρότασις ὑπὸ τῆς καθόλου προτάσεως π-
οὖσαν οὐ κωλύει πράττειν παρὰ τὴν ἐπιστήμην· ἤτοι παρ-
καὶ πεπόνθαμεν ἔργα μὲν ἀντιπάρας τὰς προτάσεις· καὶ τὴ-
καὶ τὴν μερικήν, καὶ χρώμενον μὲν τῇ καθόλου, ἤτοι ἐνεργ-
τὴν καθόλου καὶ ταύτην γινώσκοντα ἐνεργείᾳ, ἀλλὰ μὴ χρώμενο-
κῇ, ἤτοι μὴ ἐνεργοῦντα περὶ τὰ μερικά, ἀλλὰ δυνάμει ταύτην γ-
τὰ γὰρ καθ' ἕκαστα πρακτά εἰσιν, ἤτοι περὶ τὰ μερικὰ πᾶς ἐ-
περὶ τὰ καθόλου. καὶ ἅπαξ περὶ τὰ μερικὰ ἐνεργεῖ. διὰ τοῦτο
σαλλει τὴν μερικὴν πρότασιν ἀγνοῶν. εἰ γὰρ γινώσκει μὲν κα-
πᾶς ἐλλέβορος θανατηφόρος ἐστὶ καὶ καθαίρει, ἀγνοεῖ δὲ τὸ μερ-
τοῦ ἐλλέβορός ἐστιν, οὐκ παρασυρεὶς προτάσεων τούτων ὡς
οὐδὲν ἄτοπον. ἀλλὰ τοῦτ' ἔστιν ἄτοπον, ὅταν γινώσκων τὸ μερ-
ὅτι τοῦτο ἐλλέβορός ἐστι καὶ προσφερῇ τοῦτον τινι. διαφέρει δ-
καθόλου. τὸ μὲν γάρ ἐστιν ἐφ' ἑαυτοῦ. τὸ δὲ ἐπὶ τοῦ πρ-
ει οὖν ἐφ' ἑαυτοῦ μέν ἐστι τὸ καθόλου, τότε ἐξ ἀνάγκης γιν-

10 post ποιεῖν add. τὸν ἐπιστήμονα a: om. B τοῦ Arist.: τὸν Ba
ni. Diels 21 δυνάμει γινώσκει B: γινώσκει δυνάμει a 28 μὲν s
μένοι Aristoteles) 30 ταύτην B: ταύτας a 32 περὶ (alterum) B:

τὴν μερικήν. ἑαυτὸν γὰρ πάντως οὐδεὶς ἀγνοεῖ· οἷον ὅτι παντὶ ἀνθρώ- 121r
πῳ συμφέρει τὰ ξηρά, καθόλου πρότασίς ἐστιν ἐφ' ἑαυτοῦ, καὶ διὰ 45
τοῦτο ἐξ ἀνάγκης γινώσκειν μέλλει καὶ τὴν μερικήν. οἶδα ὅτι ἐγὼ ξηρός
εἰμι, καὶ διὰ τί ἐμοὶ συμφέρει τὰ ξηρά· ἢ οὗτος ξηρός ἐστιν, ἐπεὶ καὶ
ἄνθρωπός ἐστι, καὶ διὰ τοῦτο συμφέρει αὐτῷ τὰ ξηρά. καὶ πάλιν ἑτέρα
πρότασις καθόλου ἐφ' ἑαυτοῦ· ὅτι παντὶ ἀνθρώπῳ συμφέρει τὰ δίκαια
πράττειν· ἐξ ἀνάγκης οὖν γινώσκειν μέλλει καὶ τὰ μεριά, ὅτι καὶ ἐγὼ 50
ἄνθρωπός εἰμι· συμφέρει ἄρα καὶ ἐμοὶ καὶ τὰ δίκαια πράττειν. ὅταν δὲ
ἐπὶ τοῦ πράγματος ᾖ τὸ καθόλου, οἷον ὅτι πᾶν ξηρὸν τοιόνδε ἐστίν,
ἤτοι ὠφέλιμον, οὐκ ἐξ ἀνάγκης μέλλει γινώσκειν τὸ μερικόν, ἢ τὸ ὅτι
ξηρὸν τὸ τοιόνδε. παράδειγμά ἐστι τοῦ καθόλου τοῦ ἐπὶ τοῦ πράγματος·
ὅτι πᾶν μὲν τὸ ξηρὸν τοιόνδε, ἤτοι ὠφέλιμόν ἐστι, γινώσκει, ἀλλὰ τὸ με-
ρικόν, ὅτι τόδε τὸ ὁρώμενον τοιόνδε ἐστίν, ἤτοι ξηρόν, οὐκ ἐξ ἀνάγκης
μέλλει γινώσκειν, ἀλλ' εἰ τόδε τὸ ὁρώμενόν ἐστι τοιόνδε, ἤτοι ξηρόν. ἢ
οὐκ ἔχει, ἤτοι ἢ | οὐ γινώσκει, ἢ εἰ καὶ γινώσκει, ἀλλ' οὐκ ἐνεργεῖ 121v
περὶ αὐτό. ὁμοίως δὲ καὶ τὸ πᾶς ἑλλέβορος καθαίρει γινώσκει μέν, ἀλλ'
εἰ τόδε ἑλλέβορός ἐστιν, οὐκ ἐξ ἀνάγκης μέλλει γινώσκειν. τὸ πᾶς ἑλλέβο-
ρος καθόλου· καθόλου ἐστὶν ἐπὶ τοῦ πράγματος. κατὰ τοὺς δὲν οὖν
τρόπους τῶν προτάσεων, ἤτοι τὴν καθόλου καὶ μερικήν, διαφέρειν ὁμοί-
ως ὅσον, ἤτοι κατὰ πολύ, ὥστε δοκεῖν οὐδὲν ἄτοπον, οὕτως μὲν 5
εἶναι, ἤτοι παρασφάλλειν καὶ πταίειν, εἰ τὸ καθόλου γινώσκει, τὸ δὲ με-
ρικὸν ἀγνοεῖ. κατὰ γὰρ τὸ καθόλου οὐδεὶς ἀγνοεῖ, ἀλλὰ κατὰ τὰ μερικά,
καὶ διὰ τοῦτο εἰ ἀγνοῶν τις τὴν μερικὴν πρότασιν παρασφάλλει, οὐδὲν
ἄτοπον. θαυμαστὸν δέ ἐστι καὶ παράξενον ἄλλως, ἤτοι εἰ γινώσκων
τις καὶ τὸ καθόλου καὶ τὸ μερικὸν παρασφάλλει. καὶ ὁ ἀκρατὴς οὐδὲν
ἄτοπόν ἐστιν. εἰ γινώσκει μὲν τὸ καθόλου, ὅτι τὸ μοιχεύειν κακόν ἐστι.
τὸ δὲ μερικὸν ἀγνοῶν καὶ ὑπὸ τῆς ἐπιθυμίας ἡττώμενος, ὡς ἀγαθὸν οἴε- 10
ται εἶναι τὸ μοιχεύειν, παραπταίει καὶ μοιχεύει.

Ἔτι ἕτερον ἐπιχείρημά τι ἴσον αὐτὸ μὲν ὂν τῷ πρώτῳ ἐπιχειρήματι. 20
διαφέρει δέ, διότι ἐκεῖ μὲν εἶχε τὴν ἐπιστήμην, [illegible]λῶν δὲ οὐκ ἐνεργεῖ.
ἐνταῦθα δὲ ἔχει μὲν τὴν ἐπιστήμην, ἄκων δὲ οὐκ ἐνεργεῖ. ὑπὸ γὰρ τῆς
ῥᾳθυμίας ἢ τοῦ ὕπνου κωλύεται ἐνεργῆσαι. ἔστι δὲ παρ[illegible]ποις τὸ ἔχειν τὴν ἐπιστήμην κατὰ ἄλλον τρόπον τῶν δύο ἐπιχειρημάτων
τῶν νῦν ῥηθέντων. ἐν τῷ γὰρ ἔχειν μὲν τὴν ἐπιστήμην, μὴ χρῆ- 25
σθαι δέ, ἤτοι μὴ ἐνεργεῖν δὲ κατ' αὐτὴν τῷ κωλύσθαι, ὁρῶμεν τὴν
ἕξιν διαφέρουσαν, ὥστε καὶ ἔχειν πως τὴν ἕξιν καὶ μὴ ἔχειν. οἷον ὁ 25
καθεύδων, εἰ ἔστι γεωμέτρης, καὶ ἔχειν τὴν ἐπιστήμην ῥηθήσεται καὶ μὴ
ἔχειν. ᾗ μὲν γὰρ ἔχει τὴν ἕξιν, ῥηθήσεται ἐπιστήμων, ἤτοι ἔχων τὴν
ἐπιστήμην, ᾗ δὲ κωλύεται ὑπὸ τοῦ ὕπνου, ὥστε ἐνεργεῖν κατὰ τὴν ἐπι-
στήμην, οὐκ ἐπιστήμων ῥηθήσεται μηδὲ ἔχειν ἐπιστήμην. ὁμοίως δὲ καὶ

1 παντὶ Aristot.: τὸ παντὶ B: τῷ παντὶ a 6 πρότασις B: πρότασιν a 21 εἶναι Ba et Aristot. codd. LbOb: εἰδέναι Aristot. vulg. 22 ἀγνοεῖ B: ἐνεργεῖ a 29 ἔτι B: om. a 37 ἔχειν scripsi: ἔχει Ba 40 ἐπιστήμην a: ἐπιστήμων B

ὁ οἰνωμένος, ἤτοι ὁ μεθύων, καὶ ὁ μαινόμενος καὶ ἔχειν τὴν ἐπιστ
ῥηθήσεται καὶ μὴ ἔχειν, εἰ γεωμέτρης ἐστίν. ἡ μὲν γὰρ ἕξις τ
στήμην καὶ τὴν ἕξιν, ῥηθήσεται ἔχειν ἐπιστήμην, ἡ δὲ κωλύεται
μέθης ἢ τῆς μανίας, ὥστε μὴ ἐνεργεῖν κατὰ τὴν οἰκείαν ἐπιστήμ
ἔχειν τὴν ἐπιστήμην ῥηθήσεται. ἀλλὰ καὶ οἱ ἐν τοῖς παίδεσιν
ἤτοι οἱ τοῖς ἀφροδισίοις κατεχόμενοι ἢ ὑπὸ τοῦ θυμοῦ, οὕτω διατ
των ὡς οἱ μεθύοντες καὶ οἱ μαινόμενοι. κεκαρωμένοι γὰρ καὶ οὗ
μεθύοντες ὑπὸ τῶν ἀφροδισίων εἰσὶ καὶ ὥσπερ μαινόμενοι, ὁμο
καὶ ὑπὸ τοῦ θυμοῦ. οἱ θυμοὶ γὰρ καὶ αἱ ἐπιθυμίαι τῶν ἀφροδισ
μόνον τὴν ψυχὴν ἀλλοιοῦσι καὶ οἱονεὶ μεθύειν αὐτὴν παρασκευά
ἀλλὰ φανερῶς τὸ σῶμα μεθιστῶσιν, ἤτοι ἀλλοιοῦσιν. εἰ γάρ
μῷ κατέχεται, ἴδοις ἂν τοὺς ὀφθαλμοὺς αὐτοῦ ἐρυθρούς, ὁμοίως
εἰ ἐρᾷ· ἴδοις ἂν τὸ πρόσωπον αὐτοῦ ὠχρόν. ὁμοίως δὲ καὶ οἱ
τες ὑπὸ τοῦ ὑπερβολικοῦ ἔρωτος εἰς μανίαν ἐτράπησαν καὶ ἐξεστ
ἐγένοντο. δῆλον οὖν ὅτι οἱ ἀκρατεῖς ὁμοίως ἔχουσι τούτοις τοῖς
ουσι καὶ τοῖς μαινομένοις. ὥσπερ γὰρ οἱ μεθύοντες καὶ οἱ μαι
ἔχουσι μὲν τὴν ἐπιστήμην, κωλύονται δὲ ὑπὸ τῆς μέθης ἢ τῆς
καὶ ἐνεργῆσαι κατὰ ταύτην, οὕτω καὶ οἱ ἀκρατεῖς ἔχουσι μὲν τὸν
ἐρρωμένον καὶ γινώσκουσιν, ὅτι κακόν ἐστι τὸ πορνεύειν, κωλύονται
τῆς σφοδρᾶς ἐπιθυμίας, τῆς αἰσχρᾶς, ἐνεργῆσαι καθὼς ὁ λόγος προσ
οἱ δὲ καὶ λέγουσιν οἱ ἀκρατεῖς τοὺς λόγους τοὺς ἀπὸ τῆς ἐπ
μης (ἐπιστάμενοι γὰρ οἱ ἀκρατεῖς ὅτι κακὸν τὸ μοιχεύειν, λέγουσ
κακόν ἐστι τὸ μοιχεύειν), οὐδὲν σημεῖον, ἤτοι οὐδὲν πρὸς τὸν
καὶ γὰρ οἱ ὄντες ἐν τοῖς παίδεσι τούτοις. ἤτοι ἐν τῇ μέθῃ ἢ ἐν
ἤτοι οἱ μεθύοντες καὶ οἱ μαινόμενοι, λέγουσιν ἀποδείξεις. ἤτοι ὑπὸ
κοὺς συλλογισμοὺς καὶ λόγους τοῦ Ἐμπεδοκλέους, οὐ νοοῦσι δὲ τί
σιν. ὁμοίως δὲ καὶ οἱ παῖδες οἱ νῦν πρῶτον ἀρξάμενοι μανθάνειν
ρουσι μὲν καὶ λέγουσι "μῆνιν ἄειδε θεά", οὔπω δὲ ἴσασι καὶ νο
λέγουσι. δεῖ γὰρ συμφῦναι, ἤτοι δεῖξιν λαβεῖν πρῶτον τῶν μο
των καὶ οἱονεὶ φύσιν γενέσθαι τὴν ἕξιν ἐν αὐτοῖς, καὶ οὕτως ἕξου
τὸ νοεῖν ἃ λέγουσι. τοῦτο δέ, ἤτοι τὸ λαβεῖν ἕξιν τῶν μαθημάτω
χρόνου πολλοῦ καὶ κόπου γίνεται. καὶ καθάπερ οἱ ὑποκρινόμενοι
μὲν ἔπη τοῦ Ὁμήρου, ὑπεισδυόμενοι πρόσωπον Ἕκτορος ἢ Ἀχιλλέ
μένοι γε δὲ νοοῦσι τί λέγουσιν, οὕτω καὶ οἱ ἀκρατεῖς λέγουσι μέ
κακόν ἐστι τὸ μοιχεύειν, σκοτιζόμενοι δὲ ὑπὸ τῶν αἰσχρῶν ἡδο
δύνανται νοῆσαι τί λέγουσι, καὶ ἐπεὶ οὐ νοοῦσι τί λέγουσιν, οὐκ
στιν. εἰ παρασφάλλουσι, καὶ τὴν μοιχείαν ὡς | ἀγαθὸν νομίζο
πράττουσι. τοῦτο οὖν τὸ ἐπιχείρημα ὁ Ἀριστοτέλης μᾶλλον τῶν
ἐπιχειρημάτων ἀποδέχεται.

---

11 μεθιστῶσιν Ba et Arist. cod. M^b: μεθιστᾶσιν Arist. vulg. 18 καὶ ἐν
ἐνεργῆσαι a 20 αἰσχρᾶς ἐπιθυμίας τῆς σφοδρᾶς a 28 μῆνιν] Homer. I
39 συμφύναι B: συμφυῆ εἶναι a 31 τοῦτο Ba et Arist. codd. K^b
Arist. vulg

Τῶν δοξῶν ἡ μέν ἐστι καθόλου, ἡ δὲ ἑτέρα περὶ τὰ καθ' ἕκαστα, 122r
ἤτοι μερικά, ὧντινῶν τῶν μερικῶν τῶν μὲν ὁρατῶν ἡ αἴσθησις, ἤτοι
ἡ ὅρασις, ἐστὶ κυρία καὶ ἀντιληπτική. ὅταν δὲ μία γένηται ἐξ αὐ-
τῶν συμπλακέντων, τῆς τε καθόλου καὶ τῆς μερικῆς, ἤτοι ὅταν δὲ μίξῃς 15
τὴν μερικὴν δόξαν καὶ τὴν καθόλου καὶ συλλογίζῃ, ἀνάγκη ἐπί τινων φά-
ναι, ἤτοι ὁμολογεῖν καὶ φάσκειν τὸ συμπέρασμα, οἷον ὅταν ὦσιν αἱ προ-
τάσεις διανοητικαί, οἷον ὁ Σωκράτης ἄνθρωπος, ὁ ἄνθρωπος ζῷον, ὁ Σω-
κράτης ἄρα ζῷον. ἐνταῦθα οὐ δεῖ πρᾶξαι τὸ συμπέρασμα, ἐν δὲ ταῖς
ποιητικαῖς, ἤτοι εἰ δὲ ὦσιν αἱ δόξαι ποιητικαί, ἤτοι πρακτικαί, οὐ δεῖ
τὸ συμπέρασμα φάναι ἀλλὰ πρᾶξαι, οἷον εἰ εἶπω, τόδε γλυκύ ἐστι, παν- 20
τὸς δὲ γλυκέος ἀπογεύεσθαι δεῖ· ὡς ἕν τι, ἐπεὶ τὸ συμπέρασμα ἀπὸ τῶν
καθ' ἕκαστα, ἤτοι μερικῶν ἐστι καὶ πρακτῶν, ἀνάγκη τὸν συλλογιζόμενον
εἴ που δύναται καὶ οὐ παρά τινος κωλύεται καὶ ἐμποδίζεται, ἅμα τοῦτο
πρᾶξαι καὶ ἀπογεύσασθαι τοῦδε τοῦ γλυκέος. ὅταν οὖν ἡ μὲν καθόλου
δόξα κωλύῃ ἀπογεύεσθαι, ἡ λέγουσα, ὅτι οὐδενὸς γλυκέος ἀπογεύεσθαι δεῖ, 25
ἡ δ' ἄλλη, ἤτοι ἡ καθόλου δόξα λέγῃ πᾶν τὸ γλυκὺ ἡδύ, ἔστι δὲ
καὶ μερικὴ δόξα, ὅτι τόδε γλυκύ· αὕτη δὲ ἡ μερικὴ δόξα ἐνεργεῖ, ἤτοι
περὶ αὐτὴν τὴν μερικὴν δόξαν ἅπασαν ἐνεργεῖ. τύχῃ δὲ καὶ ἐπιθυμία
ἐνοῦσα καὶ ἡ ἀναγκάζουσά σε τοῦδε τοῦ γλυκέος ἀπογεύεσθαι. ἡ μέν,
ἤτοι ἡ καθόλου δόξα, ἡ λέγουσα, ὅτι οὐδενὸς γλυκέος ἀπογεύεσθαι δεῖ, 30
κελεύει φεύγειν τόδε τὸ ἡδὺ καὶ μὴ ἀπογεύεσθαι τούτου, ἡ δὲ ἐπιθυ-
μία ἄγει καὶ παρακινεῖ σε καὶ ἄκοντα ἀπογεύσασθαι τοῦδε τοῦ γλυκέος.
ἡ γὰρ ἐπιθυμία οὐ μόνον παρακινεῖ τὴν ψυχὴν ἀλλὰ καὶ ἕκαστον τῶν
μορίων τοῦ σώματος κινεῖ, ὥστε καταντῆσαι καὶ φθάσαι εἰς τὸ ὀρεκτὸν
καὶ τούτου ἀπογεύσασθαι. ὥστε συμβαίνει ὑπὸ τοῦ λόγου τοῦ καθόλου,
ὅτι οὐδενὸς γλυκέος ἀπογεύεσθαι δεῖ, καὶ ὑπὸ τῆς δόξης τῆς μερικῆς,
ὅτι τόδε γλυκύ ἐστιν, ἀκρατεύεσθαί πως. εἶπε δὲ τὸ πως ἵνα δείξῃ, ὅτι
οὐκ ἀμέσως ἀκρατεύεται ὑπὸ τοῦ λόγου τοῦ καθόλου καὶ τῆς μερικῆς
δόξης, ἀλλὰ διὰ μέσης τῆς ἐπιθυμίας, ἡ ἐναντία ποιεῖ τὴν δόξαν τὴν κα-
θόλου καὶ τὴν μερικήν. οὐκ ἐναντία δέ ἐστι καθ' αὑτὸ ἡ δόξα ἡ με-
ρική, ἡ λέγουσα ὅτι τόδε γλυκύ ἐστι, τῷ λόγῳ τῷ καθόλου, τῷ λέγοντι
οὐδενὸς γλυκέος ἀπογεύεσθαι δεῖ. ποιὰν γὰρ ἐναντιότητα ἔχουσι, γίνονται
δὲ ἐναντία κατὰ συμβεβηκός. διότι γὰρ συμβέβηκε τῇ ἐπιθυμίᾳ συνελ-
θεῖν τῇ μερικῇ δόξῃ καὶ καταναγκάσαι τὴν γεῦσιν γεύσασθαι τοῦδε τοῦ
γλυκέος, τούτου χάριν εἰσὶν ἐναντία ἡ δόξα ἡ μερικὴ καὶ ἡ καθόλου. ἡ
γὰρ ἐπιθυμία ἐστὶν ἡ ποιοῦσα ταῦτα ἐναντία, ἤτοι τὸν λόγον τὸν καθό-
λου καὶ τὴν δόξαν τὴν μερικήν, ἀλλ' οὐχὶ ἡ δόξα ἡ μερικὴ αὐτὴ καθ'
αὑτήν ἐστιν ἐναντία τῷ ὀρθῷ λόγῳ, ἤτοι τῷ καθόλου. ὥστε ὁ ἀκρα-
τὴς ἔχει μὲν τὸν λόγον τὸν καθόλου, ὅτι κακόν ἐστι τὸ μοιχεύειν, καὶ

2 μερικά B: μερική a 11 ἕν τι a et Aristoteles: ὄντι B 15 κωλύῃ B: κωλύει a 16 λέγῃ B: λέγει a 17 μερικὴ B: ἡ μερικὴ a 17 et 18 ἐνεργεῖ a: ἐνεργῇ B 22 σε B: om. a 36 ἐναντία B: ἐναντίαι a

γινώσκει καὶ τὸ μερικόν. ὁ γὰρ μοιχὸς ὑπὸ δὲ τῆς ἐπιθυμίας παρακινεῖται καὶ μοιχεύει. ὥστε καὶ τὰ ὕηρια διὰ τοῦτο οὐ ἀκρατῆ, ὅτι οὐκ ἔχουσι τὴν καθολικὴν ὑπόληψιν, ἣτοι γνῶσ τοῦ λόγου τοῦ καθόλου, ἀλλὰ τῶν μερικῶν ἔχουσι μνήμην ἢ φα οὐκ ἐστὶν ἐνέργεια τοῦτο τῷ βοῦνυμ. διὸ καὶ ἐκποτε ὧν τον κινεῖσθαι ὅτι ἐκεῖ ἔπεσε καὶ ἀπεσώθη αὐτόν. ὁ δὲ ἀκρατὴς τ τὸν καθόλου ἔχων ὅτι τῆς ἐπιθυμίας ἀκρατεύεται καὶ παρήνε καὶ οὐκ ἀρκεῖ αὐτὸν ἐν τῇ μοιχείᾳ.

Πῶς δὲ λύεται ἡ ἄγνοια τοῦ ἀκρατοῦς. ὁ αὐτὸς λόγος. ἡ αὐτὴ αἴτιά ἐστι. καὶ ὑπὸ τοῦτο τοῦ πάθους. ἣτοι τῆς ἀκρασ οὐκ ἔθους. ἣτοι οὐχ ἕτερος ὢν ὁ αὐτὸς ἐστιν. ὃς ἦν καὶ ὑπ ἀκρατὴς. ὅτανα δὲ τοῦ νόμου. ἣτοι ἦ τινα ὅτι τῆς αὐτῶν. δεῖ ἀναπόδρα καὶ παθεῖ παρ' αὐτοῦ. ἐκεῖνος γὰρ ὁ φυσιολόγος οὐδεὶ πόσα νόμου τῆς ὀργῆς πάσχει καὶ ποια δυναμις αὐτῆς ὥστερ καὶ ὁ τὸ ὕστ γραμματικὸς. εἶτα πάλιν. ἀνάργυνον θαλ καὶ ὁ νῦν συναπτίζουσι τὸ μερικὸ ὁ ἐπιστατὴ ἡ ἀναλυτικὴ ἀπὸ τὰ γραμματικὸς ἐνεργῆσαι, μετὰ δὲ τὸ λυθῆναι τὴν ἀναλ τοῦτο καὶ διορθῆ. οὕτω καὶ ἐπὶ τοῦ ἀκρατοῦς· γινώσκει μέν. ὅ ἐστι τὸ συμπέρασμα. ὑπὸ δὲ τῆς ἐπιθυμίας τῆς ὀργῆς καρδίαι ὁ τοῦ καὶ ἀπολύεται τὴν συναγωγὴν καὶ ἐπίστημην. μέχρις ο ἡ ἐπιθυμία ἡ συλλογ. μετὰ δὲ τὸ διαλυθῆναι τὴν ἐπιθυμίαν ἐκεῖ συλλογίζεσθαι δύναται καὶ ἡ ὀργὴ καὶ πάλιν τὴν ἐπιστήμην τ τοῦ. ἡ ὀργὴ παρὰ τοῦ συμπέρασμα. ἀποκαλύπτουσι. ὅτι καὶ ἐστ γένεσιν. ἴσως δὲ ἡ τελευταία πρότασις, ἣτοι ἡ μερικὴ ὑπόλ ἐστι τοῦ ἀκρατοῦς. ἣτοι τοῦ μερικοῦ. αὕτη δὲ ἡ μερικὴ ὑπόλ ἐστιν. ἣτοι ἀρχὴ τῶν πράξεων. ταύτην δὲ τὴν μερικὴν ὑπόλ καὶ ἐστι τὸ συμπέρασμα ἡ οὐκ ἔχει. ἣτοι οὐ γινώσκει ὁ ἀκρατὴς παθῶν. ἣτοι ὅτι οὐ συμπέρασμα ἡ πρᾶξις. ἔχει οὖσαν ὥστε οὐκ ἀκρασίαι. ἣτοι ὥστε μὴ ἐπίστασθαι αὐτὸν καὶ γινώσκειν καὶ ὅτι ὥσπερ ὁ παθὼν λόγον οὐ τὰ ὑπὸ τοῦ Πυθαγόρου καλοῦσι. πρᾶττον δὲ ὁ λόγος. οὕτως καὶ ὁ ἀκρατὴς λόγον ἔχει. ὅτι ἡ μοχ καὶ. ἐστιν. ὅτι γινώσκει δὲ ὁ λόγος. καὶ ὅτι τὸ μὴ ἐκεῖ τὸν ἔθους. ἣτοι τὴν μερικὴν πρότασιν ἐπιστάμενος μηδὲ ὅλως αὐτὴν ἐ στερητικὴν ἕξιν τοῦ καθόλου. ἡ γὰρ ἐπιστήμη τῶν καθόλ οὐ τῶν μερικῶν. καὶ διὰ τοῦτο οὐκ ἔστιν ἐπιστημονική. οὐκ ἔσ πάλιν ἡ ἐπιστήμη ἡ ἔχων. ὅτι τόδε κακὸν ἐστι. παρασκάλλει κ ὁ ἀκρατὴς. ἐπεὶ γὰρ ἡ ἐπιστήμη τῶν καθόλου ἐστίν, οὐκ ἐνερ τοῦ καθόλου. ἀλλὰ τὰ μερικά. τῶν δὲ μερικῶν ἐπιστήμη ο περὶ δὲ τὰ μερικὰ σφάλλει ὁ ἀκρατής, οὐ περὶ τὰ καθόλου. ὅ ἄτοπον εἰ σφάλλει ὁ ἀκρατὴς οὐκ ἐπιστήμην ἔχων. τότε γὰρ ἦν

τὸ μερικὸν a — παρακινεῖται B: κινεῖται a — ὁ βοῦνυμ

εἰ περὶ τὰ καθόλου ἐσφάλη, ὧν καὶ τὴν ἐπιστήμην ἔχει· ἐπεὶ δὲ περὶ 122v
τὰ μερικὰ σφάλλει, οὐδὲν ἐστιν ἄτοπον. τῶν γὰρ μερικῶν ἐπιστήμη οὐκ
ἔστι. καὶ ἔοικε συμβαίνειν ὃ ἐζήτει ὁ Σωκράτης. ὁ γὰρ Σωκράτης
ἔλεγεν, ἀδύνατον εἶναί τινα ἔχοντα ἐπιστήμην παρασφάλλεσθαι κατὰ τὴν
οἰκείαν ἐπιστήμην ἣν ἔχει· τοῦτο συμβαίνει κἀνταῦθα. ὁ γὰρ ἀκρατὴς
οὐ σφάλλει περὶ τὰ καθόλου, ὧν καὶ τὴν ἐπιστήμην ἔχει, ἀλλὰ περὶ τὰ
μερικά. ὧν οὐκ ἔστιν ἐπιστήμη. οὐ γὰρ τῆς ἐπιστήμης παρούσης, ἡ κυρία
πάντων ἐστὶ καὶ κρατοῦσα, γίνεται τὸ πάθος, ἤτοι, ἡττᾶται ὁ ἀκρατὴς
ὑπὸ τοῦ πάθους, οὐδὲ ἡ αὐτὴ ἐπιστήμη περιέλκεται καὶ σύρεται ὑπὸ
τῆς ἐπιθυμίας, ἀλλ' ἡ αἰσθητική, ἤτοι ἡ μερικὴ δόξα ἡττᾶται ὑπὸ τῆς
ἐπιθυμίας. περὶ γὰρ ταύτην σφάλλει ὁ ἀκρατὴς καὶ ταύτης. τῆς περικῆ
δόξης παρούσης, ἡττᾶται ὑπὸ τοῦ πάθους. τὸν γὰρ λόγον τὸν καθόλου
λέγει μόνον, καὶ τῷ ἀέρι διαλύεται, περὶ δὲ τὰ μερικὰ ἐνεργεῖ. περὶ μὲν
τοῦ εἴτε εἰδὼς ὁ ἀκρατὴς ἡττᾶται εἴτε μὴ εἰδώς, καὶ εἰ οὕτως ἡττᾶται
πῶς οἷόν, ἀρά γε κατὰ ἐπιστήμην ἢ δόξαν, ἱκανῶς διειλήφαμεν.

Πότερον δὲ ὅστις τῶν ἀκρατῶν ὑπὸ ἡδονῆς ἢ λύπης προσθήκης ἢ
γρόμενος, ἤτοι ἀκρατὴς ἁπλῶς, ἢ πάντως λεγόμενος ἀκρατὴς κατὰ πρόσθεσιν
ἤτοι μετὰ προσθήκης ἀκρατὴς ὀρθῶς. ἀκρατὴς ὀρθῶς, καὶ εἰ ἔστιν ἀκρα-
τὴς ἄνευ προσθήκης. ἐκτὸν πρὸ πολλοῦ ὑπεσχόμεθα καταγγεῖν ὁ κύριος
ἀκρατὴς ὁ ἄνευ προσθήκης λεγόμενος. ποιεῖται διαίρεσιν τῶν ἡδέων, ἵνα
εἴπῃ περὶ ποῖα ἡδέα καταγίνεται ὁ ἀκρατὴς καί φησιν, ὅτι τῶν ἡδέων
⟨τῶν⟩ ποιούντων ἡδονὴν τὰ μέν εἰσιν ἀναγκαῖα (ἀναγκαῖα δὲ λέγω ἡδέα
τὰ σωματικά, τὰ περὶ τροφάς. οἷον τὸ ἐσθίειν καὶ πίνειν συμμέτρως).
ἀναγκαῖόν ἐστι καὶ ἡδύ. ἔστι γὰρ καὶ ἐν τούτοις ὑπερβολή, ἥτις ἐστὶ 123r
ψεκτή. τὸ γὰρ ὑπὲρ κόρον ἐσθίειν καὶ πίνειν ψεκτόν ἐστιν. ὁμοίως δὲ
καὶ τὰ ἀφροδίσια ἡδέα εἰσὶ καὶ ἀναγκαῖα τοῖς ἔχουσι λιθῖτιν νόσον ἢ νε-
φρῖτιν, τὰ δὲ οἷον τιμὴ πλούτου νίκη ἀναγκαῖα μὲν οὐκ εἰσιν, αἱρετὰ
δὲ καθ' αὑτά. πάντες γὰρ αἱροῦνται πλουτεῖν νικᾶν καὶ τὰ τοιαῦτα τῶν
ἀγαθῶν, οἷον κτήματα δόξαν δυναστείαν. τοὺς μὲν ὑπερβάλλοντας
πρὸς ταῦτα, ἤτοι τοὺς ὑπερβολικῶς ζητοῦντας πλουτεῖν καὶ νικᾶν καὶ δο-
ξάζεσθαι καὶ παρὰ τὸν ὀρθὸν λόγον. ὁ γὰρ ὀρθὸς λόγος προστάττει συμ-
μέτρως ἐπιζητεῖν καὶ πλουτεῖν καὶ νικᾶν. τὸ δὲ παρὰ τὸν ὀρθὸν λόγον
τὸν ἐν αὐτοῖς, ἤτοι πλοῦτον δόξαν ὑπερβαλλόντως καὶ οὐκ ἐν μέτροις ζητοῦν-
τας πλουτεῖν καὶ νικᾶν, οὐ τοιοῦτον τὸν λεγόμενον κρατεῖς ἁπλῶς. ἤτοι
ἄνευ προσθήκης, ἀλλὰ τὸν ποιοῦντας. προσπαίσας γὰρ ἀκρατεῖς χρη-
μάτων, ἀκρατεῖς κέρδους. ἁπλῶς δέ, ἤτοι ἄνευ δὲ προσθήκης, οὐ λέγο-
μεν αὐτοὺς μόνον ἀκρατεῖς, ὡς ἑτέρους ὄντας τοῦ κυρίως ἀκρατοῦς τοῦ
ἄνευ προσθήκης, καὶ λεγομένους καὶ αὐτοὺς ἀκρατεῖς καθ' ὁμοιότητα
ἐκείνου τοῦ κυρίως ἀκρατοῦς. ὥσπερ γὰρ οἱ κυρίως ἀκρατεῖς λέγονται
ἀκρατεῖς διὰ τὸ ὑπερβολικῶς χρᾶσθαι τοῖς ἀφροδισίοις, οὕτω καὶ οὗτοι

10 δόξα B: διότι a 15 κατὰ ἐπιστήμην B: ἐπιστήμην ἔχων a 22 τῶν ποιούντων a: ποιούντων B 25 ψεκτή a: ψεκτόν B 36 ἄνευ δὲ B: ἄνευ a 39 ἐκείνου B: om. a

ονται ἀκρατεῖς οἱ μετὰ προσθήκης ὡς ὑπερβολικῶς καὶ ἀμέτρως
ζόμενοι νικᾶν καὶ πλουτεῖν. διαφέρουσι δὲ ὅτι ἐκεῖνοι οἱ περὶ τ
δίσια λέγονται μόνον ἀκρατεῖς. οὗτοι δὲ ὡς περὶ τὰς τιμὰς καὶ κ
πλοῦτον μετὰ προσθήκης λέγονται ἀκρατεῖς. ἔχουσι δὲ ὁμοιότη
κατὰ τὸ ὑπερβολικόν. ὥσπερ καὶ ἦν τις νικήσας εἰς τὰ Ὀλύμ
ἦκουεν Ἄνθρωπος, ὥσπερ ὁ δεῖνα ἀκούει Σωκράτης ἢ Πλάτων.
γὰρ ὁ κοινὸς λόγος, ἤτοι ὁ καθόλου ἄνθρωπος, ἤτοι τὸ ζῷον
θνητόν, μικρὸν διέφερε τοῦ ἰδίου ὀνόματος· ἄνθρωπος γὰρ κ
ἦκουε· μικρὰ γάρ τις προσθήκη ποιεῖ τὴν διαφοράν. οἱ μέλλο
δηλῶσαι αὐτὸν καὶ διαχωρίσαι αὐτὸν ἀπὸ τοῦ καθόλου προσετ
ὁ ἄνθρωπος ὁ τὰ Ὀλύμπια νενικηκώς. ἀλλ' ὅμως εἰ καὶ μικ
φερεν ὁ ἄνθρωπος τοῦ καθόλου ἀνθρώπου καὶ ὁμοιότητα εἶ
ἀλλ' ὅμως ἕτερος ἦν ὁ καθόλου ἄνθρωπος τοῦ ἀνθρώπου τοῦ
νοντος τὰ Ὀλύμπια. οὗτος γὰρ αἰσθητός, ὁ δὲ καθόλου ἄνθρωπος
οὕτω καὶ ὁ ἁπλῶς ἀκρατὴς καὶ οἱ μετὰ προσθήκης ἀκρατεῖς λ
ὁμοιότητα μὲν ἔχουσί τινα. διαφέρουσι δὲ κατὰ τὰ ὑποκείμενα. κ
οὗτοι εἰσὶν ἐκείνου.

Ὅτι δὲ εἰσὶν ἕτεροι, σημεῖον. ἤτοι ὅῆλον. ἡ μὲν γὰρ
φέρεται οὐ μόνον ὡς ἁμαρτία καὶ ὡς ἐκπίπτουσα τοῦ ὀρθοῦ λό
καὶ ὡς κακία, ἢ ἁπλῶς, ἤτοι τελεία κακία ἢ κατὰ μέρος τι,
ζουσα τῇ κακίᾳ, καθὸ ἡ μὲν κακία ἔχει τὸν λόγον διεφθαρμένο
ἀκρασία ἔχει τὸν λόγον ἐρρωμένον· οὐκ ἔστιν ἡ ἀκρασία τελε
ἀλλ' ἐγγίζει τῇ κακίᾳ. οὐδεὶς δὲ τούτων τῶν μετὰ προσθήκης λ
ἀκρατῶν τῶν περὶ τιμὴν καὶ πλοῦτον καταγινομένων ψέγεται. ὑπ
καταγινομένων περὶ τὰς σωματικὰς ἀπολαύσεις, ἤτοι περ
ἀσῇ ἡδονάς, ἤτοι περὶ τὰ ἀφροδίσια, περὶ ἃ λέγομεν τὸν σώφ
ἀκόλαστον καταγινεσθαι, ὁ διώκων τὰς ὑπερβολὰς τῶν ἡδονῶν,
ὑπερβολικῶς ἀφροδισιάζεσθαι, οὐχ' ἓν τῷ προαιρεῖσθαι, ἤτοι ἀπ
καὶ φεύγων τὰς ὑπερβολὰς τῶν ὑποπιπτόντων, ἤτοι πεινῆς καὶ δίψης.
ζητῶν τὰς ὑπερβολὰς πάντων τῶν περὶ ὄψιν καὶ ἁφὴν
προαιρεσιν καὶ παρὰ τὴν διάνοιαν, ἤτοι παρὰ τὸν ὀρθὸν λόγον,
ἐστὶ ἁπλῶς ἄνευ προσθήκης καὶ οὐ κατὰ πρόσθεσιν. ὅτι περὶ τ
ὅτι ἀκρατὴς ὀργῆς ἐστιν. ὅτι ἀκρατὴς θυμοῦ ἀλλ' ἁπλῶς μόν
ἄνευ προσθήκης ἀκρατής. ὁ δὲ μετὰ προαιρέσεως ζητῶν τὰς ὑ
γεται ἀκόλαστος. ὁ γὰρ ἀκρατὴς ἔχει τὸν λόγον ἐρρωμένον, ἀπ
δὲ καὶ ἄκων ὑπὸ τῆς ἐπιθυμίας ἕλκεται, ὁ δὲ ἀκόλαστος διε
ἔχει τὸν λόγον. σημεῖον δὲ ὅτι ὁ κυρίως ἀκρατὴς οὗτός ἐστι
τὰς σωματικὰς ἡδονάς, ἤτοι περὶ τὰ ἀφροδίσια καταγινόμεν
καὶ οἱ ἀκόλαστοι περὶ ταῦτα. ἤτοι περὶ τὰς σωματικὰς ἡδονάς.
τὰ ἀφροδίσια καταγινόμενοι. περὶ δὲ ἐκείνων ἐκεῖνοι. ἤτοι ὑπ

ἐπιθυμίαν, ἤτοι οὐ καταγίνεται δὲ ὁ ἀκόλαστος οὔτε περὶ θυμὸν οὔτε περὶ 123v
τιμὴν ἢ ὀργήν. ὥστε κυρίως ἀκρατής ἐστιν, ὃς περὶ τὰ αὐτὰ καταγίνε-
ται περὶ ἃ καὶ ὁ ἀκόλαστος, ἤτοι περὶ τὰ ἀφροδίσια. διὸ καὶ ἄνευ προσ-
θήκης ἀκρατὴς λέγεται, καὶ ἐπεὶ περὶ τὰ αὐτὰ ὑποκείμενα καταγίνονται, διὰ
τοῦτο τὸν αὐτὸν εἶναι λέγει ἀκρατῆ καὶ ἀκόλαστον, ἀλλ' οὐδένα ἐκείνων, 5
ἤτοι τῶν μετὰ προσθήκης ἀκρατῶν ταὐτὸν εἶναι λέγουσι τῷ ἀκολάστῳ.
διὰ τοῦτο λέγουσι τὸν ἐγκρατῆ καὶ τὸν σώφρονα ταὐτὸν καὶ τὸν ἀκρατῆ
καὶ ἀκόλαστον ταὐτόν, διότι περὶ τὰς αὐτὰς ἡδονὰς καταγίνονται, ἤτοι περὶ
τὰ ἀφροδίσιά πως. εἶπε δὲ τὸ πως, ἵνα δείξῃ, ὅτι εἰ καὶ περὶ τὰ αὐτὰ
ὑποκείμενα καταγίνεται ὁ ἀκρατὴς καὶ ὁ ἀκόλαστος, ἀλλ' οὐχ ὁμοίως, ἀλλ'
οἱ μέν, ἤτοι οἱ ἀκόλαστοι, προαιρούμενοι πράττουσι τὸ κακόν, ἤτοι ὡς
τοῦτο αὐτὸ προαίρεσιν ἔχοντες, ἅτε καὶ τὸν λόγον ἔχοντες ἐφθαρμένον, 10
οἱ δέ, ἤτοι οἱ ἀκρατεῖς, οὐ προαιρούμενοι, ἤτοι ἀπροαιρέτως πράττουσι
τὸ κακόν, μὴ τοῦτο αὐτὸ προαίρεσιν ἔχοντες ἀλλὰ τὸ ἀγαθόν, ἅτε τὸν
λόγον ἐρρωμένον ἔχοντες, ὑπὸ δὲ τῆς ἐπιθυμίας καὶ ἄκων ἡττώμενος
πράττει τὸ κακόν. διὸ καὶ μᾶλλον ὁ ἀκόλαστός ἐστι χείρων καὶ ἀκόλαστος
ῥηθήσεται, ὃς καὶ μὴ ἐπιθυμῶν ἢ ἠρέμα, ἤτοι ἢ μικρόν τι ἐπιθυμῶν
φιλεῖ ὑπερβολικῶς ἀφροδισιάζεσθαι. καὶ φεύγει τὸ μετρίως, ἤτοι μικρόν
τι, λυπηθῆναι. παρὸ τοῦτον, ἤτοι τὸν ἀκρατῆ, εἴπομεν χείρονα, ὃς ὑπὸ 15
τῆς σφοδρᾶς ἐπιθυμίας ἡττηθεὶς πράττει τὸ κακὸν ἀπροαιρέτως. εἰ γὰρ
ὁ ἀκόλαστος μηδ' ὅλως ὑπὸ τῆς ἐπιθυμίας ἐνοχλούμενος φιλεῖ ἀφροδι-
σιάζειν ὑπερβολικῶς, εἰ προσγένηται αὐτῷ ἐπιθυμία νεανική, ἤτοι σφο-
δρά, τί ἂν ποιήσει; ὁμοίως δὲ καὶ εἰ λυπηθῇ σφοδρῶς διὰ τὸ στερηθῆναι
ἄρτου πέντε ἡμέρας, πάντως ἂν ἀθέμιτόν τι ποιήσει.
Μέλλων διδάξαι περὶ θηριωδίας πρῶτον προανακρούεται τὰ ὑποκεί-
μενα, περὶ ἃ ἡ θηριωδία καταγίνεται καὶ πρῶτον διῄρησε τὰ ἡδέα εἰς 30
δύο, εἰς τὸ ἀναγκαῖον καὶ εἰς τὸ καθ' αὑτό· νῦν δὲ διαιρεῖ ταῦτα εἰς
τρία καί φησιν, ὅτι τῶν ἡδέων τὰ μέν εἰσι καλὰ καὶ σπουδαῖα, ἤτοι
ἀγαθὰ ἐν τῷ γένει ἤτοι ἐν τῷ ὑποκειμένῳ. τῶν γὰρ ἡδέων τὰ μέν
εἰσι φύσει αἱρετὰ καὶ ἀγαθά, οἷον νίκη πλοῦτος χρῆμα κέρδος, τά δ'
εἰσιν ἐναντία τούτοις, ἤτοι φύσει φευκτά (τὸ γὰρ ἐσθίειν ὠμὰ κρέα τισὶ
μὲν δοκεῖ ἡδύ, ἀλλ' ἔστι φευκτόν), τὰ δέ εἰσι μεταξύ, ἤτοι τὸ ἐσθίειν
καὶ φορεῖν ἐσθῆτας. ἡδέα εἰσὶν ἃ οὔτε τῇ ἑαυτῶν φύσει εἰσὶν αἱρετὰ 25
οὔτε φευκτά, γίνονται δὲ ἡμῖν ἀναγκαῖα διὰ τὴν χρείαν. ἀποκριθέντων
γὰρ ὧν ἐφάγομεν, δεόμεθα ἑτέρων, ὡς τὴν γαστέρα ἐμπλήσωμεν. πρὸς
ἅπαντα δὲ καὶ τὰ τοιαῦτα, ἤτοι τὰ φύσει αἱρετὰ καὶ τὰ μεταξύ, ἃ
οὔτε ἀναγκαῖά εἰσι φύσει οὔτε φευκτά, οὐ φέγονταί τινες, εἰ ἀγαπῶσιν
ἁπλῶς τυγχάνειν ἢ κτᾶν ἢ χρήματα συλλέγειν ἢ ἐὰν ἀγαπῶσιν ἁπλῶς
ἐσθίειν ἢ πίνειν ἢ ἐσθῆτας φορεῖν, οὔκουν φευκτοὶ λέγονται οὗτοι ἐν τῷ
ἐπιθυμεῖν τῶν τοιούτων, ἀλλ' ἐν τῷ πως ἐπιθυμεῖν, ἤτοι ἐὰν ὑπερβολι- 40

5 λέγει B: λέγεται a οὐδένα a: οὐδ' ἄνευ corr. rubro ex οὐδένα B 23 et 24 ποιή-
σει scripsi: ποιήσῃ Ba 33 ἐσθῆτας B: ἐσθῆτα a 38 τιμᾶσθαι—ἁπλῶς bis B
39 ἐσθῆτας B: ἐσθῆτα a

κῶς. ἤτοι δι' ὅλης τῆς ἡμέρας, ἐσθίειν βούληται, καὶ ἐὰν ἐντὸς
κας ψιλῆ πορφυρίδι κοσμεῖσθαι καὶ ἐὰν ὑπερβολικῶς βούληται
ἢ τοιαῦτα χρήματα, τοτε φεκτόν. οὐ γὰρ διὰ τὸ ἁπλῶς ἐσθί
τῶν φεκτῶν ἀλλὰ διὰ τὸ ὑπερβολικόν. ὅτι ὅσοι μὲν παρὰ τ
λόγον, ἤτοι ὑπερβολικῶς, ἢ κρατοῦνται, ἤτοι κατέχονται, ἢ ζ
τῶν φύσει αἱρετῶν, οἷον εἰ φιλοῦσι τιμᾶσθαι μᾶλλον ἢ δεῖ. ἤτ
λικῶς, ἢ εἰ σπουδάζουσιν ὑπερβολικῶς νικᾶν, φέγονται. πανταχ
τοιοῦτόν ἐστιν, ὅτι καὶ τὸ συμμέτρως βούλεσθαι τιμᾶσθαι
κεν ἡ ἀγαπᾶν οὐ φεκτόν, ἡ δὲ ὑπερβολὴ φεκτόν. ὁμοίως
ὑπερβολικὴ ἀγάπη ἡ πρὸς τὰ τέκνα ἢ περὶ τοὺς γονεῖς φέγεται
ὑπερβολικῶς οἱ γονεῖς τὰ τέκνα φιλοῦσιν ἢ τὰ τέκνα τοὺς γον
γὰρ καὶ ταῦτα, ἤτοι τὸ ἀγαπᾶν τοὺς γονεῖς τὰ τέκνα ἢ τὰ τ
γονεῖς ἀπὸ τῶν φύσει ἀγαθῶν καὶ αἱρετῶν εἰσι, καὶ οἱ περ
σπουδάζουσιν, ἀλλὰ συμμέτρως ἐπαινοῦνται. ὅτι ὅμως
ὑπερβολὴ καὶ ἐν τούτοις. τινὲς γὰρ ὑπερβολικῶς ἀγαπῶσι τ
τέκνα. οἳ καὶ φέγονται διὰ τὸ ὑπερβολικόν, εἴ τις ἀγαπᾷ τὰ τέκ
ὑπερβολικῶς ὡς ἡ Νιόβη, μάχεται πρὸς τοὺς θεούς. αὕτη γὰρ
δεκα παῖδας, ἓξ μὲν ἄρρενας, ἓξ δὲ θηλείας. ἡ οὖν Νιόβη ὑπ
τὸν ἑαυτῆς τέκνα φιλοῦσα ἐπῆνει αὐτὰ πρὸς τὴν Λητὼ καὶ
κρείττων εἰμὶ ἐγὼ τῆς Λητοῦς διὰ τὸ δώδεκα παῖδας ἔχειν,
δύο. τοῦτο δ' αὐ φεκτόν. τὸ γὰρ ἀγαπᾶν τινα τὰ ἑαυτοῦ τέκνα
τον ὡς καὶ τοὺς θεοὺς ὑβρίζειν καὶ μάχεσθαι αὐτοῖς, φεκτόν.
Σάτυρος, ὃς καὶ φιλοπάτωρ ἐλέγετο. οὗτος γὰρ ἐρῶν τινος
πρὸς τὴν μοιχείαν εὑρὼν τὸν ἑαυτοῦ πατέρα Σώστρατον συναρμ
σοῦτον ἔκτοτε τὸν ἑαυτοῦ πατέρα ἐνόησεν, ὥστε καὶ τοῦ πατ
τησαντος ἑαυτὸν κατεκρήμνισε καὶ τῆς ζωῆς ἀπεστέρησε. τὸ
τὸν ἑαυτοῦ πατέρα ὑπερβολικῶς ὡς καὶ θνήσκειν τοῦ πατρὸς τ
φεκτόν. ἐπεὶ καὶ ὁ Σάτυρος λίαν μωραίνειν ἔδοξεν ἑαυτὸν
σιν τῆς τοῦ πατρὸς τελευτῆς.

Οὐδενὸς οὖν κωλύοντος περὶ τούτου. ἤτοι περὶ τιμὴν καὶ π
ἀγάπην καὶ κέρδος διὰ τὸ εἰρημένον, ἤτοι διότι ἕκαστον α
καὶ ὁ πλοῦτος καὶ ἡ τιμὴ καὶ ἡ ἀγάπη, δι' αὐτό. τοιοῦτον
αὐτό, ἀπὸ τῶν φύσει αἱρετῶν εἰσιν, αἱ δὲ ὑπερβολαὶ αὐτῶν, ἤτο
βολικῶς τιμᾶσθαι ἐπιζητεῖν καὶ τἆλλα φευκτά ἐστιν. ὁμοίως οὐ
κυρίως ἐστὶν τὸ ὑπερβολικῶς σπουδάζειν κερδαίνειν ἢ τιμᾶσθαι
ἀκρασία οὐ μόνον φευκτόν ἀλλὰ καὶ φεκτόν. διὸ ὁμοιό
του παίους, τουτεστιν ἐπὶ τὸ ὑπερβολικῶς ζητεῖν τιμᾶσθαι
νειν ἢ ἀγαπᾶν ὁμοιότητα ἔχει τινὰ διὰ τὴν ὑπερβολὴν πρὸς τὸ π
πρὸς τὴν ἀκρασιαν, ἐπει καὶ ὁ ἀκρατης ὑπερβολικῶς ἀφροδισ

λεται, προσεπιτιθέντες τὴν ἀκρασίαν περὶ ἕκαστον αὐτῶν λέγο- 124r
μεν, οὗτος ἀκρατής ἐστι χρημάτων, ἀκρατής ἐστι θυμοῦ, καὶ οὐκ ἄνευ προσ-
θήκης ἀκρατῆ τοῦτον λέγομεν, ὡς καὶ εἰ ἴδωμεν ἰατρὸν κακῶς ἰατρεύ-
οντα ἢ ὑποκριτὴν κακῶς ὑποκρινόμενον, οὐ λέγομεν τοῦτον ἁπλῶς κακὸν
ἀλλὰ μετὰ προσθήκης κακὸν ἰατρόν, κακὸν ὑποκριτήν. ἡ γὰρ ἁμαρτία
αὐτῶν οὐκ ἔστιν ἁπλῶς κακία, οἷον ἀκρασία ἢ δειλία, ἀλλὰ κακία τις
περὶ τὴν ἑαυτοῦ τέχνην. διὸ καὶ μετὰ προσθήκης λέγομεν κακὸν ἰατρόν.
ὥσπερ οὖν οὐδὲ ἐνταῦθα, ἤτοι ἐπὶ τοῦ ὑποκριτοῦ καὶ τοῦ ἰατροῦ διὰ
τὸ μὴ ἁπλῶς κακίαν εἶναι τὴν ἁμαρτίαν αὐτῶν ἀλλὰ διὰ τὸ ἀνάλογον,
ἤτοι ὁμοίαν, διὰ τὸ ἔχειν τὴν ἑαυτῶν ἁμαρτίαν ὁμοιότητά τινα πρὸς
τὴν ἁπλῶς κακίαν. ὡς γὰρ ὁ ἀκόλαστος τοῦ ὀρθοῦ λόγου ἀποτυγχάνει, οὕτω καὶ οὗτος περὶ τὴν οἰκείαν τέχνην, εἰ κακῶς ἰατρεύειν ἐπιχειρεῖ, οὐχ
ἁπλῶς κακὸς ἀλλὰ μετὰ προσθήκης, καὶ ἰατρὸν κακὸν καὶ κακὸν ὑποκρι-
τὴν λέγομεν, οὕτω δηλονότι καὶ ἐκεῖ ὑπολητέον ἐπὶ τοῦ ἀκρατοῦς.
μόνην γὰρ ἀκρασίαν καὶ ἐγκράτειαν λέγομεν εἶναι καὶ ἄνευ προσθήκης
λέγεσθαι, ἥτις περὶ τὰ αὐτὰ ὑποκείμενα καταγίνεται, περὶ ἃ ἡ σωφροσύ-
νη καὶ ἡ ἀκολασία. τὴν δὲ ἀκρασίαν καὶ ἐγκράτειαν τὴν πρὸς θυμὸν
καὶ τιμὴν καὶ χρήματα καταγινομένην οὐ κυρίως ἀκρασίαν καὶ ἐγκράτειαν
ταύτην λέγομεν εἶναι ἀλλὰ καθ' ὁμοιότητά τινα λέγομεν καὶ ταύτην
ἀκρασίαν εἶναι καὶ ἐγκράτειαν διὰ τὸ ὑπερβολικόν. διὸ καὶ εἰ ἴδωμέν
τινα μηδ' ὅλως φιλοῦντα τὰ χρήματα, οὐχ ἁπλῶς ἐγκρατῆ τοῦτον λέγομεν
ἀλλὰ προστιθέντες ἐγκρατῆ τοῦτον χρημάτων λέγομεν εἶναι, ὁμοίως καὶ
εἰ ἴδωμέν τινα ὑπερβολικῶς φιλοῦντα τὰ χρήματα ἢ θυμούμενον, οὐχ
ἁπλῶς ἀκρατῆ τοῦτον λέγομεν, ἀλλὰ μετὰ προσθήκης ἀκρατῆ θυμοῦ
καὶ χρημάτων λέγομεν.

Ἐπεὶ δέ εἰσί τινα ἡδέα φύσει καὶ τούτων τὰ μέν εἰσιν ἁπλῶς
ἡδέα, οἷον τὸ ὑγρᾶς τροφῆς δέεσθαι καὶ ξηρᾶς καὶ τὸ ἐσθίειν καὶ πίνειν
ἁπλῶς ἡδὺ δοκεῖ πᾶσι τοῖς ζῴοις, τὰ δὲ ἡδέα δοκοῦσι κατὰ γένος καὶ
ζῴων καὶ ἀνθρώπων. τοῖς μὲν γὰρ τῶν ζῴων ἡδὺ δοκεῖ τὸ ποηφα-
γεῖν, τοῖς δὲ τὸ κρεωφαγεῖν, ὁμοίως δὲ καὶ τοῖς ἀνθρώποις ἄλλη τροφὴ
ἄλλοις ἡδέα δοκεῖ, τὰ δ' οὐκ εἰσὶ φύσει ἡδέα ἀλλὰ ψευκτά. τούτων δὲ
τῶν μὴ φύσει ἡδέων τὰ μὲν ἡδέα δοκοῦσί τισι διὰ πηρώσεις, ἤτοι 124v
διὰ νόσον ἢ διὰ μανίαν, τὰ δὲ δι' ἔθος ἡδέα δοκοῦσιν, ὅλον δὲ δι' ἕξιν
καὶ φύσιν κακήν. ἔστι δὲ καὶ περὶ ἕκαστα τούτων τῶν μὴ φύσει ἡδέων
ἰδεῖν ἕξεις τινὰς παραπλησίας, λέγω δὴ θηριώδεις, ἤτοι θηριώδεις ἀκρα-
σίας καὶ ἐγκρατείας. περὶ γὰρ τὰ μὴ φύσει ἡδέα ἡ θηριωδία καταγίνε-
ται. καταλέγει δ' οὐκ εἰσὶν ἡδέα φύσει καί φησιν ὅτι τὸ ἐσθίειν τὰ παι-
δία φύσει ἡδὺ οὐκ ἔστιν. ἐδόκει δὲ τῇ Λαμίᾳ ἡδύ. ἡ Λαμία γυνή τις
ἦν περὶ τὸν Πόντον, ἥτις διότι ἀπώλεσε τὰ οἰκεῖα τέκνα, τὰ τῶν ἄλλων
γυναικῶν βρέφη ἤσθιεν. ἢ ἡδέα εἰσὶ παρὰ φύσιν, οἷς χαίρουσί τινες τῶν

1 ἕκαστον Ba et Aristotelis codd. $K^{b}L^{b}M^{b}$: ἑκάστου Arist. vulg. 10 ἑαυτῶν a: ἑαυτοῦ B
33 ὅλον Ba: nonne ἀλλα? 35 τινὰς corr. ex τινὸς B: τινὸς a θηριώδεις ἤτοι θη-
ριώδεις scripsi: θηριώδης ἤτοι θηριώδης Ba 36 θηριωδία corr. ex θηρία B: θηριώδης a

ἀπηγριωμένων, ἤτοι τῶν ἀγρίων. οἱ γὰρ Σκύθαι οἱ περὶ τὸ
ν μὲν ἔχαιρον ἐσθίειν ὠμοὺς ἰχθῦς, ἄλλοι δὲ κρέα ὠμὰ ἤσθιον
ἐδάνειζον τὰ οἰκεῖα τέκνα ἀλλήλοις, ἵνα ταῦτα κατεσθίωσι, καὶ
ἐδόκει αὐτοῖς. ὁ δὲ Φάλαρις λέγεται φαγεῖν τὸν ἑαυτοῦ παῖ
μέν εἰσιν αἱ ἕξεις θηριώδεις, αἵτινες παρὰ φύσιν εἰσί, καὶ γ
μυγιηρὰ καὶ κακῆς φύσεως τῶν ἀνθρώπων. ἄλλαι δέ εἰσιν
ώδεις καὶ παρὰ φύσιν ἡδεῖαί τισιν, αἳ ἐπιγίνονται ἢ ἀπὸ νό
ἔθους, οἷον ἡ τρῶξις, ἤγουν τὸ ἐσθίειν τοὺς ὄνυχας αὐτοῦ, ἢ
τὰς ἑαυτοῦ τρίχας ἐξ ἔθους τις ἐπεκτήσατο ἢ ἀπὸ νόσου. ἔτ
δοῦλος ἔφαγε τὸ ἧπαρ τοῦ συνδούλου αὐτοῦ, καὶ ὁ Ξέρξης ὁ τ
βασιλεὺς μανεὶς ἔφαγε τὴν ἑαυτοῦ μητέρα κρεουργήσας. ἔτι δὲ
τισι, παρὰ φύσιν δὲ ὄντες, τὸ ἐσθίειν ἀνθρακας. ἐν ὅσοις γὰρ
ὁ μελαγχολικὸς χυμός, ἔδν ὄσκει τὸ ἐσθίειν κάρβωνας. ἄλλ
ὄσκει τὸ ἐσθίειν γῆν, ἤτοι πηλόν. ὅσοις ὀξώδης χυμὸς ἔγκειται.
ὧν συμπτώματος ἡ μελαγχολικοῦ χυμοῦ ἢ ὀξώδους τοῦτο αὐτ
ται. τὸ δὲ ἀρρενογαμεῖν τοῖς μὲν ἐπιγίνεται ἐκ φύσεως κακῆ
πύσης πρὸς τὸ κακόν, ἄλλοις ἐξ ἐθισμοῦ τινος, οἷον γυμνα
παιδῶν τοὺς ἄρρενας γαμεῖν. οὗτοι ἐθίζουσι τοῦτο παιδάριον κακ
συναναστρεφόμενοι, καὶ ταῦτα φύσιν ἔχοντες πρὸς τὸ καλὸν ἐπ
Ὅσοις μὲν οὖν φύσις ἐστὶ κακὴ καὶ αἰσχρὰ καὶ αἰτία αὐ
τοῦ τοὺς ἄρρενας γαμεῖν, τούτους οὐδενὸς εἴπω ἀκρατεῖς. διό
αὐτοῖς τοιαύτη ἐστὶ φαύλη καὶ πρὸς τοῦτο ῥέπουσα. ὡς οὐδὲ τ
κας εἴποι τις ἀκρατεῖς. ὅτι οὐ γαμοῦσιν ἀλλὰ γαμοῦνται.
πεφυκασιν ἔχειν ὁμοίως, οὐδὲ τοὺς νοσήματοῦσιν ἔχοντας.
τοὺς νοσοῦντας τὸ γαμεῖν τοὺς ἄρρενας οὐκ ἐκ φύσεως ἀλλ
τινὸς ἀκρατεῖς εἴποι τις, διότι οὗτοι καὶ τὸν λόγον ἔχουσι δι
καὶ οὐ γινώσκουσιν, εἰ ὅλως κακόν ἐστι τοῦτο, οἱ δ' ἀκρατεῖς
ἔχουσι τὸν λόγον. τὸ μὲν οὖν ἔχειν ἕκαστον τούτων, ὧν ἀπηρ
ἤτοι ἐσθίειν κρέα ὠμὰ ἀνθρώπων καὶ κάρβωνας καὶ τὰ λοιπὰ
κακίαν ἀνθρώπων ἐστί, καὶ ἔξω εἰσὶ τῆς ἀνθρωπίνης κακίας.
ταῦτα μᾶλλον προσήκει, οὐκ ἀνθρώποις. καθάπερ καὶ ἡ
ὑπὲρ πᾶσαν κακίαν ἀνθρωπίνην ἐστί. τὸ δὲ τὸν ἔχοντα ταῦτα
ἤτοι εἰ ἐπιθυμεῖ (φαγεῖν) κρέα ὠμὰ ἢ πηλὸν καὶ κρατήσει τῆ
καὶ οὐ φάγῃ, οὐχ ἁπλῶς, ἤτοι ἄνευ προσθήκης, ἐγκρατὴς λέγ
μετὰ προσθήκης ἐγκρατῆ θηριώδη. ὁμοίως καὶ εἰ ἡσσηθῇ ὑπ
θυμίας καὶ φαγῇ πηλὸν ἢ ἄλλο τι, ὧν εἴπομεν. οὐχ ἁπλῶ
προσθήκης ἀκρατῆ λέγομεν, ἀλλὰ καθ' ὁμοιότητα διὰ τὴν
τῆς κακίας καὶ μετὰ προσθήκης ἀκρατῆ θηριωδίας εἶναι λέγομε
τῶν ἀγρίων θηρίων ὡς ὁμοιότητα ἔχοντα διὰ τὸ ὑπερβ

1 ἀπηγριωμένων corr. ex ἀπηγορευμένων B: ἀπηγορευμένων a 8 α
αὐτῶν a 9 ἑαυτοῦ B: ἑαυτῶν a ἐξ ἔθους τις B: τις ἐξ ἔθ
18 οὕτοι B: οὗτος a 21 τοῦ a: τὸ B 33 φαγεῖν a: om. B
φάγει a 38 θηριώδίας B: θηριώδη a

τὸν κυρίως ἀκρατῆ. τοῦτον τὸν τρόπον, ἤτοι μετὰ προσθήκης ἀκρατὴ 1241
τοῦ πάθους ἤτοι τοῦ θυμοῦ, καὶ οὐ λέγομεν αὐτὸν ἀκρατῆ μὴ ἄνευ προσθή- 15
κης. πᾶσα γὰρ ὑπερβάλλουσα κακία καὶ χαλεπότης, ἤτοι ὀργιλότης,
καὶ δειλία, αἱ μὲν θηριώδεις εἰσίν, αἱ δὲ νοσηματώδεις, ἤτοι ἐκ
5 νόσου ἡμῖν ἐπιγινόμεναι. ὡς μὲν γὰρ ἐκ φύσεως ὢν τοιοῦτος, ὥστε φο-
βούμενος κἂν μῦς κτυπήσῃ, δειλὸς λέγεται. κἂν τὴν τῆς θηριώδους δειλί-
αν, ὁμοίως δὲ εἰ ἐκ φύσεώς τις ὑπερβολικῶς ὀργίζεται, ὀργίλος λέγεται
κατὰ τὴν θηριώδη ἀρετότητα. ὁ δὲ φοβεῖται. εἰ δὴ γαλῆν διὰ νόσον. 50
ἤτοι μανίαν νοσήσας. καὶ τῶν ἀφρόνων ὅσοι μὲν ἐκ φύσεως εἰσὶν
10 ἀλόγιστοι, ἤτοι ἄφρονες καὶ λόγῳ μὴ διοικούμενοι, ἀλλὰ τῇ αἰσθήσει
ζῶντες ὡς τὰ ἄλογα, οἷοί εἰσί τινες βάρβαροι, οἷον οἱ Σκύθαι θηριώδεις
λέγονται.

Οἱ δὲ ὄντες ἄφρονες ἐκ νόσου, ἤτοι ἐξ ἐπιλήψεως ἢ μανίας, καὶ 1251
μόνῃ τῇ αἰσθήσει ζώντες, νοσηματώδεις ἄφρονες λέγονται, ὡς καὶ ὁ
15 τὴν γαλῆν δεδιὼς νοσηματώδης δειλός. τούτων δὲ τῶν θηριωδῶν μὲν
κακιῶν συμβαίνει μὲν ἔχειν τινάς, μὴ κρατεῖσθαι δέ, ἤτοι μὴ ἡττᾶ-
σθαι δὲ ὑπ' αὐτῶν ἀλλὰ κρατεῖν, οἷον εἰ ὁ Φάλαρις κατεῖχε παῖδων. 10
ἐπιθυμῶν φαγεῖν αὐτό, ἢ πρὸς ἀφροδισίων ἄτοπον, ἤτοι ἢ ἐπιθυμῶν
συνουσιασθῆναι αὐτῷ, κρατήσει δὲ τῆς ἐπιθυμίας καὶ μὴ ἡττηθῇ, οὗτος
20 ἐγκρατὴς ῥηθῇ, οὐκ ἄνευ προσθήκης ἀλλὰ μετὰ προσθήκης ἐγκρατὴς
θηριώδης, ἤτοι διὰ τὸ κρατεῖν θηριωδῶν κακιῶν. ἔστι δὲ πολλάκις καὶ
κρατεῖσθαι, ἤτοι ἡττᾶσθαι ὑπὸ τῶν θηριωδῶν ἐπιθυμιῶν τὸν ἔχοντα ταύ-
τας καὶ μὴ μόνον ἔχειν, ἤτοι κρατεῖν, ὃς καὶ ῥηθῇ ἀκρατὴς μετὰ προσ-
θήκης, ἤτοι ἀκρατὴς θηριωδίας, ἤτοι διὰ τὸ ἡττᾶσθαι ὑπὸ θηριωδῶν 15
25 ἐπιθυμιῶν. ὥσπερ οὖν ἡ μοχθηρία, ἤτοι ἡ ἀκολασία, ἡ μὲν κατ' ἄν-
θρωπον, ἤτοι ἡ καταγινομένη περὶ τὰς ἀνθρωπικὰς ἡδονάς, ἤτοι περὶ
τὰ ἀφροδίσια τὰ ἀνθρώποις ἀνήκοντα, ἤτοι τὸ μετὰ γυναικὸς συνουσιάζειν,
ἁπλῶς μοχθηρία, ἤτοι ἀκολασία ῥηθῇ ἄνευ προσθήκης. ἡ δὲ καταγινομένη,
περὶ τὰ ἀφροδίσια τὰ μὴ ἀνθρώποις ἀνήκοντα, ἀλλὰ θηρίοις, οἷον τὸ μετὰ 20
30 ἀρρένων συνουσιάζειν, λέγεται μοχθηρία, ἤτοι ἀκολασία μετὰ προσθή-
κης, ἀκολασία θηριώδης ἢ ἀκολασία νοσηματώδης. ἁπλῶς δέ, ἤτοι 20
χωρὶς δὲ προσθήκης, οὐ ῥηθῇ ἀκόλαστος μόνον, οὗτος οὖν καὶ ἀκρασία.
ἡ μὲν ἡ μετὰ προσθήκης, ἤτοι ἀκρασία θηριώδης ἢ ἀκρασία νοσηματώ-
δης. ἀκρατὴς γὰρ νοσηματώδης ἐστὶν ὁ ἡττώμενος ὑπὸ τῶν θηριωδῶν ἐπι-
35 θυμιῶν διά τινα νόσον. οἱ γὰρ νεφρῖτιν νόσον νοσοῦντες ἐπιθυμοῦσιν
ὑπερβολικῶς συνουσιάζειν, ἐκ τούτων γὰρ ὠφελοῦνται. ἁπλῶς δέ, ἤτοι
ἄνευ προσθήκης ἀκρασία μόνη λέγεται. ἢ καὶ κυρίως ἀκρασία ἐστίν. ἡ κατὰ
τὴν ἀνθρωπικὴν ἀκολασίαν, ἤτοι ἢ καταγίνεται περὶ τὰ ἀφροδίσια τὰ 25

---

1 τοῦτον τὸν τρόπον Aristoteles: τοῦτον τρόπον Ba 8 ὁ δὲ B: ὃς δὲ a
15 νοσηματώδης δειλός B: νοσηματώδη δειλίᾳ a 16 συμβαίνει B: συμβαίνειν a
24 θηριωδίας B: θηριώδης a ὑπὸ B: ὑπὸ τῶν a 35 τινα νόσον B: τινος
νόσου a 36 τούτων B: τούτου a 38 ἀνθρωπίνην Aristoteles τὰ B:
τοῖς a

ἀνθρώπους ἀνίησιν. ἤτοι περὶ τὰς ἐν ἁφῇ ἡδονάς, περὶ ἃς καὶ
λασία καὶ ἡ σωφροσύνη καταγίνεται. καὶ ὅτι ἔστιν ἄλλο εἶδος
καταγινόμενον περὶ τὰ ἄλλα, ἤτοι περὶ θυμοὺς καὶ χρήματα καὶ
θηριώδεις ἡδονάς. ἢ οὐχ ἁπλῶς, ἤτοι οὐ κυρίως καὶ ἄνευ τ
ἀκρασία λέγεται, ἀλλὰ μεταφορικῶς καὶ καθ' ὁμοιότητά τινα
προσθήκης.

Μέλλει δεῖξαι ὅτι ἡ ἀκρασία ἡ τοῦ θυμοῦ, ἧττον κακόν ἐστι
σίας τῶν ἐπιθυμιῶν, δι' ἐπιχειρημάτων πολλῶν. ἓν μέν, ὅτ
ἔοικε τῷ ἀκούοντι πεῖν τοῦ λόγου, ἀλλ' οὐκ ἀκριβῶς, ἀλλὰ πα
ὥσπερ καὶ οἱ ὀξεῖς ὑπάρχεται, οἳ πρὸ τοῦ ἐκπληρῶσαι τοῦ δεσ
λόγον, ὃν μέλλει εἰπεῖν, ἤτοι τὸ πρόσταγμα, ὃ μέλλει κελεῦσ
ἐκθέουσιν, ἵνα τὸ προσταχθὲν ποιήσωσιν, εἶτα ἁμαρτάνο
προπετῶς, ἤτοι εἶτα οὐ καλῶς τὸ προσταχθὲν ἐνεργοῦσι διὰ
ὁλοκλήρου ἀκοῦσαι, ὅπερ ὁ δεσπότης αὐτοῖς προσέταξεν. ἀλλὰ
σαι. καὶ οἱ κύνες ὁλακτοῦσιν, εἰ κτύπον τινὰ ἀκούσωσι, μὴ
πρῶτον), εἰ ὁ προσιὼν φίλος ἢ εἴτε ἐχθρός. οὕτω καὶ ὁ θυμὸ
μὲν ὑπὸ τοῦ λόγου, ὅτι ὁ δεῖνα ἐμοίχευσεν, οὐκ ἀκοῦσαι δὲ ἐ
πρόσταγμα, εἴτε δεῖ τιμωρῆσαι αὐτὸν εἴτε μή, ὁρμᾷ πρὸς τὸ
αὐτὸν διὰ τὸ θερμὸν τῆς φύσεως. ὁ μὲν γὰρ λόγος ἢ ἡ φ
ἤτοι ἡ διάνοια αὐτοῦ. ἐδήλωσε τῷ θυμῷ, ὅτι τὸ πραχθὲν ὕβ
μοιχεύσῃ ἢ, ἢ ὀλιγωρίᾳ, ἤτοι καταφρόνησις, οὗτος δὲ μὴ ἐμμε
του. εἰ δεῖ καὶ τιμωρῆσαι αὐτὸν τὸν μοιχεύσαντα, ὥσπερ συ
μενος ὅτι ὁ δεῖνα ἐμοίχευσε. τῷ δὲ τοιούτῳ, ἤτοι τῷ μοιχε
πολεμεῖν, ἤτοι τιμωρεῖν δεῖ τὸν μοιχεύσαντα ἢ τὸν κατα
εὐθὺς χαλεπαίνει καὶ ὁρμᾷ πρὸς τιμωρίαν. ἡ δ' ἐπιθυ
εὐθὺς πρὸς ἀπόλαυσιν τοῦ ὀρεκτοῦ, εἰ μόνον εἴπῃ ὁ λόγος ὁ ὅτι
ἡ ἐπιθυμία. ὅτι τόδε ἡδύ ἐστιν, ὥστε ἐπεὶ ὁ θυμὸς ἀκολουθε
τῷ λόγῳ. ὅπως δὲ τὸ πῶς, ἵνα δείξῃ, ὅτι πῇ μὲν ἀκουσει αὐτ
παρακούει διὰ τὴν ἄγαν ὀξύτητα μὴ ἐμμένων ἐξ ὁλοκλήρου ἀκ
πρόσταγμα, ἡ δ' ἐπιθυμία τῷ ὀρθῷ οὐδ' ὅλως ἀκολουθεῖ, ὁ
διεφθαρμένῳ. λοιπὸν ἄρα αἰσχίων ἐστὶ μᾶλλον ἡ ἐπιθυμια ἀκ
ἀκρατὴς θυμοῦ, διότι ὁ μὲν θυμοῦ ἀκρατὴς ἥττηται ὑπὸ
πως. προσέθηκε δὲ τὸ πως, ἵνα δείξῃ, ὡς οὐκ ἐξ ὁλοκλήρ
ἀλλά κατά τι, ὅς, ἤτοι ὁ ἀκρατὴς ἐπιθυμίας, ὑπὸ τῆς ἐπιθ
ται), ἑκούσης αὐτῶν οὐχ ὑπὸ τοῦ λόγου.

Ἕτερον ἐπιχείρημα δεικνύον, ὅτι ὁ θυμὸς ἐστι φυσικός, ὅτι δ
σικὸς δῆλον. διότι καὶ κατὰ γενεὰς ἐπακολουθεῖ. εἰ γὰρ ὁ ἐμὸς
μώδης, καὶ ἐγὼ θυμώδης ἔσομαι καὶ ὁ ἐμὸς υἱὸς καὶ τοῦ ἐ

2 ἔστι B: ἔστι a 10 τοῦ δεσπότου a: τῶν δεσποτῶν B 11 [illegible] B
14 et Arist. codd. MbOb: προστάξεως Arist. vulg. 15 ἀκούσωσι a: ἀ
16 πῶς a: om. B 17 ἀκοῦσαι a: ἀκούσας B 18 τιμω
[illegible] a 21 ἢ γ' a: ἢ B 24 ἢ τὸν B: ἤτοι τὸν a
[illegible] B 36 ὅτι δὲ a: ὅτε δὲ B 37 ἐπακολουθεῖ B: ἐ

υἱὸς καὶ δι' ὅλης διέλθοι τῆς γενεᾶς τὸ φυσικὸν τοῦτο πάθος, ἤτοι ὁ θυμός. ἡ δὲ ἐπιθυμία οὐκ ἔστι φυσική. ἔτι ταῖς φυσικαῖς ὀρέξεσι συγγνώμη ἀκολουθεῖ, ἐπεὶ καὶ ταῖς ἐπιθυμίαις ταῖς τοιούταις μᾶλλον ὅσαι εἰσὶ κοιναί, ἤτοι τὸ ἐσθίειν τὸν πεινῶντα καὶ εἰ διψᾷ τις καὶ ἐπιθυμεῖ πιεῖν· αἱ τοιαῦται γὰρ ἐπιθυμίαι κοιναὶ πᾶσι τοῖς ἀνθρώποις καὶ φυσικαί. πᾶς γὰρ ἄνθρωπος πεινῶν ἐπιθυμεῖ φαγεῖν καὶ διψῶν ἐπιθυμεῖ πιεῖν. καὶ ἐφ' ὅσον κοιναί, ἤτοι τὸ μὴ ὑπὲρ κόρον ἐπιθυμεῖν δι' ὅλης τῆς ἡμέρας ἐσθίειν καὶ πίνειν. ἡ γὰρ τοιαύτη ἐπιθυμία ἡ ὑπερβολική, ἤτοι ἡ ὑπὲρ κόρον ψεκτή ἐστιν, οὐ συγγνωμονική. ταῖς τοιαύταις οὖν ἐπιθυμίαις κοιναῖς ταῖς μὴ καθ' ὑπερβολὴν ἐπακολουθεῖ συγγνώμη. εἰ γάρ τις ἴδῃ τινὰ πεινῶντα ζητοῦντα φαγεῖν καὶ ὀργιζόμενον διὰ τοῦτο, οὐκ ἂν αὐτὸν ψέξει, ἀλλὰ συγγνωμονήσει. οἶδε γὰρ ἀκριβῶς, ὡς ἡ φύσις αὐτὸν καταναγκάζει φαγεῖν, ὁ δὲ θυμὸς καὶ ἡ χαλεπότης φυσικωτέρα ἐστὶ τῶν ἐπιθυμιῶν τῶν καθ' ὑπερβολὴν καὶ τῶν μὴ ἀναγκαίων. ἤτοι τῆς ἐπιθυμίας τῶν χρημάτων καὶ νίκης. οἷον εἴ τις ἐπιθυμεῖ ὑπερβολικῶς κερδαίνειν ἢ νικᾶν. οἷόν τις ἔτυψε τὸν ἑαυτοῦ πατέρα. ἐλκόμενος δὲ εἰς τὸ δικαστήριον ἔλεγε "καὶ οὗτος ὁ ἐμὸς πατὴρ τὸν ἑαυτοῦ πατέρα ἔτυψε καὶ ὁ πατὴρ τοῦ πατρός μου τὸν ἑαυτοῦ πατέρα καὶ οὗτος ὁ ἐμὸς υἱὸς ἐμὲ τύψει, ὅταν ἀνδρωθῇ. συγγενὴς γάρ ἡμῖν ὁ θυμός." ταῦτα δὲ ἔλεγε, δεικνύων ὅτι ὁ θυμὸς αὐτοῖς φυσικῶς ἕπεται καὶ κατὰ διαδοχὴν τοῦ γένους καὶ διὰ τοῦτο ζητῶν συγγνώμην, καὶ πάλιν εἵλκετό τις ὑπὸ τοῦ υἱοῦ κατὰ βίαν, εἶτα καταντήσας πρὸς τὰς θύρας ἐκέλευσε τὸν ἑαυτοῦ υἱὸν παύεσθαι, ὅταν πρὸς ταῖς θύραις ἐγγίσῃ, ἐπεὶ καὶ ἐγὼ τὸν ἐμὸν πατέρα ἑλκύσας ἐνταῦθα, ἤτοι ἐπὶ τῶν θυρῶν τοῦ δικαστηρίου γενόμενος, αὐτὸν ἀπέλυσα.

Τρίτον ἐπιχείρημα, ὅτι ἀδικώτεροί εἰσιν οἱ ἐπίβουλοι. ὁ μὲν θυμώδης οὐκ ἐπίβουλός ἐστιν, οὐδὲ ὁ θυμὸς ἐπίβουλός ἐστιν, ἤτοι λάθρα χωρῶν κατὰ τοῦ ἀδικήσαντος. ἀλλὰ φανερός ἐστιν. φανερῶς γὰρ χωρεῖ κατ' αὐτοῦ. ἡ δ' ἐπιθυμία ἐπίβουλός ἐστιν. λάθρα γὰρ καὶ μετὰ δόλου ἐπεισβάλλει τῷ ὀρεκτῷ. εἰ γάρ τις ἐπιθυμεῖ συνδυασθῆναι κόρῃ τινί, οὐ φανερῶς καὶ εὐθὺς αὐτὴν μοιχεύει, ἀλλὰ βουλεύεται πῶς ἂν μοιχεύσῃ αὐτὴν λάθρα, καὶ οὐκ ἄν τις νοήσῃ αὐτόν, ὡς καὶ Ὅμηρος τὴν Ἀφροδίτην δολοπλόκον ὀνομάζει. ἡ γὰρ Ἀφροδίτη ἐπιθυμία ἐστίν, ἡ δ' ἐπιθυμία οὐ φανερῶς ἐπεισέρχεται τῷ ὀρεκτῷ, ἀλλὰ μετὰ δόλου καὶ λάθρα, καὶ ὁ κεστὸς ἱμὰς τῆς πορφύρας, ἤτοι ὑπάτη ἐστίν. ἤτοι ἐκλεκτὸς καὶ τῶν νεῶν τῶν φοινικῶν. καὶ ἐνταῦθα γὰρ κλοπὴν εἰπὼν τὴν λαθραίαν ἀπάτην ἐδήλωσεν. ὥστ' ἐπεὶ ὁ θυμὸς οὐκ ἔστιν ἐπίβουλος, ἡ δ' ἐπιθυμία ἐπίβουλός ἐστιν, οἱ δ' ἐπίβουλοι

1 διέλθοι B: διέλθῃ a τοῦτο πάθος B: τοῦτο τὸ πάθος a 3 ἀκολουθεῖ B: ἀκολουθῇ a 5 πιεῖν corr. ex ποιεῖν B: πιεῖν a 7 ὅσον corr. ex ὅσων B: ὅσον a ὑπὲρ B: ἔχουσα a 9 ἡ ὑπὲρ B: ὑπερέχουσα a συγγνωμονική a: συγγνωμονητέα B 10 κοιναῖς B: om. a 14 τῶν μὴ B: τὸν μὴ a 19 τύψει B: τύψοι a 21 ζητῶν B: ζητεῖ a 32 idem error qui Heliodori p. 146,38

εἶσιν. ἤτοι οἱ λάθρα βλάπτοντες καὶ κρύφα, ἀδικώτεροι τοῦ φανερ
πτοντος. ἴσως γάρ τις ἐκφύγῃ τὸν ἐπιχειροῦντα βλάψαι αὐτὸ
λοιπὸν ἄρα καὶ ἡ ἀκρασία τῆς ἐπιθυμίας ἀδικωτέρα καὶ αἰσχίω
ακρασιας τῆς ἐπὶ τὸν θυμόν, καὶ ἔστιν ἡ ἀκρασία τῆς ἐπιθυμί
ἀκρασία καὶ κακία πως. προσέθηκε δὲ τὸ πως, ἵνα δείξ
πρὸς τὴν ἀκρασίαν τὴν περὶ τὸν θυμόν ἐστιν ἡ ἀκρασία τῆς
ἁπλῶς ἀκρασία καὶ κακία καὶ αἰσχροτέρα καὶ ἀδικωτέρα ὑπάρχ
δὲ πρὸς τὴν ἁπλῶς ἀκρασίαν καὶ κακίαν συγκρινομένη, ἡ περ
θυμίαν ἀκρασία μερικὴ ἐστι καὶ καθ' ὁμοιότητα λεγομένη οὐ
κακία ἐστιν. αὕτη γὰρ ἡ περὶ ἐπιθυμίαν ἀκρασία, ἀλλὰ μερι
κακίᾳ τῇ ἁπλῶς ἐγγίζουσα. ὕβριν ἐνταῦθα τὴν μοιχείαν νοητέ

Τέταρτον ἐπιχείρημα. ἔτι οὐδεὶς ὑβρίζει, ἤτοι μοιχε
πούμενος. πᾶς γὰρ ὁ μετὰ θυμοῦ καὶ ὀργῆς τι ποιῶν,
ποιεῖ. ἡ γὰρ ὀργὴ ὄρεξις ἀντιλυπήσεώς ἐστιν, ὁ δ' ὑβρίζων, ἤ
ων, μεθ' ἡδονῆς μοιχεύει διὰ τὸ ἐπιθυμεῖν αὐτῆς. εἰ οὖν τ
ἀδικώτερα τὰ παθη, οἷς οὐδὲν μᾶλλον ὀργίζεσθαι, λοιπὸν ἄρα
ἐπιθυμίαν ἀκρασία ἀδικωτέρα ἐστιν. εἰ γάρ τινα ἴδωμεν ἀκρατε
ἐπιθυμίαν ὑπερβολικὴν χρημάτων καὶ κέρδους καὶ ἀφροδισίω
ὀργιζόμεθα κατ' αὐτοῦ καὶ φερόμεθα παρὸ εἰ ἴδωμέν τινα ὑ
θυμούμενον· θυμοῦται γὰρ διὰ τὸ ἀδικηθῆναι· οὐ γάρ ἐστιν
μοιχεία καὶ συνδυασμὸς ἐν θυμῷ, ἤτοι μετὰ θυμοῦ γενόμενο
ἡ ἐγκρατεια καὶ ἡ ἀκρασία περὶ τὰς σωματικὰς ἡδονάς, ἤτοι π
ὀργὴ ἡδονὰς καταγνωσται.

Αὐτῶν δὲ τούτων τῶν σωματικῶν ἡδονῶν τὰς δια
ἀφεῖν. Μέλλει γὰρ ἰδεῖν τὰς διαφορὰς τῶν σωματικῶν ἡδονῶν
εἰπεῖν περὶ ποίας ἡδονὰς καταγίνεται ἡ σωφροσύνη ἡ ἀκολασία
τούτων οὖν τῶν σωματικῶν ἡδονῶν αἱ μέν εἰσιν ἀνθρωπικαὶ κ
ἐν τῷ γένει, ἤτοι τῷ ὑποκειμένῳ, καὶ ἐν τῷ μεγέθει. ἤτοι
ὑπερβάλλειν, οἷον ἀνθρωπικὴ ἡδονή ἐστι τὸ ἐσθίειν ἄρτον καὶ γ
ὀνειδίζεσθαι, ἀλλ' εἰ μὴ ὑπὲρ κόρον καὶ ὑπερβολικῶς ἐσθίειν. τ
ἀνθρωπική, εἰ δ' ὑπερβολικῶς καὶ ὑπὲρ κόρον, θηριωδία μᾶλλο
οὐκ ἀνθρωπική. αἱ δὲ τῶν ἡδονῶν εἰσι θηριώδεις, οἷον τὸ ἐσθ
ἀνθρώπων, αἱ δέ εἰσι τῶν ἡδονῶν διαπεπρώσεις. ἀπὸ δὲ τ
ἡδονῶν ἡ σωφροσύνη καὶ ἡ ἀκολασία περὶ τὰς πρώτας μόνον
ταγίνεται, ἤτοι περὶ τὰς ἀνθρωπικὰς ἡδονας, ἤτοι περὶ τὰ
ἀφροδίσια. διὸ καὶ τὰ θηρία οὔτε σώφρονα οὔτε ἀκόλ
γεσθαι εἶναι, ἀλλὰ μεταφορικῶς καὶ καθ' ὁμοιότητα λέγομεν
σώφρονα καὶ ἀκόλαστα. καὶ εἴ τινι ὅλως ἕτερον γένος
διαφέρει ἑτέρου, ἤτοι ἐν ὕβρει ἤτοι ἐν ὀχείᾳ· οἷον οἱ ἵπποι

1 ἐκφύγῃ scripsi: ἐκφυγης B: ἐκφύγει a 5 πως prius B: om. a
8 ἡ ἀκρασία a 10 γὰρ a: om. B 17 ἀντιλυπήσεως B: ἀντιλυπ
21 δ' B: om. a 21 γενόμενος B: γινόμενος a 24 Αὐτῶν — λαβεῖν

τῶν ἄλλων ζῴων ἐν τῷ εἶναι ὀχευτικοὶ μᾶλλον τῶν ἄλλων, ἢ ἐν τῷ εἶναι 126r
σινάμωρα, ἤτοι βλαπτικά, ὡς οἱ λέοντες. ὡς οἱ λύκοι, ἢ ἐν τῷ εἶναι παμφάγα. κατὰ γοῦν τὰς διαφορὰς ταύτας, καθ' ἃς ἀλλήλοις τὰ ζῷα διαφέρουσι, τὰ μὲν λέγομεν ἀκόλαστα ὡς τοὺς ἵππους, τὰ δὲ σώφρονα. εἶτα
5 λέγει καὶ τὴν αἰτίαν, δι' ἣν τὰ ζῷα οὔτε ἀκόλαστα οὔτε σώφρονα λέγεται κυρίως καὶ φησίν, ὅτι ὁ μὲν σώφρων προαιρούμενος ποιεῖ τὰ σώφρονα 30
καὶ λογισμὸν ἔχει, ἤτοι καὶ τὸν λόγον ἔχει ἐρρωμένον· ὁμοίως δὲ καὶ ὁ ἀκόλαστος προαιρούμενος ἀκολασταίνει, ἔχει δ[ὲ] καὶ τὸν λόγον, ἀλλὰ διεφθαρμένον. τὰ δὲ θηρία οὔτε προαίρεσιν ἔχει οὔτε λογισμόν, ἤτοι
10 οὔτε τὸν λόγον, ἀλλ' ἐξέστηκε τῆς φύσεως. οὐ τοῦτό φησιν, ὅτι ἔξω τῆς φύσεως τοῦ ἀλόγου ἐγένοντο καὶ λογικὴν φύσιν ἔλαβον, ἀλλ' ὅτι 35
τὰ θηρία ἐοίκασι τοῖς ἐξεστηκόσι τῆς φύσεως, ἤτοι τοῖς μαινομένοις. ὡς γὰρ οἱ μαινόμενοι προαίρεσιν οὐκ ἔχουσιν ἀλλ' ἀπροαιρέτως ὁρῶσιν ὃ ἂν ὁρῶσιν οὔτε λόγον ἔχουσι (τῶν γὰρ μαινομένων καὶ ὁ λογισμὸς καὶ ὁ
15 λόγος διέφθαρται), οὕτω καὶ τὰ θηρία οὔτε λογισμὸν οὔτε προαίρεσιν ἔχουσιν. ἄνευ λογισμοῦ γὰρ καὶ βουλῆς καὶ διανοίας τὰ θηρία εἰσίν. ἡ δὲ 40
θηριότης ἡ ἐν τοῖς θηρίοις οὖσα ἔλαττον κακόν ἐστι τῆς κακίας. φοβερωτέρα δέ ἐστι ἡ θηριότης.

Εἶτα λέγει καὶ τὴν αἰτίαν, πῶς ἡ θηριότης ἔλαττον κακόν ἐστι τῆς
20 κακίας καί φησι, διότι οὐκ ἐν τοῖς θηρίοις ἔνι μὲν τὸ βέλτιστον, ἤτοι ὁ λόγος, διέφθαρται δέ, ἤτοι ἐστὶ διεφθαρμένος, ὡς καὶ ὁ ἄνθρωπος ὁ 45
ἀκόλαστος ἔχει μὲν τὸν λόγον, ἀλλ' ἔχει αὐτὸν διεφθαρμένον. ἀλλ' οὐδ' ὅλως ἔχουσι τὰ θηρία λόγον ἀλλὰ πάντα διέφθαρται. εἶτα φησίν, ὅτι οὐδὲ δεῖ συγκρίνειν ὅλως τὴν θηριότητα πρὸς τὴν κακίαν, ὡς οὐδὲ τὸ
25 ἄψυχον πρὸς τὸ ἔμψυχον· ἀσύμβλητα γάρ εἰσι ταῦτα. εἰ γάρ τις θηριότητα πρὸς τὴν κακίαν συμβάλλει, ταὐτὸν καὶ ὁμοιόν ἐστι καὶ εἰ ἔμψυχον 50
συγκρίνει πρὸς ἄψυχον, πότερον, ἤτοι ποῦόν ἐστι, κάκιον, ἡ δικαιοσύνη, ἄψυχος οὖσα καὶ ἕξις, ἢ ὁ δίκαιος ἔμψυχος ὤν. δείκνυσιν ὅτι ἡ τῶν θηρίων φαυλότης, ἤτοι θηριότης τῶν θηρίων, τῶν μὴ ἐχόντων ἀρχήν,
30 ἤτοι νοῦν (ὁ γὰρ νοῦς ἀρχὴ πάντων) ἀσινεστέρα ἐστι τῆς κακίας τῶν ἀνθρώπων τῷ λόγῳ καὶ νοῒ διοικουμένων. ὁ μὲν γὰρ ἄνθρωπος μετὰ 55
σκέψεως καὶ βουλῆς ἐπιχειρεῖ βλάψαι τινά, τὸ δὲ θηρίον ἀπερισκέπτως πρὸς βλάβην ἐπιχειρεῖ. καὶ διὰ τοῦτο ἀβλαβέστερόν ἐστι. τὸ συγκρίνειν 126v
οὖν θηριότητα πρὸς κακίαν παραπλήσιόν ἐστιν, εἴ τις συγκρίνει ἄψυχον, ἤτοι
35 ἀδικίαν, πρὸς ἔμψυχον, ἤτοι ἄδικον. ἡ γὰρ σύγκρισις ὁμοίων ὀφείλει εἶναι, ἕξεως πρὸς ἕξιν, καὶ ἐκτοῦ πρὸς ἐκτόν. οὐ γάρ τις νοῦν ἔχων τὴν ἕξιν 5
ἄψυχον οὖσαν συγκρίνοι πρὸς τὸ ἐκτὸν ἔμψυχον ὄν. ἐμψύχου σύγκρισις πρὸς ἔμψυχον ὀφείλει εἶναι καὶ ἀψύχου πρὸς ἄψυχον. ἔστι γὰρ ὡς ἑκάτερον, ἤτοι ἡ ἀδικία καὶ ὁ ἄδικος, κάκιον ἑκατέρου, ἤτοι ἀλλήλων·
40 ἐπεὶ οὖν ὁ ἄδικος βλαπτικός ἐστι καὶ κακὸς διὰ τὸ μετέχειν τῆς ἀδικίας, πολλῷ μᾶλλόν ἐστι κακιώτερον, ἤτοι φαυλότερον, ἡ ἀδικία. εἰ γὰρ τὸ προσ-

2 σινάμορρα B: σινώμορρα a 26 συμβᾶι B: συμβάλλη a 27 συγκρίνει a: συγκρίνη B 33 βλάβην B: βλάβη a 37 ἔμψυχον a: ἔμψυχα B 38. 39 ὡς ante ἑκάτερον Diels: ὡς post ἀλλήλων Ba

ἐγγίζον τῷ πυρὶ θερμαίνεται, πολλῷ μᾶλλον ἔσται τὸ πῦρ θε
ἡ δὲ πάλιν ἡ ἀδικία πρᾶγμα ἄψυχόν ἐστι, καὶ διὰ τὸ ἄψυχον
δυνάμενον βλάψαι τινὰ αὐτὸ καθ' αὐτὸ θεωρούμενον, ὁ δὲ
ται βλάπτειν, λοιπὸν ἄρα ὁ ἄδικος φαυλότερον τῆς ἀδικίας ἐστί
ἀδικία ἐστὶ μὲν ὡς φαυλοτέρα, ἔστι δ' ὡς ἧ φαῦλον οὐκουν.
γὰρ κακόν, καθὸ τὸ μὲν ἄλογόν ἐστι καὶ μὴ δυνάμενον βουλεύ
λογικὸν καὶ βουλευτικόν.

Περὶ δὲ τὰς ὀφρῆς ἡδονὰς καὶ γεύσεως, περὶ
φροσύνη διωρίσθη καταγίνεσθαι, ἔστι μέν τινας οὕτως ἔχο
10 ἐπιθυμίας τὰς τοιαύτας, ὥστε καὶ ἡττᾶσθαι ὑπὸ τῶν ἐπιθυμιῶ
πολλοὶ κρείττους εἰσὶ καὶ οὐχ ἡττῶνται, οἷον εἴ τις ἐπ
πιον. ὄνασαι κρατεῖται τῆς ἐπιθυμίας ταύτης, κἂν χυδαῖος
τις, οἱ ἡττῶνται καὶ ὑπὸ τῶν ἐπιθυμιῶν, ὧν οἱ πολλοὶ κρα
τεῖς δέ τινες οἱ κρατοῦσι καὶ τῶν ἰσχυρῶν ἐπιθυμιῶν, ἤτοι τ
15 σίων, ὧν ἡττῶνται οἱ πολλοι. ἡττῶνται γὰρ ὑπὸ τῶν ἀφροδ
νάμενοι ὀλιγάκις, ὅτι ἡ μοιχεία κακὸν ἐστιν. ἀπὸ τούτων τῶν
των ὧν οἱ πολλοὶ ἡττους εἰσὶ καὶ τῶν μὴ κρατουμένων, ὧν οἱ
ἡττους ἐστιν. ὁ μὲν περὶ ἡδονας, ἤτοι ὁ ἡττώμενος ὑπὸ τῶ
ῶν, ὧν οἱ πολλοὶ οὐχ ἡττῶνται, ἀκρατής ἐστιν, ὁ δὲ κρατῶν ὧ
20 ἡττῶνται, ἐγκρατής· ὁ δὲ περὶ λύπας, ἤτοι ἡττώμενος ὑπὸ
ὧν οἱ πολλοὶ οὐχ ἡττῶνται, μαλακός ἐστι. τὸ οὖν ἀπολέσαι φ
λύπην ἐπάγει τινί· ταύτης δὲ τῆς λύπης καὶ ὁ τυχὼν ὀδυνατ
ὁ οὖν ἡττώμενος τοιαύτης λύπης μαλακός ἐστιν. οὐχ ὅτι δὲ καὶ
καὶ ἡ ἐγκράτεια οὐ περὶ λύπας καταγίνεται, διὰ τοῦτο εἶπεν.
μαλακὸς περὶ λύπας καταγίνεται. καταγίνεται γὰρ καὶ ἡ ἀκρ
ἐγκράτεια καὶ περὶ λύπας, ἀλλὰ μᾶλλον περὶ ἡδονὰς καταγίνετ
ἀπουσίᾳ τῶν ἡδονῶν οὐ λυπεῖται ὁ ἐγκρατής. ὁμοίως δὲ καὶ
καὶ περὶ ἡδονὰς καταγίνεται, ἀλλὰ μᾶλλον περὶ λύπας καταγ
γὰρ ἐπιθυμίας καὶ τῆς τυχούσης ἀπουσης λυπειται ὁ μαλακ
30 ἐπιθυμεῖ οἴνων Πράμνιον πιεῖν καὶ τὴν ἐπιθυμίαν οὐ δύναται
λυπεῖται σφόδρα ὁ μαλακὸς καὶ τὴν ζωὴν ἀπολέγεται. ταύτ
λύπης τῆς ἐπιγινομένης ἐκ τοῦ μὴ δύνασθαι πιεῖν οἴνον Π
πολλοὶ κρείττους εἰσίν. ὁ δὲ κρατῶν τῆς λύπης, ἥς οἱ πολλ
οὐκ εἰσι, λέγεται καρτερικός, οἷον εἴ τις περιπεσὼν μεγάλῳ κι
γενναίως καὶ οὐ λυπεῖται, ἀλλὰ τῆς λύπης τῆς ἐκ τοῦ μεγάλ
σθαι ἐπιγινομένης αὐτῷ περιγίνεται καὶ κρατεῖ ἧς οἱ πολλ
οἱ δὲ ἕξεις τῶν πολλῶν μεταξύ εἰσιν, ἤτοι μεσότητές εἰσιν.
μεσότης ἀρετή ἐστι, διὰ τοῦτο εἶπεν ὅτι εἰ καὶ μεσότης ἐστιν, α
ὁ χείρων ῥᾳστ. μεσότητας γὰρ λέγει τας ἐν τοῖς τῶν
οὔσας τῶν τε μαλακῶν καὶ καρτερικῶν. οἱ γὰρ πολλοὶ ἡττῶν

φαλοτέρα B: φαυλότερον a 6 βουλεύσασθαι B: βουλεύεσθαι
ν Ba 18 ἡδονὰς B: ἡδονὰ a 32 τοῦ B: τούτων a ὁ a
B: αὐτὸ a περιγίνεται B: περιγίνονται a κρατεῖ a: κρατοῦ

τῶν λυπῶν, ὧν ὁ καρτερικὸς κρείττων ἐστί, κρατοῦσι δὲ τῶν λυπῶν, ὧν 126ᵛ
ὁ μαλακὸς ἡττᾶται, καὶ πάλιν κρατοῦσι τῶν ἡδονῶν οἱ πολλοί, ὧν ὁ ἀκρατὴς ἡττᾶται, ἡττῶνται δὲ τῶν ἡδονῶν, ὧν ὁ ἐγκρατὴς κρείττων ἐστίν. εἰ οὖν οἱ πολλοὶ μεταξύ εἰσι τῶν ἀκρατῶν καὶ ἐγκρατῶν, ἀλλ' οὐν πρὸς τὰς χείρους ἡδονὰς ῥέπουσιν.

Ἐπεὶ δέ τινες τῶν ἡδονῶν ἀναγκαῖαι μέχρι τινός (τὸ γὰρ φαγεῖν ὅταν ἄχρι τοῦ πληρῶσαι τὴν γαστέρα ἀναγκαῖόν ἐστι, τὸ δὲ ὑπὲρ κόρον καὶ ὑπερβολικῶς δι' ὅλης ἡμέρας ἐσθίειν ἀναγκαῖον οὐκ ἔστιν), αἱ δὲ τῶν ἡδονῶν, οἷον τὸ ἥδεσθαι τιμᾶσθαι πλουτεῖν ἀναγκαῖον οὐκ ἔστι, καὶ ἐν ταῖς ἡδοναῖς ταῖς ἀναγκαίαις καὶ ταῖς μὴ ἀναγκαίαις οὔτε αἱ ὑπερβολαί εἰσιν ἀναγκαῖαι οὔτε αἱ ἐλλείψεις. τὸ γὰρ μηδ' ὅλως ἥδεσθαι ψεκτόν ἐστι. τὸ δὲ ὑπερβολικῶς ἥδεσθαι καὶ πίνειν καὶ ἐσθίειν καὶ πλουτεῖν περιττόν ἐστι καὶ οὐκ | ἀναγκαῖον. ὁμοίως δὲ ἔχει καὶ περὶ τὰς ἐπιθυμίας καὶ λύπας· ὁ 127ʳ
μὲν διώκων, ἤτοι ἐπιζητῶν, τὰς ὑπερβολὰς τῶν ἡδέων, ἤτοι τὸ ὑπερβολικῶς ἥδεσθαι, ἢ καθ' ὑπερβολάς, ἤτοι ἢ ζητεῖν τὰς ἰσχυροτάτας καὶ μεγάλας τῶν ἡδονῶν καὶ ἐπιθυμιῶν, ἤτοι τὰ ἀφροδίσια, ἢ κἂν μικραί εἰσιν αἱ ἡδοναί, οἷον τὸ πλουτεῖν, τὸ τιμᾶσθαι αἱρούμενος τὸ ὑπερβάλλειν ἔχειν ἐν ταύταις, ἤτοι τὸ ὑπερβολικῶς ἥδεσθαι ἢ ζητῶν ταύτας τὰς ἡδονὰς διὰ προαίρεσιν, ἤτοι μετὰ προαιρέσεως καὶ οὐκ ἀπροαιρέτως καὶ δι' αὐτάς, ἤτοι αὐτὰς καθ' αὑτὰς ἀγαπᾶν τὰς ἡδονὰς τὰς τοιαύτας καὶ μὴ δι' ἕτερον ἀποβαῖνον, ἀκόλαστόν ἐστιν. εἰ γὰρ ἀγαπᾷ μοιχεύειν διὰ τὸ κερδαίνειν, οὐκ ἀκόλαστος ῥηθῇ οὗτος ἀλλὰ φιλοχρήματος. ὁμοίως καὶ εἰ μοιχεύσι γυναῖκα τυράννου τις δι' ἕτερον ἀποβαῖνον, ἤτοι διὰ σωτηρίαν τῆς πόλεως, ἵν' ἰσχύσῃ διὰ τούτου καταβαλεῖν τὸν τύραννον, οὐκ ἀκόλαστος οὗτος ῥηθῇ. ἀνάγκη γὰρ τὸν ἀκόλαστον τὸν μετὰ προαιρέσεως ζητοῦντα τὰς ἡδονὰς μὴ εἶναι μεταμελητικόν, ὥστε εἶναι καὶ ἀνίατον τὸν ἀκόλαστον. ὁπισθεν μὲν ἔλεγεν, ὅτι ὁ ἀκόλαστός ἐστιν εὐιατότερος τοῦ ἀκρατοῦς· ἔλεγε δὲ τοῦτο, οὐχ ὅτι καὶ αὐτὸς τοῦτο δοξάζει ἀλλ' ὡς δόξα ἂν ἑτέρων τινῶν. ἡ δόξα δὲ τοῦ Ἀριστοτέλους ἐστὶ τοῦτο, ὅτι ὁ ἀκρατής ἐστι μᾶλλον εὐιατότερος τοῦ ἀκολάστου, ἅτε καὶ τὸν λόγον ἔχων ἐρρωμένον, ὁ δ' ἀκόλαστος ἀνίατός ἐστιν. ὁ δ' ἐλλείπων, ἤτοι ὁ μηδ' ὅλως θέλων ἥδεσθαι, ἐστὶν ἠλίθιος, ὃς ἀντίκειται τῷ ἀκολάστῳ. ὁμοίως δὲ ἀκόλαστός ἐστι καὶ ὁ φεύγων τὰς λύπας τὰς ἐπιγινομένας αὐτῷ τῇ ἀπουσίᾳ τῆς ἡδονῆς, ἀλλὰ φεύγει αὐτὰς μὴ ἀπροαιρέτως διὰ τὸ ἡττᾶσθαι τῶν ἰσχυρῶν ἐπιθυμιῶν καὶ ἡδονῶν καὶ διὰ τοῦτο μὴ ἐῶμενος λυπεῖσθαι, ἀλλὰ διὰ προαιρέσεως. ἤτοι μετὰ προαιρέσεως.

Τῶν δὲ μὴ προαιρουμένων, ἤτοι τῶν δ' ἀπροαιρέτως ἡττωμένων ὁ μέν, ἤγουν ὁ ἀκρατής, ἄγεται, ἤτοι ἡττᾶται ὑπὸ τῆς ἡδονῆς καὶ ἕλκεται ὑπ' αὐτῆς ἀπροαιρέτως, ὁ δέ, ἤτοι ὁ μαλακός, ἄγεται ἀπροαιρέτως ὑπὸ τῆς λύπης τῆς τυχούσης καὶ ἧς οἱ πολλοὶ κρατοῦσι, διὰ τὸ

17 αἱρούμενος a: αἱρούμενον B 18 ζητῶν B: ζητεῖν a 20 αὐτὰς B (αὐτὰς Arist.): αὐτῶν a 24 καταβαλεῖν B: καταβαλλεῖν a 27 ὁπισθεν] c. 3 p. 1146ᵃ33
28 δόξαν a: δόξαν B

μηδ' ὅλως αἱρεῖσθαι λυπεῖσθαι ἐν τῷ τὴν ἐπιθυμίαν ἀπεῖναι, ἀλλ
λειν ἥδεσθαι καὶ τὴν ἐπεισελθοῦσαν αὐτοῖς ἐπιθυμίαν ἐκπληρο
διαφέρουσιν ἀλλήλων ὁ τε ἀκρατὴς καὶ ἀκόλαστος. ὁ μὲ
λαστος μετὰ προαιρέσεως ζητεῖ τὴν ἡδονήν, ὁ δ' ἀκρατὴς οὐ
παντὶ δὲ δοκεῖ χείρων εἶναι ὁ ἀκόλαστος, ὃς καὶ μὴ ἐπι
ἡρ μα. ἤτοι ἢ καὶ μικρῶν ἐπιθυμῶν, πράττει τὰ αἰσχρὰ καὶ
ὅτανοὖν οὐ προσκυλιεται παρὸ ὁ ἀκρατής, ὃς σφόδρα ἐπιθυμ
της ἡδονῆς καὶ χειρων ἐστίν. ὃς καὶ μὴ ὀργιζόμενος τύπτει
εἰ τύπτει ὀργιζόμενος. εἰ γάρ τις καὶ μὴ ὀργιζόμενος τύπτει,
θει ὧν, ἤτοι εἰ ὀργισθείη. τί ἂν ποιήσῃ; εἰ οὖν καὶ μὴ ἐ
ἀκόλαστος μοιχεύει, εἰ ὑπὸ σφοδρᾶς ἡδονῆς κολάζεται. τί ἂν π
δὲ λεχθέντων τὸ μὲν μαλακίας εἶδός ἐστιν. ἤτοι μαλακός ἐστ
μενος ὑπὸ τῶν λυπῶν. ὧν οἱ πολλοὶ οὐχ ἥττωνται, ὁ δέ, ὁ ἥττ
τῶν ἡδονῶν. ὧν οἱ πολλοὶ ἥττωνται, ἀκρατής ἐστι. τὸ γὰρ κ
ἐστιν ἐν τῷ ἀντέχειν. ἤτοι ἐν τῷ μὴ ἐνδιδόναι. ἤτοι μὴ ἡττ
τῶν σφοδρῶν λυπῶν, ὧν οἱ πολλοὶ ἥττωνται. ἡ ὁ ἐγκρατεια ἐ
κρατεῖν τῶν ἡδονῶν, ὧν οἱ πολλοὶ ἥττωνται. ἕτερον δέ ἐστι τ
καὶ κρατεῖν. ὁ γὰρ ἀντέχων καὶ μὴ ἐνδιδοὺς οὐκ ἤδη καὶ κρατε
δὲ τοῦ ἀντέχειν τὸ κρατεῖν, ὥστε καὶ ἡ ἐγκράτεια αἱρετωτέρα ἐ
τερίας καὶ μᾶλλον ἀγαθόν ἐστιν. ὁ δ' ἐλλείπων, ἤτοι ὁ ἡττ
τῶν λυπῶν, πρὸς ἃς οἱ πολλοὶ διϊσχυρίζονται καὶ ἀντιτείνουσι
των κρατεῖν αὐτῶν, μοχθηρός ἐστιν. ἡ προαίρ μοχθηρά ἐστιν. ὃς ἐ
τύραν. τὸ ἱμάτιον αὐτοῦ κάτω ἐν τῇ γῇ καὶ ὄκνει ἀναστῆναι
νη ποιήσῃ. (ἤτοι ἐνεργήσῃ) καὶ προξενήσῃ αὐτῷ τὴν λύπην
μένην αὐτῷ ἀπὸ τοῦ ἀέρειν, ἤτοι τοῦ σύρειν, καὶ μιμούμ
κάμνοντα. ἤτοι τὸν νοσοῦντα, ὃς οὐ δύναται ἀναστῆναι τὸ αὐτ
ἀλλ' ἀδυνατεῖ καὶ τὴν χεῖρα κινῆσαι, καὶ ἀθλίῳ, ἤτοι νοσοῦντ
ὧν, οὐκ οἴεται ἄθλιος εἶναι, ἤτοι νοσῶν. οὐδὲ γὰρ ἂν τ
ὑπὸ ἰσχυρῶν καὶ μεγάλων ἡδονῶν, θαυμαστός ἐστιν οὐδ' ἀκρατ
ἀλλὰ συγγνωμονικός, οὐδ' ἂν ἥττᾶται ὑπὸ λυπῶν μεγάλων θαυμ
οὐδὲ μαλακὸς λέγεται ἀλλὰ συγγνωμονικός ἐστιν, εἰ ἀντιτείνων
μεγάλας λύπας ὕστερον ἡττηθῇ ὑπ' αὐτῶν.

Ὁ Θεοδέκτης τραγικὸς ἦν, καὶ παράγει τὴν χεῖρα δεδηγμ
Φιλοκτήτην ὑπὸ τοῦ ὄφεως, καὶ ὑπὸ τῶν πολλῶν αὐτοῦ πρὸς
καὶ τοὺς πόνους, ὕστερον δὲ ἡττήθη καὶ ἐβόα· κόψατε τὴν ἐμ
οὗτος οὐκ ὢν ὁ χρήστιστα μοχθηρός, ὅστις ἡττηθῇ ὑπὸ τῶν λυπῶ

1 θέλειν B: θέλει a 5 χείρων Aristoteles: χεῖρον Ba 7 προσκυλίεται B: π
καὶ μὴ Ba et Arist. codd. KbNb: καὶ εἰ μὴ Arist. vulg. 8. 9 παρὸ ει
τ a 10 ὀργισθείη a: ὀργισθῇ B 13 ὁ alterum B: om. a 14 καρ
toteles: κρατοῦν B 15 ἐστιν] γ' a: ἦν B 17 ἀντέχειν
ὢν B: ἀγαθὴ a 24 ἤτοι ἐνεργήσῃ a: om. B 25 τοῦ
νοσοῦντα B: τῷ νοσοῦντι a 28 ἂν τις B: εἴ τις a

γὰρ ἦσαν αὗται), ἀλλὰ συγγνωμονικός ἐστι. καὶ ὁ Καρκῖνος τραγικὸς ἦν, 127r
ὁ δὲ Κερκύων εἶχε θυγατέρα τὴν Ἀλόπην. μαθὼν δὲ ὅτι ἐμοιχεύθη ἡ 11
αὐτοῦ θυγάτηρ Ἀλόπη ἠρώτησεν αὐτήν, τίς ἦν ὁ μοιχεύσας, λέγων εἴ μοι
τοῦτον εἴποις, οὐδ' ὅλως ἂν λυπηθῇς. εἶτα εἰποὺσης τῆς Ἀλόπης τὸν
αὐτὴν μοιχεύσαντα, οὐκέτι ὁ Κερκύων ὑπὸ τῆς λύπης ἔφερε ζῆν, ἀλλὰ
καὶ τὸ ζῆν ἀπελέγετο. οἷον καὶ ὁ Κερκύων, ὁ ὑπὸ τοῦ Καρκίνου παρα-
γόμενος, ἡττηθεὶς ὑπὸ τῶν λυπῶν οὐ μαλακὸς ῥηθῇ. ὥσπερ καὶ ὁ πει-
ρώμενος κατέχειν τὸν γέλωτα, εἶτα ἀθρόον ἐκαγχάζει, οὕτως καὶ ὁ Κερ- 15
κύων μέχρι μὲν πολλοῦ πρὸς τὴν λύπην ἀντέτεινεν, εἶτα ἡττήθη. καὶ ὁ
Ξενόφαντος ἐπειρᾶτο κατέχειν τὸν γέλωτα, ἀθρόον δ' ἐκάγχασεν. ἢ πρὸς
τὸ ἄωρον ἀποδοτέον. ὅτι καὶ ὁ Ξενόφαντος ὑπὸ ἄωρου ὀργῆς τῆς ζοφε-
ἐμίσει καὶ τὴν λύπην οὐκ ἔφερεν, ἢ τὸν γέλωτα πειρώμενος κατέχειν
ἀθρόον ἐκαγχάσεν. ἀλλ' εἴ τις πρὸς ὃς λύπας ου πολὺ ὑπάρχει ἀν-
τέχειν, ὑπὸ τούτων ἡττᾶται καὶ μὴ δύναται ἀντέχειν, ἢ διὰ φύσιν
γένους, ἤτοι διὰ γυναικείαν ἀσθένειαν, ἢ διὰ φύσιν γένους, ἤτοι εἰ μὴ 20
πολλάκις ἢ ἐκ γενετῆς συντεθραμμένος ταῖς ἡδοναῖς, οἷον οἱ βασιλεῖς τῶν
Περσῶν ἔχουσι τὴν μαλακίαν καὶ μαλακοί εἰσι διὰ τὸ γένος. βάρβαροι
γὰρ ὄντες ἀεὶ πρὸς ἡδονὰς ἐγκυλίονται καὶ οὐ ταῖς λύπαις εἰθισμένοι εἰσί,
καὶ διὰ τοῦτο, εἰ μικρὰ λύπη ἐπιπέσῃ αὐτοῖς, ἡττῶνται ὑπ' αὐτῆς. ὁ οὖν
ἡττώμενος ὑπὸ τῶν οὐδαμινῶν λυπῶν μὴ διὰ φύσιν τοῦ γένους ἢ διὰ
νόσον, μαλακός ἐστιν. εἶτα ἑρμηνεύει τὸ διὰ φύσιν τοῦ γένους, ὡς τὸ
θῆλυ, ἀσθενὲς ὂν διὰ τὴν φύσιν, πρὸς τ' ἄρρεν διέστηκε. παιδιώδης 25
δὲ λέγεται ὁ παιδιαῖς χαίρων, ἤτοι ὁ παίζειν ἀεὶ θέλων. ἡ γὰρ παιδιὰ
ἄνεσίς ἐστιν, ἡ δ' ἄνεσις ἀνάπαυσις, ὁ δὲ μαλακὸς ἀναπαύσει χαίρει καὶ ἡδο-
νῇ, ἀλλ' οὐ λυπεῖται, παιδιώδης δέ ἐστιν, ὃς ὑπερβάλλει πρὸς ταύτας, ἤτοι
ὑπερβαλλόντως χρᾶται τῇ ἀναπαύσει· λοιπὸν ἄρα ὁ παιδιώδης μαλακός ἐστιν.

Ἐπιδιαιρεῖ δὲ τὴν ἀκρασίαν εἰς τὴν προπέτειαν καὶ εἰς τὴν ἀσθέ- 40
νειαν. καὶ οἱ μέν, ἤτοι οἱ ἀσθενεῖς βουλεύονται μὲν ὡς κακόν ἐστι τὸ
μοιχεύειν, οὐκ ἐμμένουσι δὲ οἷς ἐβουλεύσαντο ἀλλὰ μοιχεύουσιν (ἡδὺ δοκεῖ
οὖν αὐτὸ διὰ τὸ πάθος, ἤτοι ἡττωμένῳ ὑπὸ τοῦ πάθους, ἤτοι ὑπὸ τῆς
ἐπιθυμίας, καὶ λέγονται οὗτοι ἀκρατεῖς), οἱ δέ, ἤτοι οἱ προπετεῖς, οὐ
βουλεύονται, εἰ τόδε ἀγαθόν ἐστιν ἢ κακὸν ἀλλ' εὐθὺς ἡττῶνται ὑπὸ τοῦ
πάθους, ἤτοι τῆς ἐπιθυμίας, καὶ λέγονται οὗτοι ἀκρατεῖς προπετεῖς. [illegible]
εὐθὺς τῷ προσφυσιθῆναι γαργαλίζονται, εἰ δὲ ποιήσουσι τρῖψιν εἰς τὸ 45
μέρος τοῦ σώματος πρῶτον, ἔνθα γαργαλίζονται, εἶτα γαργαλίσει τις αὐτό.
ἔνθα τὴν τρῖψιν ἐποίησαν, οὐ γαργαλίζονται. νῦν μέλλει ἡ δοῦναι, ἤτοι,
οὐ πᾶς ὁ προβουλευσάμενος ἡττᾶται. τινὲς γὰρ προαισθανόμενοι, ἤτοι
προβουλευσάμενοι καὶ ἰδόντες ὅτι τόδε κακόν, οὐχ ἡττῶνται ὑπὸ τοῦ

---

1 Καρκῖνος] cf. Nauck FTG p. 797² 2 ἀλόπην corr. ex ἀλώπην B 4 λυπηθῇς Paris. 1854: λυπηθῶ Ba 8 ἐκαγχάζει scripsi: ἐγαγχάζει Ba 14 ἢ a: corr. ex μὴ B 18 οὐ ante ταῖς B: om. a, post λύπαις ponens οὐκ 23 παίζειν] παῖζων Ba 29 ἡδὺ a: ἡδονὴ B 30 ἡττωμένῳ B: ἡττώμενοι a 34 τῷ Diels: τοῦ Ba 36 ἀποδοῦναι ὅτι οὐ πᾶς Diels 37 προαισθανόμενοι Ba et Arist. Kb Mb: προαισθόμενοι Arist. vulg.

παθοντ. καὶ τὰ ἡδὺ ἢ κἂν τε λυπηρόν. ὥσπερ καὶ οἱ προγ
σθέντες. ἤτοι οἱ πρῶτον ποιήσαντες, οὐ παραγαλίσαντ
λιστα δὲ οἱ ὀξεῖς καὶ μελαγχολικοὶ ἀκρατεῖς εἰσι κατὰ
πετῆ ἀκρασίαν, ἤτοι ἀκρατεῖς προπετεῖς. οἱ μὲν γάρ, ἤτ
διὰ τὸ ταχὺ τῆς φύσεως, οἱ δὲ διὰ τὸ σφοδρὸν τοῦ πάθους.
μελαγχολίας, οὐκ ἀναμένουσι τὸν λόγον, ἤτοι βουλεύσασθαι κ
σάσαι τὸν λόγον καὶ κρῖναι διὰ τὸ ἀκολουθεῖν τῇ φαντασίᾳ.
ἴσχωσί τι ἡδύ, εὐθὺς ῥέπουσι πρὸς τοῦτο καὶ ἡττῶνται ὑπ' αὐ
δὲ ὁ ἀκόλαστος οὐκ ἔστι μεταμελητικός. διὸ οὐχ οὕτως ἔχε
ἡπορήσαμεν πρῶτον, ὅτι εὐιατότερος ἦν ὁ ἀκόλαστος· παρὸ ὁ μ
ἀλλ' ὁ μέν, ἤτοι ὁ ἀκόλαστος, ἀνίατός ἐστιν, ὁ δέ, ἤτοι ὁ ἀκρα
ἔοικε δὲ ἡ μὲν μοχθηρία, ἤτοι ἡ ἀκολασία, ἀπὸ τῶν νοσημ
ὕδερῳ καὶ τῇ φθίσει, καὶ ὥσπερ εἰ νοσεῖ τις ὕδερον ἢ φθίσιν, ο
μὲν ἔχει τὸν ὕδερον καὶ τὴν φθίσιν, αὔριον δ' οὔ, ἀλλὰ συνε
ἤτοι ἀδιαλείπτως, καὶ ἀεὶ τῷ νοσοῦντι ὑπάρχει ταῦτα τὰ νοσήμα
καὶ ἡ ἀκολασία συνεχής, ἤτοι ἀδιαλείπτως καὶ ἀεὶ τῷ ἀκολάστ
ὀρέγει. διεφθαρμένον γὰρ ἀεὶ τὸν λόγον ἔχει. καὶ ἀεὶ τὸ αγα
αὐτῷ δοκεῖ. ἡ δὲ ἀκρασία ἔοικεν ἀπὸ τῶν νοσημάτων τοῖς ἐπ
νοσήμασιν· ὡς γὰρ ἡ ἐπίληψις οὐ συνεχής, ἤτοι οὐ διηνεκῶς κ
πτος ὑπάρχει τῷ ἔχοντι ταύτην, ἀλλὰ ἢ κατὰ δύο ἡμέρας αὐτ
ἡμῖν ἔχεται ἢ τρὶς τῆς ἡμέρας καὶ οὐχὶ ἀεί, οὕτω καὶ ἥδε
ἤτοι ἡ ἀκρασία, οὐ συνεχής ἐστιν, ἤτοι οὐκ ἀεὶ ὑπάρχει τῷ ἀ
γὰρ ἀεὶ τῷ πάθει ἐγκυλίεται ἀλλὰ μεχρι οὗ ὑπὸ τῆ
καὶ ὅλως ἡ ἀκρασία ἕτερόν ἐστι τῆς κακίας. ἤτοι τῆς ἀκολασ
μὲν κακία, ἤτοι ἡ ἀκολασία, λανθάνει ἑαυτήν· οὐ γινώσκει
μοχθηρὸν κακόν ἐστιν ⟨ἀλλ' ὡς ἀγαθὸν αὐτὸ οἴεται, ἡ δὲ ἀκρασί
θάνει. ἤτοι οὐκ ἀγνοεῖ, ὅτι τὸ μοχθηρὸν κακόν ἐστιν.

Εἶπεν ὅτι τῶν ἀκράτων οἱ μὲν εἰσι προπετεῖς, οἱ δὲ ασθ
κυσιν ὅτι οἱ ἐκστατικοί, ἤτοι οἱ ἀκρατεῖς προπετεῖς, ἀριστους
οἱ ἀκρατεῖς ἀσθενεῖς. οἱ τὸν λόγον μὲν ἔχουσι καὶ διαμένουσ
μένουσι δ' οὐκ ἔχοντα. φαίνονται γὰρ οἱ ἀσθενεῖς ἀ
[ἴσον ἀδιάν ἔχει. ὥστε καὶ προβουλευόμενοι] ὑπὸ ἀσθενῶν ἡδ
μοῦνται. [καὶ διὰ τοῦτο ἄδειαν ἔχει.] ὥστε καὶ προβουλεύεσ
προπετεῖς ἀκρατεῖς φαίνονται. ὅτι ὑπὸ ἰσχυρῶν καὶ μεγάλων ἡδ
μοῦνται. [καὶ διὰ τοῦτο οὐδ' ἄδειαν ἔχουσιν,] ὥστε μὴ προβ
ἀλλ' εὐθὺς ὑπὸ τῆς σφοδρότητος τῆς ἡδονῆς περιέλκονται, ὡς
οἱ ἀσθενεῖς ἀκρατεῖς τῶν προπετῶν ἀκρατῶν, εἴπερ καὶ υ

1. 2 προγαγαλισθέντες B et Arist. LbMb: προγαργαλίσαντες a et Arist. vulg
ἔοικε γὰρ a νοσημάτων a: om. B 14 τὸν B: τὸ a 15 ὑπάρχει B
20 post αὐτῷ add. ὡς οἱ δαιμονιάριοι a: om. B 26 ἀλλ' ὡς—κακόν
4 προπετεῖς B: προπετῶν a ἤτοι] εἴπερ Ba 31 ὅτι post γὰρ Ba
post ἀκρατεῖς 32 ἐπεὶ—προβουλεύεσθαι Ba: ego seclusi 35 καὶ—ἐχ
καὶ—ἔχουσιν Ba: seclusi μὴ scripsi: καὶ Ba 37 ὅπ B: ὅ

ἡδονῶν πολεμούμενοι καὶ βουλευόμενοι ἡττῶνται. τοῖς γὰρ προπετέσι 128r
συγγνώμη μᾶλλόν ἐστι διὰ τὸ ⟨ὑπὸ⟩ ἰσχυρῶν παθῶν πολεμεῖσθαι. οἱ γὰρ
ἀσθενεῖς ἀκρατεῖς ὑπὸ ἐλαττόνος πάθους ἡττῶνται καὶ οὐκ ἀπροβού-
λευτοι ἡττῶνται ὡς καὶ ἕτεροι. ἤτοι οἱ προπετεῖς ἀκρατεῖς. ἀλλὰ πολλὰ
βουλευσάμενοι· οἱ δὲ προπετεῖς οὐ δύνανται προβουλεύσασθαι· ὁ γὰρ ἀσθε-
νὴς ἀκρατής, ἐπεὶ ὑπὸ ἐλαττόνων καὶ ἀνισχύρων ἡδονῶν ἥττηται, ὁμοίως
ἐστὶ τοῖς μεθύουσι τούτοις ὑπὸ ὀλίγου οἴνου, παρὸ οἱ πολλοί.
οἱ γὰρ πολλοὶ πολὺν οἶνον πιόντες μεθύουσιν. ὅτι μὲν ἡ ἀκρασία κακία,
ἤτοι ἀκολασία ἐστί, φανερόν, ἀλλ' οὐ πάντη ἡ ἀκρασία ταὐτὸν καὶ ἴση ἐστὶ
τῇ ἀκολασίᾳ, ἀλλὰ πῇ, καθὸ ἡττῶνται ὑπὸ τῶν ἡδονῶν καὶ περὶ τὰ αὐτὰ
ὑποκείμενα, ἤτοι τὰ ἀφροδίσια καταγίνονται, ἀλλὰ διαφέρουσι. τὸ μὲν
γάρ, ἤτοι ἡ ἀκρασία, παρὰ προαίρεσίν ἐστιν (οὐ προαιρεῖται γάρ), τὸ δέ, ἤτοι
ἡ ἀκολασία, κατὰ προαίρεσιν, ἤτοι προαιρεῖται. οὐ μὴν ἡ ἀκρα-
σία ἑτέρα ἐστὶ τῆς ἀκολασίας, ἀλλ' ὁμοία τῇ ἀκολασίᾳ κατὰ τὰς πράξεις.
ἄμφω γὰρ ταῖς ἡδοναῖς ἐγκυλίονται. ὁ Δημόδοκος Μιλήσιος Λέριος ἦν τὸ
γένος· πολλὰ δ' ἀποσκώπτων τοὺς Μιλησίους ἔλεγεν, ὅτι οἱ Μιλήσιοι ἀσύ-
νετοι μὲν οὐκ εἰσί, ὁρῶσι δὲ τὰ τῶν ἀσυνέτων, καὶ οἱ ἀκρατεῖς ἄδικοι
μὲν οὐκ εἰσίν, ἤτοι ἀκόλαστοι, ἀδικοῦσι δέ, ἤτοι βλάπτουσι καὶ ὁρῶσι
τὰ τῶν ἀκολάστων.

Ἐπεὶ δὲ ὁ μέν, ἤτοι ὁ ἀκρατής, διώκει, ἤτοι ἐπιζητεῖ τὰς σωμα-
τικὰς ἡδονὰς ὑπερβολικῶς καὶ παρὰ τὸν λόγον, ἡ δὲ τὸ
πεπεῖσθαι, ἤτοι οὐ πειθόμενος ὅτι καλόν ἐστι τὸ μοιχεύειν οὐδὲ προαι-
ρούμενος ἀλλ' ἀπροαιρέτως, ὁ δέ, ἤτοι ὁ ἀκόλαστος, πέπεισται, ἤτοι
προαιρεῖται μοιχεύειν ἀεί, καὶ οἴεται καλὸν εἶναι τὸ μοιχεύειν, διὰ τὸ εἶναι
τοιοῦτος διεφθαρμένος κατὰ τὸν λόγον καὶ ἀεὶ ζητῶν τὰς σωματικὰς ἡδο-
νάς, ἐκεῖνος μὲν ὁ ἀκρατής, ἐπεὶ ἀπροαιρέτως μοιχεύει μετάπειστος,
ἤτοι ἰατός, οὗτος | δ' ἀκόλαστος, ἐπεὶ προαιρούμενος ζητεῖ τὰς ἡδονάς, 128v
οὗ, ἤτοι ἀνίατός ἐστιν. ἡ γὰρ ἀρετὴ καὶ ἡ μοχθηρία, ἤτοι ἡ κακία,
ἡ μέν, ἤτοι ἡ κακία, σῴζουσι τὴν ἀρχὴν τὴν ἀγαθήν· εἰ γὰρ ἔστι τι
ἀκόλαστος, οὐ δύναται ὑποθεῖναι τέλος ἀγαθόν, ἤτοι ὅτι δεῖ τῶν ἡδονῶν
ἀπέχεσθαι, ἀλλὰ διεφθαρμένος ὢν καὶ τέλος διεφθαρμένον ὑποτίθηται, ὅτι
καλόν ἐστι τῆς ἡδονῆς ἔχεσθαι. ἡ δέ, ἤτοι ἡ ἀρετή, σώζει καὶ συντηρεῖ
καὶ τὸ τέλος ἀγαθόν. εἰ γὰρ ἔστι τις σώφρων, ὑποτίθησι καὶ τέλος ἀγα-
θόν. ἐν ταῖς πράξεσιν ἀρχή ἐστι τὸ οὗ ἕνεκα, ἤτοι τὸ τέλος. ὥσπερ
ἐν τοῖς μαθηματικοῖς ἀρχαί εἰσιν. αἱ γὰρ θέσεις, οἷον ὅτι σημεῖόν
ἐστι, οὐ μέρος οὐδέν, ἡ γραμμή ἐστι μῆκος ἀπλατές. οὐκ ἔστι δὲ ἐκεῖ ἐπὶ
τῶν μαθηματικῶν λόγος. ἤτοι συλλογισμὸς τῶν ἀρχῶν καὶ ὑπόθεσις καὶ
ἀναποδείκτως ἀξιοῖ τὸν αὐτοῦ μαθητὴν ταύτην δέξασθαι. οὕτω καὶ ἐν-

2 ὑπὸ ἰσχυρῶν a: ἰσχυρῶν B 8 πολὺν B: πολλὴν a πιόντες B: πίνοντες a 10 ἡττῶνται B: ἥττωνται a 15 Λέριος] γαίριος B: λάριος a 26 μεταπειστος B et Arist. codd. pr. K^bN^b: εὐμετάπειστος a et Arist. vulg. 29 ἡ μὲν ἤτοι ἡ κακία B: om. a 32 τῆς B: τὸ a 35 ante ἀρχαί add. ὑποθέσεις a: om. B

τοῦτο ἐπ' ἐκ τῶν πρώτων οὐκ ἐστιν ἀποδεῖξαι γνῶναι τὸ τέλειον ο
πρᾶξις, ἤτοι ἡ φυσικὴ ἢ ἡ εὐεστή, ἤτοι ἡ ἠθικὴ ὁρίσθω
ὁρίζων ἔφαμεν τὴν ἀρχήν, ἤτοι τὸ τέλος καὶ οὐ πλανᾶται.
φρων ἔστω τις πρὸς τὸ σωφρονεῖν, ὑποτίθησι καὶ τὸ τέλος ἀγα
ὁ σώφρων μὲν ἐστι τοιοῦτος, ἤτοι ὁ ἡδόμενος) οἷς δεῖ καὶ ὅτε δ
κόλαστος δὲ ὁ ἐναντίος αὐτῷ, ἤτοι ὁ ἀντικείμενος. ἔστι δέ
ὁ ἀκρατὴς ἐκστατικός, ἤτοι ἐξιστάμενος ὑπὸ πάθους, ἤτοι ὑπὸ τ
παρὰ τὸν ὀρθὸν λόγον. ὄντινα τὸν ἀκρατῆ κρατεῖ, ἤτοι
πάθους. ἤτοι ἡ ἐπιθυμία, ὡς μὴ πράττειν κατὰ τὸν ὀρθὸν λ
κρατεῖ δὲ αὐτὸν ἡ ἐπιθυμία οὕτως ὥστε καὶ εἶναι τοιοῦτον,
πασμένον, ἤτοι προαιρούμενον καὶ διώκειν τὰς σωματικὰς ἡδονὰ
οὐ προαιρετὸς. ὁ οὖν ἀκρατὴς οὐ φαῦλος, ἤτοι οὐ κακός ἐστι
τὸν λόγον ἔχει ἐρρωμένον. ἀλλὰ μὴ ἔστι φαῦλος, καὶ ἡττᾶτ
κακὸς οὐκ ἔχει τὸν λόγον ἐρρωμένον. ἐπὶ τοῦ ἀκρατοῦς γὰρ σώ
ἐστιν. ἤτοι ἡ ἀρχή, ἤτοι τὸ τῆς ψυχῆς βέλτιστον, ἤτοι ὁ
νους. ὁ γὰρ ἀκρατὴς ἐρρωμένην ἔχει τὸν λόγον. ὁ ἄλλος δὲ
κρατὴς, ὃς ἐμμένει τῷ ὀρθῷ δηλονότι λόγῳ, καὶ οὐκ ἐξίστα
οὐχ ἡττᾶται ὑπὸ τῆς ἐπιθυμίας, ἐναντίος ἐστὶ τῷ ἀκρατεῖ. φα
ὅτι (ἡ μὲν, ἤτοι ἡ) ἐγκρατεια ἔξις σπουδαία. ἤτοι ἀρετή ἐστι
ὁ ἤτοι ἡ ἀκρασία, φαύλη ἐστὶν ἕξις.

Ὑποθήκη ὀπισθεν εἰπὼν ὅτι τινὲς ὁμολογοῦσιν, ὅτι ἐγκρατὴ
μμένων τῇ ὀρθῇ καὶ ἀκρατὴς ὁ ἐκστατικὸς τῆς ὀρθῆς. νῦν
ποτερον ἐγκρατὴς ἐστιν ὁ ἐμμένων ὁποιῳοῦν λογῳ, ἤτοι ὁποιῳ
ἐμμένων ἤτοι καὶ ἀγαθῇ καὶ κακῇ, ἢ ὁ μήτε τῇ κακῇ μήτε
ἤτοι τῇ ἀγαθῇ ὀρθῇ. καὶ ἀρά γε ἀκρατὴς ἐστιν ὁ μὴ ἐμμένων
προαιρέσει, ἤτοι μήτε τῇ ἀγαθῇ ὀρθῇ μήτε τῇ κακῇ. ἡ ἀκρασία
ἐμμένων τῷ φευδεῖ λογῳ, ἤτοι τῇ φαυλῇ ὀρθῇ, καὶ τῇ προα
μὴ ὀρθῇ, ἤτοι τῇ φαύλῃ; λύσις· ἢ κατὰ συμβεβηκὸς καὶ οὐ κ
θήσεται ἐγκρατὴς ὁ μὴ ἐμμένων ὁποιαοῦν ὀρθῇ, καὶ τῇ ἀγαθ
κακῇ, καὶ κατὰ συμβεβηκὸς ῥηθήσεται ἀκρατὴς ὁ μὴ ἐμμένων
ὀρθῇ, μήτε τῇ ἀγαθῇ ὀρθῇ μήτε τῇ φαύλῃ. καθ' αὑτὸ δέ,
ὡς δέ, ἐγκρατής ἐστιν ὁ μὴ ἐμμένων τῷ ἀληθεῖ λόγῳ, ἤτοι
ὀρθῇ. ὁ μέν, ἤτοι ὁ κυρίως ἐγκρατὴς ἐμμένει τῇ ἀγαθῇ. ἤτο
θῇ, ὀρθῇ. εἰ γάρ τις ἡ φιλογλυκὺς, ἡ οἰνωκεί, ἤτοι ζητεῖ
τοδί, ἤτοι τὸν γλυκὺν οἶνον, διὰ τοδί, ἤτοι διὰ τὸ γλυκὺ, καθ' ὃ
καὶ κυρίως καὶ πρώτως οἰνωκεί, ἤτοι ζητεῖ τοῦτο, ἤτοι τὸ γλυκ
συμβεβηκὸς σε αἱρεῖται καὶ τὸ πρότερον, ἤτοι τὸν οἶνον.

1 πῶ B: om. a 3 τέλος B: τέλειον a εἰ γαρ — ρούμενος (5) a: o
10 ἤτοι prius B bis 15 τὸ τῆς ψυχῆς B: τὸ τέλος, ἤτοι, τὸ a
λόγῳ B: ὁ δηλεῖ τῷ λόγῳ a 18 ἐναντίος B: ἐναντίως a
a: lacuna 10 fere litterarum B 21 ἐπειδήπερ a: ἐπ
1021) ὀπισθεν] c. 2 p. 1145b10 23 πότερον B
ἤτοι ἡ κακῇ μήτε B: om.

τῷ οἴνῳ συμβέβηκε γλυκὺ εἶναι, διὰ τοῦτο τὸν οἶνον ἀγαπᾷ. οὕτω καὶ 128v
ὁ ἐγκρατὴς κυρίως τῇ ἀγαθῇ δόξῃ ἐμμένει. εἰ δέ που φαύλην δόξαν
ἔχων ἐμμένει ταύτῃ, οὐχ ὡς φαύλῃ ἐμμένει ταύτῃ, ἀλλ' ὡς ἀγαθῇ·
οἴεται γὰρ τὴν φαύλην δόξαν ἀγαθὴν εἶναι, ὥστε κυρίως τῇ ἀγαθῇ δόξῃ
ἐμμένει. ἐπεὶ δὲ πολλάκις συμβέβηκε τοῦτον φαύλην εἶναι, κατὰ συμβε-
βηκὸς ἐμμένει καὶ τῇ φαύλῃ, καὶ πάλιν ἀκρατὴς ἐστι κυρίως ὁ μὴ ἐμμένων
τῇ ἀγαθῇ δόξῃ. εἰ δέ που πολλάκις φαύλην δόξαν ἔχων οὐκ ἐμμένει αὐ-
τῇ, οὐχ ὡς φαύλῃ οὐκ ἐμμένει αὐτῇ ἀλλ' ὡς ἀγαθῇ. οἴεται γὰρ αὐτὴν
ἀγαθὴν εἶναι, ὥστε κυρίως καὶ ὁ ἀκρατὴς οὐκ ἐμμένει τῇ ἀγαθῇ δόξῃ.
εἰ δέ που ποτὲ συμβέβηκεν αὐτὴ φαύλη εἶναι, κατὰ συμβεβηκὸς οὐκ
ἐμμένει αὐτῇ. κυρίως δὲ ὁ ἐγκρατὴς καὶ τῇ φαύλῃ δόξῃ οὐχ ὡς φαύλῃ
ἐμμένει ἀλλ' ὡς ἀγαθῇ.

Εἶτα ἑρμηνεύει τί ἐστι τὸ καθ' αὑτό. τὸ δὲ καθ' αὑτό ἐστι τὸ 129r
ἁπλῶς, ἤτοι τὸ κυρίως. ὥστε ὁποιαοῦν δόξῃ ἐμμένων, καὶ τῇ ἀγαθῇ
καὶ τῇ φαύλῃ, ὡς, ἤτοι κατὰ συμβεβηκός ἐστιν ὁ ἐγκρατής. ὁμοίως δὲ καὶ 5
ὁ μὴ ἐμμένων ὁποιαοῦν δόξῃ ἀκρατὴς λέγεται, ὡς, ἤτοι κατὰ συμβεβηκός,
ἁπλῶς δέ, ἤτοι κυρίως δὲ ἐγκρατής ἐστιν ὁ τῇ ἀληθεῖ, ἤτοι τῇ ἀγαθῇ
δόξῃ ἐμμένων. καὶ ἀκρατὴς κυρίως ὁ μὴ ἐμμένων τῇ ἀγαθῇ δόξῃ. εἰσὶ
δέ τινες, οἳ τῇ οἰκείᾳ δόξῃ ἐμμένοντες καὶ οὐδ' ὅλως πειθόμενοι μετα-
πεσεῖν ταύτης, οἳ καὶ λέγονται ἰσχυρογνώμονες, ὡς διϊσχυριζόμενοι ἐμμέ-
νειν τῇ οἰκείᾳ δόξῃ καὶ μὴ μεταπίπτειν αὐτῆς. ἐπεὶ δὲ καὶ ὁ ἐγκρατὴς
ἐμμένει τῇ δόξῃ τῇ οἰκείᾳ, ἐμμένει δὲ καὶ ὁ ἰσχυρογνώμων τῇ οἰκείᾳ, 10
κατ' αὐτὸ τοῦτο ὁμοιότητά τινα ἔχουσιν ὅ τε ἐγκρατὴς καὶ ἰσχυρογνώμων.
εἰσὶ δὲ καὶ ἕτεροι, ἤτοι διαφέρουσι δὲ ἀλλήλων κατὰ πολύ. ὁ μὲν γὰρ
ἤτοι ὁ ἐγκρατής, διὰ πάθος καὶ ἐπιθυμίαν, ἤτοι τῆς δόξης, ἣν ἔχει
περὶ τὸ παθητικὸν τῶν παθῶν καὶ τῶν ἀγρίων ἐπιθυμιῶν,
τοῦτο οὐ μεταβάλλει, ἤτοι οὐ μεταπίπτει, ἐπεὶ ὁ ἐγκρατής, εἰ δόξαν
ἔχει περί τινων ἄλλων πραγμάτων φαύλων, εἰ τύχῃ ὑπὸ φρονίμου παραι-
νούμενος, εὐπειστος γίνεται αὐτῷ παραινοῦντι τὰ συμφέροντα, ὁ δὲ ἰσχυ- 15
ρογνώμων ὑπὸ λόγου οὐ πείθεται, ὑπὸ δὲ τῶν ἐπιθυμιῶν ἄγεται καὶ
τῶν ἡδονῶν. ὁ ἐγκρατὴς δὲ ὑπὸ ἐπιθυμιῶν οὐκ ἄγεται, ὑπὸ δὲ λόγου
εὐπειστός ἐστιν. οἱ ἰδιογνώμονες, ἤτοι οἱ ἐμμένοντες τῇ οἰκείᾳ γνώμῃ,
καὶ οἱ ἀμαθεῖς καὶ ἄγροικοι, ἤτοι οἱ χωρῖται, οὗτοι γὰρ ἀπαίδευτοι ὄντες
πείθονται λόγῳ τινί, οἱ μέν, ὅτι οἱ ἰσχυρογνώμονες εἰσὶν ἰδιογνώμονες, διὰ
ἡδονὰς καὶ λύπας. χαίρουσι γάρ, εἰ μὴ μεταπίθονται, καὶ λυποῦν- 20
ται, εἰ ἄκυροί εἰσιν οἱ λόγοι αὐτῶν. θέλουσι γὰρ τοὺς λόγους αὐτῶν,
καὶ εἴ τι ἁπλῶς εἴπωσιν, ὥσπερ ψηφίσματα καὶ νόμους κρατεῖν, καὶ
ἡμέρας οὔσης εἴπῃ, ὅτι νύξ ἐστιν, οὐ βούλεται τινα ἀντιπεσεῖν αὐτῷ. ἐπεὶ
οὖν οἱ ἰσχυρογνώμονες ἡττῶνται ὑπὸ τῶν παθῶν καὶ τῶν ἡδονῶν τῶν αἰ-
σχρῶν, μᾶλλον ἐοίκασι τῷ ἀκρατεῖ.

1 συμβέβηκε τῷ οἴνῳ a 2 που B: πω a 7 τῇ ἀγαθῇ bis B 10 φαύλη B: φαύλην a 28 τύχῃ corr. ex τύχοι a 35 ἡδονὰς καὶ λύπας B: ἡδονὴν καὶ λυπὴν a (et Aristoteles)

Ἔστι δὲ τινες οἱ τοῖς ὀρέξασιν αὐτοὺς οὐκ ἐμμένουσιν ἀκρασίαν. ὥσπερ ὁ Νεοπτόλεμος συγκαθέμενος τῷ Ὀδυσσεῖ τὸν Φιλοκτήτην, οὐκ ἐνέμεινε τῇ ὀρέξει, οὗτός ἐστιν ἀκρατής. ἐ χαίρων τοῖς σωματικοῖς πάθεσιν ἧττον παρ' ὃ δεῖ, καὶ οὐδὲ οὗ τῷ λόγῳ προστάσσοντι ἀπέχεσθαι τῶν ἡδονῶν, ὁ τοιοῦτος μᾶλλον ὁ ἀκρατὴς δὲ τοῦ ἀκρατοῦς, διότι ὁ μὲν ἀκρατὴς κατὰ π ται τῶν σωματικῶν ἡδονῶν, ἧττον τῶν αἰσχρῶν, οὗτος δὲ ὁ ἀνώ κρόν τι ὑπὸ τούτων ἥττᾶται τῶν αἰσχρῶν ἡδονῶν. τούτου δὲ νυμου καὶ τοῦ ἀκρατοῦς μέσος ἐστὶν ὁ ἐγκρατής· ὥστε καὶ ἡ ἐγκ κακιῶν, ὁ μὲν γὰρ ἀκρατὴς οὐκ ἐμμένει τ ὑπό τι ἡττᾶσθαι ὑπὸ τῶν αἰσχρῶν ἡδονῶν, οὗτος δὲ ὁ οὐκ ἐμμένει τῷ λόγῳ διὰ τὸ ἥττων, ἧττον μικρόν τι, ἡττᾶσθαι αἰσχρῶν ἡδονῶν, ὁ δὲ ἐγκρατὴς ἐμμένει τῷ ὀρθῷ λόγῳ καὶ βάλλει, ἧττον οὐχ ἥττᾶται ὑπὸ τῶν αἰσχρῶν ἡδονῶν δι' ἕτερόν ὑπὸ ἄλλου τινός, ἀλλὰ διὰ τὸ εἶναι τὴν ἑτέραν ἀνώνυμον κα γοις θεωρεῖσθαι, ὥσπερ ἡ ἠλιθιότης (οὐ δυνατὸν γὰρ εἶναί τιν ἡ ἀκρασία ἐστὶ μᾶλλον ἐναντία τῇ ἐγκρατείᾳ παρὸ ἡ ἀνώνυμος

Εἶπεν ὕπισθεν ὅτι δοξάζουσί τινες, ὅτι ὁ ἐγκρατὴς καὶ ταὐτόν ἐστιν. ἐπεὶ δὲ καθ' ὁμοιότητα πολλὰ λέγεται, λοι ἐγκρατεια καὶ ἡ σωφροσυνη ὁμοιοτητα τινα ἐχουσι, καὶ λεγ ἐγκρατὴς σώφρων καθ' ὁμοιότητά τινα. καὶ γὰρ καὶ ὁ ἐγκρα ποιεῖ, ἧττοι πράττει παρὰ τὸν ὀρθὸν λόγον ἡττώμενος ὑπὸ τῶν κῶν ἡδονῶν (οὐδ' ὅλως γὰρ ἥττᾶται ὑπὸ τῶν σωματικῶν ἡδονῶ τῷ ὀρθῷ λόγῳ ἐμμένει, καὶ ὁ σώφρων οὐδὲν πράττει παρὰ λογισμόν. ἀλλ' ὁ μέν, ἧττοι ὁ ἐγκρατής, ἔχων φαύλα ἐ μμένει τῷ ὀρθῷ λόγῳ καὶ κρατεῖ αὐτῶν, ὁ δέ, ἧττοι ὁ σω ἔχων φαύλας ἐπιθυμίας ἐμμένει τῷ ὀρθῷ λόγῳ. καὶ ὁ μέν, ῥ ρων δυνατός ἐστι μὴ ὅλως ἥδεσθαι παρὰ τὸν ὀρθὸν λόγον. οὐ πολεμεῖται ὑπὸ αἰσχρῶν ἡδονῶν. ὁ δέ, ἧττοι ὁ ἐγκρατής, δυνατός σθαι παρὰ τὸν ὀρθὸν λόγον· ἔχει γὰρ ἡδονὰς φαύλας ἀλλὰ δ μὴ ἄγεσθαι, ἧττοι μὴ ἥττᾶσθαι ὑπὸ αἰσχρῶν ἀλλὰ κρατεῖν. π [illegible] ἀκρατὴς καὶ ὁ [illegible] ὁ ἀκρατὴς καὶ ὁ ἀκόλ [illegible] ἡ [illegible] τὰ σωματικὰ ἧ [illegible] ἧττοι ζητοῦσι, εἰσὶν αὗται, ἕτεραι δὲ. καθὸ μέν, ἧ [illegible] προαιρεῖται καὶ ὀίεται δεῖν ζητεῖν τὰς αἰσχρὰς ἡδονάς, ὁ ἀκρατὴς οὐ προαιρεῖται οὐδ' ὀίεται δεῖν ζητεῖν τὰς αισχ ἀπροαιρέτως ἡττᾶται ὑπὸ τῶν ἡδονῶν τῶν αἰσχρῶν. πάλιν ὁ

[illegible] ἀπαιτῆσαι a: ἀπαιτῆσαι B 12 τῷ λόγῳ B: τῷ ὀρθῷ λόγῳ a [illegible]
[illegible] 1145b11 25 λογισμόν - λόγον (30) a: om. B, lacunam indicans vo
[illegible] 2 p. 1145b16 ὁ ἀκόλαστος B et Arist. vulg.: ακόλ
[illegible] [illegible]

πεν, ὅτι δοξάζουσί τινες ταὐτὸν εἶναι τὸν ἀκρατῆ καὶ τὸν φρόνιμον. ἀνα- 129a
τρέπει οὖν ταύτην τὴν δόξαν καί φησιν, ὅτι εἰ ὁ φρόνιμος ὀφείλει εἶναι ἐξ
ἀνάγκης καὶ σπουδαῖος, ἤτοι ἔχειν πάσας τὰς ἀρετάς, ὡς ὅπισθεν εἰπο-
μεν, ἡ δ' ἀκρασία κακία ἐστί, λοιπὸν ἀδύνατον τὸν αὐτὸν εἶναι καὶ φρόνι- 15
μον καὶ ἀκρατῆ. ἔτι ὁ φρόνιμος οὐ λέγεται φρόνιμος μόνον ἐν τῷ εἰδέναι
τὰ ἀγαθὰ καὶ τὰ συμφέροντα, ἀλλὰ καὶ ἐν τῷ εἶναι πρακτικός. ἤτοι ἐν
τῷ πράττειν τὰ ἀγαθά, ὁ δ' ἀκρατὴς οὐ πρακτικός ἐστι τῶν ἀγαθῶν,
ὧν πρακτικός ἐστιν ὁ φρόνιμος, ἀλλὰ τῶν κακῶν.

Τινὲς δὲ λέγουσι καὶ τὸν δεινὸν φρόνιμον. οὐδὲν οὖν κωλύει τὸν
δεινὸν ἀκρατῆ εἶναι. δοκοῦσι γὰρ δεινοί τινες φρόνιμοι εἶναι, ἀκρατεῖς δὲ 25
λέγονται οἱ φρόνιμοι διὰ τὸ διαφέρειν τὴν δεινότητα τῆς φρονήσεως μικρόν
τι, ὡς καὶ πρότερον εἴπομεν. κατὰ μὲν τὸν λόγον, ἤτοι τὸν ὁρισμόν,
ἔγγύς ἐστιν ἡ φρόνησις καὶ ἡ δεινότης καὶ ὁμοιότητά τινα ἔχουσι· καὶ
ἡ δεινότης γὰρ ἕξις ἐστὶν ἐφευρετικὴ τῶν πρὸς τὸ τέλος· διαφέρουσι δὲ
κατὰ τὴν προαίρεσιν. τοῦ μὲν γὰρ φρονίμου ἡ προαίρεσις ἀγαθὴ καὶ 30
ἀεὶ προαιρεῖται τὰ πρὸς τὸ τέλος τὸ ἀγαθὸν ἄγοντα, τοῦ δὲ δεινοῦ ἡ προ-
αίρεσίς ἐστιν φαύλη. προαιρεῖται γὰρ τὰ πρὸς τὸ τέλος φαῦλον ἄγοντα.
καὶ πάλιν ὄπισθεν εἶπεν, ὅτι τινὲς δοξάζουσιν, ὅτι ὁ ἀκρατὴς οὐδ' ὅλως
ἥττᾶται ὑπὸ τῶν αἰσχρῶν ἡδονῶν. εἰ γὰρ τὸν ὀρθὸν λόγον ἔχει ὁ ἀκρα- 35
τὴς ἐρρωμένον, λοιπὸν πῶς ἐστιν δυνατὸν αὐτὸν παρὰ τὸν ὀρθὸν λόγον τι
διαπράξασθαι. λύει οὖν καὶ ταῦτα καί φησιν, ὅτι ἥττᾶται ὁ ἀκρατὴς οὐχ
ὡς εἰδώς, ἤτοι ὡς ἔχων τὸν ὀρθὸν λόγον καὶ τὴν ἐπιστήμην, καὶ θεω-
ρῶν, ἤτοι ἐνεργῶν κατ' αὐτήν, ἀλλ' ὡς καθεύδων. ὥσπερ γὰρ ὁ καθεύ-
δων ἔχει μὲν τὴν ἐπιστήμην καὶ τὴν ἕξιν, ἤτοι τῆς γραμματικῆς ἢ ἄλλης 40
τινὸς τέχνης, κωλύεται δὲ ὑπὸ τοῦ ὕπνου ἐνεργεῖν, οὕτω καὶ ὁ ἀκρατὴς
ἔχει μὲν τὸν ὀρθὸν λόγον, κωλύεται δὲ ὑπὸ τῶν παθῶν ἐνεργεῖν κατ'
αὐτόν, καὶ ἑκὼν μὲν πράττει τὸ κακὸν (καὶ οὐ κατ' ἄγνοιάν τινα. τρόπον
γὰρ οἶδεν ὃν ποιεῖ, πονηρὸς δὲ οὐκ ἂν ῥηθήσεται. πονηρὸς γάρ ἐστιν καὶ
κακός, οὗ καὶ ἡ προαίρεσις φαύλη ἐστίν, ἡ δὲ προαίρεσις τοῦ ἀκρατοῦς 45
ἐπιεικής, ἤτοι ἀγαθή ἐστιν· ἀπροαιρέτως γὰρ πράττει τὸ κακόν). ἐπεὶ
οὖν ἡ προαίρεσις αὐτοῦ ἀγαθή ἐστι, ἐξ ὁλοκλήρου οὐκ ἂν ῥηθήσεται πο-
νηρὸς ἀλλ' ἡμιπόνηρος, καὶ οὐκ ἀδικός ἐστιν ὁ ἀκρατής. ὁ γὰρ ἄδι- 10
κος βλαπτικός ἐστιν καὶ ἐπίφθονος. ὁ δὲ ἀκρατὴς ἐπίφθονος οὐκ ἔστιν οὐδὲ
βλαπτικός. οὐδένα γὰρ βλάπτει οὐδὲ ἀδικεῖ.

Ἐπεὶ δὲ ὁ ἀκρατὴς ἢ προπετής ἐστιν ἢ ἀσθενής (ὁ μὲν γὰρ αὐτῶν, 52
ἤτοι ὁ ἀσθενὴς καὶ ἀκρατής, οὐκ δυνάμενος ὡς ἂν βούλεται, ὁ δὲ προπε-
τικός, ἤτοι ὁ προπετὴς ἀκρατής, οὐδὲ ὅλως βούλεται, ἀλλ' ὑπὸ τοῦ πάθους
καὶ τῶν ἡδονῶν συναρπάζεται, καὶ ἔοικε μὲν οὗτος πόλει, ἢ φρονοῦσα
μὲν ἀγαθὰ καὶ νόμους ἔχει ἀγαθούς, οὐ χρῆται δὲ τούτοις ἀλλὰ πονη- 130a

3 ὄπισθεν] ad Z 13 p. 1144a36 6 πρακτικός B: πρακτικὸν a 9 κωλύει B: κωλύει καὶ a 12 πρότερον] ad Z 13 p. 1144b28 18 ὄπισθεν] c. 2 p. 1145b21 27 καὶ οὐ — τὸ κακόν (30) a: om. B 36 βούληται B: βούλεται a

χαῖς. ὥσπερεὶ ὁ Ἀναξανδρίδης ὁ ποιητὴς ἀποσκώπτων πόλιν τινο
μους μὲν ἀγαθοὺς εἶχεν, οὐκ ἐχρῆτο δὲ αὐτοῖς, εἶπεν 'ἡ πόλις,
μέλει τῶν νόμων τῶν ἀγαθῶν, ἠβούλετο νόμους ἔχειν ἀγαθοὺ
σίσματα ἀγαθὰ ψηφίζεσθαι.' ὁ γὰρ ἀκρατὴς ἔχει μὲν τὸν λό
οὐ πράττει δὲ ἃ ὁ λόγος προστάττει. ἀλλὰ τἀναντία. ὁ δὲ
ἤτοι ὁ ἀκόλαστος, ἔοικε πολει, ἢ χρᾶται μὲν νόμοις ἀλλὰ πονη
δὲ ἡ ἀκρασία καὶ ἡ ἐγκράτεια περὶ τὸ ὑπερβάλλον
πολλῶν ἕξεως. ὁ μὲν γάρ, ἤτοι ὁ ἐγκρατής, ἐμμένει τῷ
κρατεῖ μᾶλλον τῆς τῶν πολλῶν δυνάμεως ἤτοι ἕξεως (τούτων
ἡδονῶν κρατεῖ, ὧν ⟨οἱ⟩ πολλοὶ ἥττωνται), ὁ δέ, ἤτοι, ὁ ἀκρατὴς
ἐμμένει τῷ λόγῳ ἀλλ' ἥττᾶται ὑπὸ τῶν ἡδονῶν, ὧν οἱ πολλοί
εἰσι καὶ οὐχ ἥττωνται. εὐτατοτέρα δέ ἐστιν ἀπὸ τῶν ἀκρασιῶ
πετὴς ἀκρασία, ἣν οἱ μελαγχολικοὶ νοσοῦσι, τῶν ἀσθενῶν
τῶν βουλευσαμένων μέν, μὴ ἐμμένοντων δὲ οἷς ἐβουλεύ
γὰρ οἱ ἀκρατεῖς καὶ οἱ προπετεῖς ἐπεὶ ἀπροβουλεύτως συνορμῶ
παίεσιν, εἰ προβουλεύσαιντο, οὐκ ἂν ἥττηθῶσιν ὑπὸ τῶν παθῶ
ἀσθενεῖς καὶ ἀκρατεῖς, εἰ καὶ προβουλεύονται, ἀλλ' οὐν ἥττῶνται,
ὑπὸ μικρῶν τινων ἡδονῶν. καὶ τῶν ἀκρατῶν οἱ μέν εἰσι φυσικοὶ
φύσεως ἀκρατεῖς, ὥσπερ εἰσὶν οἱ θηριώδεις, οἱ μετὰ ἀρρένων
μενοι, οἱ δὲ εἰσιν ἀκρατεῖς ἑαυτοὺς ταῖς αἰσχραῖς ἡδοναῖς ἐθίσα
οἱ δ' ἐθισμοῦ ἀκρατεῖς εὐτατότεροί εἰσι τῶν ἐκ φύσεως ἀκρατῶ
θηριώδεις εἰσίν. ὥσπερ Εὔηνος ὁ ποιητὴς εἶπεν, ὅτι τὸ ἔ
χρονιος μελετη ἐστιν, αὕτη δὲ ἡ μελετη τελευτῶσα, ἤτοι εἰς τελο
φυσις γίνεται. εἰ οὖν τὸ ἔθος μετὰ τοῦτό ἐστιν δυσμετακίνητον, δ
ἔοικε, πολλῷ μᾶλλον ἡ φύσις ἔστι δυσμετακινητοτέρα.

Τοῦ δὲ φιλοσοφοῦντος τὴν πολιτικήν, ἤτοι τοῦ πολιτικο
ἐστιν καὶ τὸ θεωρῆσαι περὶ ἡδονῆς καὶ λύπης, εἴτε ἀγαθόν ἐστιν
τοῦ. οὗτος γὰρ ὁ πολιτικὸς ἀρχιτέκτων ἐστίν. ἀρχιτέκτ
τῶν. δι προστάσσει περὶ παντων. καὶ ὁ πολιτικὸς ἀνὴρ π
τους μεν τῶν νέων δεῖ γενέσθαι μουσικούς, ὡς ἐπιτηδείους ὄν
αυτην, τοὺς δὲ στρατιώτας. καὶ ἁπλῶς ἀρχιτέκτων ἐστὶν καὶ θ
παντος τέλους ὁ πολιτικος και τοῦ στρατηγικοῦ τέλους, ὅπερ ἐστ
καὶ τοῦ μουσικοῦ τέλους, ὅπερ ἐστὶν τὸ ἐναρμόνιον λέγειν· εἶτα
τασσει, τίνας τῶν νέων δεῖ μετέρχεσθαι τοῦτο τὸ τέλος καὶ τί δ
ὥστε πρὸς τοῦτο το τέλος καταντήσαι, πρὸς ὅπερ το τέλος ὑπο
ἑκαστον ὧν ποιοῦμεν. τὸ μὲν ὅπερ οὐ συντεινει καὶ φησι πρὸ
τέλος. ἕτερόν εἶναι ἁπλῶς κακόν. τὸ δὲ ὃ συντεινει καὶ φησι

1 ὥσπερεὶ B: ὥσπερ a Ἀναξανδρίδης] frg. inc. 16 Mein. 67 Kock 3
σει a 4 λόγον ὀρθόν B: ὀρθὸν λόγον a 7 δὲ ἡ ἀκρασία καὶ ἡ ἐγκρατεια
ed. Lb: ὁ ἀκρασία καὶ ἐγκράτεια Arist. vulg. 8 πολλῶν scripsi ex Aris
Ba 10 οἱ πολλοὶ a: πολλοὶ B 14 βουλευσαμένων Ba et Arist. cod
Arist. vulg. 14. 15 εἰ γὰρ B: εἰ μέν γὰρ a 19. 20 συ
κουσιαζόμενοι a 22 ὥσπερ B: ὥσπερ καὶ a Εὔηνος] frg. 9 Bergk
τα a 31 αὐτὸν B: αὐτὸ a 36 τὸ μὲν — κακόν (36) bis B

τὸ τέλος, λέγομεν εἶναι ἁπλῶς ἀγαθόν. ἐπεὶ οὖν ὁ πολιτικὸς περὶ πάν- 130r
των ζητεῖ, λοιπὸν οἰκεῖόν ἐστιν αὐτῷ καὶ τὸ σκοπῆσαι, εἴτε ἀγαθόν ἐστιν
ἡ ἡδονὴ εἴτε οὔ, ἄλλως τε καὶ ἀναγκαῖόν ἐστι περὶ αὐτῶν, ἤτοι περὶ
ἡδονῆς διαλαβεῖν καὶ λύπης. ἐπεὶ γὰρ ἡ ὑπάρχουσα ἡμῖν περὶ ἀρετῶν
καὶ κακιῶν ἐστιν ἠθικῶν, πᾶσα δὲ ἀρετὴ καὶ κακία ἠθικὴ περὶ ἡδονὰς
καὶ λύπας καταγίνεται καὶ τὴν εὐδαιμονίαν οἱ πλεῖστοι λέγουσιν
εἶναι ἐνέργειαν ψυχῆς μεθ' ἡδονῆς, καὶ μέρος τῆς εὐδαιμονίας τὴν ἡδονὴν
λέγουσιν εἶναι. διὸ καὶ τὸν εὐδαίμονα ὠνομάκασι μακάριον ἀπὸ τοῦ
χαίρειν, ἤτοι ἥδεσθαι ἐν ὅλῳ τῷ βίῳ. διὰ τοῦτο οὖν ἀναγκαῖόν ἐστιν
περὶ ἡδονῆς καὶ λύπης διαλαβεῖν. μέλλων δὲ περὶ ἡδονῆς εἰπεῖν, πρῶτον
λέγει τι δόξαντον ἕκαστος αὐτῶν τῶν παλαιῶν περὶ αὐτῆς καὶ ἰσχυροποιεῖ
τὰς δόξας αὐτῶν, εἶτα καὶ ἀνατρέπει αὐτάς. τινὲς μὲν ἐδόξασαν, ὅτι οὐ-
δέμια ἐστὶν ἡδονὴ ἀγαθὸν οὔτε καθ' αὑτὸ οὔτε κατὰ συμβεβηκός. 10
οὐ γὰρ ἡ ἡδονὴ καὶ τὸ ἀγαθὸν ταὐτόν ἐστιν. οὐ γὰρ ἀντιστρέφει, εἴ τι
ἀγαθόν ἡδονή, καὶ εἴ τι ἡδονὴ ἀγαθόν. ἄλλοι δὲ δοξάζουσιν ὅτι ἔνιαι, ἤτοι
τινὲς μὲν ἡδοναί εἰσιν ἀγαθαί, αἱ δὲ πλείονες τῶν ἡδονῶν φαῦλαι εἰσιν.
τρίτην δόξαν τινὲς ἐδόξασαν. ὅτι εἰ καὶ πᾶσαι αἱ ἡδοναί εἰσιν ἀγαθαί,
ἀλλ' οὐκ ἐνδέχεται εἶναι τὴν ἡδονὴν τὸ ἄριστον, ἤτοι τὸ τελικώτατον
τέλος. ἦσαν γάρ τινες, ὧν εἷς ἦν καὶ ὁ Φιλόξενος, οἳ τὴν ἡδονὴν ἐπι-
σύρευον καὶ ἔλεγον εἶναι τέλος τελικώτατον καὶ τὸ κυρίως ἀγαθόν, οὐ πάντω 20
ἔρωτας.

Ἐπὶ πρώτων τὰς δόξας τῶν παλαιῶν νῦν καὶ κατασκευάσαι ταύτας
πειρᾶται, ὡς δυνατόν. οἱ μὲν οὖν λέγοντες, ὅτι ὅλως οὐδεμία ἡδονὴ ἀγα-
θόν ἐστιν. κατεσκεύαζον τοῦτο οὕτως. ὅτι πᾶσα ἡδονή ἐστι γένεσις 130v
εἰς φύσιν αἰσθητήν, ἡ δὲ γένεσις ἀτελές, τὸ δὲ ἀτελὲς οὐκ ἀγαθόν.
οὐδεμία ἄρα ἡδονὴ ἀγαθόν. οὐδεμία γένεσις συμφυής ἐστιν καὶ ὁμοία τοῖς
τέλεσιν, ἡ γὰρ γένεσις κίνησίς τις ἐστιν ἄγουσα τὸ ἀτελὲς εἰς τελειότητα
καὶ τὸ μὴ ὂν εἰς τὸ ὄν. πᾶν γὰρ τὸ γινόμενον ἢ γίνεται ἀτελές ἐστιν, τὸ
δὲ τέλειον τετελειωμένον ἐστίν. πῶς οὖν ἡ γένεσις ἀτελὴς οὖσα ἔσται ὁμοία
τῷ τέλει τετελειωμένῳ ὄντι; οἷον ἡ οἰκοδόμησις, γένεσίς τις οὖσα (κίνησις 5
γάρ ἐστιν πρὸς τὸ τέλος καταντῆσαι σπεύδουσα), οὐκ ἔσται ὁμοία τῷ τέλει
αὐτῷ, ἤτοι τῇ οἰκίᾳ. τὸ δὲ γένεσις εἰς φύσιν αἰσθητήν, τοῦτο δη-
λοῖ, ὅτι ἡ ἡδονὴ γένεσις, ἤτοι ἀναπλήρωσίς ἐστιν εἰς φύσιν, ἤτοι τῆς ἐν
οὐσίας τῆς φύσεως. ἡ γὰρ ἡδονὴ ἀναπληροῖ, ἡ ἐλλείπεται καὶ ἐνδεῖ ἡ
φύσις. οἷον, εἴ τις πεινᾷ, οὗτος ἐλλείπεται τροφῆς καὶ ἐπιθυμεῖ τραφῆναι,
ἡ ἡδονὴ δὲ ἀναπληροῖ, ἡ ἐνδεῖ ἡ φύσις, καὶ πληροῖ ταύτην τροφῶν. τὸ
δὲ αἰσθητήν κεῖται, διότι ὁ πεινῶν καὶ φαγὼν καὶ χορτάσας αἰσθάνεται, 10
ὅτι ἐχόρτασεν. ἡ πρασέψας τὸ αἰσθητὴν πρὸς ἀντιδιαστολὴν τῶν πέψε-
ων, καὶ ἡ πέψις γὰρ κίνησίς ἐστιν. ἀλλοίωσις γάρ ἐστιν τῶν βρωμάτων.
ἀλλὰ οὐκ αἰσθάνεταί τις, ὅτε ἡ πέψις γίνεται. ὁμοίως δὲ καὶ αἱ ἐκκρίσεις

7 ἡδονὴν a: ἀρετὴν B 25 αἰσθητήν Ba: αἰσθητή Aristoteles 27 [illegible] 1.
τὸ τέλειον a 34 et 36 ἡ B: οὐ a 37 αἰσθητὴν scripsi: αἰσθητὸν Ba
38 αἰσθητὴν B: αἰσθητὸν a

τῶν διαχωρημάτων κινήσεις εἰσὶν εἰς φύσιν, ἀλλ' οὐκ αἰσθηταί. τις αἰσθάνεται, ὅταν αἱ ἐκκρίσεις γίνωνται. ὅλως μὲν οὐδεμία ἡ ὑή ἐστιν· αἱ γὰρ ἡδοναὶ γενέσεις εἰσίν, ἡ δὲ γένεσις ἀτελής ἐστ

Ἄλλο ἐπιχείρημα δεικνύον, ὅτι ἡ ἡδονὴ ἀγαθὸν οὐκ ἔστι. ζεται ἐν δευτέρῳ σχήματι, ὁ σώφρων φεύγει τὰς ἡδονάς, ο μὴ) ὑπὸ τοῦ σώφρονος διώκεται ἀγαθόν, ἡ ἡδονὴ ἄρα οὐκ ἔστ ἕτερον ἐπιχείρημα ἐν δευτέρῳ σχήματι καὶ τοῦτο. τὸ ἄλυπον ἡδύ, ἤτοι ὁ φρόνιμος τὴν ἡδονὴν μισεῖ, οὐδὲν δὲ ὃ μισεῖ ὁ φρόν ὂν ἐστιν. οὐκ ἔστιν ἄρα ἡ ἡδονὴ ἀγαθόν. ἔτι αἱ ἡδοναὶ ἐμποδισ τῆς φρονήσεως. οὐδὲν δὲ ἐμποδιστικὸν τῆς φρονήσεως ἀγαθόν. ἄρα οὐκ ἔστιν ἀγαθόν. ὅσον γάρ τις χαίρει μᾶλλον τῇ τῶν ἀ ἡδονῇ, τοσοῦτον κωλύεται τοῦ φρονεῖν. οὐδεὶς γὰρ ἐν αὐτῇ τ τῶν ἀφροδισίων ἡδονῇ, ὢν δυνηθῇ νοῆσαί τι. ἕτερον ἐπιχεί ἀγαθὸν ἔργον ἐστὶν τέχνης τινος. ἡ γὰρ ὑγιεινὰ ἔργον ἐστὶν τῆ καὶ τὸ ὀρθογραφεῖν ἀγαθὸν ἢ ἔργον ἐστὶν τῆς γραμματικῆς. ο ἡδονῆς τέχνη ἐστίν· οὐκ ἄρα ἡ ἡδονὴ ἀγαθόν ἐστιν. καὶ τοῦτο σχήματι. ἔτι τὰ ὑγιεινὰ καὶ τὰ παιδία διώκει, ἤτοι ζητεῖ. τὰ κὰς ἡδονάς, ἤτοι τὸ ὑπὲρ μέτρον ἐσθίειν καὶ πίνειν καὶ ἀφρ οὐδὲν δὲ τὸ ὑπὸ τῶν παιδίων καὶ ὑγιεινῶν ἀνοήτων ὄντων, ὃ ἤτοι ζητούμενον ἀγαθόν ἐστιν. ἡ ἡδονὴ ἄρα οὐκ ἔστιν ἀγαθόν.

Τοῦ δὲ μὴ πάσας τὰς ἡδονὰς εἶναι σπουδαίας. ἤτο αἵτιον εἶναί τινες ἐδόξαζον τὸ εἶναι καί τινας αἰσχρὰς ἡδονάς. ἔλεγόν τινες. ὅτι εἰσὶν αἰσχραὶ ἡδοναὶ καὶ ἀνειδιζόμεναι, οἷ κιναίδων ἡδοναί, καὶ ἐπεί εἰσιν ἡδοναὶ βλαβεραί, οἷον τὰ ἄμετρα ἀρρώστου τινὸς γὰρ τινα ἡδέα νοσοῦντι· ἴσως γὰρ τῷ καχεκ λάξειε τὸ φαγεῖν βοεῖον κρέας, ἀλλὰ τοῦτο βλαβερὸν ἐστιν αὐτῷ αἱσιν [αἱ] ἡδοναὶ βλαβεραὶ καὶ αἰσχραί. λοιπὸν πᾶσαι αἱ ἡδονα σπουδαῖαι. ἤτοι ἀγαθαί. ἤτοι οὐδέτεραι. λοιπὸν ἡδονὴ ἀγαθόν ἐστ δόξαζόν τινες. ὅτι οὐκ ἐστιν ἡδονὴ τὸ ἀριστον. ἤτοι τὸ τελικὸ λος. ὅτι οὐδὲ τέλος ἁπλῶς. καὶ ὃ οὐκ ἐστιν ἁπλῶς τέλος. π [illegible] ἡ μὲν ἡδονὴ γένεσίς ἐστιν. ἡ δὲ γένεσις [illegible] τὴν αἰτίαν αὐτῆς· τὰ μὲν ἀγαθά. ἤτοι ὠφελοῦντα. ἡδονή. τοῦτο οὖν.

Ὅτι δὲ διὰ ταῦτα. ἤτοι διὰ τούτων ὧν ὀξάζουσιν. οὐ τὴν ἡδονὴν μὴ εἶναι ἀγαθὸν μηδὲ τὸ ἄριστον ἀλλὰ τὸ ὂν κύεται. ὅτι καὶ τὸ ἀγαθὸν ἐστι καὶ τὸ ἄριστον. ἐκ τῶνδε ὧν ἐπεῖν ἐσται ὅλων. καὶ πρώτων μὲν ἀνατρέπει τὴν ὀξαν τὴν ὅτι οὐδεμία ἡδονὴ ἀγαθόν. εἰ ἡδονὴ γένεσίς ἐστιν, ἡ δὲ γενεσις ἀ δὲ ἀτελὲς οὐκ ἀγαθόν. οἰκειοῦσι γὰρ ὅτι τῶν ἡδονῶν αἱ μὲν ε ἀγαθαί, αἱ δὲ φαινόμεναι, αἳ οὐδὲ κυρίως εἰσὶν ἀγαθαί, ἀλλὰ τ

1 [illegible] post ἤδὺ fenestra 40 fere litterarum capax
11 ἀσωδίαι B: ἀσωδίαι εἰσι a

τὰ κάλλιστα, καὶ πράξει ἑαυτοῦ ἕνεκεν. καὶ πράττων οὕτως ὠφελήσει καὶ τοὺς ἄλλους ὠφελήσει. τὸν δὲ μοχθηρὸν οὐ δεῖ φίλαυτον εἶναι. ὑπολαμβάνων γὰρ ὁ μοχθηρὸς ἑαυτὸν εἶναι οὐ τὸν ἐν ἡμῖν νοῦν ἀλλὰ τὸ σῶμα τοῦτο καὶ τὴν σὺν αὐτῷ φθειρομένην ἀλόγιστον ζωήν ⟨θεραπεύει⟩, οἰόμενος δὲ διὰ ταύτην τὴν ἡμαρτημένην ὑπόληψιν οἰκειότατον ἀγαθὸν ἀνθρώπῳ εἶναι τρυφὴν καὶ πᾶσαν σωματικὴν ἡδονήν, ταῦτα διώξει καὶ αἱρήσεται ὥστε καὶ ἔσται διὰ τοῦτο ἄδικος καὶ πλεονέκτης. πόθεν γὰρ ἂν εὐπορήσῃ πλουτῶν τετρημένος πίθον, μὴ ἀδικῶν καὶ ἁρπάζων; ἀδικῶν δὲ βλάψει καὶ ἑαυτὸν καὶ τοὺς πέλας. πράξει γὰρ ἐξ ἀνάγκης ἃ οἴεται εἶναι κάλλιστα καὶ κάκιστα ὄντα. πῶς γὰρ ὁ ὅλως κάλλιστον εἶναι πεπεισμένος πράττειν· δοκεῖ δ' αὐτῷ κάλλιστα τὰ χείριστα· πράξει ἄρα τὰ χείριστα. δέον οὖν, φησίν, ἄλλα πράττειν, τὰ ὑπεναντία δηλονότι τῷ ἀγαθῷ ἀνθρώπῳ, ἄλλα πράττει ἀγνοῶν διὰ τὴν μοχθηρὰν τῶν ὄντως ἀνθρώπων.

1 μὲν B: μὲν οὖν a et Arist. rhesis usque ad τῷ νῷ (p. 1169a18) a 7 οὕτωσι B: οὕτως a 10 τὴν a: om. B 15 σπουδαιοτάτας B: σπουδαιότητας a 22 προσέσται B: παρέσται a 27 θεραπεύει a: om. B 33 κάλλιστα — εἶναι Vat. 320: om. Ba σπεύδει Vat. 320: σπου B: σπουδέα a 34 πράξει ἄρα τὰ χείριστα Vat. 320: om. Ba 35 πράττει B: πράττειν a

ὁ δ' ἐπιεικὴς κατὰ νοῦν ζῶν ἃ δεῖ κατ' ἀλήθειαν πράττειν ἐκεῖν
πρ[illegible]. πᾶς γὰρ νοῦς αὐτοφυῶς μὴ πηρωθεὶς ὑφ' ἡδονῆς
ὀρέγ[illegible] καὶ διώκει τὸ βέλτιστον καὶ συμφέρον ἑαυτῷ. ἀλλὰ δ
κα[illegible]τῶν ἀλόγων ζῴων. ἔστι γάρ τις ἅπασι τούτοις ἐλλαμ
νοῦ, ὡς αὐτὸς ὁ Ἀριστοτέλης ἀλλαχοῦ λέγει τοῖς μὲν μᾶλλ
δὲ ἧττον, δι' ἣν ἐλλαμψιν αὐτοφυῶς ζητεῖ καὶ ευρισκει τὰ ὠφ
νοσήσας γὰρ τοὺς ὀφθαλμοὺς ὁ ὄρις ἐπὶ τὰ μάραθρα τρίβει, καὶ ἡ
πυρέξασα τοὺς μύρμηκας ἐσθίει καὶ ἰᾶται, καὶ ὁ ἀράχνης τὰ
ὑφαίνει πρὸς θήραν τῶν μυιῶν, καὶ ἡ χελιδὼν τὴν καλιὰν ἡ
περιπήγνυσιν, ὡς πολυχωρητότερον τὸ τοιοῦτον σχῆμα, καὶ ὁ
τὸν σῖτον ἐν τοῖς ἑαυτοῦ λαβυρίνθοις ἀποθησαυρισθέντα διαιρεῖ, ὅ
βλαστήσῃ. τί δεῖ πολλὰ γράφειν; πλήρεις τοιούτων αἱ περὶ ζῴων
τέλους πραγματεῖαι καὶ ἐξ ἐκείνων ὁ βουλόμενος λαμβανέτω τὰ
τοῦ πάντα νοῦν αἱρεῖσθαι τὸ βέλτιστον ἑαυτῷ. ὥστε καὶ ὁ ἐπιεικὴς
πειθαρχεῖ τῷ νῷ, ἀποσεύεται δὲ τὰς ἀλόγους ὀρέξεις, τὰ βέλτ
ἑαυτῷ καὶ τοῖς πέλας αἱρήσεται καὶ πράξει.

p. 1169a18 Ἀληθὲς δὲ τὸ περὶ τοῦ σπουδαίου καὶ τὸ τῶ
ἕνεκα πολλὰ πράττειν.

Οὐ παντα πραξει ενεκα τοῦ φιλου, οἷον ὅσα ἐκεινῳ αἰσχυνη
ἢ ζημίαν ψυχῆς ἀλλ' ὅσα εἰς τιμὴν καὶ ὠφέλειαν τοῦ ἀληθινοῦ
που τείνει. εὐλόγως οὖν οὐκ εἶπεν ὅτι πάντα πράξει ἀλλ' ὅτ
ἐπειδὴ γὰρ πολλὰ τὰ καλὰ καὶ συμφέροντα ἑαυτοῦ ἕνεκα πρά
φίλος αὐτοῦ ἄλλος αὐτός ἐστι, καὶ τοῦ φίλου ἕνεκα πολλὰ πρά
ἐπεὶ ὅλος ταῖς ἀρεταῖς κατακώχιμός ἐστι, καὶ κεκοσμημένος κα
σοφίᾳ. τὰς δὲ νοῦς, ὡς εἴρηται, τὰ βέλτιστα αἱρεῖται· ἐν τ
αὐτοῦ τοῦ νοῦ τὸ εἶναι καὶ τοῦτό ἐστιν, ὡς εἰπεῖν, ἡ οὐσία
βέλτιστα καὶ συμφέροντα ἑαυτῷ αἱρεῖσθαι), ἐπεὶ οὖν τοιοῦτός ἐστι
δαίος καὶ τῆς πατρίδος ἕνεκα πολλὰ πράξει, κἂν δέῃ ὑπεραπο
ἀποθανεῖται καὶ χρήματα προήσεται ὑπὲρ τῆς τῶν πολιτῶν
καὶ πάντα τὰ περιμάχητα τῶν ἀγαθῶν οἷον τιμὰς κτήματα περ
μενος ἑαυτῷ τὸ καλόν· τοῦτο δέ ἐστιν ἡ ἀπὸ τῶν σπουδαίων
ἡ ἀπὸ τοῦ δημιουργοῦ ἡμῶν θεοῦ ἀμοιβή. βούλεται γὰρ ὁ σ
καὶ πᾶς εὐφρονῶν ὀλίγον χρόνον ἡσθῆναι σφόδρα τὴν ἀληθεστάτ
ἢ πολὺν ῥᾴθυμα καὶ κατὰ βραχύ. ὅτι μὲν γὰρ ταῖς κατ' ἀρετ
σιν ἅπονται ἡδοναὶ ὄλλον καὶ εἴρηται πολλάκις, εἴ που ἀρετή ἐστ
μεσότητι τῇ πρὸς ἡμᾶς κατὰ τὸν ὀρθὸν λόγον μεθ' ἡδονῆς ἢ

1 τις Ba: cancellavi 5 ὡς αὐτὸς] ὡσαύτως Ba ἀλλαχοῦ] περὶ τὰ ζῴα
17 τὸ περὶ Ba et Arist. cod. Lb: περὶ Arist. vulg. thesis usque ad
(1169a25) a 19 ἐκείνῳ τῷν καὶ (20) Vat. 320: αἰσχύνην φέρει ἐκεί
cuna 13 fere litterarum B: idem a fenestra nulla indicata 22 ἑαυτοῦ
23 αὐτοῦ] ἑαυτοῦ B: ἑαυτῷ a 33 ἀληθεστάτην B: ἀληθῆ a

ἡδονῆς. ὅτι δὲ καὶ ταῖς μεγάλαις πράξεσιν ἡδοναὶ μεγάλαι ἕπονται, καὶ 157v
τοῦτο ἴσμεν. εἰ δὲ τοῦθ' οὕτως ἔχει, δῆλον καὶ ὅτι ὁ κατὰ βραχὺ τὰ
καλὰ πράττων καὶ κατ' ὀλίγον εἰ τύχοι ἀναλίσκων χρήματα περὶ αὐτὰ 10
πολὺν μὲν χρόνον ἥδεται, κατὰ βραχὺ δὲ καὶ ἠρέμα, ὁ δὲ τυχὸν
πράττων ἢ καὶ ἀθρόον ἀναλίσκων ὀλίγον μὲν χρόνον, σφόδρα δὲ ἔοικε
ἔοικε γὰρ ὁ σπουδαῖος σφόδρα διψῶντι καὶ ἀθρόον πίνοντι ψυχρόν, ὁ δὲ
λοιπὸς τῷ κατὰ βραχὺ ἐπιρροφοῦντι. αἱρεῖται οὖν ὁ σπουδαῖος τὸ σφόδρα
ἐν ὀλίγῳ χρόνῳ ἡσθῆναι ἢ ἠρέμα ἐν πολλῷ. καὶ βιῶσαι ἕνα χρόνον
καλῶς ἐν τῷ ὑπεραποθνήσκειν τῆς πατρίδος. ἢ πολλοὺς τυχόντως, ἤτοι
ἀκλεῶς καὶ δίχα τινὸς τιμῆς. καὶ μίαν πρᾶξιν αἱρεῖται πρᾶξαι καλὴν 15
καὶ μεγάλην, ἥτις ἐστὶ τὸ κινδυνεῦσαι ὑπὲρ τῆς πατρίδος ἢ φίλων ἢ τὸ
πάντα τὰ χρήματα καὶ κτήματα προέσθαι χάριν τινὸς μεγάλου κοινοῦ
ἢ πολλὰς καὶ μικρὰς πράξεις διαπεράναι. εἰπὼν δὲ ὅτι αἱρεῖται μίαν
μεγάλην πρᾶξιν καὶ καλήν, τίς ἐστιν ἡ μεγάλη καὶ καλὴ πρᾶξις σαφη-
νίζων ἐπήγαγε τοῖς δ' ὑπεραποθνήσκουσιν ἴσως τοῦτο συμβαίνει, 20
ἴσον λέγων τῷ οἱ τὰς μεγάλας πράξεις καὶ καλὰς πράττοντες, εἰσὶν ὑπερ-
αποθνήσκοντες πατρίδος καὶ φίλων. τὸ δ' ἴσως πρόσκειται διὰ τοὺς
πολλοὺς καὶ φαύλους. τοῖς γὰρ τοιούτοις οὐ δοκεῖ μέγα τι τὸ ὑπερκινδυ-
νεύειν, ὅτι μηδὲ ἴσασι τίνα εἰσὶ τὰ κυρίως καλά.

p. 1169a26 Αἱροῦνται δὴ μέγα καλὸν ἑαυτοῖς. |

Οἱ ὑπεραποθνήσκοντες, φησίν, αἱροῦνται μέγα ἀγαθὸν αὑτοῖς, τοῦτο 158r
ὃ ἐστὶν ὅπερ αἱροῦνται ἀγαθὸν καὶ προτίθενται τῆς ζωῆς καὶ προτιμῶσι 6
τὸ τιμᾶσθαι διὰ παντὸς ὑπὸ τῆς πόλεως εἰκόσι καὶ ἀνδριάσι καὶ μνήμαις
καὶ θυσίαις καὶ τοῖς τοιούτοις. ἀλλὰ καὶ χρήματα προίενται, ὅπως πλείονα
λήψονται οἱ φίλοι. εἰ γάρ ἐστιν ἡ πόλις τιμοκρατουμένη, οὐ φείσεται
χρημάτων ἀλλὰ δοίη ἂν τὴν ὡρισμένην καὶ κειμένην τιμὴν τῆς ἀρχῆς.
ὅπως ὁ φίλος λάβῃ τὴν τοιάνδε ἀρχήν, οἷον εἰ ἐν τῇ πόλει ἐστὶν ἡ 10
πολιαρχία ἢ ἡ συμπονία ὠνηταί, δοίη ἂν τὴν τιμὴν δυνάμενος δηλονότι
ὅση ἂν εἴη, ἵνα πολιαρχήσῃ ἢ συμπονήσῃ ὁ φίλος αὐτοῦ καὶ λάβῃ ἐξ
αὐτῆς καὶ ἐπικτήσηται πλείονα ὧν ἔχει καὶ εὐπορεῖ. καὶ τῷ μὲν αὐτοῦ
φίλῳ γίνεται χρήματα ἢ ἀρχὴ ἢ ὁτιδηποτοῦν ἄλλο, αὐτῷ δὲ γίνεται τὸ
καλόν, οἷον τιμὴ καὶ κῦδος καὶ ἔπαινος πρὸς ἁπάντων ὥστε τὸ μεῖζον
ἀγαθὸν ἑαυτῷ νέμει. μείζων γὰρ ἡ τιμὴ καὶ ἡ εὐκλεια χρημάτων τοῖς
ὀρθῶς λογιζομένοις ἀλλὰ καὶ ἐν ταῖς τιμαῖς, φησί, καὶ ταῖς ἀρχαῖς ὁ αὐτὸς 15
τρόπος. προήσεται γὰρ καὶ ταύτας τῷ φίλῳ καὶ αἱρήσεται τὸν φίλον

6 ψυχροῦ B: ψυχρόν a 9 τυγόντως B: τυγόντων a 14 καὶ (alterum) B: om. a
16 λέγει B: λέγει a 20 rhesis usque ad οὐ χρή (p. 1169b2) a 25 φείσεται B: φείδεται a 27 τοιάνδε B: τοιαύτην a 28 πολιαρχία corr. ex πολυαρχία B: πολυαρχία a δυνάμενος B: δυναμένην a 30 ἐπικτήσηται Vat. 320: ἐπικτήσεται Ba
30 τῷ B: τὰ a 31 δηποτοῦν B: δυσποτοῦν a αὐτῷ B: αὐτό a 35 προήσεται B: προσίεται a

ταμιεύειν καὶ ὑπὲρ αὐτοῦ. κατὰ γὰρ καὶ ἐπανιτέον ὅ
τοῦτο τῷ φίλῳ. ταῦτα δὲ ποιῶν εἰκότως δοκεῖ σπουδα
καὶ σπουδαῖον γὰρ τὸ ὄντι πάντων αἱρεῖσθαι τὰ καλά. οὕτο
ρεῖται τὰ καλά, οὗτος ἄρα σπουδαῖος. πάντα γάρ, ὡς εἴρητ
τει τὰ καλὰ καὶ ἔτι οἴεται κάλλιον εἶναι παραχωρῆσαι τῷ φ
ἀρχῆς τοῦ αὐτοῦ ἀρχειν. τούτοις ἐπαγει οὕτω μὲν οὖν φ
εἶναι ὅτι νέμοντα ἑαυτῷ πλέον τοῦ καλοῦ. τὸ γὰρ κάλ
πλέον ἐν χρήμασι καὶ τιμαῖς οὐ φιλαυτία, ὡς τοῦ πανν
ἀλλὰ πλεονεξία ἐστίν.

10 p. 1169b3 Ἀμφισβητεῖται δὲ καὶ περὶ τὸν εὐδαίμονα, ει
ται φίλων ἢ μή.

Ἐπειτα τοίνυν πότερον χρήζει φίλων ὁ εὐδαίμων ἢ οὔ·
φίλος ἔοικεν εἶναι ὁ οὔ· καὶ οἷς οὐκ εὐδοκεῖ. ἐλεγετο ταῦτα. ὁ
ἄνευ. ὁ παρίσηται παρ' αὐτοῦ ὧν χρήζει καὶ ἐνδεής ἐστι καὶ μ
αὐτὸς δι' ἑαυτοῦ παρίσασθαι. ὁ εὐδαίμων αὐτάρκης καὶ ἀνενδε
οὐ γὰρ ἂν ἦν μακάριος, εἴ τινος ἐδεῖτο· ὥστε οὐδὲ φίλων χρή. κ
ἡ συναγωγὴ τοῦ λόγου ἐν ἀντιστρόφῳ σχήματι τοιαυτη· ὁ εὐδαιμων
ἐστιν. ὁ νέμομενος φίλων οὐκ ἐστιν ἀνενδεής· ὁ εὐδαίμων ἄρα
φίλων. ἢ καὶ ἐν πρώτῳ σχήματι οὕτως· ὁ εὐδαίμων ἀνενδε
οἱ ἀνενδεεῖς οὐ δέονται φίλων· ὁ εὐδαίμων ἄρα οὐ δεῖται φίλων.
τῶν λόγων διανοια τοιαυτη. τὸ ὁ ὅταν ὁ εὐδαιμων τὸ διὸ
φίλων": ἔστιν ἐκ τοῦ Ὀρέστου τοῦ Εὐριπίδου. λέγει δὲ τοῦτο ὁ
πρὸς τὸν Μενέλαον παρακαλῶν αὐτὸν εἰς βοήθειαν. δαίμονα λέ
τὸ θεῖον. ὅταν γὰρ τὸ θεῖον βοηθῇ καὶ πάντα τὰ καλὰ χορηγ
φίλων οὐκ ἔστιν. ἃ μὲν οὖν λέγουσιν οἷς δοκεῖ μὴ δεῖσθαι τῶν
φίλων. ταῦτά ἐστιν. οἷς δὲ δοκεῖ δεῖσθαι, ὧν εἷς ἐστι καὶ
Ἀριστοτέλης, ἄτοπα ταῦτα δοκεῖ. εἰ γὰρ ὁ εὐδαίμων, φήσειεν ἂ
στέλης, ἐστὶν ὁ ἔχων πάντα τὰ καλά, τὸ δὲ μέγιστον τῶν καλῶ
στιν, ὅταν ἀποστερησωμεν αὐτον φιλου, πῶς ἔσται εὐδαιμων;
ἂν εὐδαίμων εἴη ὁ τὸ μέγιστον τῶν καλῶν μὴ ἔχων; πάντων
ἐκτὸς ἀγαθῶν μεῖζον ἀγαθὸν ὁ φίλος ἐστίν, οἷον πλούτου
κτημάτων.

φιλαυτία B: φιλαυτιάν a 10 thesis usque ad μέγιστον εἶναι (p. 116
μετο B: ἔλεγε a 16 φίλων B: φαύλων a 21 δ' ὁ Ba
i 22 Eurip. Orest. 667 ὁ B: om. a
χορηγεῖ et χορηγεῖ a 26 δὲ B: om. a δεῖσθαι B: μὴ

p. 1169b10 Εἰ δὲ φίλου μᾶλλόν ἐστι τὸ εὖ ποιεῖν ἢ πάσχειν. 158r
καὶ ἔστι τοῦ ἀγαθοῦ καὶ τῆς ἀρετῆς τὸ εὐεργετεῖν.

Διὰ τούτων ὅτι δεῖται φίλων ὁ εὐδαίμων κατασκευάζει· ἔστι δ' ὃ λέγει τοιοῦτον· εἰ τοῦ ἀγαθοῦ καὶ σπουδαίου ἐστὶ τὸ εὖ ποιεῖν καὶ εὐεργετεῖν (τῷ γὰρ σπουδαίῳ ἢ σπουδαίῳ τὸ εἶναι ἐν τῷ εὖ ὁρᾶν ἐστι καὶ οὐκ ἐν τῷ πάσχειν· τὸ γὰρ εὖ πάσχειν καὶ οἱ φαυλότατοι αἱροῦνται, ἔστι δὲ καὶ κάλλιον εὖ ποιεῖν φίλους ὀθνείους). δεήσεται φίλων ὁ εὐδαίμων, ἵν' ἔχῃ οὓς εὖ ποιήσῃ, ἐπεὶ σπουδαῖός ἐστιν, ὥστε καὶ τοὺς ὀθνείους. καλὸν γὰρ καὶ τοὺς τοιούτους εὐεργετεῖν, ἀλλὰ δεῖ καὶ τὰ κάλλιονα πράττειν. κάλλιον δὲ τὸ εὖ ποιεῖν φίλους ὀθνείων. φίλων ἄρα δεῖται ὁ εὐδαίμων, ἐπεὶ καὶ εὐδαιμονοῦντες καὶ ἀτυχοῦντες καὶ κακοδαιμονοῦντες δεόμεθα φίλων, εὐτυχοῦντες μὲν ἵν' εὖ ποιῶμεν, ἀτυχοῦντες δὲ | ἵνα τυγχάνωμεν ἐπικουρίας, εἰκότως ἐζητεῖτο πότερον ἐν 158v
εὐτυχίαις μᾶλλον δεῖ φίλων ἢ ἐν ἀτυχίαις. καὶ δῆλον ὅτι ἐπίσης ἐν ἀμφοτέραις ἢ εἴπερ. μᾶλλον ἐν δυστυχίαις. ἄτοπον δ' ἴσως καὶ τὸ μονώτην ποιεῖν τὸν μακάριον. τὸ ἴσως πρόσκειται διὰ τὸν εὐδαίμονα περὶ οὗ μέλλει λέγειν ἐν τῷ ἑφεξῆς βιβλίῳ. ἐν μὲν γὰρ τῷ παρόντι βιβλίῳ | ὄντι τῆς παρούσης πραγματείας, περὶ τοῦ πολιτικοῦ 5
εὐδαίμονος διαλέγεται, ἐν δὲ τῷ ἑξῆς περὶ τοῦ σχολῇ καὶ θεωρίᾳ τῆς τῶν ὄντων φύσεως συζῶντος τὸν λόγον ποιήσεται, ὃς εἴτε δεῖται φίλων εἴτε μή, ἐκεῖσε γενόμενοι γνωρίσομεν ἐξ ὧν αὐτὸς περὶ τοῦ τοιούτου εὐδαίμονος λέγει. ἃ δὲ νῦν λέγει περὶ τοῦ πολιτικοῦ εὐδαίμονος, ὡς χρήζοντος φίλων διὰ τῶν προκειμένων ῥήσεων ταῦτ' ἂν εἴη. ἄτοπόν φησι καὶ τὸ μονώτην καὶ ἔρημον φίλων καὶ παντὸς ἄλλου ποιεῖν τὸν μακάριον. εἰ γὰρ μὴ φίλον ἕξει, σχολῇ τῶν ἄλλων τινά. μετὰ τίνος γὰρ τῶν ἄλλων ἀνομοίων ὄντων ἡδέως συνδιημερεύσει καὶ συνομιλήσει; ἤλιξ 10
γὰρ ἥλικα τέρπει καὶ ὁ ὅμοιος τὸν ὅμοιον. ὁ μὲν γὰρ θεωρίᾳ τῶν ὄντων σχολάζων καὶ μηδένα λόγον ποιούμενος τοῦ ζῴου ἡμῶν, εἰ μὴ πᾶσα ἀνάγκη, ὁ τοιοῦτος ἔστω μονώτης. τὸν δὲ πολιτικὸν εὐδαίμονα, ᾧ πάντα πρόσεστι τὰ ἀγαθά, πῶς ἐνδέχεται μονώτην εἶναι; καὶ μάλιστα ὅτι πολιτικὸν ζῷον ὁ ἄνθρωπος καὶ συζῆν πεφυκώς, ὁ δ' εὐδαίμων ἄνθρωπος δεήσεται φίλων μεθ' ὧν συζήσεται. ἔχει γὰρ τὰ φύσει ἀγαθὰ καὶ 15
κρείττω μετὰ φίλων καὶ ἐπιεικῶν ἤτοι ὁμοίων αὐτῷ ἢ μετὰ ὀθνείων καὶ κατὰ τὰ ἐπιτηδεύματα ἀλλοτρίων συνημερεύειν· ἀηδῶς γὰρ τούτοις συνέσται. δεῖ ἄρα τῷ εὐδαίμονι φίλων.

1 εἰ δὲ Ba et Arist. codd. L b 0 b: εἴ τε Arist. vulg. μᾶλλόν ἐστι scripsi ex Aristotele: μάλιστα B: ἐστὶ μᾶλλον a rhesis usque ad εὐδαίμων, φίλων (p. 1162a22) a 8 ποιῆσῃ B: ποιήσει a 10 καλλίονα scripsi: κάλλια Ba 13 τυγχάνωμεν B: τύχωμεν a 14 δεῖ B: δὴ a 15 ἀμφοτέραις Vat. 320: ἀμφοτέρας Ba 18 ἓ scripsi: ἑῶτα B: ἐνάτῳ τῷ a πολιτικοῦ B: πολιτικοῦ καὶ a 19 ἑξῆς B: ἑφεξῆς a 28 μηδένα a 31 πεφυκὼς a 33 κρείττω a: κρείττον B

p. 1169b22 Τί οὖν λέγουσιν οἱ πρῶτοι, καὶ πῇ ἀληθεύο

Τὸ μὴ μοναχῶς, πολλαχῶς δὲ τὴν φιλιαν λέγεσθαι, γέ
τὸν λέγειν μὴ δεῖσθαι τὸν εὐδαίμονα φίλων. εἰσὶ γὰρ τῶν φιλιῶν,
πρὸ τούτου βιβλίῳ μεμαθήκαμεν, αἱ μὲν διὰ τὸ χρήσιμον εἶναι
ραιων καὶ προς αλληλους αντικαταλλαττομένων, αἱ δὲ διὰ τὸ ἡδ
ο αι τῶν εὐτραπέλων καὶ τῶν ἐρωμένων), αἱ δὲ διὰ τὸ κα
ἦθος, οἷαί εἰσιν αἱ τῶν σπουδαίων. διὰ οὖν τὸ τοὺς πολλ
οἴεσθαι φίλους εἶναι τοὺς χρησίμους ἀλλ' οὐ τοὺς σπουδαίους
φιλων δεῖσθαι τὸν εὐδαίμονα. καὶ καλῶς ἀπεφήναντο. τῶν
μων οὐ δεῖται· ανενδεὴς γάρ ἐστιν· ἔχει γὰρ ἅπερ εὐδαίμων ἐ
τὰ ἀγαθά· ἀλλ' οὐδὲ τῶν διὰ τὸ ἡδὺ δεῖται φίλων, κἂν ἴσω
νόσον ἢ τοιοῦτό τι δεήσεται, ἐπὶ μικρὸν δεήσεται. ἡδὺς γὰρ
αὐτοῦ (ἡ γὰρ εὐδαιμονία μεθ' ἡδονῆς ἢ οὐκ ἄνευ ἡδονῆς, ὡ
εἴρηται καὶ δέδεικται οὐσα). οὐδὲν δεῖται τῆς ἐπεισάκτου καὶ ε
ὑτραπέλων ἡδονῆς. τῶν οὖν τοιούτων μὴ δεόμενος φίλων, ὁ
ὡς χρήσιμον φίλου. ὁ, φησίν, οὐκ ἔστιν ἀληθές. οὐ λέγε
ἔστιν ἀληθὲς τὸ μὴ δεῖσθαι τῶν διὰ τὸ ἡδὺ ἢ τὸ χρήσι
παντὸς γὰρ ἄλλου μᾶλλον ἀληθές ἐστι τὸ μὴ δεῖσθαι τῶν
τῶν ἡδονὰς ποριζόντων φιλων· ἀλλ ἐστιν ὃ λέγει δὸ τοῦ
ἔστιν ἀληθὲς τοιοῦτον· τὸ λέγειν, ὅτι ἐπεὶ οὐ χρήζει ὁ εὐδαίμω
τὸ ἡδὺ φίλων οὐδ' ὅλως δεῖται φίλων. οὐκ ἔστιν (ἀληθές)· ἐ
γὰρ τῶν φιλων οὐ δεῖται· τῶν δὲ σπουδαίων, οἳ καὶ ἀληθῶς
καὶ πάντ' ἐστιν.

p. 1169b28 Ἐν ἀρχῇ μὲν εἴρηται, ὅτι ἡ εὐδαιμονία
στιν. ἡ δ' ἐνέργεια δῆλον ὅτι γίνεται.

Ὅτι φιλων δεῖται ὁ εὐδαίμων τῶν σπουδαίων καὶ ὁμοίων
οια τούτων δεικνυσι. παυσ δὲ ασαφῶς καὶ περιεννοημένως
μενα απαγγελλει. εστι δ ὁ λογος ὁτι οὐ κατασκευάζει, ὅτι
πουδαίων ὄντων . . . ων συνδιάγειν καὶ συνδιημερεύειν
μετ' αλλου ὁ οὑσενος ὁυναται, ὁ τοιοῦτος. λαμβανει τὰ ἐν
τῳ βιβλίῳ τῆς παρούσης πραγματείας περὶ τῆς εὐδαιμονίας
ὅτι ἡ εὐδαιμονία ἐνέργειά ἐστιν. εἶπε γὰρ ἐκεῖ ὅτι ἡ εὐδαι
ψυχῆς ἐνέργεια κατ' ἀρετὴν ἐν βίῳ τελείῳ μεθ' ἡδονῆς. ἢ
ἡδονης. καὶ τουτο λαμβάνει· ἐπει ἐνέργεια ἐστιν αλλ οὐ

1 ἡ B et Aristoteles vulg.: πῶς a rhesis usque ad ἕως ἀληθές (p.
μοναχῶς B: μοναχῶς μὲν a 14 δεῖται B: δέεται a 22 ἀληθὲς ins
γὰρ a et Aristoteles ἐνέργειά B: ἐνέργειά τις a et Aristoteles
ὄντος (p. 1170a4) 29 συνδιάγειν καὶ συνδιημερεύειν B: συνδιά
a 30 ὁ τοιοῦτος B: τοιοῦτος a 32 ἐκεῖ] A 6 p. 1098a16

ἀργή, ὥσπερ ἡ τῶν καθευδόντων ἰατρῶν ἢ ἔν τινι φρουρᾷ κεκλεισμένων 158ˢ
καὶ μηδέν τι διαπραττόντων (τῷ γὰρ ἐνεργεῖν καὶ μὴ ἐνεργεῖν διαφέρει ὁ 30
σπουδαῖος καὶ ὁ εὐδαίμων· τῷ μὲν γὰρ ὑποκειμένῳ ὁ αὐτός ἐστιν ὁ
πολιτικὸς σπουδαῖος καὶ ὁ εὐδαίμων τῷ ἐνεργεῖν ὥστε ἡ εὐδαιμονία ἐνέργειά
ἐστιν, εἰ δὲ ἐνέργεια, ὄῆλον ὡς οὐκ ἔστιν ὅλον τι καὶ ὑφεστηκός, ὡς
οἰκία ἢ ἱμάτιον ἢ ἐγὼ ἢ σύ. ἀλλὰ γίνεται ὥσπερ καὶ ἡ κίνησις· οὐδὲ
γὰρ ἡ κίνησίς ἐστιν ὅμοῦ ὑφιστᾶσα ἀλλὰ τὸ μὲν αὐτῆς γέγονε, τὸ δ'
ἔστι, τὸ δὲ | μέλλει γενέσθαι)· οὐκ ἔστιν οὖν ἡ εὐδαιμονία ὅλον τι, 159ʳ
ἐνέργεια οὖσα, ἀλλ' οἷον ἡ κίνησις καὶ ὅρασις· τοιαύτη δὲ οὖσα ὄῆλον
ὅτι τὸ εἶναι αὐτῆς καὶ ἡ οὐσία αὐτῆς εὐζωία τίς ἐστι καὶ εὐπραξία.
ὥστε καὶ τοῦ εὐδαίμονος τὸ εἶναι, οὐχ ἧ ἄνθρωπος ἀλλ' ἡ εὐδαίμων.
ἐστὶ τὸ ζῆν εὐδαιμόνως, ἤτοι τὸ πράττειν καὶ ἐνεργεῖν τὰ ἀγαθὰ καὶ σπου-
δαῖα. τοῦ γὰρ ἀγαθοῦ ἐστι τὸ πράττειν τὰς καλὰς πράξεις καὶ βούλεσθαι
βλέπειν τοὺς πράττοντας καὶ ὅπως πράττουσιν αὐτάς. ἐπεὶ τοίνυν τὸ εὐδαι- 5
μονεῖν ἐστιν ἐν τῷ πράττειν καὶ θεωρεῖν καὶ τὰς πράξεις καὶ τοὺς πρατ-
τοντας, οἱ δ' ἄνθρωποι πεφύκασι μᾶλλον τοὺς πέλας ὁρᾶν καὶ τὰς ἐκείνων
πράξεις ἢ ἑαυτοὺς καὶ τὰ ἑαυτῶν, χρεία διὰ τοῦτο τῷ εὐδαίμονι φίλων,
ὅπως ὁρῶν τὰς τοῦ φίλου πράξεις καὶ τὸν φίλον ὁρᾷ καὶ ἑαυτὸν καὶ τὰς
ἑαυτοῦ πράξεις βλέπων ἥδεται. τοῦ σπουδαίου γὰρ τὸ χαίρειν τῷ ὁρᾶν τὰ
ἀγαθά, καὶ ἡδόμενος μᾶλλον πράττει. ἀλλὰ πῶς ὁρῶν τὸν φίλον καὶ 10
τὰς τοῦ φίλου πράξεις καὶ ἑαυτὸν καὶ τὰς ἑαυτοῦ ὁρᾷ; ἢ ὅτι ὁ σπουδαῖος
φίλος ἄλλος αὐτός ἐστιν ὁ φιλούμενος καὶ ὅτι οἱ σπουδαῖοι φίλοι τὰ αὐτὰ
πράττουσι. μία γάρ ἐστι τρόπον τινὰ ἐν δυσὶ σώμασι ψυχή. εἰ τοίνυν
ὁρᾷ τὰς καλὰς πράξεις ὁ σπουδαῖος, τοσοῦτον μᾶλλον ἐπείγεται πράττειν
αὐτάς, ὁρῶμεν δὲ μᾶλλον τὰς τῶν πέλας ἢ τὰς οἰκείας, δεήσεται φίλων 15
ὁ εὐδαίμων, ἵν' ὁρῶν τὰς τοῦ φίλου πράξεις τὰς αὐτὰς οὔσας ταῖς αὑτοῦ
ἔτι μᾶλλον πράξῃ. αἱ γὰρ τῶν σπουδαίων πράξεις καὶ μάλιστα τῶν
σπουδαίων φίλων ἀνακινοῦσι καὶ διεγείρουσι τοὺς ὁρῶντας εἰς αὐτοὺς
σπουδαίους πρὸς τὸ πράττειν τὰ αὐτὰ ἐκείνοις. αὐτοκίνητοι μὲν γάρ εἰσι
καὶ ἐξ ἑαυτῶν πρὸς τὴν τῶν καλῶν ἐργασίαν οἱ σπουδαῖοι, ἀλλ' ἔτι
μᾶλλον βλέποντες καὶ ἄλλους ταῦτα πράττοντας ἐπὶ ταῦτα ἵενται καὶ
προθυμότερον ἐργάζονται. ἡ μὲν οὖν τοῦ λόγου δύναμις, δι' οὗ δείκνυ-
σιν, ὅτι δεῖται φίλων ὁ εὐδαίμων, τοιαύτη τίς ἐστι· τὰ δὲ κατὰ τὴν λέξιν
τοιαῦτα ἂν εἴη. εἰ τὸ εὐδαιμονεῖν, φησίν, ἐστὶν ἐν τῷ ζῆν καὶ ἐνεργεῖν, 20
τουτέστιν εἰ τὸ εὐδαιμονεῖν ἐστι ζωὴ καὶ ἐνεργεία, σαφηνίζων δὲ τίς ἡ
τοιαύτη ζωή, ἐπήγαγε τοῦ δ' ἀγαθοῦ ἡ ἐνέργεια σπουδαία καὶ ἡδεῖα
καθ' αὑτήν, δυνάμει λέγων ὅταν εἴπω ὅτι τὸ εὐδαιμονεῖν ἐστιν ἐν
τῷ ζῆν καὶ ἐνεργεῖν, οὐδὲν ἕτερον λέγων ἢ ὅτι τὸ εὐδαιμονεῖν ἐστι
ζωὴ ἐνεργοῦσα καὶ πράττουσα τὰ καλὰ καὶ σπουδαῖα. οὐ γὰρ ἐν τῷ
δύνασθαι πράττειν τὸ εὐδαιμονεῖν χαρακτηρίζεται ἀλλ' ἐν τῷ ἤδη πράτ-

4 εὐδαίμων B: ὁ εὐδαίμων a 13 γὰρ B: om. a 17 ἢ a: καὶ B 22 ἐστιν
ὁ B: ἐστιν ἢ ὁ a 29 σπουδαίως B: σπουδαίους a 31 πράττοντας B: πρατ-
τοντες a ταύτας B: ταὐτὰς a 35 καὶ ἐνεργεία B: ἐνεργεία a

τοῦτο. εἴρηται γὰρ ὅτι εὐδαιμονία οὐχ ἕξις ἐστὶ χωρὶς ἐνεργείας ἀ
συναίτιον ἔχουσα τὴν ἐνέργειαν. ὁ μὲν γὰρ τὴν τελείαν ἔχ
μὴ ἐνεργῶν ὁ ὡς εἴρηται, σπουδαῖος καλεῖται μόνον, ὁ δὲ
καὶ ἐνεργῶν εὐδαιμων. καὶ ἐστιν ὁ μὲν σπουδαῖος συνά
μων, ὁ δ' εὐδαίμων ἐνεργεῖ σπουδαῖος. ἔστιν οὖν τὸ εὐδαιμ
ἔργος τῶν καλῶν πράξεων, σ' εἰσὶν ἡδεῖαι καθ' αὑτάς.
ἔστι ῥέα πάντα τὰ καλὰ τὰ κατ' ἀρετήν· οὐ μόνον δ' εἰσὶ
κατ' ἀρετὴν ἀλλὰ καὶ τὰ οἰκεῖα, κἂν μὴ ὦσι σπουδαῖα. ὁ γ
λόγος καὶ τὸ φαῦλον ποίημα, καίπερ τοιαῦτα ὄντα, ὅμως ἡδὲ
10 ποιήσαντι φαύλῳ ποιητῇ καὶ τῷ ῥάψαντι φαύλῳ ῥήτορι. ὥσ
εὐδαίμονι τὰ οἰκεῖα ἔργα διχῶς εἶσιν ἡδέα καὶ ὡς οἰκεῖα καὶ
ὄντα. αἱ δ' ἐνέργειαι αὐτοῦ αἱ αὐταί εἰσι ταῖς τοῦ φίλου ἐνεργεί
τῷ εὐδαίμονι καὶ αἱ τοῦ φίλου ἐνέργειαι καὶ τὰ ἔργα ἐπίσης τ
εἰσὶν ἡδέα. ἄμφω γάρ, φησίν, ἔχουσι τὰ τῇ φύσει ἡδέα.
1. ἀμφότερα καὶ τὰ τοῦ εὐδαίμονος ἔργα καὶ τὰ τοῦ φίλου φύσει ἐ
δεήσεται ἄρα ὁ εὐδαίμων καὶ μακάριος φίλου τοιούτου, ἵνα τ
βλέπων πράξεις τὰς οἰκείας ὁρᾷ.

p. 1170ᵃ4 Οἴονται δὲ δεῖν ἡδέως τὸν εὐδαίμονα ζῆν.

Καὶ διὰ τούτου τὸ προκείμενον συνάγει λέγων. πάντες τὴν
20 μονος ζωὴν ἡδεῖαν εἶναι λέγουσι καὶ πιστεύουσιν ὥσπερ ἀλλων κ
τὸν ἐν λύπαις ὄντα· τοιοῦτος δ' ὁ κακοδαιμονέστατος. ὥστε ὁ
ζωὴ λυπηρά, ἡ τοῦ εὐδαίμονος ἡδεῖα. ἡ δὲ τοῦ εὐδαίμονος
δαίμων, ἡ κατ' ἀρετὴν ἐνεργοῦσα ἐστι, τὸ δὲ κατ' ἀρετὴν ἐνερ
ἐστι τῷ ἡδέως ἐνεργεῖν. ὥστε ἡ τοῦ εὐδαίμονος ζωή, ἡ εὐδ
κρίνων ἐνεργὸν ἐστιν ἐν οἷς τοῦτο ἐνεργεῖ συνεχῶς. καὶ ἡδὺ
30 ἐλεγχὸς ὃς ἐνεργεῖν μονώτῃ ὄντι χαλεπὸν ἐστι. τοῦτο γὰρ
τοῦ μονώτῃ δ' ὄντι χαλεπὸς ὁ βίος. λέγει γὰρ βίον τὰς ἐν
πράξεις. δεῖ δὲ προσυπακούειν τὸ συνεχῆς, ἵν' ᾖ τὸ πλῆρες,
συνεχὴς βίος· χαλεπὸν οὖν τῷ ὄντι μονώτην ὄντα συνεχῶ
μετὰ ἑτέρου ὃς ῥᾴων. εἰ οὖν τὸ συνεχῶς ἥδεσθαι τὰς καλ
χρονῶν κρεῖττον τοῦ μὴ συνεχῶς, τὸ δὲ ἥδεσθαι ἐν τῷ
πράττειν ἐστί, καὶ τὸ συνεχῶς ἄρα ἥδεσθαι ἐν τῷ συνεχῶς π
ἐνεργεῖν ἐστι. μονώτῃ δ' ὄντι χαλεπὸν συνεχῶς ἐνεργεῖν.
χρόνου. τὸν συνεχῶς ἐνεργῶν συνεχῶς ἥδηται. καὶ εἰη ἂν ἡ

2. B: om. a 18 οἴονται δὲ Ba: οἶόν τε δὲ Arist. cod. Kb; οἴονταί τ
ζῆν εὐδαίμονα ζῆν B: ζῆν τὸν εὐδαίμονα a et Aristoteles rhesis usque a
p. 1170ᵃ13) adiectis οἷον ὡς λέγει ἑπτάλοφον μὲν γὰρ ἀπ' ἐπτὰ διάξεται. ἦν δὲ κ
Ἰλιάδος καὶ τὸν ἑνάτην νόον (Theogn. 35) 23 B 28 τὸ συνεχῆς a: τοῦ συνεχῆς B
31 μονώτῃ δ' ὄντι — συνεχῶς lac. B 34 ἥδηται B: ἡδέται a

τοῦ λόγου τοιαύτη· † οὐ χωρὶς ἀδύνατον συνεχῶς ἥδεσθαι, διότι ἀδύνα- 159r
τον καὶ χωρὶς φίλου | συνεχῶς ἐνεργεῖν. εἰ δέ τις λέγει, ὅτι ψεῦδος τὸ 159v
ἀδύνατον, τό γε χαλεπὸν πάντως ἀληθὲς εἶναι φήσειε. δεῖται τοίνυν ὁ εὐ-
δαίμων φίλων πρὸς τὰς συνεχεῖς ἐνεργείας. ἀνακινοῦσι γὰρ καὶ ἀνεγείρου-
σιν ἀλλήλους πρὸς ταῦτα οἱ σπουδαῖοι καὶ πολλῷ προθυμοτέρους ποιοῦσιν.
ἃ μὲν οὖν βούλεται λέγειν ταῦτά ἐστι· κατὰ δὲ τὴν λέξιν τὴν ὃ δεῖ
περὶ τὸν μακάριον εἶναι τοιοῦτόν ἐστι, τὸ συνεχῶς καὶ μὴ ἐκ διαλεί-
ματος τὰ ἐπιεικῆ πράττειν δεῖ τῷ μακαρίῳ ὑπάρχειν· οὕτω γὰρ ἔσται
μᾶλλον θρησκος θεῷ. οἷς οὖν χαίρει, κρεῖττον συνεχῶς πράττειν ταῦτα.
χαίρει δὲ ταῖς καλαῖς πράξεσι, ταῖς δ' ἐναντίαις δυσχεραίνει· ὥσπερ καὶ
ὁ μουσικὸς τοῖς καλοῖς μέλεσι· ταῦτα δ' ἐστὶ τὰ ἐναρμόνια καὶ σύντονα.
τοῖς δ' ἀναρμόστοις λυπεῖται. διά τε δὴ οὖν ταῦτα φίλων δεῖται καὶ διὰ
τὸ γίνεσθαι συνάσκησιν καὶ συγγυμνασίαν καὶ ἕτι παράθηξιν τῆς ἀρετῆς
τοῖς ἀγαθοῖς ἐκ τοῦ συζῆν· οὐ γὰρ οὕτως καθ' αὑτόν τις περί τι γυμ-
νάζεσθαι καὶ ἐπιδιδόναι δύναται ὡς μετ' ἄλλων.

p. 1170a13 Φυσικώτερον δὲ ἐπισκοποῦσιν ἔοικεν ὁ σπουδαῖος
φίλος τῷ σπουδαίῳ τῇ φύσει αἱρετὸς εἶναι.

Αἱ προειρημέναι ἐπιχειρήσεις ἦσαν ἀπὸ τῆς τοῦ εὐδαίμονος ἢ εὐδαι-
μων φύσεως· ὃς εὐδαίμων οὐ φύσει ἐστίν. οὐδεὶς γὰρ σπουδαῖος φύσει
ἐστὶ σπουδαῖος, ὥσπερ οὐδ' ἰατρὸς ἢ γραμματικὸς φύσει ἰατρὸς ἢ γραμμα-
τικός ἐστιν. ἀλλ' ὁ μὲν σπουδαῖος γίνεται τοιοῦτος ἔθει καὶ πόνῳ, ὁ δ'
ἰατρὸς μαθήσει καὶ ἐμπειρίᾳ. ἡ δὲ παροῦσα ἐπιχείρησις ὁρμᾶται ἐκ
τοῦ ζῆν ἡμᾶς καὶ αἰσθάνεσθαι, ἃ δὴ τὸ ζῆν καὶ αἰσθάνεσθαι οὐκ ἔθει
καὶ συνασκήσει ἐπιγέγονεν ἡμῖν. φύσει δὲ πρόσεστιν ἡμῖν. διὰ τοῦτο εἶπε
φυσικώτερον ὁ ἐπισκοποῦσιν. ὡς δ' ἔφαμεν, πρότερον μὲν ἐκκοπτομεν
καὶ ἐπεχείρουν οὐκ ἐκ τῶν φύσει ἡμῖν προσόντων, νῦν δ' ἐκ τῶν τοιούτων
ἐπισκοπούμενοι φυσικώτερον ἂν διαλεγοίμεθα. σκοπούμενοι γὰρ τὰ φύσει
ἡμῖν προσόντα εὑρίσκομεν ὅτι ὁ σπουδαῖος φίλος φύσει αἱρετός ἐστι τῷ
σπουδαίῳ. ὡς καὶ τὸ εἶναι καὶ ζῆν καὶ ὁρᾶν καὶ φρονεῖν. φύσει γὰρ
ἕκαστον τούτων αἱρούμεθα· φύσει γὰρ ὀρεγόμεθα πάντες καὶ ζῆν καὶ
αἰσθάνεσθαι καὶ φρονεῖν. τὸ γὰρ τῇ φύσει ἀγαθὸν εἴρηται ὅτι τῷ σπου-
δαίῳ ἀγαθὸν καὶ ἡδύ ἐστι καθ' αὑτό. εἴρηται καὶ πρότερον ὅτι τὸ εἶναι
καὶ ζῆν ἀγαθὸν ὂν αἱρετόν ἐστι τῷ σπουδαίῳ. τὰ γὰρ καθ' αὑτὰ ἀγαθὰ
φύσει ὄντα ἀγαθὰ τῷ σπουδαίῳ αἱρετά ἐστι· τὸ δ' εἶναι καὶ ζῆν φύσει
καὶ καθ' αὑτὸ ἀγαθόν ἐστιν· αἱρετὸν ἄρα τῷ σπουδαίῳ τὸ τοιοῦτον. ἔστι
δὲ καὶ ὁ φίλος παραπλήσιος τῷ εἶναι ἡμᾶς καὶ ζῆν, οἷον γὰρ ζωή τις τοῦ
φίλου ὁ ἀγαθός ἐστι φίλος ὥστε φύσει αἱρετὸς ὁ σπουδαῖος φίλος τῷ

1 fort. οὐ χωρὶς ἀδύνατον συνεχῶς ἥδεσθαι, ἀδύνατον συνεχῶς ἐνεργεῖν· χωρὶς φίλου ἀ. σ. ἥ., διότι ἀ. τὸν γ. … 2 ὁρμᾶ B: … 3 μ B: … B 13 παράθηξις a: παράθεξις B 16 thesis usque ad ὡρισμένον γάρ (p. 1170a20) a 20 ἤ (alterum) B: καὶ a 22 ὁρμᾶται Vat. 320: ὁρᾶται Ba 25 ἐσκοποῦμεν B: ἐσκόπουν a

σπουδαίῳ καὶ εὐγνώμονι. ἔστι δ' ὁ σπουδαῖος φίλος τρόπον τινὰ
καθ' ἕξιν ζωὴ καὶ αἴσθησις τοῦ φίλου ἀλλ' ἡ κατ' ἐνέργειαν.
αὐτῷ μάλιστα ἐνεργεῖ. τὸ δὲ ζῆν ὁρίζονται τοῖς ζῴοις
αἰσθήσεως. εἴρηται καὶ πρότερον ὅτι τὸ ζῆν ἀγαθὸν ὂν αἱρετὸ
σπουδαίῳ· καὶ οὖν τὸ αὐτὸ λέγει καὶ κατασκευάζει, ἵνα διὰ τοῦ
ὅτι φύσει ἀγαθός ἐστιν ὁ σπουδαῖος φίλος τῷ εὐδαίμονι. πάνυ δὲ
ἀπαγγέλλει ταῦτα. ὃ δὲ λέγει τοιοῦτον ἂν εἴη. τῆς τῶν ζῴ
ἡ οὐσία καὶ τὸ εἶναί ἐστιν ἐν τῷ δύνασθαι αἰσθάνεσθαι· ἔστι γὰ
ζωὴ δύναμις αἰσθητική. ἡ μὲν γὰρ τῶν φυτῶν ζωὴ δύναμίς ἐστι
τὰ ἔχοντα καὶ ποιοῦσα γεννᾶν ὅμοια ἑαυτοῖς· ἡ δὲ τῶν ζῴω
αἰσθητική. τὸ γὰρ ζῷον τοῦ ζῶντος, ὡς ἐν τῇ Περὶ ψυχῆς εἴρ
φησιν αἰσθήσει. ζῆν μὲν γὰρ λέγεται τὰ ἐξ ἑαυτῶν γεννῶ
γεννῶντα ὅμοια ἑαυτοῖς, ζῷα δὲ λέγεται τὰ πρὸς τῷ γ[illegible]σθαι
ὅμοια καὶ αἴσθησιν ἔχοντα τῶν ἡδόντων καὶ λυπούντων. ὃ οὐ
τοῖς φυτοῖς. οὐδὲν γὰρ αὐτῶν τυπτόμενον λυπεῖται ἢ θεραπευόμε
ὁρίζεται δή φησι. τουτέστιν ὁρισμὸς καὶ λόγος ⟨οὐσιώδης⟩ τῆς
ζωῆς ἐστι δύναμις γνωστικὴ τῶν ἡδέων καὶ λυπηρῶν, ὅπερ ἐστ
αἰσθητική καὶ διαγνωστικὴ τῶν ἡδόντων καὶ λυπούντων. τοὺς
ποις τὸ ζῆν ὁρίζεται τῷ τε αἰσθάνεσθαι δύνασθαι καὶ τῷ δύνασ
τουτέστιν βουλεύεσθαι. τὸ γὰρ νοεῖν ἀντὶ τοῦ βουλεύεσθαι εἴρητ
γὰρ ὁ ἄνθρωπός ἐστι ζῷον βουλευτικόν. δύναται τὸ ⟨ὁρίζεται
κατ' αὐτοῦ χαρακτηρίζεται καὶ γνωρίζεται. ὁρίζεται οὖν τῷ δύνασ
τὴν δὲ δύναμιν ἔχουσι διὰ τὸ ἐνεργεῖν. τὸ γὰρ κύριον ἐν τῇ ἐ
λέγω δὲ κύριον τὸ τέλος καὶ τὸ οὗ ἕνεκα. τῆς γὰρ ἐνεργείας
φύσις τὰς δυνάμεις ἡμῖν ἐνέσπειρε καὶ ταύτης ἕνεκα περιέπομεν
ζόμεθα ταύτας. τοῦ γὰρ ὁρᾶν ἕνεκα καὶ τοῦ ἀκούειν τὴν ὅρασι
ἀκουστικὴν δύναμιν ἀγαπῶμεν. εἰ οὖν τὸ ζῆν ἡμῖν ἐστιν ἐν τῷ
αἰσθάνεσθαι καὶ νοεῖν. τὸ δὲ δύνασθαι αἰσθάνεσθαι καὶ νοεῖν [illegible]
τοῦ δημιουργοῦ διὰ τὸ ἐνεργεῖν, ἔοικε τὸ ζῆν κυρίως εἶναι ἡ
γειαν αἴσθησις καὶ νόησις καὶ ζῆν καὶ πολιτεύεσθαι καὶ πράττε
αἴσθησιν καὶ τὰς ἀλόγους ὀρέξεις, ὡς οἱ φαῦλοι βοσκημάτων δίκ
ἢ κατὰ νοῦν ὡς οἱ σπουδαῖοι. ἀλλὰ μὴν τὸ ζῆν καὶ μάλιστα ὡ
δαῖοι τῶν καθ' αὐτὸ ἀγαθῶν καὶ ἡδέων. καὶ τὸ ζῆν ἄρα καὶ
τὴν ἐνεργεῖν καθ' αὐτὸ ἀγαθὸν καὶ ἡδὺ καὶ αἱρετόν. ταῦτα ε
αὐτὸν ἐπαγαγεῖν. τοῦτο δὲ συνεχῶς γινόμενον μᾶλλον ἀγαθὸν κ
ἡδύ [illegible]. τοῦτο δὲ ποιεῖν μονώτην ὄντα. λέγω δὴ συνεχῶς
μονώτην ὄντα. χαλεπόν. δεῖται ἄρα ὁ εὐδαίμων φίλου, ἵνα συνεχῶ
τουτέστιν ἵνα ἐνδελεχῶς ἐνεργεία ἡ αἰσθητικὸς καὶ διανοητικός.

1 ὁρίζονται B et Aristoteles: ὁρίζεται a (cf. tamen v. 16 seq.) 4 αἰσθήσει
αἰσθήσει Ba 11 ζῴων B: ζῆν a τῇ B: τῷ a Περὶ ψυχῆς] B 2
14 ἔχοντα Vat. 320: ἔχειν Ba 16 οὐσιώδης a: om. B 19 τῷ (alter
21 ὁρίζεται a: lac. B εἰρῆσθαι B: om. a 24 κύριον B: κυρίως a
Vat. 320: πασῶν Ba 37 φίλου B: φίλων a

κρεῖττον τοῦ δυνάμει, εἴπερ αἱ δυνάμεις, ὡς εἴρηται, χάριν τῶν ἐνεργειῶν. 160r
εἰ οὖν τὴν κατ' ἐνέργειαν αἴσθησιν φύσει ἢ αἱρούμενοι ἀσπαζόμεθα, αὕτη
δὲ καὶ τὸ κατ' ἐνέργειαν βούλεσθαι καὶ πράττειν μάλιστα σὺν τῷ φίλῳ a
σύνεσιν ἡμῖν, ὁ φίλος ἄρα φύσει αἱρετός ἐστι τῷ σπουδαίῳ. ταῦτ' οὖν
ἔδει ἐπαγαγεῖν. ὁ δὲ μὴ ἐπενεγκών, καίτοι πρὸς τοῦτο βλέπων καὶ τοῦτο
βουλόμενος συμπεράνασθαι, εἶπε τὰ εἰρημένα καὶ ἀσαφειαν πολλὴν ποιησε-
κεν. ἔστι δὲ ἐπεὶ χρήσιμον τὸ ἑαυτὸν εἰδέναι, αὐτοῦ δὲ αὐτοὺς ἐξ ἡμῶν αὐτῶν
οὐ δυνάμεθα θεᾶσθαι (θᾶττον δὲ τοῦτο ἐξ ὧν καθ' ἑκάστην λέγομεν· ἐπιτι-
μῶμεν γὰρ ἀλλήλους λέγοντες "εἰ ἐθεώρεις αὐτόν, εἰ ἐγίνωσκες αὐτόν, οὐκ
ἂν κατηγόρεῖν ἤθελες τούτου, οὐκ ἂν τοιαῦτα ἔλεγες κατὰ τῶν πέλας"), εἰ 10
δὴ ἡδὺ τὸ γινώσκειν καὶ βλέπειν ἑαυτούς, τοῦτο δὲ ἐξ ἑαυτῶν οὐ δυνάμεθα
ποιεῖν, ἔστι δὲ ὁ φίλος ἄλλος ὁ φιλούμενος, δεῖται φίλου ὁ εὐδαίμων, ἵνα
ὥσπερ οἷς τὸ κάτοπτρον ἐνατενίζοντες ἑαυτοὺς ὁρῶσιν, οὕτω καὶ ὁ εὐ-
δαίμων εἰς τὸν φίλον ἀποβλέπων ἑαυτὸν ὁρᾷ καὶ γνωρίζει οἷός ἐστι, ὅτι
ἀγαθὸς καὶ ἐράσμιος, καὶ τοῦτον ὁρῶν καὶ γινώσκων ἔτι μᾶλλον πράξει τὰ 15
καλὰ καὶ βέλτιστα. ὅτι δὲ ὁ σπουδαῖος φίλος ἄλλος ὁ φιλῶν ἐστι, πιστεύο-
μεν ἐκ τῶν ὁσημέραι. ἂν γάρ τις σφόδρα φιλῇ τινα, οὐδὲν ἄλλο λέγει 15
περὶ ἐκείνου ἢ ὅτι 'οὗτος ἄλλος ἐγώ, καὶ οὗτος ἐγὼ εἰμι, καὶ ὁ φιλῶν ἢ
ὑβρίζων αὐτὸν ἐμὲ φιλεῖ ἢ ἐμὲ ὑβρίζει.' εἰπὼν δὲ ὅτι τὸ δὲ ζῆν τῶν
καθ' αὑτὸ ἀγαθῶν καὶ ἡδέων, ὅσικνὺς ὅτι μὴ πᾶσαν ζωὴν ἐνέργειαν
καὶ ἡδεῖαν καὶ ἀγαθὴν λέγει ἀλλὰ τὴν κατ' ἀρετήν, ἐπήγαγεν ὡρισμένον
γάρ. τὸ δ' ὡρισμένον τῆς τοῦ ἀγαθοῦ φύσεως. ἴσμεν δὲ ὅτι οἱ 20
Πυθαγόρειοι δύο συστοιχίας ἐποίουν καὶ τὰ μὲν ἀγαθὰ πάντα ἔτατον ὑπὸ
τὴν μίαν, τὰ δὲ κακὰ ὑπὸ τὴν λοιπήν. καὶ ἐκάλουν ἐν ᾗ ὑπῆγον τὰ καλὰ
ὡρισμένην, ἐν ᾗ δὲ τὰ κακὰ ἀόριστον, καὶ ἀντιστρέφειν ἔλεγον τὰ καλὰ καὶ
ὡρισμένα. εἴ τι γὰρ ἀγαθὸν ὡρισμένον καὶ εἴ τι ὡρισμένον ἀγαθόν, ὁμοίως 25
καὶ τὰ κακὰ καὶ ἀόριστα. πᾶν γὰρ κακὸν ἀόριστον καὶ πᾶν ἀόριστον κακόν.
καὶ εἴρηται περὶ τῶν συστοιχιῶν τούτων ἐν τῇ Φυσικῇ ἀκροάσει καὶ ἐν
τῇ Μετὰ τὰ φυσικά. ὅτι δὲ τὸ κατ' ἀρετὴν ὡρισμένον, ἐν πολλοῖς τῷ
Ἀριστοτέλει καὶ Πλάτωνι δέδεικται. ὁ μὲν γὰρ φαῦλος διὰ τὰς ἀλογίστους 30
ὀρέξεις, αἷς ἕπεται, καὶ τὴν ἀπέραντον ἐπιθυμίαν τῶν φαύλων ἡδονῶν
ὁριστέος ἐστί, παντὸς γινόμενος μᾶλλον ὧν πράττει ἀρετάρμοστος, καὶ διὰ
τοῦτο ἀπὸ ἄλλων ἐπ' ἄλλα μεταπηδῶν, ἐν οὐδεμιᾷ ὥρᾳ ἐπί τινος τοῦ 30
αὐτοῦ ἱστάμενος. τὰ γὰρ φαῦλα καὶ αἱ ἀπ' αὐτῶν ἡδοναὶ τοιαῦτα. λέγω
δὲ τοιαῦτα, ἅτα οὐκ ἀρετὰ οὐδ' ἔστιν ἡδέα. ἀπὸ ἅμα τε ἐπιφθίνει καὶ
ἅμα ἀηδῆ καὶ λυπηρὰ τοῖς πράξασιν ἔδοξε. διὸ καὶ ἐπ' ἄλλα ἔρχονται
ζητοῦντες τὸ ὄντως ἡδύ, εὑρεῖν δ' οὐ δυνάμενοι διὰ τὴν ἄγνοιαν τὴν ἀπὸ

6 καὶ a: om. B 7 τὸ ἑαυτὸν a: τὰ ἑαυτῶν B 12 φίλου B: φίλων a
21. 22 ὡρισμένον γάρ B: τὸ δ' ὡρισμένον — καὶ ἡδύ (p. 1170a26) a 23 συστοιχίας B: συστοίχους a 27 καὶ (ante ἀόριστα) B: om. a 28 ἐν τῇ Φυσικῇ ἀκροάσει] Γ 4 29 Μετὰ τὰ φυσικά] Λ 5 p. 986a15 τὸ corr. ex τῷ B 30 Ἀριστοτέλει] cf. Indic. Arist. p. 524a50 ἀλογίστους B: ἀλόγους a 35 an ἀλλ' ἅ ἅμα?

τῆς μέθης τῶν φαύλων πράξεων ἐπιγινομένην αὐτοῖς. ὁ δὲ σπ
(δηλόσει γὰρ ὀρθά) τὰ ὄντως ἀγαθὰ καὶ ὄντως ἡδέα διώκων καὶ
αὐτοῖς ἐμμένει. ὡς γὰρ τὸ μὲν ἀληθὲς ὡρισμένον ἐστί, τὸ δὲ
ἀόριστον (ἁπλοῦς γὰρ ὁ μῦθος τῆς ἀληθείας, ποικίλος δὲ καὶ πολυ
ὁ τοῦ ψεύδους), οὕτω καὶ τὸ ὄντως ἀγαθὸν καὶ ὄντως ἡδὺ ἁπλ
τοὐναντίον δ' ἅπαν τὸ ψεῦδος. εἰπὼν δὲ ὅτι τὸ ζῆν τῶν καθ' α
θῶν καὶ ἡδέων ἐστίν, ἐπήγαγε τὸ δὲ τῇ φύσει ἀγαθὸν καὶ
σικεῖ ἀγαθὸν ἐστι καὶ ἡδύ. αἱρήσεται ἄρα ὁ σπουδαῖος τὸ ζῆν.
ἐνέργειαν δηλονότι, ὥστε καὶ φίλον ἔχειν μεθ' οὗ συνεχῶς μᾶλ
γειν δύναται ἥπερ μόνος ὤν. οὐ δεῖ δὲ λαμβάνειν μοχθηρὰ
καὶ διεφθαρμένην. δῆλον διὰ τούτου πεποίηκεν, ὁπηνίκα ἔλ
τὸ ζῆν τῶν καθ' αὑτὸ ἀγαθῶν καὶ ἡδέων. ὡρισμένον γὰρ ὡς
πάσης ζωῆς ἔσχεν ἀλλὰ τῆς τῶν σπουδαίων. οὐ δεῖ, φησίν, ὑπολ
ὅταν λέγω, ὅτι ἡ ζωὴ τῶν καθ' αὑτὸ ἀγαθῶν καὶ ἡδέων ἐστι. πρ
ζωῆς ἐμὲ τοῦτο λέγειν, ἀλλὰ τῆς τῶν σπουδαίων. αἱ γὰρ τῶν φ
τῶν τροχιζομένων καὶ Πριαμικαῖς πιεζομένων συμφοραῖς οὔθ' ἡδ
καλαί. ἐπαγγέλλεται δὲ ἐρεῖν περὶ τῆς τῶν μοχθηρῶν καὶ τῆ
λύπαις καὶ κακώσεσιν ὄντων ζωῆς, καὶ ἐρεῖ ἐν τῷ ἑφεξῆς βιβλ
περὶ ἡδονῆς λέγει.

20 p. 1170ª25 Εἰ δ' αὐτὸ τὸ ζῆν ἀγαθὸν καὶ ἡδύ· ἔοικε δὲ
τοῦ πάντας ὀρέγεσθαι αὐτοῦ καὶ μάλιστα τοὺς ἐπιει

Διὰ τῆς προσθήκης ταύτης ᾐνίξατο, ὅτι κυρίως ἀγαθὴν καὶ
ζωὴν τὴν μετ' ἀρετῆς λέγει· καὶ γὰρ καὶ οἱ φαῦλοι φύσει ταύ
γονται καὶ ταύτην μεταδιώκουσι. πᾶς γὰρ νοῦς, ὡς ἐν τῷ
τῆς παρούσης πραγματείας, τὸ οἰκεῖον φύσει ὀρέγεται ἀγαθόν κ
ἐπίσης. ὥστε καὶ οἱ φαῦλοι· κακῶς δὲ τραφέντες περιπίπτο
μοχθηραῖς καὶ φαύλαις ζωαῖς ὡς καλαῖς. οὐ γὰρ δύνανται διακρ
καλοῦ τὸ κακὸν κακῶς ἔχοντες. ἔστι δὲ τοῦ λόγου ἡ ἀπόδοσις ἐν
δὲ πρὸς ἑαυτὸν ἔχει ὁ σπουδαῖος, καὶ πρὸς τὸν φίλον·
γὰρ αὐτὸς ὁ φίλος ἐστίν. ὃ δὲ λέγει τοιοῦτον | ἂν εἴη· ὁ τοῦ εὐδα
φίλος ἕτερος αὐτός ἐστιν ὁ εὐδαίμων, ὥστε καὶ ἡ ζωὴ τοῦ φιλ
ἑτέρα αὐτή ἐστι τῆς τοῦ εὐδαίμονος ζωῆς. αἱρεῖται δὲ ὁ εὐδαί
πανθ' ὅλου τὴν οἰκείαν ἔχειν ζωήν· πᾶς γὰρ ὀρέγεται φύσει εἶναι
ὥστε φύσει φίλον ἔχειν αἱρεῖται. ὥσπερ γὰρ πρὸς ἑαυτὸν ἔχει, ο
πρὸς τὸν φίλον· ἄλλος γάρ ἐστιν αὐτὸς ὁ φίλος. καὶ εἴη ἂν ὁ
πρὸς τοιοῦτον ὁ εὐδαίμων φύσει αἱρεῖται καὶ ὀρέγεται ἔχειν τὴν
ζωήν· ἀλλὰ μὴν ἡ τοῦ φίλου ζωὴ αὐτός ἐστιν ὁ φίλος, ὁ εὐδαί
φύσει αἱρεῖται καὶ ὀρέγεται ἔχειν μεθ' ἑαυτοῦ τὸν σπουδαῖον φ

1 ἁπλοῦς κτλ.] cf. Eurip. Phoeniss. 469 15 ἐμὲ a: με B 20 rhe
μακαριωτάτη ζωή (p. 1170ª29) a 22 ταύτης B: ταῦτα a 24 cf. Z 2 p
[illegible] B [illegible]

μὲν διάνοια τῶν λεγομένων αὕτη, ἡ δὲ λέξις ὧδε ἂν ἔχοι. εἰ τὸ ζῆν 160r
αὐτὸ ἀγαθὸν καὶ ἡδύ, καὶ διὰ τοῦτο αἱρετόν ἐστιν. αἱρεῖται γὰρ ὁ σπουδαῖος καὶ ζῆν καὶ αἰσθάνεσθαι καὶ νοεῖν. ὅτι αἰσθάνεται καὶ ὅτι ζῇ καὶ ὅτι νοεῖ. οὐδεὶς γὰρ βούλεται ζῆν καὶ αἰσθάνεσθαι ἀναισθήτως ἔχων, ὅτι ζῇ ἢ ὅτι αἰσθάνεται. φυτὸν γὰρ ἂν εἴη, ὅπερ ζῇ, ὅτι δὲ ζῇ, οὐκ οἶδεν. εἰ οὖν τὸ ζῆν καὶ αἰσθάνεσθαι ὅτι ζῇ καὶ αἰσθάνεται ἡδὺ καὶ καλόν ἐστι, ὡς δὲ πρὸς ἑαυτὸν ἔχει, οὕτω καὶ πρὸς τὸν φίλον, φύσει αἱρεῖται παρεῖναι φίλον αὐτῷ, ὅπως αἰσθάνηται καὶ ὅπερ ἐστὶ καὶ ὅτι εὐδαίμων ἐστίν. αἰσθανόμενος γὰρ ὅτι καὶ ἔστι καὶ ὅτι τοιόσδε φίλος ἑαυτὸν νοεῖ καὶ ὅτι ζῇ καὶ ἔστιν εὐδαίμων. τοιοῦτος γάρ, ὡς εἴρηται, ὁ φίλος τοῦ εὐδαίμονος οἷος ὁ εὐδαίμων ἐστίν.

p. 1170ª29 Ὁ δ' ὁρῶν ὅτι ὁρᾷ αἰσθάνεται καὶ ὁ ἀκούων ὅτι ἀκούει καὶ ὁ βαδίζων ὅτι βαδίζει καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως.

Τὸ νοοῦν καὶ κρῖνον, ὅταν ὁρῶμεν καὶ νοῶμεν, ὅτι τε ὁρῶμεν καὶ ὅτι νοοῦμεν, τὸ προσεκτικὸν καλούμενον μέρος, μέρος ἐστὶ τῆς λογικῆς ψυχῆς καὶ τὸ οἷον κέντρον αὐτῆς. τοῦτο γάρ ἐστι τὸ ἐπικρῖνον, ὅτι ὁρῶμεν, ὅτε ὁρῶμεν καὶ διανοούμεθα [καὶ] ὅτε διανοούμεθα καὶ βαδίζομεν καὶ γράφομεν ὅταν βαδίζωμεν καὶ ὅταν γράφωμεν. τὸ δ' αἰσθανοίμεθα ἂν ὅτι αἰσθανόμεθα καὶ νοοῖμεν ὅτι νοοῦμεν ταὐτόν ἐστι τῷ οὐ γὰρ ἀναισθήτως οὐδ' ἀνεννοήτως ἔχομεν ὅταν νοῶμεν καὶ αἰσθανώμεθα, ὅτι νοοῦμεν καὶ αἰσθανόμεθα, ἀλλ' αἰσθανόμενοι καὶ νοοῦντες συναισθανόμεθα καὶ συνεπινοοῦμεν ὅτι αἰσθανόμεθα καὶ ὅτι νοοῦμεν, ταυτὶ δὲ οὐδὲν ἕτερόν ἐστιν ἢ ὅτι ἐσμέν. ὁ γὰρ συναισθανόμενος ὅτι αἰσθάνεται οὐδὲν ἄλλο κρίνει καὶ ἐπαισθάνεται ἢ ὅτι ζῇ, καὶ ἔστιν ὡσαύτως καὶ ὁ συννοῶν ὅτι νοεῖ, τοῦτο νοεῖ, ὅτι ἐπειδὴ νοεῖ ζῇ καὶ οὐ τέθνηκεν οὐδὲ μὴ ὄν ἐστιν ἀλλ' ὄν τι, οἷον ζῷον τοιονδί. ταῦτα δὲ ἐδήλωσε διὰ τοῦ εἰπεῖν τὸ δ' ὅτι αἰσθανόμεθα ἢ νοοῦμεν ὅτι ἐσμέν· καὶ δεῖ ὑποστίζειν εἰς τὸ ὅτι νοοῦμεν, εἶτα ἐπάγειν τὸ ὅτι ἐσμέν. τὸ δ' αἰσθάνεσθαί φησιν ἡμᾶς, ὡς αἰσθανόμεθα καὶ νοεῖν, ὅτι νοοῦμεν, αἰσθάνεσθαι καὶ νοεῖν ἐστιν, ὅτι ἐσμὲν ἢ ὅτι ἐσμὲν καὶ τῶν ὄντων ἐσμέν. συνήγαγε τοίνυν διὰ μέσου τοῦ αἰσθάνεσθαι, ὅτι ἀγαθόν ἐστι τὸ εἶναι καὶ ζῆν. οὕτως ἀγαθόν ἐστι τὸ αἰσθάνεσθαι καὶ νοεῖν ὅτι αἰσθανόμεθα καὶ νοοῦμεν· τοῦτο δὲ ζῆν ἐστι καὶ εἶναι· ἀγαθὸν ἄρα τὸ ζῆν καὶ εἶναι καὶ ἡδὺ καὶ αἱρετόν ἐστι. κυρίως δὲ ζῆν καὶ εἶναί ἐστι τὸ κατ' ἀρετὴν ζῆν· τὸ συνεχῶς κατ' αὐτὴν ζῆν καὶ τὸ κατ' ἀρετὴν ἐνεργεῖν ἔτι μᾶλλον ἡδύ ἐστι καὶ μᾶλλον ἀγαθόν. δύναται δ' ὁ σπουδαῖος ῥᾷον μετὰ φίλου συνεχῶς ζῆν κατ' ἀρετὴν καὶ συνεχῶς ἐνεργεῖν ἢ μονώτης ὤν· ὁ σπουδαῖος ἄρα φίλος συνεργεῖ περὶ τὸ συνεχῶς

1 ἔχοι B: ἔχει a 9 νοεῖ a: νοεῖν B 12 rhesis usque ad ἀγαθοῦ ἡδονται (p. 1170b5) a 14 τὸ νοοῦν Vat. 320: τὸν νοῦν Ba 17 καὶ cancellavi 20 αἰσθανώμεθα a: αἰσθανόμεθα B 22 ὅτι αἰσθανόμεθα post νοοῦμεν a 26 ταῦτα δὲ B: ταῦτ' a 37 φίλος B: φίλου a

[illegible] καὶ πράττειν τὰ κράτιστα. ὁ δὲ πρὸς τοῦτο συνεργῶν αὐ
τὸν ὁ σπουδαῖος ἄρα φίλος αἱρετός ἐστι τῷ εὐδαίμονι. διὸ τὸ
εὐδαίμων φίλου. τὸ γὰρ εἶναι ἦν αἰσθάνεσθαι ἢ νοεῖν. ἐπ
καὶ ἐνέργειαν ζωὴ ἡ αὐτή ἔστι τῇ καὶ ἐνέργειαν αἰσθήσει καὶ
ἐνέργειαν αἴσθησις τῇ κατ᾽ ἐνέργειαν ζωῇ. οὐ γὰρ πᾶσαν ζωὴν ο
ὃν λαμβάνει ἀλλὰ τὴν σπουδαίου. ἐπεὶδὴ ταῦτα εἶναι ἀντιστρέφο
βάνων λέγει τὸ εἶναι ἡμᾶς οὐδὲν ἄλλο ἐστὶν ἢ τὸ αἰσθάνεσθαι κα
εἰ δὴ τὸ εἶναι ἡμῶν ταὐτόν ἐστι τῷ αἰσθάνεσθαι καὶ νοεῖν, ἀλλὰ
πρότερον ἀληθεύομεν, ὅτι τὸ αἰσθάνεσθαι καὶ νοεῖν ὅτι αἰσθανόμ
νοοῦμεν ταὐτόν ἐστι τῷ εἶναι ἡμᾶς καὶ ζῆν, τὸ δ᾽ αἰσθάνεσθαι ὅτ
ἀγαθὸν καὶ ἡδύ, καθ᾽ αὑτὸ ἄρα τὸ εἶναι καὶ ζῆν ἀγαθὸν καὶ ἡδύ.
δὲ ὅτι φύσει ἀγαθὸν ἡ ζωή, δεικνὺς ὅτι ἀγαθὴν ζωὴν τὴν κατ
λέγει. ὑπῆρχεν τὸ δ᾽ ἀγαθὸν ὑπάρχειν ἐν ἑαυτῷ αἰσθά
ἡδύ, τουτέστιν ἡδύτατόν ἐστι τὸ αἰσθάνεσθαι, ὅτι ἡ ἐν αὐτῷ ζωὴ
ἐστι καὶ θεωρία τῶν ὄντων. τοιοῦτοι γὰρ οἱ σπουδαῖοι πράκτι
καλῶν καὶ θεωρητικοὶ τῶν ὄντων. ἐπεὶ τοίνυν τὸ ἀγαθὸν καὶ ἡδὺ
ἡ δὲ τοῦ σπουδαίου ζωὴ ἀγαθὴ καὶ ἡδεῖα, ἡ τοῦ σπουδαίου ἄ
αἱρετὴ τὴν ἄρα τῷ σπουδαίῳ αἱρετόν. εἰπὼν δὲ ὅτι τὸ εἶνα
ἡ ζωή, τῶν σπουδαίων ἀγαθόν ἐστι καὶ ἡδύ, ⟨σαφηνίζων πῶς ἐστ
πράγμα συναισθανόμενοι γὰρ τοῦ καθ᾽ αὑτὸ καλοῦ καὶ ἀ
ἥδονται. λέγει δὲ καθ᾽ αὑτὸ ἀγαθὸν τὴν τοιάνδε ζωὴν τὴν πρ
θεωρίᾳ συνοῦσαν. αἰσθανόμενοι γὰρ οἱ σπουδαῖοι καὶ νοοῦντες σ
νονται καὶ συνεπινοοῦσι τὴν οἰκείαν ζωήν, ὅτι ἀρίστη καὶ καλλίστ
καὶ τοῦτο νοοῦντες χαίρουσιν.

11ª34–b1 Ὡς δὲ πρὸς ἑαυτὸν ἔχει ὁ σπουδαῖος, καὶ πρὸς τὸν
ἕτερος γὰρ αὐτὸς ὁ φίλος ἐστίν.

Ἐνταῦθα ἡ ἀπόδοσις, ὡς εἴρηται, τῶν προκειμένων ῥητῶν. λέγ
συναψάντες ἐκείνοις εἴποιμεν, τὸ ζῆν τῷ εὐδαίμονι, ὡς εἴρηται, ἀγα
ἡδὺ καὶ αἱρετόν ἐστι. φύσει γὰρ αἱρεῖται ὁ εὐδαίμων καὶ πᾶς ὁ σπ
καὶ εἶναι καὶ ζῆν. ὡς δὲ πρὸς ἑαυτὸν ἔχει, καὶ πρὸς τὸν
οὕτως· ἄλλος γάρ αὐτός ἐστιν ὁ φίλος. αἱρετὸν ἄρα φύσει ὁ σπ
φίλος τῷ εὐδαίμονι. αἰσθανόμενος γὰρ καὶ νοῶν τὴν τοῦ σπουδαί
ὁ φίλος συννοεῖ, τοῦ δὲ τοῦτον αἱρετὸν ἡδὺ ἄρα καὶ ὁ σπ
καὶ αἱρετός. ὃν ὁρῶντες ἢ νοοῦντες συνθεωροῦμεν καὶ συννοοῦμ
αἱρήσεται ἄρα καὶ σπεύσει φύσει ὁ εὐδαίμων ἔχειν φίλον. ἡ μ
προκειμένων ῥητῶν πάντων συνέχεια τοιαύτη. τὰ δ᾽ ἄλλα μετ

2 φίλος B: φίλου a 13 ὑπάρχειν Ba: ὑπάρχον Aristoteles 19 σαφ
m. B 20 καλοῦ καὶ ἀγαθοῦ Ba: ἀγαθοῦ Aristoteles 22 θεωρία a:
25 rhesis usque ad φίλων σπουδαίων (p. 1170b19) a 28 ἐκείνοις B:
B a 31 συνεννοοῦμεν a 35 φίλον Vat. 320: φ
φίλ B

ενεβλήθη διδάσκοντα, ὅτι τὸ εἶναι ἡμῶν ἐν σώματι ὄντων ἐστὶ τὸ ζῆν 161r
καὶ αἰσθάνεσθαι καὶ νοεῖν, ὅτι ζῶμεν καὶ αἰσθανόμεθα καὶ νοοῦμεν καὶ ὅτι 15
τὸ ἀληθῶς εἶναι καὶ ζῆν ἐστι τὸ κατ' ἀρετὴν πολιτεύεσθαι, ὅπερ καὶ ἡδὺ
καὶ αἱρετὸν ὑπάρχει. εἰ δὲ ἡδὺ καὶ αἱρετὸν τὸ αἰσθάνεσθαι, ὅτι ἐσμὲν
καὶ ζῶμεν, αἱρετὸν ἄρα καὶ ἡδὺ καὶ τὸ συναισθάνεσθαι, ὅτι ζῇ καὶ ἔστιν
ὁ φίλος. τοῦτο δὲ γίνοιτ' ἂν συζώντος τοῦ φίλου καὶ συγκοινωνοῦντος λόγων
καὶ πράξεων. ἡδὺ ἄρα καὶ αἱρετὸν τῷ εὐδαίμονι τὸ συνεῖναι φίλον αὐτῷ 20
καὶ συζῆν μετ' αὐτοῦ. καὶ ἡ μὲν τῶν λεγομένων διάνοια αὕτη· τὰ δὲ
κατὰ λέξιν τοιάδε ἂν εἴη. καθάπερ ἑκάστῳ αἱρετόν ἐστι τὸ εἶναι, οὕτω
καὶ τὸν φίλον. ἐπῆγαγεν ἡ παραπλησίως, τουτέστι παραπλήσιος καὶ
ὁμοιοτάτη ἐστὶν ἡ τοῦ φίλου ζωὴ τῇ ἑαυτοῦ βιοτῇ. πᾶς δὲ πάντα τὸν
ὅμοιον φύσει καὶ μάλιστα ὁ σπουδαῖος τὸν σπουδαῖον ἀγαπᾷ καὶ συζῆν
βούλεται. φύσει ἥλιξ ἥλικα τέρπει καὶ κολοιὸς παρὰ κολοιὸν ἵζάνει. ὁ
σπουδαῖος τοίνυν ἡδὺς ἐστι τῷ σπουδαίῳ καὶ χαίρει συζῆν αὐτῷ καὶ
συνδιάγειν μετ' αὐτοῦ. εἰπὼν δὲ ὅτι ἑκάστῳ τῶν σπουδαίων ἡδὺ τὸ εἶναι
καὶ αἱρετόν ἐστι, διὰ τί ἡδὺ καὶ αἱρετὸν λέγει. τὸ δ' εἶναι αἱρετὸν διὰ τὸ
αἰσθάνεσθαι ἑαυτοῦ ἀγαθοῦ ὄντος, ὥστε καὶ ἡ συναίσθησις τῆς τοῦ φίλου
ἀγαθότητος ἡδεῖα καὶ αἱρετή ἐστιν αὐτῷ. γένοιτο δ' ἂν αὐτῷ ἡ τοιαύτη
συναίσθησις ἐκ τοῦ συζῆν καὶ κοινωνεῖν λόγων τούτων τῶν προφορικῶν
καὶ διανοίας τῶν διὰ τῶν τοιούτων λόγων σημαινομένων νοημάτων.
ἐπὶ μὲν γὰρ τῶν ἀλόγων ζώων, φησί, τὸ συζῆν ἐστι τὸ νέμεσθαι ἐν τῷ
αὐτῷ τόπῳ. ἐπὶ δὲ τῶν ἀνθρώπων τὸ κοινωνεῖν τῶν ἀρίστων καὶ καλλίστων
πράξεων καὶ λόγων καὶ διανοημάτων.

p. 1170b20 Ἆρ' οὖν ὡς πλείστους φίλους ποιητέον, ἢ καθάπερ ἐπὶ
ξενίας ἐμμελῶς εἰρῆσθαι δοκεῖ τὸ "μήτε πολύξεινος μήτε ἄξει-
νος καλεοίμην" καὶ ἐπὶ τῆς φιλίας ἁρμόσει.

Δείξας ὅτι χρῄζει φίλων ὁ εὐδαίμων ἀπορεῖ, ἆρα δεῖ λίαν πολλῶν
φίλων αὐτὸν καὶ ἀπείρως εὐθὺς ἐπιχεῖν τὴν τούτων σπουδήν, ἢ καθάπερ
ἐπὶ ξενίας ἐμμελῶς εἰρῆσθαι δοκεῖ. ἔστι δὲ τὸ ἐμμελῶς ταὐτὸν τῷ
ἁρμοδίως. ξένους δ' ἐκάλουν οἱ παλαιοὶ τοὺς διὰ ξενοδοχείας
ἐν ταῖς ἀποδημίαις (καὶ) ξενοδοχουμένους ὑπ' ἀλλήλων. ὥσπερ οὖν, φησίν,
οὐ δεῖ πλείστους ξένους ἔχειν οὕτως οὐδὲ φίλους. ὡς γὰρ τὸ ἄξενον καὶ
πολύξενον φευκτόν, οὕτω καὶ τὸ ἄφιλον καὶ πολύφιλον οὐκ ἐπαινετόν. καὶ
λέγει διὰ τί οὐκ ἔστι χρήσιμον ἡ πολυφιλία οὐδενὶ τῶν τῆς φιλίας εἰδῶν.

1 διδάσκοντα B: διδάσκοντος a 10 καὶ τὸ τὸν φίλον Arist. 11 τὸν B: τὸ a 13 ἥλιξ] cf. Θ 14 p. 1161a34 κολοιός] cf. Θ 2 p. 1155a34 κολοιὸν B: κολοιῷ a 15 συνδιάγειν B: συνδιάγει a 16 διατί B: διότι a 19 τούτων B: τούτοις a: nescio an insiticium sit 21. 22 τὸ (utroque loco) B: τῷ a 25 ξενίας Ba et Arist. codd. MbOb: τῆς ξενίας Arist. vulg. τὸ Ba et Arist. cod. Nb: om. Arist. vulg. πολύξενος et ἄξενος a 26 καλεοίμην B et Arist. codd. LbOb: om. a et Arist. vulg. rhesis usque ad τὸ ἥδυσμα (p. 1170b29) a 30 ξενοδοχοῦντες a 31 καὶ a: om. B 34 διατὶ B: διότι a

οὐτε τοῖς διὰ το χρησιμον φιλοῦσι συμφερει ἐστιν ἡ ποιοῦσιν οὐτε
διὰ τὸ ἡδὺ οὔτε τοῖς διὰ τὸ ἦθος καὶ τὴν ἀρετὴν· τοῖς μὲν οὖν
γαρ. ου χαιρειν ἑνα ὄντα ἀνθυπηρετεῖν καὶ τοσοῦτα καὶ τοιοῦτα
ποιεῖν, ὅσα καὶ οἷα ὁ πέπονθε πρὸς πολλῶν· χαιρεῖν γὰρ ἐπὶ
5 πολλοῖς ἀνθυπηρετεῖν. ἀναγκαῖον δέ ἐστιν ἀντευποιεῖν· εἰ γὰρ μὴ
ποιήσει, λυθείη ἂν ἡ φιλία· διὰ γὰρ τὸ ἀντευποιεῖν καὶ ἀντιπάσχ
νοῦσι· τοῖς μὲν δὴ πρὸς χρῆσιν καὶ πάνυ δόξειεν ἁρμόζ
λεγόμεν. λεγόμεν λέγει τὸ μὴ ἔχειν φιλους πολλους. ἁρμόσει γ
νοι διὰ τὸ ἡδὺ καὶ ἦθος φιλοῦσι μὴ ὡς πλείστους ἔχειν φίλους
10 μάλιστα τὸ λεχθὲν ἁρμόζει τοῖς διὰ τὸ χρήσιμον. βίος γὰρ ἐ
περιουσία οὐχ ἱκανὴ οὕτω πολλοῖς ὑπηρετεῖν καὶ μάλισθ' ὅτι πρ
περιεργους εἶναι τοὺς τοιούτους καὶ ἐμπόδιοί εἰσι πρὸς τὸ καλῶς ζ
δίχα πολλοῦ καὶ ὄχλου καὶ θορύβου· πολὺν γὰρ ἔχει θόρυβον τὸ
ἀνθυπηρετεῖν. ὅτι δὲ οἱ διὰ τὸ χρήσιμον φιλοῦντες περιεργοι εἰσι
15 περισκοποῦσι γὰρ καὶ περισκέπτονται πότ' τὴν ἀντευποιᾶαν, πότερ
τυγχάνει τὰ ἀντιδιδόμενα ἢ μείζονα ἢ ἐλάττονα· κἂν μὲν ἐλάττονα,
την φιλιαν, ἂν δ' ἴσα, οὐ λυουσι μεν μέμφονται δὲ λέγοντες ὅτι ἡ
αὐτῷ ὅσον ἔλαβε τοσοῦτον ἀντέδωκε'; μείζον δὲ διδοὺς τάχιον ἐπι
αὐτῷ τὰ ὑπάρχοντα. ἀνάγκη γὰρ τὸν παύσον ἀντιδιδόντα, ὧν κ
20 ταχὺ ἐπιλιπεῖν τὰ προσόντα. ὁμοίως δὲ οὐδὲ τῶν πρὸς ἡδονὴν
πλείστων· ἀρκοῦσι γὰρ πρὸς ταύτην καὶ δύο ἢ τρεῖς. ὥσπερ γὰρ
τῇ τροφῇ τὸ ἅλας, τοῦτο γὰρ ὄψον ἥδυσμα, τὸ ὀλίγον ἡδύνει τὴν
τὸ δὲ πολὺ ἀηδῆ ταύτην ἀπεργαζεται καὶ ἄβρωτον, οὕτως καὶ οἱ τὴν
ἐμποιοῦντες ἀηδίας μᾶλλον, οὐχ ἡδονῆς εἰσι ποιητικοί.

25 p. 1170b29 Τοὺς δὲ σπουδαίους πότερον πλείστους κατ' ἀρ
ἢ ἔστι τι μέτρον φιλικοῦ πλήθους;

Καὶ ἐνταῦθα τὸ ἢ ἔστι μέτρον φιλικοῦ πλήθους ὡ
ἐπηρτημ· ἐρωτησις γὰρ περὶ τῶν σπουδαίων. εἰ δεῖ τοὺς τοιού
πλείστους ἔχειν φίλους καὶ ὁρίζειν. ὑπεναντία λέγων ἢ ἔστι
φιλικοῦ πλήθους ὥσπερ καὶ πάλιν ὡς γὰρ πάντ οὔτε ἐκ τ
ὁρῶν οἷόν τε γενέσθαι (παντὶ γὰρ τῷ βουλομένῳ ἐκ τοσούτων οὐ
ἀλώσιμος καὶ δούλη) οὔτε ἐξ εἴκοσι μυριάδων, ὅτι ἂν αὐτὸς ἐν τ
τείαις λέγει αἰτίαις. εἰπὼν δὲ ὅτι οὔτε ἐκ δέκα ἀνδρῶν οὔτε ἐκ δε
35 μυριάδων, ἤτοι χιλιάδων ἑκατόν, δύναται συστῆναι πλῆθος, ὡς οὐδὲ

1 τοῖς (prius) B: τῆς a 3 ὄντα ἕνα a 4 πολλῶν Vat. 320: πολλοῦ
6 ἀντιπάσχειν B: ἀντεπάσχειν a 7 post δόξειεν om. ἂν Ba et Arist. codd
8 γὰρ B: μὲν γὰρ a 21 πλείστων a: πλεῖστον B καὶ δύο B: δύο a
B: ἓν a 24. 25 post ποιητικοί add. ἐάν
B: et Arist. φιλικοῦ B et Arist. cod. Kb: καὶ φιλικο

ὥρθη ἐν ταῖς Πολιτείαις ἀπὸ πεντήκοντα σταδίων, ἐπήγαγε τὸ δὲ 161r
ποσὸν οὐκ ἔστιν ἴσως ὡρισμένον, ἀλλὰ πᾶν τὸ μεταξύ τινων ὡρισμένων. ὃ δὲ λέγει ἔστι τὸ ὡρισμένως εἰπεῖν, ὅτι ἡ πόλις ἔστω ἀπὸ χιλιάδων ἑκατὸν ἡ πάντε ἡ τινος ἄλλου ὡρισμένου ἀριθμοῦ. ὁσαδήποτε ἔστιν. χρεὼν δὲ ὅτι ἡ πόλις ἔστω ἐκ τῶν μεταξὺ ὁρισθέντων τῶν ἄκρων. τοῦτο δέ, 20
ὡς ἐν ταῖς Πολιτείαις εἴρηκε. τοιοῦτόν ἐστι· δεῖ, φησὶν ἐκεῖ, ἰδεῖν τοὺς πολιτικοὺς καὶ τὸ κύριον τῆς πόλεως τὴν τῆς πόλεως εὔτροπον ὅση τίς ἐστι καὶ οἵα, καὶ τὴν χώραν, ἧς ἄρχει ἡ πόλις, πόσους δύναται τρέφειν καὶ πόσων καὶ οἵων δεῖται στρατιωτῶν εἰς τὴν φυλακὴν τῆς χώρας· καὶ εὐ-
10 ρόντας ὅτι οἱ τοσοῖδε πολλοί εἰσιν, οἱ δὲ τοσοῖδε ὀλίγοι, καὶ ὁρίσαντας τὸ πολὺ πλῆθος καὶ τὸ ὀλίγον τοῖς δέκα καὶ τοῖς δυσὶ καὶ λαβόντας ὡς ἄκρα τὰ δέκα καὶ δύο ἐκ τῶν μεταξὺ τῶν δέκα καὶ δύο λαμβάνειν ἐκεῖνο τὸ πλῆθος, ὃ δύναται καὶ τὴν χώραν φυλάττειν καὶ ὑπὸ τῆς χώρας τρέ- 25
φεσθαι. τοῦτο δὴ ποιητέον καὶ ἐπὶ τῶν γεωργῶν καὶ ἐπὶ τῶν λοιπῶν
15 οἷον ἀγοραίων καὶ τῶν ὁμοίων. ὡς ἐπὶ τούτων, οὕτω καὶ ἐπὶ τῶν φίλων ἔστι τι πλῆθος ὡρισμένον. καὶ τοῦτο δεῖ ζητεῖν, τὸ τοιοῦτον πλῆθος τῶν φίλων ποῖόν τί ἐστιν· ὃ δύναται τοῖς μετὰ πράξεως καὶ ὄχλου θεραπεύ-
μεθ' ὧν δ' οὐ δύναται οὐτωσὶ συζῆν, οὗτοι πλείους εἰσὶ τοῦ δέοντος· ὥστε φευκτέον τὸν τοσοῦτον τῶν φίλων ἀριθμόν.

20 p. 1171a2 Ὅτι δ' οὐχ οἷόν τε πολλοῖς συζῆν καὶ ὑπερβολὴν τοῦ-
τόν, οὐκ ἄδηλον. 30

Ὃ λέγει πᾶσι δῆλόν ἐστιν· εἰ γὰρ ὁ μὲν τῶν φίλων ἔθος ἔχει ἕξω 37r
τοῦ ἄστεος καθ' ἑκάστην φοιτᾶν, ὁ δὲ συνδιάγειν μετὰ τῶν ἐχόντων τὰς ἀρχὰς τῆς πόλεως, ὁ δὲ μετὰ τῶν γυμναζομένων συγγυμνάζεσθαι καὶ ὁ
25 μὲν τόδε, ὁ δὲ τόδε τι ποιεῖν, πῶς οἷόν τε τὸν αὐτὸν καὶ ἕνα ἐν τῇ αὐτῇ καὶ μιᾷ ὥρᾳ ἢ καὶ ἡμέρᾳ πᾶσι συμπαρεῖναι καὶ συμπράττειν; τὸ μὲν οὖν 40
μηδενὶ συνεῖναι ἄτοπον καὶ ἄφιλον, τὸ δὲ τούτῳ μὲν συνεῖναι, τοῖς δ' ἄλλοις μὴ καταφρονήσεως δόξαν ἐμποιήσει. πάντας δὲ πάλιν τοὺς πολλοὺς τὸ αὐτὸ παντελῶς ποιεῖν καὶ πράττειν, ὡς εἶναι πάντας ἓν κατ' αὐτὸ τοῦτο,
30 καθὸ ἕν ἐστιν ἐκεῖνο ὃ ποιοῦσιν ἢ πράττουσι καὶ διὰ τοῦτο δύνασθαι λέγειν, ὅτι δυνατόν ἐστι, μετὰ πάντων ἅμα συνεῖναι· καθὸ γὰρ τὸ αὐτὸ πράττουσι κατὰ τήνδε τὴν ὥραν, κατὰ τοῦτο ἅμα εἰσὶ καὶ μὴ ἅμα ὄντες· τὸ οὖν πάντας πολλοὺς ὄντας τὸ αὐτὸ πράττειν ἀμήχανον· δύο μὲν γὰρ ὄντας 45
καὶ τρεῖς ἐνδεχόμενόν ἐστι τὸ αὐτὸ ἐργάζεσθαι, εἴκοσι δὲ εἰ τύχοι ὄντων
35 ἀδύνατον. ἀλλὰ καὶ εἰ τοῦ αὐτοῦ φίλοι καὶ ἀλλήλοις εἰσὶ φίλοι, εἰσὶ δ'

---

2 ὥρθη Ba: an ὡς ἔφη? 3 ἐν ταῖς Πολιτείαις] H 4 p. 1326a41 3 λέγει Vat. 320: λέγειν Ba ὡρισμένως B: ὡρισμένον a 6 εἴρηκε B: εἴρηται a 9. 10 εὐ-
ρόντας B: εὑρὸν a 10 ὅτι Vat. 320: om. Ba ὁρίσαντας] ὁρίσαι B: ὁρίσας a
11 λαβόντας Vat. 320: λαβὸν Ba 20 rhesis usque ad πρὸς ὀλίγους (p. 1171a13) a
25 τόδε τι B: τόδε a 35 εἰ B: οἱ a

ὅτι φίλον τὸν Σωκράτους καὶ ἄλλῳ ἀναγκη φίλους εἶναι τ
ἐριῳδέστατον. πάλιν ἐπεὶ φίλοι εἰσὶ τοῦ Σωκράτους, τὸν δὲ σπουδα
(περὶ γὰρ τῶν σπουδαίων ἐστὶν ὁ λόγος) δεῖ συνδιάγειν καὶ συνδι
μετὰ τοῦ φίλου. ἀνάγκη τοὺς εἴκοσι συνδιημερεύειν τῷ Σωκράτει
ἀλλήλοις. πῶς οὖν ἔσται τοῦτο μὴ ὄντων ἀλλήλοις φίλων; ἀλλ
ἓν τῶν χαλεπωτάτων ἐστίν, ἔτι δὲ χαλεπώτερον μᾶλλον δ' ἀδύ
συγχαίρειν μετὰ τῶν χαιρόντων καὶ συλλυπεῖσθαι μετὰ τῶν λυπ
εἰ γὰρ ὁδὶ μὲν ἅμα μὲν κλαίει, ὁδὶ δὲ γελᾷ, πῶς ἐστι δυνατὸν γελᾶν
δακρύειν; καὶ εἰ ὁ μὲν φέρει τὸν υἱὸν τεθνηκότα, ὁ δὲ γάμο
τῆς θυγατρὸς ἐν τῇ αὐτῇ αμφότεροι ὥρᾳ ἢ καὶ ἡμέρᾳ, πῶς
χαίρειν ἅμα καὶ λυπεῖσθαι; ταῦτ' εἰπὼν καὶ ἐνδοιάζομενος ὅτι πλε
οὐ δύναται φίλους ἔχειν ὁ σπουδαῖος. σκληρὸν ἐπηνῶν δὲ τὸ
ἐπὶ τὸ σαῖνον τραπείς, τὴν μὲν πολυφιλίαν λέγει φεύγειν δεῖ, τοσ
αἱρεῖσθαι ὅσοις ἂν δυνήσηται συζῆν. τοσοῦτοι δ' ἂν εἶεν οἱ
πλείους γὰρ ἔχειν ἴσως οὐκ εὐπατές. ἀδύνατον γάρ ἐστι πολλ
φίλους· ὡς γὰρ οἱ ποταμοὶ πολλὰς σχίσεις καὶ κατατομὰς λα
λεπτοὶ καὶ ἀσθενεῖς ῥέουσιν, οὕτω καὶ ἡ φιλία εἰς πολλοὺς μ
ἐξαμαυροῦται. ὥσπερ γάρ, φησί, πολλῶν ἐρᾶν ἀδύνατον (ὑπερ
φιλίας ὁ ἔρως ἐστίν), οὕτως οὐδὲ πολλοὺς σφόδρα φιλεῖν ἐνδέχ
μὲν οὖν λεγόμενα τοιαῦτα, κατὰ δὲ τὴν λέξιν τὴν πλείονα οὐσα
ὅε πρὸς ἕνα περὶ τοῦ ἐρᾶν εἶπε. τὸ μὲν γὰρ ἐρᾶν πρὸς ἕνα
δὲ σφόδρα φιλεῖν πρὸς ὀλίγους.

p. 1171a13 Οὕτω δ' ἔοικεν ἔχειν καὶ ἐπὶ τῶν πραγμάτων.
γίνονται φίλοι πολλοὶ κατὰ τὴν ἑταιρικήν.

Εἰπὼν ὅτι πρὸς ἕνα γίνεται (ὑπερβολὴ γὰρ φιλίας ὁ ἔρως
δ' ὑπερβάλλον πρὸς πολλοὺς ἐξαδυνατεῖ γίνεσθαι), πιστοῦται τοῦτ
ἡ ἱστορία. τῶν γὰρ ἀοριστομένων ἑταιρικῶν φίλων ἕκαστ
ἐρώμενον γεγονυῖα, ἡ τοῦ Ἀχιλλέως καὶ Πατρόκλου, ἡ τοῦ Πυ
Ὀρέστου, ἡ τοῦ Θησέως καὶ Πειρίθου, οἱ δὲ πολύφιλοι καὶ πάσ
ἐντυγχανοντες οὐδενὶ δοκοῦσιν εἶναι φίλοι διὰ τὸ μὴ ἐνδέχεσθαι
εἶναί τινα σφόδρα φίλον. ὁ πολυφίλος καὶ πᾶσιν ἥδεσι προσ
καὶ κεχαρισμένως προσομιλῶν, εἰ καὶ φιλικῶς ἐντυγχάνει, οὐ δο
αὐτοὺς οὐδὲ φίλος ἐκείνοις εἶναι· οὐδὲ τῶν σφόδρα φιλούντων ὑπά
τὸ μὴ ἐνδέχεσθαι, καθάπερ εἴρηται, τὸν αὐτὸν καὶ ἕνα σφόδρα
φιλεῖν. πολιτικῶς μὲν οὖν φησιν· ἐνδέχεται τὸν αὐτὸν πολλο
κατὰ δὲ τὴν κυρίως φιλίαν, ἥτις ὁρίζεται τῷ σφόδρᾳ καὶ ἐπι

ἀλλήλοις a: ἀλλήλων B 2 ἐπεὶ B: ἐπὶ a 3 σπουδαίων B: σπουδαί
11 οὐ δύναται B: ἀδύνατον a 21 γὰρ B: om. a 23 ἔοικεν ἔχειν
Aristoteles 23. 24 γὰρ γίνονται B: γίγνονται γὰρ a et Aristoteles
que ad εὑρεῖν τοιούτους (p. 1171a20) a 25 post ὅτι inserit ἡ
ἐκείνοις B: ἐκείνων a ὑπάρχει B: ὑπάρχει a

οὐκ ἐνδέχεται. τὸ πολιτικῶς δ' ἐστὶ τὸ μὴ ἀπαρέσκεσθαι, οἷς λέγουσιν οἱ 162r
προσφιλοῦντες μηδ' ἐναντιοῦσθαι τοῖς λόγοις αὐτῶν ἢ τοῖς πράξεσιν ἀλλ'
ἀποδέχεσθαι καὶ αἰνεῖν καὶ τοὺς λόγους καὶ τὰς πράξεις· οὓς καὶ ἀρέσκους
καλοῦσι διότι πᾶσιν ἀρέσκονται ἢ πᾶσι δοκοῦσιν ἀρέσκεσθαι. ἀλλὰ κἂν 25
μὴ ἄρεσκός ἐστιν, ἐπιεικὴς δέ (λέγει νῦν ἐπιεικῆ τὸν μέτριον καὶ χαρί-
εντα τὸ ἦθος), ἐνδέχεται καὶ τοῦτον πολλοῖς εἶναι φίλον. διαφέρει δ' οὗτος
τοῦ ἀρέσκου, ὅτι οὐκ ἐξ ἀνάγκης ὁ ἄρεσκος καὶ ἐπιεικής ἐστιν. ἔστιν
δὲ ὅτι ὁ μὲν ἄρεσκος ἐπαινεῖν καὶ θαυμάζειν φαίνεται τὰς πράξεις καὶ
τοὺς λόγους, οἷς ἀρέσκεσθαι δοκεῖ, ὁ δὲ ἐπιεικὴς οὐχ οὕτως. οὔτε γὰρ
ἐπαινεῖ οὔτε ψέγει ⟨ἀλλ' ἐν τῷ μέσῳ ἐστί⟩ πολιτικῶς μὲν οὖν ἐνδέχεται
πρὸς πολλοὺς φίλον εἶναι, δι' ἀρετὴν δὲ καὶ ἦθος οὐκ ἐνδέχεται· διότι καὶ 30
χαλεπόν ἐστι πολλοῖς ἐντυχεῖν σπουδαίοις· πρὸς δὲ τοὺς μὴ ὄντας οὐκ ἂν
εἴη φιλία.

p. 1171a21 Πότερον οὖν ἐν εὐτυχίαις φίλων μᾶλλον δεῖ ἢ ἐν
δυστυχίαις.

Ὅ μὲν ἀπορεῖ, πάνυ σαφὲς ἐστιν. ὁμοίως γὰρ οἱ ἐν ἀπορίαις καὶ οἱ 41
ἐν εὐπορίαις φίλων δέονται, οἱ μὲν γὰρ ἀποροῦντες δι' ἐπικουρίαν καὶ βοή-
θειαν καὶ ἀποτροπὴν τῆς ἀτυχίας, οἱ δ' εὐτυχοῦντες δέονται μεῖ' ὧν
συμβιώσονται, δι' ἃς ἥδη πεπαύμεθα λέγοντες αἰτίας, καὶ οὓς εὖ δράσουσι.
βούλονται γὰρ σπουδαῖοι ὄντες εὖ δρᾶν. κάλλιον δὲ τῶν ὀθνείων τοὺς 45
φίλους εὖ ποιεῖν· καὶ εἴρηται καὶ τούτου τὸ αἴτιον. πλὴν ἀναγκαιότερος ὁ
φίλος ἐν ταῖς ἀτυχίαις· ἐν ταύταις γὰρ χρεία χρημάτων. ἔστι δ' ὁ σπου-
δαῖος φίλος ἐν ἅπαντι καιρῷ, μάλιστα δ' ἐν ταῖς ἀτυχίαις χρήσιμος καὶ
ἡδύς· κάλλιον δ' ὑπάρχειν ἐν ταῖς εὐτυχίαις φίλον καὶ ἡδύτερον· καὶ
εἴρηται καὶ τούτου τὸ αἴτιον, ῥηθήσεται δὲ καὶ αὖθις καὶ διὰ τὸ εἶναι
τὸν σπουδαῖον φίλον ἡδύν. οἱ εὐτυχοῦντες καὶ κατὰ φύσιν ζῶντες (πολλοὺς
γὰρ ἡ εὐτυχία εἰς ὑπερηφάνειαν καὶ ἀλαζονείαν καὶ ὕβριν τῶν προστυχόν-
των ἐκτραχηλίζει) τοὺς ἐπιεικεῖς φίλους ζητοῦσιν ἔχειν. αἱρετώτερον γὰρ 50
τούτους εὐεργετεῖν καὶ μετὰ τοιούτων συνδιάγειν ἢ φαύλους καὶ μετὰ φαύλων·
ἔστι γὰρ καὶ ἡ παρουσία αὕτη τῶν φίλων ἡδεῖα καὶ ἐν εὐτυχίαις καὶ
ἐν δυστυχίαις· κουφίζονται γὰρ οἱ λυπούμενοι. διὰ τί μὲν ἡ τῶν φίλων
παρουσία ἐν ταῖς δυστυχίαις ἡδεῖα ἐστι, διὰ τούτων λέγει. φθάνει γὰρ
εἰρηκέναι, καὶ διὰ τί ἐν ταῖς εὐτυχίαις· εἰπὼν δὲ κἀν διὰ τί ἐν ταῖς δυστυ-
χίαις, ἀλλὰ ἐλλιπέστερον. ἰστέον δὲ ὅτι ἃ λέγει νῦν, ἁρμόζει πᾶσι τοῖς
τῆς φιλίας εἴδεσι. χρεία δή, φησί, τῶν φίλων | ἐν ταῖς ἀτυχίαις, ὅτι 162v
βλέποντες αὐτοὺς οἱ δυστυχοῦντες κουφίζονται. ὡς γὰρ δύο πόνων, ὡς
φησιν Ἱπποκράτης, ἐν ταὐτῷ γινομένων, ὁ μείζων πόνος ἐκκρούει τὸν ἐλάτ-

10 ἀλλ'—ἐστί a: om. B 13 εἴη a: ἡ B 14 οὖν B: δὲ a et Aristoteles φίλον μᾶλλον Ba: μᾶλλον φίλον Arist. 15 δυστυχίαις B et Arist. vulg.: ἀτυχίαις a et Arist. cod. Lb rhesis usque ad τὸ λεχθέν (p. 1171a34) 37 θαυμάσιος ante ἱπποκράτης inserit a Ἱπποκράτης] Aphorism. II 46

τονα καὶ ἀνεπαίσθητον ποιεῖ, καὶ αὖ πάλιν δύο ἡδέων ὁρατῶν ε
ὄντων ἢ ἀκουστῶν ἡ τοῦ μὲν ὁρατοῦ τοῦ δὲ ἀκουστοῦ, τὸ μᾶ
ἕλκει πρὸς ἑαυτό, καταφρονεῖν ἀναγκαῖον θατέρου, οὕτω καὶ ἡ
καὶ λυπηροῦ ὄντων, εἰ μὲν ἰσοσθενῆ τυγχάνουσιν, ἐν τῷ μέσῳ κ
ὑ δὲ τὸ μὲν ὑπερέχει τὸ δὲ ἐλλείπει, ἀνάλογον τῆς ὑπεροχῆς ἢ
ψεως διατιθέασιν ἡμᾶς. κατάληλον γὰρ τῇ τῶν αἰσθητῶν δυ
τὸ ἀπ' αὐτῶν πρὸς ἡμᾶς ἐγγίνεται πάθος. ἐπεὶ οὖν ὁ φίλος ἥ
κρουων το φιλοῦν, κουφίζει καὶ μετριώτερον φαίνεσθαι ποιεῖ συμ
πάντα λέγων καὶ πράττων καὶ ποιῶν ὁπόσα ἐπὶ τὸ εὔθυμον ἄγει
10 λελυπημένον, κουφίζει δὲ τὴν λύπην καὶ ἀβαρῆ ποιεῖ ἡ τοῦ φιλ
σια οὐχ ὡς ὁ τοὺς ταρταρας ἄρας μεθίμενος ἀπὸ τοῦ φέροντ
ἀλλ' ὡς εἴρηται, ἐπειδὴ τὰ ἡδέα καὶ λυπηρὰ ὁρᾶν πόρρωθεν εἰ
δὲ τοῦ φίλου παρουσία ἡδεῖα τυγχάνει, ἀμαυροῖ τὴν λύπην. τὰ
τια μιγνύμενα ἀμβλύνουσιν ἄλληλα, ὡς τὸ ζέον ὕδωρ τὸ ψυχρὸν
15 ἐν αὐτῷ, ὥστε καὶ τῷ λυπηρῷ τὸ ἡδὺ προσελθὸν ἀσθενέστερο
καὶ ἧττον ἐνοχλοῦν. ἐπεὶ δὲ ἐπὶ μὲν τῶν ἐναντίων ἀληθὲς ἐ
οὐ δοκεῖ δὲ τῷ Πλάτωνι [ἐναντίῳ] ἐναντίον τὸ ἡδὺ τῷ λυπηρῷ.
εἰ μὲν οὖν διὰ τὸ ἐναντίως ἔχειν πρὸς ἄλληλα τὸ ἡδὺ καὶ λυπ
φίζονται, ἢ καὶ δι' ἄλλο τι, ἧτοι διὰ μέγεθος καὶ μικρότητα. ὡ
20 τῶν δύο πόνων εἶπεν ὁ Ἱπποκράτης, ἀφείσθω· οὐ γὰρ τοῦτο
σκοπεῖν, ἀλλ' ὅτι ἡ τοῦ φίλου παρουσία ἀναγκαία καθέστηκεν ἐν
γιαις, ὅτι ἐπιόηλως κουφίζει τας τῶν δυστυχούντων λυπας.

p. 1171a34 Ἔοικε δ' ἡ παρουσία μικτή τις αὐτῶν εἶναι.

Ἡ τοῦ φίλου, φησί, παρουσία μικτή τίνων δοκεῖ ἐξ ἡδονῆς κ
25 ὡς τὸ φαιὸν ἐκ λευκοῦ καὶ μέλανος· ἡδεῖα μὲν ὅτι τὸ ὁρᾶν
ρὸν καὶ μάλιστα ἐν ταῖς ἀτυχίαις. γίνεται γὰρ ἐπικουρια
μὴ λυπεῖσθαι. παραμυθητικὸς γὰρ ὁ φίλος καὶ ὁρώμενος κ
καὶ μάλιστα ἐὰν ᾖ ἐπιδεξίτὸς, λέγων ἐπιδεξίους τοὺς εὐφυεῖς
προσιόντα ἑκάστῳ καιρῷ. τοιοῦτοι δὲ μάλιστα οἱ σπουδαῖοι. ὁ
30 φησί, τὸ ἦθος, ἧτοι ὁ σπουδαῖος τὸν ὅμοιον ἑαυτῷ. τοῖς ἡδέσι κ
ποῖσιν καὶ ὁποίοις ἥδεται καὶ ἀπαρέσκεται, καὶ εἰδὼς λέγει κα
οἷς ἥδεται καὶ ῥᾳστωνεύεται. ἡδεῖα μὲν οὖν ἐστι διὰ ταῦτα ἡ
παρουσία, λυπηρὰ δὲ καὶὸ γινώσκει τὸν φίλον συλλυπούμενον κ
γοῦντα. οὐδεὶς γὰρ εὐφρονῶν βούλεται λυπεῖν τὸν τυχόντα μήτοι
35 καὶ αἴτιος γίνεσθαί τινος αἰτίας. ἀλλὰ τίνος ἕνεκεν εἶπε τοῦτο,
τι ὅτι μικτή ἐστιν ἡ τοῦ φίλου παρουσία; ἢ ἐπειδὴ εἶπεν. ὅτι
ἀλλ' οὐ τέλεον ἐκμοχλεύει καὶ πανταπασιν ἀφανίζει. διὰ τοῦτο

ἡ φύσις ἡμῖν εὐθὺς γενομένοις δέδωκε τὴν ἐνέργειαν, διὰ τὴν ἡδονήν; ἢ
τὴν ἡδονὴν διὰ τὴν ἐνέργειαν; εἴποιμεν ἂν γνώριμον εἶναι τὴν ἡδονὴν τοῖς
ζῴοις διὰ τὰς ἐνεργείας ὑπὸ τῆς φύσεως δεδόσθαι, ἵνα σώζηται καὶ μένῃ· 10
ἀδύνατον δὲ σώζεσθαι εἰ μὴ τρεφόμεθα· ὅπως οὖν τρεφώμεθα, παρὰ τῆς
φύσεως ἔσχομεν τὴν ἐπὶ ταῖς τροφαῖς ἡδονήν, δι' ἣν ἐπὶ ταῖς τροφαῖς
ἡδονὴν ζητοῦμεν τὴν τροφὴν μὴ παροῦσαν καὶ παρούσῃ χρώμεθα. ζη-
τοῦμεν ἄρα τὴν ἡδονήν, ἵνα τραφῶμεν. τὸ δὲ τρέφεσθαι ἐνεργεῖν ἐστι. χάριν
ἄρα τῆς ἐνεργείας αἱρούμεθα τὴν ἡδονήν. καὶ ὅλως ἄτοπόν ἐστι τὸ λέγειν
τρέφεσθαι ἡμᾶς μὴ ὡς σωθησομένους καὶ ζησομένους, ἀλλ' ὑπὲρ τῆς ἡδο- 15
νῆς τῆς ἐπ' αὐτῷ. ἔχομεν οὖν παρὰ τῆς φύσεως τὴν ἐπὶ ταῖς τροφαῖς
ἡδονήν, ἵνα δι' αὐτὴν ζητῶμεν τὴν τροφήν, τὴν δὲ τροφήν, ἵνα τρεφώμεθα
καὶ τρεφόμενοι σωζώμεθα καὶ ζῶμεν καὶ ἐνεργῶμεν. ἀλλὰ καὶ αὐτὸ τὸ
ζῆν ἐνέργειά τίς ἐστιν. ἡ ἡδονὴ ἄρα διὰ τὴν ἐνέργειαν καὶ οὐκ ἔμπαλιν.
ἀλλὰ καὶ τὴν ἐπιγινομένην τοῖς ἀφροδισίοις ἡδονήν, εἴ τις φυσικῶς ἐξετά- 20
ζει, οὐκ ἄλλου χάριν εὑρήσει παρεσπαρμένην ἢ τῆς τεκνοποιίας, ὅπως ὑπὸ
τῆς ἡδονῆς παραπεμπόμενα τὰ ζῷα μὴ ὀκνῇ πρὸς τὸν συνουσμόν, ὃς 50
αἴτιος τῆς κατ' εἶδος τοῖς ζῴοις διαμονῆς. εἰ δὲ φανερῶς ἐπὶ τούτοις τοῖς
ζῴοις γίνονται αἱ ἡδοναὶ τῶν ἐνεργειῶν χάριν, καὶ ἐπὶ τῶν ἄλλων δηλονότι
τῶν κατὰ φύσιν ἐνεργειῶν εὔλογον οὕτως ἔχειν. ἀλλὰ περὶ τῆς ζητήσεως,
φησί, ταύτης ἀφείσθω. φαίνεται δ' οὖν συνεζεῦχθαι ταῦτα, καὶ οὔτε τὸ
κατὰ φύσιν ζῆν καὶ ἐνεργεῖν κεχώρισται τῆς ἡδονῆς οὔθ' ἡ ἡδονὴ τού-
των. ὅθεν δοκοῦσι καὶ τῷ εἴδει διαφέρειν. τὰ γὰρ ἕτερα τῷ
ζῴῳ διαφέροντα τῷ εἴδει τελειοῦσθαι, τῶν ἐνεργειῶν ἑτέρων
τῷ εἴδει ὄντων, ἀνάγκη καὶ τὰς ἡδονάς, αἳ τελειοῦσιν αὐτάς, ἑτέρας εἶναι 173v

6. 7 χρώμεθα Vat. 320: αἱρούμεθα Ba 9 αἰσχρόταται B: αἰσχρότητες a 10 ἐστὶν ἐναντία a 16 ποτέρου χάριν B: πότερον γὰρ a 18 εἶναι τὴν B: εἶναι τὸ τὴν a 21 ἔσχομεν B: ἔχομεν a 28 σωζώμεθα B: ζητώμεθα a 32 ὀκνῇ B: ὀκνεῖ a

τῷ εἴδει. ὅθεν φησί. τουτέστιν ἐκ τοῦ συνεζεῦχθαι τὰς ἡδονὰς τ
γείαις καὶ ἅμα σὺν αὐταῖς εἶναι καὶ μὴ εἶναι. ὅτι δὲ τὰ ἕτερο
ἑτέρων τελειοῦνται, οὐκ ἄδηλον. τίς γὰρ ἀγνοεῖ ὅτι ἄλλη
ἡδονή, ἡ γράφει ὁ οἰκοδομῶν, καὶ ἑτέρα, ἡ γένηται ὁ μουσικό
καὶ ὁ ἑκάτερον ἕτερον ἐστι, καὶ τοῦτο πρόδηλον. εἰσὶ δὲ αἱ μὲν
ταί, αἱ δὲ ψευκταί. τὰ δὲ αἱρετὰ καὶ ψευκτὰ ἕτερα τῷ εἴδει. ἔ
νουν αἱ ἡδοναὶ τὴν αὐτὴν ταῖς ἐνεργείαις πρὸς ἀλλήλας διαφορ
τοῦτο. οὐχ ὁμοειδεῖς εἰσι πᾶσαι αἱ ἡδοναί. εἰπὼν δὴ ὅτι τὰ
ἑτέρων τελειοῦνται, πιστοῦται τοῦτο καὶ ἀπὸ τῶν φυσικῶν καὶ
τεχναστῶν. ἄλλο γὰρ τέλος τῆς τοῦ φυτοῦ γενέσεως καὶ ἄλλο
ζῴου, ὅτι καὶ αἱ γενέσεις ἕτεραι. τῆς μὲν γὰρ τῶν φυτῶν γενέσ
αὐτὰ τὰ φυτὰ καὶ τῆς τῶν ζῴων τὰ ζῷα, τῆς δὲ οἰκοδομήσεω
καὶ τῆς ὑγιάνσεως ἡ ὑγίεια. ὡς οὖν τῶν γενέσεων τὰ τέλη ἕτε
καὶ τὰ οἷον τέλη τῶν ἐνεργειῶν ἕτερα. ἄλλη γὰρ ἡδονὴ τῆς νοε
τῷ εἴδει καὶ ἑτέρα τῆς κατ᾽ ἐνέργειαν αἰσθήσεως.

p. 1175a29 Φανείη δ᾽ ἂν τοῦτο καὶ ἐκ τοῦ συνῳκειῶσθαι τ
νῶν ἑκάστην τῇ ἐνεργείᾳ ἣν τελειοῖ.

Τὸ μὴ ὁμοειδεῖς εἶναι πάσας τὰς ἡδονὰς ἀλλά τινάς τισιν ἀν
φησί. φανήσεται καὶ ἐκ τοῦ οἰκείας εἶναι τὰς ἡδονὰς ταῖς ἐνεργ
αἷς γίνονται. τὰ δ᾽ οἰκεῖα ἐξ ἀνάγκης συνδιαιροῦνται τοῖς ὧν εἰσ
εἰ οὖν αἱ ἐνέργειαι διάφοροι καὶ ἀνομοειδεῖς, καὶ αἱ οἰκεῖαι αὐτ
διάφοροι καὶ ἀνομοειδεῖς. ὅτι δὲ ἑκάστῃ τῶν ἐνεργειῶν ἐστί
ἡδονή, ἥτις καὶ τελειοῖ αὐτήν, ὅῆλον ἐκ τοῦ συναύξεσθαι τὰς
ταῖς ἡδοναῖς. ἡ γὰρ [illegible] τῷ γεωμετρεῖν ἡδονὴ συναύξει τὴν κατὰ
μετρίαν ἐνέργειαν καὶ ἡ ἐπὶ τῷ κιθαρίζειν τὴν κιθαριστικὴν ἐνέργ
ἂν μὲν ὦσιν αἱ ἐνέργειαι τῷ μὲν ἀριθμῷ ἕτεραι, τῷ δὲ εἴδει αἱ
αἱ ἡδοναὶ δηλονότι τῷ μὲν ἀριθμῷ εἰσιν ἕτεραι. αἱ αὐταὶ δὲ
ἡ δ᾽ ὧσι καὶ τῷ ἀριθμῷ καὶ τῷ εἴδει αἱ ἐνέργειαι ἕτεραι, καὶ
κατ᾽ ἄμφω ἕτεραί εἰσιν. ὅτι δὲ συναύξουσι τὰς οἰκείας ἐνεργεια
ναί, δῆλον. μᾶλλον γὰρ γεωμετρικὸς γίνεται ὁ χαίρων τῇ γεωμ
μᾶλλον ποιητικὸς ὁ χαίρων τῇ ποιητικῇ τῶν μὴ χαιρόντων αὐτ
ἐπεὶ συναύξουσι τὰς οἰκείας ἐνεργείας αἱ ἡδοναί, ᾠκείωνται ταύ
γὰρ μὴ οἰκεῖον λυπηρόν, τὸ δὲ ἐπίλυπον φθείρειν. οὐκ αὔξειν πέ

p. 1175b1 Ἔτι δὲ τοῦτο μᾶλλον φανείη ἂν ἐκ τοῦ τὰς
ρων ἡδονὰς ἐμποδίους ταῖς ἐνεργείαις εἶναι.

Τὸ μὴ πᾶσαν ἡδονὴν εἶναι οἰκείαν πάσῃ ἐνεργείᾳ ἀλλ᾽ ἄλλη

17 rhesis usque ad τῷ εἴδει (p. 1175b1) a 19 φησι B: ὑπάρχειν a 31 τ
320: αὐτῇ Ba αὐταῖς Vat. 320: αὐτῇ Ba 32 οἰκείας B: om. a 34
φανείη ἂν B: μᾶλλον τοῦτ᾽ ἂν φανείη a et Aristoteles 35 rhesis usque a
(p. 1175b13) a

συνῳκειῶσθαι ἄλλῃ ἐνεργείᾳ καὶ διὰ τοῦτο ἀνάγκη ὁμοίως ταῖς ἐνεργείαις 173v
καὶ ταύτας ἀλλήλων κατ' εἶδος διαφέρειν· δῆλόν ἐστι πρῶτον μὲν ἐκ τοῦ 10
μὴ δύνασθαι τὴν ἐπ' ἄλλῃ τινὶ ἐνεργείᾳ ἡδονὴν ἐπ' ἄλλῃ τινὶ ἐνεργείᾳ
γενέσθαι· τῷ γὰρ σωφρόνως ζῶντι καὶ κατὰ σωφροσύνην ἐνεργοῦντι καὶ
5 τὰ σωφρονικὰ πράττοντι οὐκ ἐπιγίνεται τῇ αὐτοῦ τοιαύτῃ ἐνεργείᾳ ἡ ἐκ
τοῦ ἀκολασταίνειν ἡδονή· ἀδύνατον γὰρ τὸν σωφρόνως ζῶντα ἡσθῆναι τὴν
τοῦ ἀκολάστου ἡδονήν, καὶ ὅλως τὸν μὴ προσομιλοῦντα γυναικὶ τὴν τοῦ
προσομιλοῦντος· ὥστε ἄλλη μέν ἐστιν ἡδονὴ ἡ συνῳκειωμένη τῇ τοῦ σώ-
φρονος ἐνεργείᾳ καὶ ἄλλη ἡ τοῦ ἀκολασταίνοντος· εἰ δὲ μὴ ἦσαν αἱ ἡδοναὶ 15
10 ἕτεραι ὥσπερ καὶ αἱ ἐνέργειαι ἀλλ' αἱ αὐταί, τί τὸ κωλῦον ἦν τὰς μὲν τοῦ
ἀκολάστου ἐνεργείας φεύγειν τὸν σώφρονα ὡς φευκτάς, τὰς δὲ ἡδονὰς διώ-
κειν ὡς τὰς αὐτὰς αὐταῖς οὔσας καὶ ὁμοειδεῖς ταῖς τῶν σωφρόνων ἡδοναῖς;
πρῶτον μὲν δὴ ἐκ τούτου δῆλον, ὅτι ἑκάστῃ ἐνεργείᾳ συνῳκείωταί τις ἡδο-
νὴ καὶ ὅτι διαφέρουσιν ἀλλήλων ἐπίσης ταῖς ἐνεργείαις, δεύτερον δὲ ὅ καὶ
15 αὐτὸς Ἀριστοτέλης λέγει ἐκ τοῦ τὰς ἐπ' ἄλλαις ἐνεργείαις ἡδονὰς ἐμπο- 20
δίζειν τὰς ἐπ' ἄλλαις γινομένας. οἱ γὰρ φίλαυλοι, ὅταν ἀκούσωσιν αὐλοῦν-
τός τινος, οὐ προσέχουσι τῷ τότε εἰ τύχοι μυθολογοῦντι, ἀλλὰ καὶ μᾶλλον
φεύγουσι τὴν ἀπὸ τοῦ μυθολογοῦντος ἡδονὴν ὡς ἐμποδίζουσαν τῆς ἀπὸ τοῦ
αὐλεῖν ἡδονῆς, ὥσπερ δὴ καὶ ἔμπαλιν οἱ φιλόμυθοι ἀνθλοῦνται καὶ ἀηδῶς
20 διάκεινται πρὸς τὴν ἐκ τοῦ αὐλεῖν ἐγγινομένην ἡδονὴν τοῖς χαίρουσιν αὐτῇ.
εἰ οὖν ἡ γινομένη ἐπὶ τῷ αὐλεῖν ἡδονὴ ἐμποδίζει τὴν γινομένην ἐπὶ τῷ
διηγεῖσθαι μύθους καὶ αὕτη ἐκείνην, δῆλον ὅτι ἕτεραί εἰσι καὶ οὐχ ὁμοει-
δεῖς, ὥσπερ | καὶ ἡ αὔλησις καὶ ἡ τῶν μύθων διήγησις, ἐφ' αἷς αἱ 174r
ἡδοναί. ἀλλὰ καὶ ἐκ τοῦ φθαρτικὰς ἀλλήλων εἶναι πιστεύσειεν ἄν τις ὡς
25 οὐκ εἰσιν ὁμοειδεῖς. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων συμβαίνει, ὅταν
ἅμα περὶ δύο ἐνεργῇ· καὶ ὁ ἀκούων αὐλοῦντος καὶ μυθολογοῦντος περὶ
δύο ἐνεργεῖ. εἰ γὰρ νῦν δύο τινὲς ὄντες, ὁ μὲν αὐλῶν, ὁ δὲ μύθους διε-
ξιών, ἄλλος δέ τις τρίτος ἀκούων ἀμφοτέρων, οὗτος ὁ ἀκούων περὶ δύο 5
ἅμα ἐνεργεῖ. ἀλλὰ κἂν τις νῦν ὅτε ὁρᾷ τόδε τι καλὸν ὂν ἅμα καὶ κιθα-
30 ρίζοντος ἀκούῃ, περὶ δύο καὶ οὗτος (ἅμα) ἐνεργεῖ. καὶ ἐπὶ τούτου δὴ εἰ
μᾶλλόν ἐστι φιλόκαλος ἢ φιλόμουσος ἡ ἀπὸ τοῦ ὁρᾶν τὸ καλὸν ἐγγινομένη
ἡδονὴ ἐκκρούει καὶ ἀπωθεῖται τὴν ἐκ τῆς κιθαρίσεως ἡδονήν. ὥστε ἑτέρα
ἐστὶν ἡ ἐπὶ τῇ ὁράσει ἐγγινομένη χαρὰ τῆς ἐπὶ τῇ κιθαρῳδίᾳ χαρᾶς· κἂν
μὲν βραχύ τι διαφέρωσιν ἀλλήλων αἱ ἐνέργειαι, βραχὺ διαφέρουσι καὶ αἱ
35 ἀπ' αὐτῶν ἡδοναί, εἰ δὲ μακρῷ διαφέρουσιν, ἀνάλογον ἕξουσι τὴν διαφο- 10
ράν· καὶ αἱ ἡδοναί. ἐκκρούει οὖν ἡ μᾶλλον ἡδίων ἐνέργεια τὴν ἧττον
ἡδίων· οὕτως ὥστε ὅλως δῆλον εἶναι ἐπιθυμοῦντα ὁρᾶν τὸ καλὸν ἢ
τὸν φιλόκαλον κατακούειν τοῦ κιθαρῳδοῦντος. τοῦτο δὲ πάντως συμβαίνει

5 τῇ B: τοῦ a 10 αἱ ἐνέργειαι B: ἐνέργειαι a 18. 19 ἐμποδίζουσης τῆς—ἡδονῆς B: ἐμποδίζουσαν τὴν— ἡδονήν a 19 ἀνθλοῦνται] ἀνθλανται B: ἀνήδονται a
22 ἐκείνην B: ἐκείνη a 26 ἐνεργῇ B et Aristoteles: ἐνεργεῖν a 27 ἐνεργεῖ B: ἐνεργειῶν a 30 ἅμα a: om. B τούτου B: τούτῳ a 35 ἀπ' αὐτῶν B: ἐπ' αὐτὰς a

διὰ τὸ συνωκειῶσθαι ἑκάστῃ ἐνεργείᾳ ἡδονὴν καὶ εἶναι ἄλλην ἡδονὴν
ἐνεργείᾳ ἰδίαν καὶ ἑτέραν ἑτέρᾳ καὶ διαφέρειν κατὰ τὰς ἐφ' αἷς ἐ
ἐνεργείας. διὸ χαίροντες ὁτιοῦν σφόδρα οὐ πάνυ ὁρῶμεν ἕτ
τὸ ταῖς ἑτέραις τῷ εἶδει ἐνεργείαις οἰκείας ἕπεσθαι ἡδονὰς καὶ ἄλλη
ἄλλης ἐνεργείας ἰδίαν εἶναι, ὡς ἀνθρώπου μὲν τὸ γελαστικόν, ἵππ
χρεματιστικόν. ὅταν χαίρῃ τις τῷ γεωμετρεῖν, οὐδ' ὅλως ἕτερό
ἀλλὰ μόνης ἀντέχεται τῆς γεωμετρίας. ὀρεγόμενοι γὰρ τῆς τοιᾶσδ
ἐνεργείας οὐκ ἄλλης, τοιᾶσδε ἐνέργειαν αὐτῆς ἐκείνην, ἢ ἂν οἰηθῶμε
τὴν τοιαύτην ἡδονὴν ἐξ ἀνάγκης. ὥσπερ γὰρ τοῦδε μὲν τῷ σώμ
ἐστιν ὅδε ὁ χυμὸς καὶ ἥδε ἡ ὀσμή, ἄλλῳ δὲ ἄλλος χυμὸς καὶ ἄλ
οὕτω καὶ τῇδε μὲν τῇ ἐνεργείᾳ συνωκείωται ἥδε, τῇδε δὲ ἥδε
ὅταν οὖν, ὡς εἴρηται, χαίρῃ τις περί τι σφόδρα, ἄλλο τι ὁρᾶν οὐ
εἰ δὲ συμβαίη ποτὲ καὶ ἄλλο τι ὁρᾶν, ἀλλ' ἠμελημένως πάμπα
περὶ ἐκεῖνο. ὅτι δὲ ὅταν τις περί τι χαίρῃ σφόδρα ἕτερόν τι
βούλεται, δηλοῖ τὸ συμβαῖνον ἐν ταῖς ἱπποδρομίαις. οὐδεὶς γὰρ
τῶν ἀγωνιζομένων τῶν ἡνιόχων ἄλλο τι πράττει, ἀλλ' ἐκείνοις πο
ἔχουσι διὰ τὸ σφόδρα χαίρειν τοῖς τῶν ἵππων ὁρόμοις, καὶ ταῖς
ἡνιόχων ἐνεργείαις, ὅταν δὲ τοὺς ἑπτὰ ἀνύσωσι διαύλους καὶ
ἡσυχάζωσι, φαῦλοι δέ τινες ἀγωνίζονται, ὁποῖοί εἰσιν οἱ παλαί
τινες τοιοῦτοι, τότε οἱ μὲν πρὸς ἀλλήλους διαλέγονται, οἱ δὲ τραγ
σιν· οὐ γὰρ χαίρουσι τῷ τῶν παλαιόντων ἀγῶνι. τραγήματα δ
ταγηνῖται ἐρέβινθοι καί τινα ἕτερα τοιαῦτα. τότε οὖν, φησίν, αὐτ
ἥττοι τότε τραγηματίζουσιν, ὅταν ὠσὶν οἱ ἀγωνιζόμενοι φαῦλοι.

p. 1175ᵇ13 Ἐπεὶ δ' ἡ μὲν οἰκεία ἡδονὴ ἐξακριβοῖ τὰς ἐ
καὶ χρονιωτέρας καὶ βελτίους ποιεῖ.

Δῆλον διὰ τούτου ποτέρως· εἰ δηλοῖ τὸ ἑκάστῃ τῶν ἡδονῶ
τῶν οἰκείων ἐνεργειῶν τελειοῖ· ἔστι γὰρ τὸ τελειοῖ δηλωτικὸν
σεῖον, καὶ χρονιωτέρους καὶ βελτίους ποιεῖ. τὸ μὲν οὖν οἰκεῖ
βελτίους καὶ χρονιωτέρας ταύτας ποιοῦσι, δῆλον ὡς πολὺ διεστ
ἡδοναὶ ἀνάλογον ταῖς ἐφ' αἷς γίνονται ἐνεργείαις. καὶ εἰσιν ἃ
ὥσπερ καὶ αἱ ἐνέργειαι. εἰ γὰρ τὰ καλὰ ἕτερα τῷ εἴδει τῶν
δῆλον ὅτι καὶ αἱ καλαὶ ἐνέργειαι ἕτεραί εἰσι τῷ εἴδει, εἴ γε
ἀπὸ τῶν καλῶν ἐνεργειῶν ἡδοναὶ καθαραί τε καὶ ἄμικτοί εἰσι
μετανοίας, αἱ δὲ ἀπὸ τῶν αἰσχρῶν ἐνεργειῶν πλήρεις λύπης
νοίας καὶ μεταμελείας. ἐξακριβοῖ οὖν καὶ συναύξει ἡ οἰκεία
οἰκείαν ἐνέργειαν, οἷον ἡ ἐπὶ τῷ γεωμετρεῖν τὴν κατὰ τὸ γεωμε
γειαν καὶ αἱ ἄλλαι ὁμοίως, αἱ δ' ἀλλότραι λυμαίνονται ὡς λυπ
γὰρ ἐπὶ τῷ γεωμετρεῖν ἡδονὴ ἀλλοτρία οὖσα τῇ κιθαρίσει φ

3 ἕτερα Ba: ἑτερον Aristot. 9 ἰδιὸς B: ἴδιστός a 15 δηλοῖ B: δῆλον
ὁρόμους B: τῆς—ὁρομῆς a 22 ταγῆνται scripsi: ταγηνιταὶ Ba φησιν Vat.
25 thesis usque ad οὐχ ὁμοίως (p. 1175ᵇ24) a 30 γίνονται ἐνεργείαις a: γί

κιθάρισιν. ὁ γὰρ χαίρων τῇ γεωμετρίᾳ τῆς ἐπὶ τῇ ἀναγκαίᾳ ἡδονῇ μᾶλλον 171
ταράττεται. σχεδὸν γὰρ αἱ ἀλλότριαι ἡδοναὶ ποιοῦσιν ὅπερ αἱ οἰκεῖαι λῦπαι. τὸ σχεδὸν πρόσκειται, ὅτι αἱ οἰκεῖαι λῦπαι ἀεὶ καὶ πάντως εἰσὶ τῶν ἐνεργειῶν φθαρτικαί, αἱ δ' ἡδοναὶ οὐκ ἀεί. οἰκεία δὲ λύπη ἐστὶν ἡ ἐναντία τῇ οἰκείᾳ ἡδονῇ, οἷον εἰ ἔστι τινὶ τὸ γράφειν ἢ κιθαρίζειν ἡδύ, τὸ μὴ γράφειν ἢ μὴ κιθαρίζειν τῷ τοιούτῳ λυπηρόν ἐστιν· εἰ δ' ἔμπαλιν τὸ μὴ γράφειν ἢ μὴ κιθαρίζειν ἡδύ, τὸ γράφειν καὶ κιθαρίζειν λυπηρόν. τῷ οὖν χαίροντι τῷ μὴ γράφειν οἰκεία λύπη τὸ γράφειν, ἥτις λύπη καὶ φθείρει τὴν ἐνέργειαν, ἤτοι τὸ γράφειν. εἰ οὖν ὃ ποιοῦσιν αἱ οἰκεῖαι λῦπαι, τοῦτο ποιοῦσι καὶ αἱ ἀλλότριαι ἡδοναί, αἱ δὲ οἰκεῖαι λῦπαι ἕτεραί εἰσι τῶν οἰκείων ἡδονῶν, καὶ αἱ ἀλλότριαι ἄρα ἡδοναὶ ἕτεραί εἰσι τῶν οἰκείων ἡδονῶν, ὥστε καὶ ἀνομοειδεῖς. συμβαίνει δὲ περὶ τὰς ἐνεργείας τὸ ἐναντίον τῶν οἰκείων ἡδονῶν τε καὶ λυπῶν. εἰ τὸ φθείρεσθαι ἐναντίον τῷ αὔξεσθαι καὶ τῷ φθείρειν τὸ αὔξειν, τὸ ἐναντίον περὶ τὰς | ἐνεργείας ποιοῦσιν αἱ οἰκεῖαι ἡδοναὶ καὶ αἱ οἰκεῖαι λῦπαι. αἱ 174v
μὲν γὰρ οἰκεῖαι ἡδοναὶ αὔξουσιν αὐτὰς καὶ χρονιωτέρας ποιοῦσιν, αἱ δὲ οἰκεῖαι λῦπαι φθείρουσι καὶ ἀφανίζουσι. ῥητέον δὲ καθόλου περὶ ἡδονῶν, ὅτι αἱ μέν εἰσιν αὐτῶν κατὰ φύσιν τοῖς ἡδομένοις αὐτάς, αἱ δὲ παρὰ φύσιν. καὶ κατὰ φύσιν μέν εἰσιν αἷς ἥδονται ἐνεργοῦντες τὰς κατὰ φύσιν ἐνεργείας. παρὰ φύσιν δὲ ὧν καὶ αἱ ἐνέργειαι παρὰ φύσιν. ἑκάστῳ γὰρ τῶν ζῴων εἰσί τινες οἰκεῖαι καὶ κατὰ φύσιν αὐτῶν ἐνέργειαι. καὶ γὰρ καὶ ἀνθρώπου εἰσὶν ἐνέργειαί τινες γινόμεναι κατὰ τὴν τοῦ ἀνθρώπου φύσιν καὶ ἵππου καὶ κυνὸς κατὰ τὴν ἵππου καὶ κυνὸς φύσιν· ὧν καὶ τὰς ἡδονὰς καὶ αὐτὰς χρὴ λέγειν κατὰ φύσιν ἐκείνοις. ἡ γὰρ ἑπομένη ἡδονὴ τῇ κατὰ φύσιν τοῦ ἀνθρώπου ἐνεργείᾳ κατὰ φύσιν ἐστὶ τῷ ἀνθρώπῳ· ὧν ἡδονῶν τὰς μὲν κατὰ φύσιν ἑκάστοις καὶ ἡδονὰς λέγειν χρή, τὰς δὲ ἐπὶ ταῖς ὑπό τινων οὐ κατὰ τὴν οἰκείαν φύσιν αὐτῶν γινομένας ἐνεργείαις παρὰ φύσιν ἡδονὰς ῥητέον.

p. 1175b24 Διαφέρουσῶν δὲ τῶν ἐνεργειῶν ἐπιεικεῖαι καὶ φαῦλαι ἐστίν.

Εἴρηται πολλάκις καὶ δέδεικται, ὅτι αἱ ἡδοναὶ συνωκείωνται ταῖς ἐφ' αἷς γίνονται ἐνεργείαις. καὶ διὰ τοῦτο καὶ συνδιαιροῦνται ταύταις. διαφέρουσι δὲ κατ' εἶδος αἱ ἐνέργειαι. ὥστε καὶ αἱ ἡδοναὶ διαφέρουσι τῷ εἴδει, καὶ εἰσὶν ἀνομοειδεῖς. εἰ γὰρ τῶν σπουδαίων ἐνεργειῶν αἱ ἡδοναὶ σπουδαῖαι καὶ τῶν φαύλων φαῦλαι, τὰ δὲ σπουδαῖα καὶ φαῦλα ἐναντία, τίς μηχανὴ τὰ ἐναντία λέγειν ὁμοειδῆ; διαφέρουσιν ἄρα τῷ εἴδει αἱ σπουδαῖαι καὶ φαῦλαι ἡδοναί. εἰσὶ δὲ ἐπιεικεῖς καὶ αἱρεταὶ ἐνέργειαι αἱ ἀπὸ τῶν ἀρετῶν καὶ ἐπιστημῶν, φαῦλαι δὲ αἱ ἀπὸ τῶν κακιῶν, οἷαι αἱ τῶν ἀκολάστων καὶ τυμβωρύχων καὶ ἱεροσύλων. οὐδέτεραι δὲ αἱ ἀναγκαῖαι, οἷαι αἱ διὰ

12 δὲ Ba et Arist. cod. Mb: δὴ Arist. vulg. 13 τῶν Ba: ἀπὸ τῶν Aristoteles
18 αὐτὰς B: αὐταῖς a 22 ἵππου B: τοῦ ἵππου a 29 rhesis usque ad αἱρεταί (p. 1175b29) a 35 post ὁμοειδῆ add. οὐδεμία ai: om. B

παιδοποιΐαν ὁμιλίαι καὶ αἱ ὅμοιαι. ὅτι δὲ οὐκ εἰσὶ πᾶσαι αἱ ἡδοναὶ
ὁμοῖαι, δείκνυσι καὶ ἀπὸ τῆς ἐπιθυμίας. εἰ γὰρ ἐστιν ἡ ἐπιθυμία
ἡδονῆς, εἰσὶ δὲ τῶν ἐπιθυμιῶν ὁμολογουμένως αἱ μὲν αἱρεταὶ αἱ δὲ
δῆλον ὅτι καὶ τὰ ἡδέα ὧν εἰσιν αἱ ἐπιθυμίαι, ὡσαύτως ἔχουσι
θυμίαις καὶ ἔσονται τῶν ἡδέων τὰ μὲν αἱρετὰ τὰ δὲ φευκτά. ὥσ
ἀπ' αὐτῶν ἡδοναὶ ἔσονται κατὰ ταῦτα τὰ ἡδέα αἱ μὲν αἱρετ
φευκταὶ καὶ φαῦλαι· ἀνομοειδεῖς ἄρα. ὅτι καὶ τὸ αἱρετὸν καὶ
ἀνομοειδὲς ὑπάρχει.

p. 1175b30 Οἰκειότεραι δὲ ταῖς ἐνεργείαις αἱ ἐν αὐταῖς
τῶν ὑρέξεων.

Δείξας ὅτι οὐ πᾶσα ἡδονὴ πάσῃ ἡδονῇ ὁμοειδής ἐστιν, ἀλ
μέν εἰσιν ὁμοειδεῖς τινες δὲ ἀνομοειδεῖς, δείκνυσιν, ὅτι οὐδὲ ταὐ
ἡ ἡδονὴ τῇ ἐπιθυμίᾳ ἀλλ' ἕτερον. ἔστι δὲ ὁ λόγος δι' οὗ δείκν
οὕτως· ἡ ἐπιθυμία πρότερα τῆς ἐνεργείας, ἡ ἡδονὴ οὐκ ἔστι πρ
ἐνεργείας· ἡ ἡδονὴ ἄρα οὐκ ἔστιν ἐπιθυμία. καὶ ὅτι μὲν ἡ ἐπιθυ
τέρα ἐστὶ τῷ χρόνῳ τῆς ἐνεργείας, δῆλον. πρότερον γὰρ ἐπιθ
καὶ οὕτως ἔσται ἐπὶ τὸ ἐπιθυμητόν. ὅτι δὲ καὶ ἡ ἡδονὴ ἅμα τε
οὐκ ἔστι τῇ ἐνεργείᾳ ἐφ' ᾗ γίνεται, εἴρηται μυριάκις καὶ δέδει
οὖν ἡ ἐπιθυμία πρότερα τῆς ἐνεργείας, ἡ δὲ ἡδονὴ ἅμα τῇ ἐνε
ἅμα συνὸν οἰκειότερόν ἐστι τοῦ προηγουμένου καὶ μὴ συνόντος.
πλέον ἀφέστηκε τὸ ἐφιέμενον καὶ ἐπιθυμοῦν τινος καὶ μηδέπω ἔ
τοῦ ἔχοντος καὶ συνόντος αὐτῷ, τοσούτῳ καὶ ἡ ἐπιθυμία ἀφέσ
ἐνεργείας, παρὸ ἡ ἡδονή. ἡ μὲν γὰρ ἐπιθυμία ἔφεσίς ἐστιν ἡδο
γὰρ τὴν ἡδονὴν ζητοῦμεν τὰ ἡδέα. ἡ δὲ ἡδονὴ σύνεστι τῇ ἐνερ
ἔχει ἡ μὲν ἡδονὴ τὴν ἐνέργειαν (σύνεστι γὰρ αὐτῇ), ἡ δ' ἐπιθ
ἔχει. οἰκειοτέρα ἄρα τῇ ἐνεργείᾳ ἡ ἡδονὴ ἧπερ ἡ ἔφεσις καὶ
οἰκειοτέρα, ὡς καὶ ἀμφισβητεῖν, εἰ ταὐτόν ἐστιν ἡδονὴ καὶ ἐνέργει
ρον· ἐπὶ δὲ τῆς ἐπιθυμίας καὶ ἐνεργείας μηδένα ἀμφισβητῆσαι, π
αὐταί εἰσιν ἢ ἕτεραι. εἰ δὴ ἡ μὲν οἰκειοτάτη ἐστί, τῇ ἐνεργείᾳ
οἰκεία. ἕτεραί εἰσι καὶ οὐχὶ αἱ αὐταί. οὐ μὴν ἔοικεν ἡ ἡδονὴ
διάνοιαν τὴν τῆς διανοίας λέγει ἐνέργειαν, οἷον τὴν διανόησιν. ὃ
τοιοῦτόν ἐστιν· εἰ καὶ δοκεῖ ἡ ἡδονὴ ταὐτὸν τῇ διανοήσει διὰ τ
κείωσιν, οὐ χρὴ καὶ ὡς ἀληθὲς τὸ τοιοῦτον ἀποδέχεσθαι. ἕτερα
καὶ ἡ διανόησις καὶ ἡ κατ' ἐνέργειαν αἴσθησις τῶν ἐπ' αὐταῖς
ἡδονῶν. εἰ γὰρ ἦν ἡ ἐνέργεια ταὐτὸν τῇ ἡδονῇ, οὐδεμία ἂν ἦν
ἀνήδονος, ἀλλὰ πᾶσαι ἂν ἦσαν σὺν ἡδονῇ. νῦν δ' εἰσὶ πολλαὶ κ
ἡδονῆς. τῶν τε γὰρ ἀθλητῶν αἱ ἐνέργειαι ἀνήδονοι μᾶλλον δὲ
πης, τῶν τε μανθανόντων γράμματα καὶ μήπω κατωρθωκότων,

10 rhesis usque ad καὶ αἱ ἡδοναί (p. 1175b36) a 18 γίνεται a: γίνονται B
τὸν a 30 ἔοικεν Ba: ἔοικέ γε Aristoteles 32 τὴν B: τὴν α
τοιοῦτον B: τοῦτον a

πρὸς ἀρετὴν βαδιζόντων καὶ μήπω κατειληφότων, ὥστε ὄῆλον ὅτι οὐκ ἔστιν 174r
ἡ ἡδονὴ καὶ ἡ ἐνέργεια ταὐτόν. ὡς γὰρ ὁ χρόνος καὶ ἡ κίνησις οὐ ταὐ-
τόν, καίτοι μὴ δυναμένου τοῦ χρόνου χωρὶς εἶναι κινήσεως, οὕτως οὐδὲ
ἡδονὴ καὶ ἐνέργεια ταὐτὸν κἂν ἐξ ἀνάγκης ἅμα ὦσι. καὶ ἐπεὶ συνέπονται
ταῖς ἐνεργείαις αἱ ἡδοναί, ὡς ἂν ἔχωσιν αἱ ἐνέργειαι κατά τε τὸ εὖ καὶ
τὸ ἐναντίον, οὕτως ἕξουσι καὶ αἱ ἐπ' αὐταῖς ἡδοναί.

p. 1175b36 Διαφέρει δὲ ὄψις μὲν ἁφῆς καθαριότητι. 175r

Ἡ μὲν ὄψις τῶν εἰδῶν ἐστιν αὐτῶν ἀντιληπτικὴ δίχα τῆς ὕλης, ὡς
ἐν τῷ δευτέρῳ τῆς Περὶ ψυχῆς πραγματείας δέδεικται. ὥσπερ γὰρ ὁ
κηρὸς τὴν σφραγῖδα μόνην τὴν ἐν τῷ χρυσίνῳ δακτυλίῳ ἀπομάττεται
χωρὶς τῆς ὑποκειμένης ὕλης (χρυσὸς γὰρ ἂν ἐγίνετο ὁ κηρός, εἰ σὺν τῷ
ὑποκειμένῳ ὡς ὕλῃ τῷ χρυσῷ τὴν σφραγῖδα ἐδέχετο), οὕτω καὶ ἡ ὄψις
τῶν εἰδῶν ἐστιν ἀντιληπτικὴ χωρὶς τῆς ὑποκειμένης αὐτοῖς ὕλης. ἡ δὲ
ἀκοὴ καὶ ἡ ὄσφρησις σωματοειδεῖς οὖσαι καὶ παθητικώτεραι μεθ' ὕλης
εἰσδέχονται τὸ αἰσθητόν. μετὰ γὰρ τοῦ πάσης καὶ τοῦ ἀέρος, οὗ πάθος
εἰσὶν ὁ ψόφος καὶ ἡ ὀσμή, ἀντιλαμβάνονται τῶν οἰκείων αἰσθητῶν, ἧττον
τοῦ ψόφου καὶ τῆς ὀσμῆς. καθαρωτέρα ἄρα ἡ ὄψις, ὡς ἄϋλων ἀντιλη-
πτική, ἀκοῆς καὶ ὀσφρήσεως τῶν μεθ' ὕλης εἰσδεχομένων τὰ οἰκεῖα αἰ-
σθητά. αὗται δὲ πάλιν καθαρώτεραι γεύσεως ὅσον τὸ ὑποκείμενον τῷ
ψόφῳ καὶ τῇ ὀσμῇ ὁ ἀὴρ λεπτομερέστερός ἐστι τοῦ ὑδατώδους ὑγροῦ, ἐν
ᾧ ἐστιν ὡς ὕλῃ ὁ χυμός· τῆς δὲ ἁφῆς διαφέρουσιν αἱ τέσσαρες αὗται
αἰσθήσεις πάνυ τῇ καθαριότητι. τῆς μὲν ἐν ὅλῳ τῷ σώματι ἁφῆς, ὅτι τὰ
αἰσθητὰ αὐτῆς ὑποκείμενον ἔχει τὰ τέσσαρα στοιχεῖα πῦρ γῆν ὕδωρ ἀέρα,
ὥστε ὑλωδέστερα. οἷς δ' ἐπικρατεῖ τὸ τῆς ὕλης, ἧττον ἐκεῖνα καθαρὰ καὶ
ἧττον τίμια τῶν ἀϋλοτέρων. τῆς δὲ ἁφῆς τῆς ἐν ταῖς συνουσίαις ὅσον διαφέρουσι τῇ καθαριότητι, τίς ἀγνοεῖ; τὸ γὰρ τὴν ζωώδη καὶ γενεσιουργὸν
ἀποπληροῦν χρείαν πῶς ἂν ἐπίσης εἴη καθαρὸν ὁράσει καὶ ἀκοῇ καὶ ταῖς
λοιπαῖς δύο, αἷς τὰς διαφορὰς καὶ κοινωνίας τῶν αἰσθητῶν ἔγνωμεν. ῥόμ-
βους τε ἀστέρων διὰ τῆς ὄψεως προπολισμούς τε καὶ ἀναπολισμοὺς καὶ
στηριγμοὺς καὶ φάσεις καὶ κρύψεις ἀντελαβόμεθα. ἐπεὶ οὖν διαφέρουσιν
αὗται αἱ αἰσθήσεις καὶ αἱ ἀπ' αὐτῶν ἐνέργειαι τῇ καθαριότητι καὶ τῷ τι-
μίῳ, διαφέροιεν ἂν ὡσαύτως καὶ αἱ ἐπ' αὐταῖς ἡδοναί. πάλιν ἐπεὶ αἱ
τοῦ νοῦ καὶ τῆς ὄψεως ἐνέργειαι ὅσῳ μᾶλλον τῶν ἀπὸ τῶν αἰσθήσεων
ἐνεργειῶν, ἔσονται καὶ αἱ ἐπ' αὐταῖς ἡδοναὶ τιμιώτεραι καὶ καθαριώτεραι,
ὅσον νοῦς αἰσθήσεως τιμιώτερος καὶ σεμνότερος. ἃ οὖν λέγει δὴ
τούτων, ταῦτά ἐστι. τὸ δὲ καὶ ἑκάτεραι ἀλλήλων περὶ τῶν ἡδονῶν

7 ὄψις μὲν B: ἡ ὄψις a et Aristoteles (p. 1176a3) a 8 αὐτῶν B: om. a 9 Περὶ ψυχῆς] B 7 10 χρυσίνῳ B: χρυσῷ a 13 εἰδῶν B: ἡδονῶν a 31 καθαριώτεραι a: καθαρειότεραι B

rhesis usque ad ἑκάτεραι ἀλλήλων αὐταῖς B: αὗται a

ἐπε τοῦ νοῦ καὶ τῆς διανοίας. ἐπεὶ γὰρ διττὸς ὁ νοῦς, ὅ τε θεωρητικὸς 175r
καὶ ὁ πρακτικός, καὶ αἱ τούτων ἡδοναὶ διαφέρουσι. καὶ ἔστιν, ὅσον θεωρία 25
πράξεως ὑψηλοτέρα, τοσοῦτον καὶ ἡδονὴ τῆς ἡδονῆς. ταῦτα δὲ προανα-
φωνεῖ ὠδίνων ἤδη τὸν περὶ τῆς νοερᾶς ζωῆς καὶ τῆς τοιαύτης εὐδαιμο-
νίας λόγον.

p. 1176a3 Δοκεῖ δ' ἑκάστῳ ζῴῳ εἶναι καὶ ἡδονὴ οἰκεία ὥσπερ ἔργον.

Εἴρηταί μοι μικρῷ πρόσθεν, ὅτι τῶν ἡδονῶν αἱ μὲν εἰσι κατὰ φύσιν
τοῖς ἡδομένοις αὐτάς, αἱ δὲ παρὰ φύσιν· καὶ κατὰ φύσιν τὰς γινομένας 10
ἐπὶ ταῖς κατὰ φύσιν αὐτῶν ἐνεργείαις, παρὰ φύσιν δὲ τὰς ἐπὶ ταῖς παρὰ
φύσιν· εἰσὶ γὰρ ἑκάστῳ τῶν ζῴων κατὰ φύσιν οἰκεῖαι ἐνέργειαι, ὧν ἐνερ-
γειῶν καὶ αἱ ἡδοναὶ κατὰ φύσιν εἰσίν, αἳ καὶ ἀγαθαί εἰσι καὶ ἀληθῶς
ἡδεῖαι ὑπάρχουσιν. εἰ οὖν ταῦτα ἀληθῆ, ὥσπερ δὴ καὶ εἰσί, μάλιστα δὲ
ἔχων ἐστὶν ὁ ἄνθρωπος (τοιοῦτος δ' ἐστὶν ὁ ἀγαθός), εἶεν ἂν κατὰ φύσιν
ἀνθρώπῳ ἡδοναὶ αἱ μάλιστα τῷ ἀγαθῷ φαινόμεναι καὶ δοκοῦσαι. ἀλλὰ
καὶ τῶν κατὰ φύσιν ἀνθρώπῳ ἡδονῶν ἔστι τις διαφορὰ τῷ τὰς μὲν αὐτῶν 15
μᾶλλον οἰκείας αὐτοῖς εἶναι, τὰς δὲ ἧττον οἰκείας. αἱ μὲν γὰρ ἐπὶ ταῖς
κατ' ἀρετὴν ἐνεργείαις γινόμεναι ἡδοναὶ πάντα καὶ μάλιστα οἰκειότατα
ἀνθρώπῳ, αἱ δ' ἐπὶ ἁμιλίᾳ ἀνδρῶν πρὸς γυναῖκας ἧττον οἰκεῖαι, πλὴν
καὶ αὗται κατὰ φύσιν. ἀλλ' οὐ παρὰ φύσιν. καὶ ἡ μὲν τῶν προκειμένων
διάνοια αὕτη, τὸ δὲ λεγόμενον ὑπὸ τῆς λέξεως Ἡρακλείτου τοῦ Ἐφεσίου
καὶ ἐμοῦ πολίτου τὸ 'ὄνους σύρμασ' ἂν ἑλέσθαι ⟨μᾶλλον⟩ ἢ χρυσόν.'
σύρματα τὸν χόρτον Ἡράκλειτος λέγει, ὃς κατὰ φύσιν ἡδύς ἐστι τῷ ὄνῳ. 50
αἱ μὲν τῶν ἑτέρων τῷ εἴδει διαφέρουσιν εἴδει. ἕτερα τῷ εἴδει
ἄνθρωπος ἵππος βοῦς κύων. τούτων τῶν ἑτέρων τῷ εἴδει διαφέρουσιν.
ὡς εἴρηται, καὶ αἱ κατὰ φύσιν ἐνέργειαι τῷ εἴδει καὶ αἱ ἐπ' αὐταῖς γινό-
μεναι ἡδοναί. τὰς δὲ τῶν αὐτῶν τῷ εἴδει ἐπὶ τῶν ἀλόγων ζῴων εὔλο-
γον εἶναι τὰς αὐτὰς τῷ εἴδει. πᾶσι γὰρ τοῖς ἵπποις, τοῖς αὐτοῖς οὖσι
τῷ εἴδει, τὰ αὐτά ἐστιν ἡδέα, οἷον χόρτος καὶ κριθή, καὶ τοῖς κυσὶν
πᾶσιν ὁμοειδέσιν οὖσι ὀστέα καὶ κρέα, τοῖς δὲ βουσὶ πᾶσιν ὄρβαι. ἐπὶ 175v
μὲν οὖν τῶν ἀλόγων ζῴων, ὡς εἴρηται, ἀληθὲς τὸ εἰρημένον, ὅτι τὴν
φύσιν ἔχουσι μόνην αὐτὰ ποδηγετοῦσαν. ἀλλὰ καὶ ἐπὶ τῶν ἀνθρώπων
τῶν σπουδαίων· πᾶσι γὰρ τοῖς κατ' ἀρετὴν νοερῶς ζῶσι τὰ αὐτὰ ἐστιν
ἡδέα, τοῖς δὲ μοχθηροῖς ἄλλοις ἄλλα. ἀλλὰ κάνπερ τοῦθ' οὕτως ἔχῃ, οὐ
χρὴ πάντα ἡδέα λέγειν οὐδὲ πάντα ἀγαθὰ ἢ καλά, ἀλλὰ τὰ δοκοῦντα

2 ἑ B: om. a 6 εἶναι post ζῴῳ B: post δ' ponit a et Aristoteles 7 ἔργον B: καὶ ἔργον a et Aristoteles rhesis usque ad οὕτω διακειμένοις (p. 1176a22) a 13 ἡδεῖαι B: ἡδοναὶ a 17 αὐτοῖς B: αὐτῷ a 21 Ἐφεσίου] ἐφεσίου Ba: ἐφεσείου Vat. 320 μᾶλλον ar: om. B 23 Heraclit. fr. 51 Byw. 24 αἱ μὲν B et Arist. cod. a: αἱ μὲν οὖν a et Arist. vulg. 29 κριθή] κρίθαι Ba 32 οὖσι πᾶσιν ὁμοειδέσιν a 1 ἔχῃ B: ἔχει a

ταιαῦτα τῷ σπουδαίῳ. καὶ ἐπεὶ καλῶς λέγεται, ὅτι ἀγαθόν ἐστι τὸ δο- 175v
κοῦν σπουδαίῳ, καὶ ἔστιν ἑκάστου μέτρον ἡ ἀρετή, ἤτοι ὁ ἐνάρετος καὶ 6
σπουδαῖος καὶ ἀγαθὸς ἢ ἀγαθός (ὁ γὰρ ἂν ὁ ἀγαθὸς μετρήσῃ, ἤτοι
ὁρίσῃ καὶ κρίνῃ καὶ φῇ ἀγαθὸν ⟨ἐκεῖνο ἀληθῶς ἐστιν ἀγαθόν⟩) δηλονότι
καὶ ἡδοναὶ εἶεν ἂν καὶ λέγοιντο αἱ τῷ ἀγαθῷ καὶ σπουδαίῳ δοκοῦσαι ἡδο-
ναὶ εἶναι καὶ ἀληθῶς ἡδέα, οἷς οὕτος χαίρει καὶ γέγηθεν. εἰ δέ τισι τὰ
τῷ ἀγαθῷ δοκοῦντα δυσχερῆ φαίνεται ἡδέα, μὴ θαυμαζέτω τις. νοσοῦσι
γὰρ τὸν ἀληθινὸν ἄνθρωπον, τὸν νοῦν, τὸν δυνάμενον διακρίνειν ἀπὸ τῶν
φαινομένων καὶ ψευδῶν τὰ ὄντα καὶ ἀληθῆ. τὰ οὖν δυσχερῆ τῷ σπουδαίῳ 10
μὲν ἡδέα οὐκ εἰσι, φαίνονται δὲ ἡδέα τοῖς οὕτω διακειμένοις, τουτέστι
τοῖς διεφθαρμένοις καὶ μοχθηρῶς διακειμένοις. ταῦτα εἰπὼν ἐπιφέρει
τὰς μὲν ὁμολογουμένας αἰσχρὰς ἡδονὰς οὐ φατέον ἡδονάς, ὀρθῶς
ῥητέον ὅτι ἁπλῶς μὲν καὶ κυρίως οὐκ εἰσιν ἡδοναί, δοκοῦσι δὲ ἡδοναὶ
τοῖς φαύλως ἔχουσι. τῶν δ' ἐπιτεικῶν εἶναι δοκουσῶν, ποίαν ἢ
τίνα φατέον εἶναι τοῦ ἀνθρώπους πολλῶν οὐσῶν τῶν ἐπιεικῶν ἡδο- 20
νῶν. ποίαν εἶναι χρὴ λέγειν ἀπὸ τούτων τὴν τοῦ ἀνθρώπου ἡδονήν; καὶ
ἐρωτήσας ἀποκρίνεται λέγων ἐκ τῶν ἐνεργειῶν δῆλον. ἐπεὶ γὰρ ἐπὶ
ταῖς ἐνεργείαις γίνονται, οἷα ἂν εἴη ἡ τοῦ ἀνθρώπου ὡς ἀνθρώπου ἐνέρ-
γεια, εἴτε μία ἐστὶν αὕτη ἡ ἐνέργεια εἴτε πλείους, ἡ ἑπομένη ἡδονὴ τῇ
ἐνεργείᾳ ἐκείνῃ ἢ αἱ ἑπόμεναι ταῖς ἐνεργείαις, ἐκείνη ἔσται ἢ ἔσονται
τοῦ ἀνθρώπου ἡδονὴ ἢ ἡδοναί. καὶ τοῦτο εἰπὼν ἐπὶ τὸν περὶ εὐδαιμο-
νίας ἴεται λόγον. αὕτη γάρ ἐστιν ἡ τοῦ ἀνθρώπου ἐνέργεια, ἣν ζητοῦμεν. 25
ἐπεὶ δὲ ἡ εὐδαιμονία διττή, ἡ τε ἀπονέμουσιν αἱ ἡδοναὶ περὶ ἃς ἐστιν
ἐν τῷ πρώτῳ βιβλίῳ, καὶ ἡ νοερὰ ζωή, περὶ ἧς ἐρεῖ, διττὴ ἂν εἴη καὶ
ἡ τοῦ ἀνθρώπου ἐνέργεια. ὥστε καὶ ἡ ἡδονή.

p. 1176a30 Εἰρημένων δὴ τῶν περὶ τὰς ἀρετάς τε καὶ φιλίας
καὶ ἡδονάς, λοιπὸν περὶ εὐδαιμονίας τύπῳ διελθεῖν.

Τὸ τύπῳ ἴσον ἐστὶν τῷ οὐ γεωμετρικῶς οὐδ' ἐξ ἀναγκαίων, ἀλλὰ 31
τῶν ὡς ἐπὶ τὸ πολὺ λεγομένων καὶ τῶν δοκούντων ἢ πᾶσιν ἢ τοῖς πλεί-
στοις ἢ τοῖς σοφοῖς. εἴρηκε δὲ περὶ ἀρετῶν, καίτοι περὶ εὐδαιμονίας οὔσης
αὐτῷ τῆς προθέσεως εἰπεῖν, καὶ περὶ φιλίας καὶ ἡδονῆς· περὶ ἀρετῶν μέν,
ὅτι ἡ μὲν πρακτικὴ καὶ πολιτικὴ λεγομένη εὐδαιμονία τέλος ἐστὶ τῶν πρα-
κτικῶν καὶ ἠθικῶν ἀρετῶν, ἡ δὲ θεωρητικὴ εὐδαιμονία τέλος ἐστὶ πα- 35
σῶν τῶν πρακτικῶν καὶ θεωρητικῶν ἀρετῶν. διττὸν γὰρ τὸν ἄνθρωπον
οὗτος ὁ φιλόσοφος δοξάζων, τὸν μὲν ἐκ ψυχῆς καὶ σώματος, τὸν δὲ νοῦν

1. 2 τὸ δοκοῦν a: τῷ δοκοῦν B 4 ἐκεῖνο — ἀγαθόν Vat. 320: om. Ba 11 post ἐπιφέρει inserit rhesin τὰς μὲν οὖν — αἱ ἐνέργειαι (p. 1176a22—29) a 12 ὁμολογουμένας Ba et Arist. cod. M^b: ὁμολογουμένως Arist. vulg. 14 δοκουσῶν B: δοκοῦσιν a 15 τοῦ ἀνθρώπου εἶναι Aristoteles 17 ἐκ B: ἢ ἐκ a et Aristoteles 26 δὴ B: δὲ a et Aristoteles 27 rhesis usque ad ὁ λόγος (p. 1176a33) a 28 ἀναγκαίων B: ἀνάγκης a 32. 33 et 34 πρακτικῶν B: πρακτῶν a

(ὀνομάζει δὲ νοῦν τὴν λογικὴν ζωήν, ἤτοι αὐτὸ τὸ λογικὸν τῆς ψυχῆς 175r
μέρος, ὃν δὴ νοῦν καὶ ὄντως καὶ πρώτως καὶ μάλιστα ἄνθρωπον τίθεται),
διττὴν καὶ τὴν εὐδαιμονίαν εὑρίσκει, τὴν μὲν νοερὰν καὶ τελείαν, ἣν καλεῖ
θεωρητικήν, τὴν δὲ μετὰ τῶν ἐκτὸς ὑφισταμένην. ἐκτὸς δὲ λέγουσι τήν
τε τοῦ σώματος ὑγίειαν, τὴν τῆς ὕλης χορηγίαν, τὴν εὐγένειαν καὶ τὴν 40
εὐτεκνίαν. καὶ εἰκότως τοῦτο λέγει καὶ σύμφωνον ἑαυτῷ· τῷ γὰρ τὸν
ἄνθρωπον ἐκ ψυχῆς καὶ σώματος ὑφιστάναι σύνοχὴν καὶ τὴν τοῦ σώμα-
τος ἕξιν εἰς τὴν τῆς ἀνθρωπικῆς εὐδαιμονίας συμπλήρωσιν παραγράφειν,
οὐ γὰρ δήπου πατέρου τῶν τοῦ ὅλου μορίων κακῶς ἐχόντος εὐδαίμων
ἔσται ποτὲ τὸ ὅλον. διότι μὲν οὖν τέλος ἐστὶ τὸ διττὸν τοῦτο τῆς εὐδαι-
μονίας τῶν ἀρετῶν, διὰ τοῦτο τὰ περὶ τῶν ἀρετῶν διῃλθεν ἀμφοτέρων,
τῶν τε πρακτικῶν καὶ τῶν λογικῶν. περὶ φιλίας δὲ εἶπεν, ὅτι ταύτης τὸ
μέν ἐστι τοῦ ἐπιθυμητικοῦ μέρους τῆς ψυχῆς, καθ' ἣν φυσικῶς οἱ συ- 45
γενεῖς ἀλλήλους φιλοῦσι καὶ τοὺς παῖδας οἱ πατέρες. τὸ δὲ τοῦ θυμοει-
δοῦς, καθ' ἣν οἱ συστρατευόμενοι καὶ συμπολεμοῦντες συμπένουσι καὶ
οὗτοι φυσικῶς ἀλλήλοις, τὸ δὲ τοῦ λογιστικοῦ, ἥτις παρὰ τοῖς σπουδαίοις
μάλιστα θεωρεῖται δι' εὐζωΐας κοινῆς καὶ θεωρίας συνάπτουσα τὰς τῶν
φίλων ψυχάς. περὶ δὲ ἡδονῆς πάλιν εἴρηκεν, ὅτι μικτόν ἐστι τὸ τέλος
ἡμῶν, ὃ ἐστιν ἡ εὐδαιμονία, ἔκ τε νοερᾶς ζωῆς καὶ ἡδονῆς. οὔτε γὰρ ἡ
νοερὰ ζωὴ δέχα ἡδονῆς πρὸς εὐδαιμονίαν ἀρκεῖ (οὐ γὰρ ἕξει τὸ ἐφετὸν 50
ἀνήδονος οὖσα) οὔτ' αὖ ἡ ἡδονὴ χωρὶς τῆς τοιαύτης ζωῆς συμπληροῦν
καὶ ἀπαρτίζειν δύναται τὴν εὐδαιμονίαν. οὐ γὰρ ἕξει τὸ ἱκανὸν καὶ αὔταρ-
κες, ἄνους οὖσα καὶ πάσης ἐστερημένη γνωστικῆς ἐνεργείας. εἰπόντες
οὖν, φησί, περὶ ἀρετῆς καὶ φιλίας καὶ ἡδονῆς, ἐν οἷς τὸ εὐδαιμονεῖν, ῥητέον
καὶ περὶ εὐδαιμονίας τῆς ἐν θεωρίᾳ. τούτου γὰρ δεῖ προσυπακούειν· μέλ-
λων δὲ περὶ ταύτης λέγειν ἀναμιμνήσκει ἡμᾶς τῶν περὶ πολιτικῆς εὐδαι-
μονίας ῥηθέντων αὐτῷ ἐν τῷ πρώτῳ βιβλίῳ· συντελεῖν γὰρ αὐτῷ μέλ- 176r
λουσιν εἰς τὸ προκείμενον.

p. 1176a33 Εἴπομεν δὴ ὅτι οὐκ ἔστιν ἕξις· καὶ γὰρ τῷ καθεύ-
δοντι διὰ βίου ὑπάρχοι ἄν.

Εἴρηκεν ἐν τῷ πρώτῳ 'πάντες ἄνθρωποι οἱ ὑπ' αὐτῆς τῆς ἀληθείας ἀ-
γόμενοι τὴν εὐδαιμονίαν τὸ ἀκρότατον τέλος εἶναι τίθενται· ἀκρότατον
δὲ πάλιν τέλος λέγουσι τὸ εὖ ζῆν καὶ εὖ πράττειν.' εἰ οὖν ἡ εὐδαιμο-
νία τὸ ἀκρότατόν ἐστι τέλος, τὸ δὲ τοιοῦτον τέλος εὖ ζῆν καὶ εὖ πράττειν
ἐστί, τὸ δὲ εὖ ζῆν καὶ εὖ πράττειν οὐχ ἕξις ἐστὶν ἀλλ' ἐνέργεια, ἡ εὐδαι-
μονία ἄρα πρᾶξίς τε καὶ ἐνέργεια. καὶ τίς γὰρ εὐδαίμονα φήσει τὸν ἔχοντα
μὲν τὴν ἀρετήν, ἀπρακτοῦντα δὲ ἢ καθεύδοντα παρ' ὅλον τὸν βίον, οἷον

4 ὑφισταμένην B: ὑφισταμένων a 8 εὐδαιμονίας a: om. B 12 τῶν (alterum) B: om. a 15 συστρατευόμενοι Vat. 320: στρατευόμενοι Ba συμπένουσι B: συμπέπουσι a 27 αὐτῷ B: αὐτὸ a 29 δή B: δ' a et Aristoteles 30 rhesis usque ad πρότερον εἴρηται (p. 1176b2) a 31 ἐν τῷ πρώτῳ] cf. c. 2 p. 1095a16

τὸν Ἐνδυμίωνα μυθολογοῦσι, καὶ φυτοῦ ζῶντα βίον· φυτῷ γὰρ ὁ καθεύδων ὅμοιός ἐστι μόνων ὡς εἰπεῖν ἐν αὐτῷ τῶν φυσικῶν ἐνεργουσῶν δυνάμεων, καθάπερ ἐν τοῖς φυτοῖς. ἤ τίς ἂν εὐδαιμονίσειε τὸν τὰ μέγιστα τῶν ἀγαθῶν ἔχοντα παρ' ὅλον τὸν βίον, κακοπαθοῦντα δέ; εἰ δὴ ταῦτα μὴ ἀρέσκει μηδ' ἀληθὲς εἶναι δοκεῖ τὸ τὸν καθεύδοντα ἢ ἀπράκτοντα λέγειν εὐδαίμονα, κἂν ὅτι μάλιστα πᾶσαν ἔχῃ τὴν ἀρετήν, (οὐκ ἐν ἕξει δεῖ τίθεσθαι τὴν εὐδαιμονίαν ἀλλ' ἐν χρῆσις ἐνέργειαν διανύσαντα κατ' ἀρετήν, ὡς ἔμπροσθεν τελείῳ, ὡς εἴρηται ἐν τῷ πρώτῳ βιβλίῳ.

p. 1176b2 Τῶν δ' ἐνεργειῶν αἱ μέν εἰσιν ἀναγκαῖαι καὶ δι' ἕτερα αἱρεταί, αἱ δὲ καθ' ἑαυτάς.

Ἀναγκαίας ἐνεργείας καὶ δι' ἕτερα λέγουσιν αἱρετὰς τὰς ποιητικάς, οἷον οἰκοδόμησιν ἰατρευσιν χαλκευσιν, δι' αὐτὰς δὲ τὰς κατ' ἀρετὴν πράξεις καὶ τὰς θεωρίας καὶ γνώσεις τῶν ὄντων. τῶν ἐνεργειῶν οὖν οὐσῶν αὐτῶν κατὰ γένος τὴν εὐδαιμονίαν, φησί, καὶ θετέον τῶν καθ' αὐτὰς ἐνεργειῶν καὶ οὐ τῶν δι' ἕτερόν τι αἱρετῶν. εἰ γὰρ ἀνενδεές τι καὶ αὔταρκες ἡ εὐδαιμονία, τὰ δὲ ἀνενδεῆ καὶ αὐτάρκη δι' ἑαυτὰ αἱρετά, ἡ εὐδαιμονία ἄρα τῶν δι' αὐτά ἐστιν αἱρετῶν. εἰπὼν δὲ ὅτι τὰ καλὰ καὶ σπουδαῖα πάντα τῶν δι' ἑαυτὰ αἱρετῶν, ἐπήγαγε καὶ τῶν παιδιῶν δὲ αἱ ἡδεῖαι τῶν δι' ἑαυτάς εἰσιν αἱρετῶν. οὐ γὰρ δι' ἕτερα αὐτὰς αἱροῦνται, ὡς τὴν ἀγαλματοποιητικὴν διὰ τὰ ἀγάλματα καὶ τὴν στρατιωτικὴν διὰ τὴν νίκην καὶ τὴν ἰατρικὴν διὰ ὑγίειαν. αἱροῦνται δὲ τὰς ἡδείας παιδιὰς ὡς εὐδαιμονικὰς ὅσοι τὴν εὐδαιμονίαν τίθενται ἐν τῷ ἀπολαυστικῶς ζῆν καὶ ἡδεσθαι ἐσθίοντας καὶ πίνοντας καὶ παίζοντας ἢ ἀκολασταίνοντας. εἰπὼν δὲ ὅτι αἱ ἡδεῖαι τῶν παιδιῶν τῶν δι' ἑαυτάς εἰσιν αἱρετῶν, ἐπήγαγε τὴν αἰτίαν τούτου ἐπενεγκών· βλάπτονται γὰρ ἀπ' αὐτῶν μᾶλλον ἢ ὠφελοῦνται. οἱ γὰρ παιδιαῖ σχολάζοντες, οἷον οἱ ἀρχόντες, οἱ στρατηγοῦντες, ἀμελοῦντες τῶν γυμνασίων καὶ τῆς κτήσεως βλάπτονται κατ' ἄμφω καὶ τὸ σῶμα καὶ τὴν κτῆσιν, ὥστε οὐκ εἰσιν αἱ παιδιαὶ τῶν δι' ἄλλο τι αἱρετῶν. τὰ γὰρ δι' ἄλλο τι αἱρετὰ ὠφέλιμά ἐστιν, ὡς ἡ ἐμπορία καὶ ἡ καπηλική· αὔξεται γὰρ ἀπ' αὐτῶν ἡ κτῆσις, ἐκ δὲ τῶν παιδιῶν τοὐναντίον μειοῦται. ὥστε οὐκ εἰσι τῶν δι' ἄλλο τι αἱρετῶν ἀλλ' οὐδὲ τῶν δι' ἑαυτὰς αἱρετῶν, κἂν ὅτι μάλιστα δι' αὐτὰς αἱρῶνται ταύτας οἱ τὸν ἀπολαυστικὸν τιμῶντες βίον. εἰ γὰρ τὰ βλαβερὰ ἀναίρετα, αἱ δὲ τοιαῦται παιδιαὶ βλαβεραί, ἀναίρετοι ἄρα καὶ οὐχ αἱρεταί.

3 μέγιστα B: μάλιστα a 5 ἀληθὲς B: ἀληθῆ a 6 ἕξῃ B: [illegible] οὐκ ἐν—κατ' ἀρετὴν (7) a: om. B 8 ἐν τῷ πρώτῳ βιβλίῳ] c. 6 p. 1098a18 10 thesis usque ad τῆς κτήσεως (p. 1076b11) a 11 et 19 ἕτερα B: ἕτερον a 29. 30 καὶ ἡ καπηλική B: ὡς ἡ καπηλική a 32 ταύτας B: ταῦται a

p. 1176b12 Καταφεύγουσι δὲ ἐπὶ τὰς τοιαύτας διαγωγὰς τῶν 176r
εὐδαιμονιζομένων οἱ πολλοί. 40

Τοιαύτας διαγωγὰς λέγει τὰς εἰρημένας παιδιάς. τῶν γὰρ ἐν ἀπολαύσει καὶ σωματικαῖς ἡδοναῖς τὴν εὐδαιμονίαν τιθεμένων καὶ ἀφοριζόντων οἱ πλείους, ἴσως δὲ πάντες, ὠκέως καὶ σὺν πάσῃ προθυμίᾳ καὶ ἐπὶ τὰς 45
τῶν παιδιῶν ἡδονὰς ἴενται. τοῦτο γὰρ σημαίνει τὸ καταφεύγουσι τὸ σπουδῆς καὶ ταχέως πρὸς αὐτὰς φέρονται. ἢ τοιαύτας διαγωγὰς λέγει τὰς συνόδους, ἀφ' ὧν ἡδονὴν πορίζονται. συνδιάγειν γὰρ καὶ συνδιημερεύειν μετὰ τῶν ἥδειν δυναμένων ὁποῖοί ἂν ὦσιν εἴτε αὐληταὶ εἴτε
βωμολόχοι εἴτ' ὀρχησταὶ ἱμείρονται. καὶ διὰ τὸ μάλιστα τῶν ἄλλων τοὺς τυράννους ἐν ἡδοναῖς τὴν εὐδαιμονίαν ἱστᾶν καὶ μηδὲν ἄλλο πιστεύειν εἶναι τὸ εὐδαιμονεῖν ἢ τὸ κατὰ πᾶσαν ἥδεσθαι αἴσθησιν εὐδοκιμοῦσιν ἐν αὐτοῖς 50
καὶ τιμῶνται οἱ εὐτράπελοι· λέγων νῦν εὐτραπέλους πάντας ἁπλῶς ὅσοι δύνανται πορίζειν αὐτοῖς ἡδονὰς ὁπωσδηποτοῦν. εὐδοκιμοῦσι δὲ παρ' αὐτοῖς
καὶ σπουδάζονται, διότι παρέχουσιν αὐτοῖς ἡδεῖς πρὸς ἐκεῖνα ὧν ἐρίενται· ὀρεγόμενοι γὰρ χαίρειν καὶ γελᾶν καὶ μελῶν ἀκούειν σαινόντων τὴν ἀκοὴν παρέχουσιν ἑαυτοὺς πρὸς ταῦτα ἡδεῖς. λέγουσι γὰρ καὶ ᾄδουσι καὶ πράττουσιν οἷς οἱ τύραννοι χαίρουσιν. ὁ δὲ πράττων καὶ λέγων ἐκεῖνα, οἷς ὁ
τύραννος , ἥδεται, ἡδύς ἐστι πάντως τῷ τυράννῳ, ὡς καὶ ὁ λέγων καὶ 176v
πράττων οἷς ὁ σπουδαῖος χαίρει ἡδύς ἐστι τῷ σπουδαίῳ. ἡ μὲν οὖν τῶν προκειμένων διάνοια αὕτη. τὸ δὲ δέονται δὲ τοιούτων σημαίνει ἂν δέονται δὲ τύραννοι οὐ σπουδαίων (πῶς γὰρ οὐς καὶ μισοῦσι καὶ ἀπελαύνουσιν;), ἀλλὰ δέονται μίμων καὶ γελωτοποιῶν. ὥστ' εὐλόγως οὗτοι παρ' αὐτοῖς τιμῶνται καὶ εὐδοκιμοῦσιν ὡς ἡδεῖς αὐτοῖς.

p. 1176b16 Δοκεῖ μὲν οὖν εὐδαιμονικὰ ταῦτα εἶναι. 5

Ἀκολούθως ταῖς τῶν πολλῶν ἡμαρτημέναις ὑπολήψεσιν εὐδαιμονικὰ φησὶ τὰ ἡδέα. ἐπεὶ γὰρ οἱ πολλοὶ εὐδαίμονας οἴονται τοὺς τυράννους καὶ δυνάστας, καὶ ἃ διώκουσιν αὐτοὶ καὶ φιλοῦσιν εὐδαιμονικὰ φασιν εἶναι, τουτέστιν οἰκειότατα καὶ ἰδιαίτατα τῆς εὐδαιμονίας. οὐκ ἔστι δὲ σημεῖον οὐδὲ ἀπόδειξις τοῦ εὐδαίμονα τὸν τύραννον εἶναι καὶ τοὺς δυνάστας τὸ ἐνεξουσιάζειν καὶ ποιεῖν ἃ βούλονται. οὐ γὰρ ἐν τῷ δυ- 20
ναστεύειν καὶ δυνατῶς πράττειν τὰ ἀρεστὰ σφίσιν αὐτοῖς ἡ ἀρετὴ καὶ ἡ πολιτικὴ ἢ θεωρητικὴ εὐδαιμονία, ἣν θεωρητικὴν εὐδαιμονίαν νῦν εἶπεν. εἰ οὖν μή ἐστιν ἡ τυραννὶς καὶ ἡ δυναστεία ταὐτὸν τῇ εὐδαιμονίᾳ ἀλλ'

2 thesis usque ad δὲ τούτων (p. 1176b16) a 5 δὲ B: δὲ καὶ a 5. 6 τὰς τῶν B: τὰς ἀπὸ τῶν a 11 ἡδοναῖς B: ἡδονῇ a 18. 19 ὁ τύραννος B: οἱ τύραννοι a 19 ἥδεται B: ἥδονται a 25 οὖν B et Aristoteles: om. a thesis usque ad λίαν παιδικόν (p. 1176b33) a 31 ἐνεξουσιάζειν B: ἐξουσιάζειν a βούλονται Vat. 320: βούλεται Ba 33 ἢ B: ἡ ἡ a

ἕτερα καὶ ἀπ' ἀλλήλων ἐκ διαμέτρου διεστηκότα. οὐδὲ τὰ σωματικὰ ἡδέα 176ν
οὐδὲ αἱ ἡδεῖαι τῶν παιδιῶν εὐδαιμονικαί εἰσιν. ὁμοίως οὐδὲ αἱ ἐνέργειαι καὶ
αἱ πράξεις τῶν τυράννων τῶν σπουδαίων εἰσίν, ἀλλ' εἰσὶν ἄριστοι καὶ σπου-
δαιότατοι ἐνέργειαι αἱ ἀπὸ τῶν ἀρετῶν καὶ αἱ ἀπὸ τοῦ νοῦ. πῶς οὖν οὐ
ἐπὶ τὰς σωματικὰς ἡδονὰς οἱ τοσοῦτον ἀπέχοντες τῶν ἄλλων πλούτῳ καὶ
δυνάμει τύραννοι σπεύδουσιν; ἤ, φησίν, ὅτι ἄγευστοι τυγχάνουσιν ὄντες εἰ-
λικρινῶν ἡδονῶν. λέγει δὲ εἰλικρινεῖς ἡδονὰς αἷς οὐ μέμικται ἢ μετὰ βρα-
χὺ ἕπεται λύπη μηδὲ μετάνοια. καὶ εἴρηται πρότερον περὶ τούτων τίνες
οὗτοι. εἰ μὲν οὖν ἦν, ὥσπερ εἴπομεν, ἡ τυραννὶς ταὐτὸν τῇ εὐδαιμονίᾳ,
ἦν ἂν εὐδαιμονικὰ πρὸς ἃ κεχήνασιν οὗτοι καὶ ὧν ἐφίενται. ἐπεὶ δὲ οὐκ
ἔστι, οὐ δεῖ τὰς ἡδονὰς ἃς οἱ τύραννοι διώκουσιν, εὐδαιμονικὰ ἀποφαίνεσθαι.
ἀλλ' ὥσπερ οὐδὲ τὰ τοῖς παισὶ κράτιστα καὶ τίμια, τοιαῦτα δὲ στρόμβοι
καὶ ἀστράγαλοι καὶ σφαῖρια, καὶ ἁπλῶς εἰσι τίμια καὶ σπουδαῖα, οὕτως
οὐδὲ τὰ ἔντιμα τοῖς κατ' αἴσθησιν ζῶσι καὶ ἁπλῶς ἂν ἄριστα καὶ κάλλιστα
εἴη. καὶ ἔστιν εὔλογον. ὥσπερ ἄλλα μὲν φαίνεται παισὶν ἡδέα καὶ τίμια,
ἄλλα δ' ἀνδράσιν, οὕτω μὴ τὰ αὐτὰ δοκεῖν ἐπιεικέσι καὶ φαύλοις ἀλλὰ
διαφέρειν, καὶ τίμια μέν καὶ καλὰ ἀληθῶς εἶναι τὰ δοκοῦντα τοιαῦτα τοῖς
σπουδαίοις, φαινόμενα δὲ τὰ τοῖς φαύλοις νομιζόμενα. ὡς οὖν ταῦθ' 30
οὕτως ἔχει, οὕτως καὶ ἑκάστῳ αἱρετωτάτη ἐστὶν ἐνέργεια ἡ κατὰ τὴν οἰ-
κείαν ἕξιν. ὁ γὰρ ἕξιν μὲν ἔχων μουσικῆς ἐνεργεῖν αἱρεῖται τὰ μουσικὰ
καὶ ὁ ἀκολασίας τὰ τῶν ἀκολάστων πράττειν ἐπείγεται. κατὰ τὰ αὐτὰ
δὴ καὶ ὁ σπουδαῖος τὰ κατὰ τὰς ἀρετὰς ἐνεργεῖν γήθεί τε καὶ ἀγάλλεται.
ἐν ἀρετῇ ἄρα καὶ νῷ, ἤτοι νοερᾷ ζωῇ, τὸ εὐδαιμονεῖν ἀλλ' οὐκ ἐν πον-
δικῇ διὰ τὸ τοὺς τυράννους τρέχειν ὡσεὶ πολὺ πρὸς αὐτήν. καὶ γὰρ ἄτο-
πον τὸ τέλος εἶναι παιδιάν, εἰ τὸ παίζειν εὐδαιμονεῖν· τὸ εὐδαιμονεῖν δὲ 40
τέλος· τὸ παίζειν ἄρα τέλος. ἄτοπον δὲ καὶ παντελῶς καταγέλαστον πάντα
πράττειν καὶ πόνους ὑφίστασθαι χάριν τοῦ εὐδαιμονεῖν, ἤτοι τοῦ παίζειν.
εἰ γὰρ χάριν τοῦ εὐδαιμονήσειν πονοῦμεν, τὸ δ' εὐδαιμονεῖν τῷ παίζειν
ταὐτόν, ἕνεκα τοῦ παίζειν κακοπαθοῦμεν. τοῦτο δὲ γελοῖον. ἐπεὶ οὖν τὸ
μὲν πονεῖν ἕνεκα τοῦ τυχεῖν τῆς εὐδαιμονίας ἀγαθόν, τὸ δὲ παίζειν οὐκ
ἀγαθόν, οὐκ ἂν εἴη τὸ εὐδαιμονεῖν καὶ τὸ παίζειν ταὐτόν. καὶ ἄλλως· ὥσπερ
ἄλλα πολλὰ χάριν ἑτέρων τινῶν αἱρούμεθα, οὕτω καὶ τὸ παίζειν· τὴν δ' εὐ-
δαιμονίαν οὐχ ἕνεκά τινος αἱρούμεθα· ὥστε οὐκ ἔστιν ἡ εὐδαιμονία καὶ τὸ
παίζειν ταὐτόν. τὸ δ' ὡς εἰπεῖν πρόσκειται ὅτι αἱρούμεθα καὶ τὰς ἀρε-
τὰς αὐτὰς καθ' αὑτάς, κἂν μὴ μέλλωμεν εὐδαιμονήσειν. καὶ πολλοὶ τὸν
πλοῦτον διώκουσι δι' αὐτὸν καὶ οὐχ ἑτέρου χάριν.

12 τοιαῦτα B: ταῦτα a 14 ἔντιμα B: ἔν τισι a ζῶσι καὶ B: ὥσπερ a
20 μουσικῆς B: μουσικὴν a 21 ποὶ a: ποδεῖ B 28 εὐδαιμονήσειν B: εὐδαι-
μονεῖν a τὸ B: τῷ a τῷ B: τὸ a

p. 1176b33 Παίζειν δ' ὅπως σπουδάζῃ κατ' Ἀνάχαρσιν ὀρθῶς 176v
ἔχειν δοκεῖ.

Ὥσπερ γὰρ τὸ πολεμεῖν χάριν τοῦ εἰρηνεύειν ἐπαινεῖται, οὕτω καὶ 177r
τὸ μετὰ τοὺς πρὸς τὰ κάλλιστα πόνους ἐπὶ παιδιὰν ἀποκλίνειν οὐ μεμ-
πτέον ἐστίν· ἀναπαύει γὰρ ἡμᾶς ἡ παιδιὰ καὶ κουφίζει τοὺς πόνους. ἀνα-
παύσει γὰρ ἔοικεν, ἡ δ' ἀνάπαυσις ἐπαναγκάζει πάλιν τὰ καμνόντα τῶν
σωμάτων ἐπὶ τὴν προτέραν ἰσχύν, ἣν εἴχομεν πρὸ τοῦ κόπου. εἰ μὲν γὰρ
ἄπονα τὰ σώματα ἡμῶν διετηρεῖτο ἐν ταῖς πράξεσι καὶ ἐνεργείαις, οὐκ ἂν 5
ἀναπαύσεως ἐχρῄζομεν οὐδὲ παιδιᾶς τῆς ἀναπαύσει ἐοικυίας· ἐπεὶ δὲ
κάμνει, δεῖ ἀναπαύσεως καὶ παιδιᾶς οὐ πάσης ἀλλὰ τῆς ἐοικυίας τῇ ἀνα-
παύσει εἰς ἀναλῆψιν ἰσχύος καὶ ῥώμης, ἵνα πάλιν πράττωμεν καὶ ἐνερ-
γῶμεν καὶ μὴ ὦμεν ἄπρακτοι καὶ ἀνενέργητοι. εἰ δὲ ἕνεκα τοῦ πάλιν ἐνερ-
γεῖν αἱρούμεθα τὴν παιδιάν, ἡ ἀναπαυσις ἔσται· οὐκ ἔστι τέλος ἡ παιδία.
ὥστε οὐδ' εὐδαιμονία. ἡ γὰρ εὐδαιμονία τέλος καὶ δι' αὐτὴν αἱρετή,
ἀλλ' οὐχ ἕνεκά τινος ἄλλου. βελτίω τε λέγομεν τὰ σπουδαῖα τῶν 10
γελοίων. τὰς κοινὰς καὶ αὐταρκεῖς τῶν ἀνθρώπων ἐννοίας εἰς πίστιν
ἐπάγει τοῦ μὴ παιδιὰν εἶναι τὴν εὐδαιμονίαν. πάντες γὰρ αὐτοφυῶς καὶ
οὐκ ἔκ τινος μαθήσεως ἢ παραγγελίας χρῆσθαι λέγουσι τὸ σπουδαῖον. ἦσαν
τὰς ἀρετὰς καὶ τὰς κατ' ἀρετὴν ἐνεργείας, τῶν γελοίων καὶ μετὰ παιδιᾶς.
[illegible] ἐστὶ βέλτιον· εἰ δὲ χείρονα τὰ γελοῖα καὶ ἡ παι- 15
διά, οὐκ ἂν εἴη ἡ παιδιὰ εὐδαιμονία. οὐ γάρ ἐστιν ἡ εὐδαιμονία τινὸς
(χείρων) ἀλλὰ τὸ ἄριστον καὶ κάλλιστον τῶν παρ' ἡμῖν. καὶ τοῦ βέλ-
τίονος ἀεὶ μορίου καὶ ἀνθρώπου σπουδαιοτέραν τὴν ἐνέργειαν.
βέλτιον μόριον καὶ ἀνθρωπον τὸν νοῦν ἡμῶν λέγω. λέγω δὴ τὸ λογικὸν
μέρος τῆς ψυχῆς. καὶ ὁρᾷς, ὅπως τὸν ὄντως καὶ μάλιστα ἄνθρωπον ἐν
ἡμῖν ἕκαστον καὶ αὐτὸν αὐτὸν διὰ τούτων ἀποφαίνεται, ἕνα μὲν τῶν
ἐκ ψυχῆς καὶ σώματος, ᾧ καὶ τὸ εὖ ζῆν καὶ εὐδαιμονεῖν ἐν τῷ κατὰ τὰς
ἀρετὰς ζῆν εἶπεν εἶναι ἐν τοῖς Μεγάλοις Ἠθικοῖς, ὡς καὶ ἐν τῷ πρώτῳ
τῶνδε βιβλίῳ, ἄλλον δὲ τὸν πρώτως καὶ ὄντως ἄνθρωπον, τὸν ἐν ἡμῖν 20
νοῦν ὑπὲρ οὗ πρώτων ἐρεῖ. χωριστὸν δὲ τοῦ σώματός ἐστιν αὐτὸ τοῦθ'
ὅπερ ἐστί. καὶ ὄηλον ἐκ τούτων ὡς οἱ λέγοντες τὸν Ἀριστοτέλην ὑπῆτην
δοξάζειν τὴν ψυχὴν οὐδέν τι λέγουσιν. ἀλλὰ περὶ μὲν τούτων ἐν ἄλλοις·
τὸ δὲ λεγόμενον διὰ τῶν προκειμένων λέξεων τοιοῦτόν ἐστιν. ἡ τοῦ βελ-
τίονος μορίου τῆς ψυχῆς ἐνέργεια βελτίων καὶ σπουδαιοτέρα, δυναμει

2 thesis usque ad εὐδαιμονιαωτέρα ἤδη (p. 1177a6) a 3 de sententia cf. Polit. H 14 p. 1333a35. 15 p. 1334a15 13 ἀνάπαυσιν a: ἀνάπαλιν B (ortum ex ἀνάπαυλαν? cf. Plat. Phileb. p. 30 E) 22 χείρων a: om. B 23 ἀεὶ μορίου Ba et Arist. cod. Ha: ἀεὶ καὶ μορίου Arist. vulg. 25 ἄνθρωπον B: τὸν ἄνθρωπον a 28 εἶναι B: om. a Magna Moral. A 3 p. 1184b8 28. 29 ἐν τῷ πρώτῳ τῶνδε βιβλίῳ c. 11 p. 1101a14 31 ὄηλον ἐκ B: ὄηλόν ἐστιν καὶ ἐκ a 32 δοξάζειν B: δόξαζει a 33 τοῦ B: om. a

λέγων ἐκείνην αὐτοῦ τοῦ μορίου ἐνέργειαν, λέγω βελτίονα καὶ σπουδαιοτέραν, 177r
τὴν σπουδαίαν καὶ ἀπὸ ἀρετῆς καὶ οἰκείαν τῷ ἀνθρώπῳ, ἡ ἄνθρωπος, ἀλλ' 25
οὐ τὴν ἀπὸ κακίας. εἰ οὖν αὕτη βελτίων τῆς τοῦ χείρονος μορίου τῆς
ψυχῆς ἐνέργεια. ὅτι δὲ ἐνέργεια τοῦ χείρονος μορίου ἡ παιδιά, οὐκ ἔστιν
ἡ παιδιὰ εὐδαιμονία, ἀλλ' ἡ τοῦ κρείττονος μορίου οἰκεία ἐνέργεια. τὸ δὲ
εὐδαιμονικώτερον τούτου ἔστι τῷ καὶ δεῖ ταύτην εὐδαιμονίαν λέγειν,
ἀλλ' οὐ τὴν παιδιάν.

p. 1177a6 Ἀπολαύσειέ τ' ἂν τῶν σωματικῶν ἡδονῶν ὁ τυχών.

Δέδεικται πολλάκις, ὅτι ἡ εὐδαιμονία τέλος τῶν ἀγαθῶν καὶ τελειό-
τατον τέλος). τὸ δὲ τοιοῦτον τέλος μόνοις τοῖς σπουδαίοις ὑπάρχει. ὥσπερ
γὰρ ᾧ πάρεστι ζωή, ζῇ, οὕτως ᾧ πάρεστιν ἀγαθὸν καὶ τὸ τῶν ἀγαθῶν
τέλος, οὗτος ἀγαθός ἐστι καὶ τέλειος. οὐ πᾶσι δὲ πάρεστιν οὐδὲ πάντες
μετέχουσι τούτου· ἦσαν γὰρ ἂν πάντες ἀγαθοὶ καὶ τέλειοι καὶ εὐδαίμονες·
οὐκ ἔστι δέ, ἀλλ' οἱ πλεῖστοι ἀνδραποδώδεις καὶ φαῦλοι. οἳ καὶ μάλιστα
τυγχάνουσι τῶν σωματικῶν ἡδονῶν, ὧν σωματικῶν ἡδονῶν ἐστι καὶ ἡ
παιδιά. καὶ οὐ φησιν ὡς οὐ δύνανται οἱ φαῦλοι εὐδαιμονήσειν· δύνανται
γάρ, εἰ τὰς κακίας φυγόντες τὰς ἀρετὰς διώξουσι καὶ ἐν ἕξει τούτων γένωνται.
ἀλλ' ὃ λέγει ἐστίν, ὅτι τῶν σωματικῶν ἡδονῶν ἀπολαύειν δυνάμεθα ὅτε
θελήσομεν· εὐδαίμονας δὲ εἶναι οὐκ ἐνδέχεται ὅτε θελήσομεν. χρόνου
γὰρ πολλοῦ καὶ συνασκήσεως πολλῆς καὶ πράξεων καὶ ἐνεργειῶν καλλίστων
καὶ παμπόλλων χρεία τοῦ τυχεῖν τοῦ καλλίστου καὶ τελειοτάτου τέλους,
τῆς εὐδαιμονίας. ἀπολαύειν οὖν τῶν σωματικῶν ἡδονῶν καὶ τῆς παιδιᾶς
δύναται ὁ τυχών, ἤτοι καὶ ὁ φαῦλος καὶ ὁ μήτε σπουδαῖος μήτε φαῦλος,
καὶ ἀνὴρ καὶ παῖς καὶ γυνή· εὐδαιμονίας δὲ οὔθ' ὁ φαῦλος οὔθ' ὁ μηδε-
τέρος οὔθ' ὁ παῖς, ὡς ἐν τῷ Μεγάλῳ τῶν Ἠθικῶν εἶπε. τὸ γὰρ τελειό-
τατον τέλος ἡ εὐδαιμονία ⟨ἐν ἀτελεῖ γίνεσθαι τὴν ἡλικίαν οὐ πέφυκεν. 45
ἀγαπητὸν γὰρ ὅτῳ καὶ εἰς τελειοτάτην ἡλικίαν ἐγγένηται. εἰ γάρ ἐστι
τέλος ἡ εὐδαιμονία⟩ τῶν ἀγαθῶν, ἤτοι πασῶν τῶν ἀρετῶν, ὧν ἓν καὶ ἡ
φρόνησις, οὐδεὶς δὲ παῖς φρόνιμος, δῆλον ὡς οὐδὲ εὐδαίμων. εἰπὼν δὲ ὅτι
ἀπολαύσειέ τ' ἂν τῶν σωματικῶν ἡδονῶν καὶ ὁ τυχών, ἤτοι καὶ
ὁ σπουδαῖος καὶ πᾶς ὁ μὴ σπουδαῖος, ἐπήγαγε καὶ μάλιστα τοῦ ἀρίστου.
μάλιστα γὰρ οἱ ἀνδραποδώδεις τῶν ἡδονῶν τῶν σωματικῶν, καὶ τῶν παι-
διῶν οἱ φαῦλοι ἤπερ οἱ σπουδαῖοι. ὁ γὰρ χαίρων ταῖς παιδιαῖς καὶ ταῖς 50
σωματικαῖς ἡδοναῖς μᾶλλον ἀπολαύειν δύναται τῶν τοιούτων τοῦ μὴ χαί-
ροντος. ἐπεὶ τοίνυν πάντες ἄνθρωποι τῶν σωματικῶν ἡδονῶν καὶ τῆς

2 σπουδαίαν B: σπουδὴν a 8 rhesis usque ad πρότερον εἴρηται (p. 1177a11) a
9. 10 καὶ τελειότατον τέλος a: om. B 13 ἂν B: om. a 17 τὰς κακίας] τῆς
κακίας B: τὴν κακίαν a 25 οὔθ' B: ἡ a τῷ μεγάλῳ B: τοῖς μετὰ a
cf. Magna Moral. A 4 p. 1185a3 26 ἐν ἀτελεῖ—ἡ εὐδαιμονία (28) a: om. B
30 καὶ ὁ τυχών Ba: ὁ τυχὼν Aristoteles 31 πᾶς B: om. a 33 post σπουδαῖος
add. ἀπολαύσειν a: om. B

παιδιᾶς τοῖς φαύλοις μεταδιδόασι, τουτέστι χαίρειν καὶ παίζειν ὁμολογοῦσι. 177r
καὶ οὐδεὶς ἐστιν ὃς οὐ λέγει μὴ διώκειν τοὺς φαύλους καὶ ἀνδραποδώδεις
τὰς σωματικὰς ἡδονὰς καὶ τὰς παιδιὰς μηδὲ περὶ αὐτὰς ἐπτοῆσθαι, εὐδαι-
μονίας δὲ αὐτοῖς οὐ μεταδιδόασιν οὐδ' εὐδαίμονας αὐτοὺς ἀποκαλοῦσι, τοὐ-
ναντίον δὲ καὶ κακοδαίμονας αὐτούς φασιν, οὐκ ἂν εἴη εὐδαιμονία ἡ 177v
παιδιὰ ἢ ἡ σωματικὴ ἡδονή. εἰπὼν δὲ ὅτι οὐδεὶς μεταδίδωσιν εὐδαιμονίας
τῷ ἀνδραποδώδει οὐδ' εὐδαιμονίζει τὸν τοιοῦτον, ἐπήγαγεν εἰ μὴ καὶ βίου,
τουτέστιν ὅτι μηδὲ βίου σπουδαίου μεταδίδωσιν αὐτῷ, ὡς τῷ σπουδαίῳ βίῳ
ἑπομένης τῆς εὐδαιμονίας καὶ οὐ ταῖς τῶν φαύλων διαγωγαῖς.

p. 1177a12 Εἰ δ' ἐστὶν ἡ εὐδαιμονία κατ' ἀρετὴν ἐνέργεια, εὔ-
λογον ὅτι κατὰ τὴν κρατίστην· αὕτη δ' ἂν εἴη τοῦ ἀρίστου.

Τὸ κράτιστον σημαίνει τὸ ἀκρότατον· λέγει δὲ κρατίστην καὶ ἀκρο-
τάτην ἐνέργειαν καὶ εὐδαιμονίαν τὴν νοερὰν ζωήν. δείξας δή, ὅτι ἡ εὐδαι-
μονία ψυχῆς ἐστιν ἐνέργεια κατ' ἀρετήν, ἐπειδὴ ἡ ἀρετὴ διττή, ἥ τε πρα-
κτικὴ καὶ ἠθικὴν καὶ πολιτικὴν οἱ ἐκ τοῦ Περιπάτου καλοῦσιν (οἱ γὰρ
Πλατωνικοὶ ἑτέρας εἶναι λέγουσι τὰς πολιτικὰς τῶν ἠθικῶν)· ἐπεὶ οὖν διττὴ
κατ' αὐτοὺς ἡ ἀρετή, ἡ μὲν ἠθική, ἡ δὲ θεωρητική, καὶ διὰ τοῦτο καὶ
ἡ εὐδαιμονία διττή, ἐν μὲν τῷ πρώτῳ βιβλίῳ εἶπε περὶ πολιτικῆς εὐδαι-
μονίας, καθ' ἣν ὁ πολιτικὸς εὐδαίμων κοσμεῖ τὰ χείρω τῷ λόγῳ, ἐν τού-
τῳ δὲ [illegible] περὶ τῆς θεωρητικῆς εὐδαιμονίας καὶ τοῦ κατ' αὐτὴν εὐδαί-
μονος. ὅτι ἐστιν ὁ πρώτως καὶ ὄντως ἄνθρωπος καὶ ὁ ἀληθινὸς ἄνθρωπος,
ὁ ἐν ἡμῖν ὀλονότι νοῦς καὶ ἐπιγινόμενος ὁ τοιοῦτος εὐδαίμων τῷ πολιτικῷ
εὐδαίμονι. ἀδύνατον γάρ ἐστιν ἔν τινι γενέσθαι νοερὰν ζωὴν μὴ μετρήσαντι
τὰ πάθη διὰ τῶν ἠθικῶν ἀρετῶν καὶ κατὰ τὴν πολιτικὴν εὐδαιμονίαν ζή-
σαντι. ἀόριστα γάρ ἐστι τὰ πάθη τῇ αὐτῶν φύσει καὶ ἀσταθμητα καὶ τὰς
ἑαυτῶν ἐνεργείας περατοῦν οὐ δύνανται. ὡς γὰρ τὸ πῦρ ὅρον ταῖς ἑαυτοῦ
αὐξήσεσι [illegible] οὐ δύναται, οὕτ' ὀρεκτὸν. θερμαίνει πᾶν τὸ δυνάμενον
[illegible] ἐστι καὶ ἄμετρον καὶ δεῖται τῆς ἀρετῆς, ἵνα κόσμου τύχῃ καὶ τάξεως. ὁ
μὲν θυμὸς τῆς ἀνδρείας, ἡ δ' ἐπιθυμία τῆς σωφροσύνης. (τῆς μὲν ἀνδρείας
ὁ θυμός, ἵνα θαρρῇ καὶ ἀδεῶς ἴῃται ἐνθα δεῖ, φεύγῃ δὲ ἀφ' ὧν χρή, ἡ
δ' ἐπιθυμία τῆς σωφροσύνης) πρὸς τὸ χαίρειν οἷς δεῖ καὶ λυπεῖσθαι ἐνθα
δεῖ. εἰ οὖν ἄμετρα τὰ πάθη καὶ ἀόριστα καὶ ὄχλου καὶ ταραχῆς ἐμποιη-
τικά, πῶς οἷόν τε νοερῶς ἐνεργεῖν τὸν ὑπὸ τῶν ἀλόγων παθῶν περιελκό-
μενον καὶ ἀπ' ἄλλων εἰς ἄλλα διασπώμενον καὶ περιφερόμενον; καλῶς
ἄρα εἴρηται τοῖς εἰποῦσι τὴν πρακτικὴν ἀρετὴν καὶ τὸ τέλος αὐτῆς τὴν
εὐδαιμονίαν ἐπιτηδειότητάς τινας εἶναι πρὸς ὑποδοχὴν τῆς θεωρητικῆς εὐδαι-

λέγει B: λέγη a 3 μηδὲ B: μὴ a 11 ὅτι B: om. a et Aristoteles rhesis usque ad θεωρητική, εἴρηται (p. 1177a18) a 20 τοῦ B: om. a 21 πρώτως B: πρῶτος a 21 τὴν B: om. a 30 τῆς μὲν ἀνδρείας — σωφροσύνης (32) a: om. B 31 ἐπιτηδειότητάς B: [illegible]ραιτάτας a

μονίας. ἀλλὰ περὶ μὲν τούτων καὶ αὐθις. λέγει δ' αὐτός, ὅτι ἐπεί ἐστιν 177ª
ἡ εὐδαιμονία τῆς ψυχῆς ἐνέργεια, εὔλογον αὐτὴν μάλιστα λέγειν κατὰ τὴν
ἀκροτάτην τῆς ψυχῆς ἐνέργειαν. ἡ δ' ἀκροτάτη αὐτῆς ἐνέργειά ἐστιν 30
ἕνωσις πρὸς τὸ ἀριστον καὶ ὁμοίωσις θεῷ κατὰ τὸ δυνατόν, ὡς φησιν
5 ὁ Πλάτων, ἀνθρώπῳ. δυνατὸν γὰρ τῷ ἀνθρώπῳ μεῖζον ἀγαθὸν κτήσασθαι
τῆς πολιτικῆς εὐδαιμονίας. εἰ δὲ τοῦτο, οὐκ ἂν εἴη ἡ πολιτικὴ εὐδαιμονία
τὸ ἀκρότατον καὶ τελειότατον ἡμῶν τέλος, ἀλλὰ τὸ μεῖζον αὐτῆς, ἡ θεω-
ρητικὴ εὐδαιμονία. ἡ σύμπασα ἡμῶν ἐνέργεια καὶ τὸ ὅλον μέτρον τῆς ἀν-
θρωπίνης ἐνεργείας. τῆς μὲν γὰρ ἀρετῆς μέτρον καὶ τέλος ἡ πολιτικὴ
10 εὐδαιμονία. τῆς δὲ πολιτικῆς εὐδαιμονίας ἡ θεωρητικὴ εὐδαιμονία· τοῦ 35
γὰρ θείου καὶ τῆς θεωρίας οὐδὲν ἄλλο τῶν ἐν ἡμῖν ἐστιν ἀνώτερον. τῆς δὲ σεμνότερόν τι ἄλλο καὶ οἰκειότερον τῇ ἀνθρωπίνῃ φύσει οὐκ ἔστιν.
οἰκεία μὲν γὰρ τοῖς ἀνθρώποις ἐνέργεια ἡ κατ' ἀρετὴν πρᾶξις, οἰκειοτέρα
δὲ ἡ πολιτικὴ εὐδαιμονία, οἰκειοτάτη δὲ καὶ μέτρον καὶ ὅρος καὶ τελειότα-
τον τέλος τῆς ἡμῶν ἀνόδου ἡ θεωρία, ἐνέργεια οὖσα τοῦ ἐν ἡμῖν, ὡς φησιν,
15 ἀρίστου. τοῦτο δὲ τὸ ἐν ἡμῖν ἄριστόν ἐστιν ὁ ἐν ἡμῖν νοῦς καὶ ὁ ὄντως 40
καὶ ἀληθινὸς ἄνθρωπος. εἴτε δὴ νοῦς τοῦτο εἴτε ἄλλο τι ὃ δὴ κατὰ
φύσιν δοκεῖ ἄρχειν. ἐπὶ μὲν τῶν φαύλων καὶ ἀκολασίαις χαιρόντων
ἄρχει παρὰ φύσιν τὸ χεῖρον τοῦ κρείττονος. ἐπὶ δὲ τῶν σπουδαίων ἄρχει
τὸ κρεῖττον, ὁ λόγος τοῦ χείρονος τῆς ὀδύνης ζωῆς. εἰπὼν δὲ τὴν κατὰ
20 νοῦν εὐδαιμονίαν ἐνέργειαν εἶναι τοῦ ἐν ἡμῖν ἀρίστου καὶ πεφυκότος ἄρχειν
καὶ κρατεῖν τοῦ ἐν ἡμῖν δήμου, τοῦ ἀλόγου μέρους τῆς ψυχῆς, ἐπήγαγεν
εἴτε δὴ νοῦς ἐστι τοῦτο ἐν ἡμῖν ἄριστον, δυνάμει λέγων, εἴτε δὴ νοῦν 45
αὐτὸ χρὴ καλεῖν, ὡς ἐγὼ αὐτὸ ὀνομάζω, εἴτε ζωὴν λογικήν, ὡς ὁ Πλά-
των, ὃ δὴ ἄριστον, ὡς εἶπον, πέφυκεν ἄρχειν, καὶ πρὸς τοῦτο ἔννοιαν
25 ἔχειν καὶ κατάληψιν, ὡς εἰσὶ καλά· καὶ τούτων τὰ μὲν ἀληθῶς καλά, τὰ
δὲ φαινομένως· καὶ ὅτι εἰσὶν ἀσώματοί τινες οὐσίαι χωρισταὶ τῶν σωμά-
των καὶ καθ' αὑτὰς ἑστῶσαι, καὶ πρό γε τούτων αἴτιόν τι πάντων τῇ
οὐσίᾳ ὄν, παντέλειος ἐνέργεια διακρατοῦσα καὶ διακυβερνῶσα τὰ σύμπαντα.
εἴτε δὴ νοῦν χρὴ λέγειν τὸ ἐν ἡμῖν ἄριστον εἴτε θεῖόν τι καὶ θείαν τινὰ
30 μοῖραν καὶ ἀπορροήν, ὡς καὶ τοῦθ' ὁ Πλάτων λέγει, εἴτε τῶν ἐν ἡμῖν τὸ 50
θειότατον ἡ τούτου ἐνέργεια κατ' ἀρετήν, τὴν νοερὰν δηλονότι ζωήν, εἴη
ἂν ἡ ζητουμένη νῦν εὐδαιμονία καὶ εὐδαίμων ὁ ζῶν κατὰ τὴν θεοπρεπε-
στάτην ταύτην ζωήν, καὶ γενόμενος ἐν τῇ σφετέρᾳ ἀκρότητι καὶ ἐν τῷ
τελείῳ τέλει. ἔστι γάρ, ὡς εἴρηται, καὶ ἡ πολιτικὴ εὐδαιμονία τέλος, ἀλλ'
35 οὐ τὸ τελειότατον. εἶπε δὲ εἴτε δὴ τὸ θειότατον τῶν ἐν ἡμῖν', ὅτι ἔθος
αὐτῷ καὶ τὴν αἴσθησιν καὶ ἁπλῶς τὴν φύσιν καὶ πάντα τὰ τῆς φύσεως
ἔργα προσαγορεύειν. ἡ γὰρ φύσις, φησὶν αὐτὸς ἐν ἄλλοις, θεὸς μὲν 178ª
οὐκ ἔστι, θεῖόν δέ τι καὶ δαιμόνιον. ὥστε ἡ μὲν αἴσθησις θεῖον, οὐ θειό-
τατον, τὸ δὲ λογιζόμενον θεῖον καὶ θειότατον.

3 ἀκροτάτην B: ἀκρότητα a 5 Πλάτων] Theaetet. p. 176 B 8 ἡ σύμπασα—θεωρητικὴ εὐδαιμονία (10) a: om. B 12 οἰκειοτέρα B: οἰκειότερον a 14 ἐνέργεια B: ἐν ἐνέργεια a 37 ἐν ἄλλοις] cf. H 14 p. 1153b32

p. 1177a18 Ὁμολογούμενον δ' ἂν δόξειεν καὶ τοῖς πρότερον καὶ 178
τῷ ἀρχῇ.

Ὁ λέγων λόγος τὴν τοῦ θειοτάτου τῶν ἐν ἡμῖν κατὰ τὴν οἰκείαν ἀρε-
τὴν ἐνέργειαν τελείαν εὐδαιμονίαν, ἀτελεστέραν δὲ τὴν πολιτικὴν σύμφωνός
στι καὶ τοῖς πρότερον ἐν τῷ πρώτῳ βιβλίῳ ῥηθεῖσι καὶ τῇ ἀληθείᾳ. 5
ἐπεὶ γὰρ διττὸν ἀφορίζομεν τὸν ἄνθρωπον καὶ τὸν ὄντως καὶ μάλιστα καὶ
πρώτως ἄνθρωπον τὸν νοῦν ἡμῶν εἶναί φαμεν, δεύτερον δὲ τὸν ἐκ ψυχῆς
καὶ σώματος, ἀληθές ἐστι καὶ σύμφωνον τῇ ἀληθείᾳ τὸ λέγειν τὴν ἐνέρ-
γειαν τοῦ ὄντως καὶ πρώτως ἀνθρώπου κρατίστην καὶ τελείαν καὶ σεμνο-
τέραν τῆς πολιτικῆς εὐδαιμονίας, καὶ τοσούτῳ βελτίονα καὶ τιμιωτέραν, 10
ὅσῳ τὰ ὑποκείμενα περὶ ἃ ἐνεργεῖ τῶν ὑποκειμένων τῇ πολιτικῇ κρείττω
καθέστηκε. τῆς μὲν γὰρ πολιτικῆς ἐστι τὸ κόσμον ἐπάγειν τοῖς δευτέροις
καὶ τάξιν καὶ ὅρον τιθέναι (καὶ εἴρηται πολλὰ περὶ τούτων ἐν τῷ πρώτῳ
βιβλίῳ), ταύτης δὲ ἀνάτασις πρὸς τὰ κρείττω καὶ ἕνωσις καὶ γνῶσις τῆς
τῶν θείων οὐσιῶν κοινωνίας καὶ διαφορᾶς. ὅτε καὶ ἐνέργεια λέγεται νοῦς 15
ὁ ταῦτα θεωρεῖν οὕτως δυνάμενος. ἔστι μὲν γὰρ καὶ πρὸ τοῦ ἐνεργεῖν
δύνασθαι εὐδαιμόνως κατὰ τὴν νοερὰν ταύτην καὶ ἔνθεον ζωὴν οὐσία ἀσω-
μάτως χωρίζεσθαι δυναμένη τοῦ ζῴου τούτου, οὗ τὴν ἐπιτροπείαν ἔλαχε.
λέγεται δὲ ὀνόματι νοῦς τότε διότι δεκτικός ἐστι τοῦ παρὰ Ἀριστοτέλους
ὑπάρχειν νοῦ, μᾶλλον δὲ τῆς τοῦ ὑπάρχειν ἐλλάμψεως νοῦ, ἧς ἐπειδὰν με- 20
τάσχῃ, νοερός τε λέγεται καὶ τέλειος νοῦς καὶ εὐδαίμων θεωρητικὸς καὶ
τὴν ἄκραν ἐνέργειαν ἐνεργῶν καὶ τἄλλα ὅσα πολλάκις εἴπομεν.

p. 1177a21 Ἔτι συνεχεστάτη· θεωρεῖν τε γὰρ μᾶλλον δυνάμεθα 20
συνεχῶς.

Καὶ διὰ τὸ ἐνέργειαν εἶναι τὴν θεωρητικὴν εὐδαιμονίαν τοῦ ἐν ἡμῖν
ἀρίστου καὶ θειοτάτου δεῖ λέγειν αὐτὴν κρατίστην καὶ ἀκροτάτην καὶ τε-
λειοτάτην καὶ διὰ τὸ συνεχεστάτην ⟨ὑπάρχειν⟩. εἴρηται γὰρ ἐν τῷ πρώτῳ
[illegible] καὶ συνεχῶς τε καὶ ἀναπαυστικῶς ἁπάντων τὴν εὐδαιμονίαν ὑπάρ-
χειν. εἰ οὖν ἕν τι τῶν στοιχείων τῆς εὐδαιμονίας ὑπάρχει καὶ τὸ μόνιμον.
[illegible] ὑπάρχει δὲ πλείονα χρόνον τὸ συνεχέστερον καὶ μακροχρονιώ-

1 δ' ἂν B: δὲ τοῦτ' ἂν a et Aristoteles δόξειεν om. εἶναι B et Arist. cod. Ha: δόξειεν εἶναι a et Arist. vulg. rhesis usque ad ὁ νοῦς (p. 1177a21) a 3 λόγος B: λόγοις a 4 ἀτελεστέραν δὲ B: καὶ ἀτελέστερον a 5 πρώτῳ Vat. 1022: πρωτέρῳ Ba 9 πρώτως B: πρώτου a 10 τιμιωτέραν B: τιμιωτέρα a 13 πολλὰ B: πολλάκις a 19 δυνάμενος a 23 ἔτι B: ἔτι δὲ a et Aristoteles 23. 24 μᾶλλον δυνάμεθα συνεχῶς B: δυνάμεθα s. p. a et Aristoteles 24 rhesis usque ad τῷ βεβαίῳ (p. 1177a26) a 26 καὶ (primo loco) iterat B 27 ὑπάρχειν a: om. B ἐν τῷ πρώτῳ βιβλίῳ] cf. c. 2 p. 1095b26 31 ὑπάρχον B: ὑπάρχειν a

τερον· συνεχέστερον δὲ καὶ μακροχρονιώτερον ἡ εὐδαιμονία ἡ θεωρητικὴ 178ᵃ
τῆς πολιτικῆς· βελτίων ἄρα καὶ θειοτέρα καὶ διὰ τοῦτο καὶ ἀκροτάτη, καὶ 30
τελειοτάτη. ἔτι εἰ τοῦ ἀεὶ ἔγγιον τὸ συνεχέστερον, ῥᾳῤῥώτερον δὲ τὸ μὴ
συνεχῶς καὶ ἐπ' ὀλίγον χρόνον ὑπάρχον, τὸ δὲ ἀεὶ τοῦ μὴ ἀεὶ τελειότερον
5 καὶ βέλτιον, καὶ ἡ θεωρητικὴ ἄρα εὐδαιμονία ὡς συνεχεστέρα καὶ πολυ-
χρονιωτέρα ἐγγιόν ἐστι τῆς ἀεὶ ἐν τοῖς νοητοῖς θεωρίας· πόρρω δὲ ἡ
πολιτική· τελειοτέρα ἄρα ἡ θεωρητικὴ εὐδαιμονία καὶ κρατίστη δὴ καὶ ἀκρο-
τάτη. ὅτι δὲ τοῦ ἀεὶ ἔγγιόν ἐστιν ὁ πλείων χρόνος καὶ συνεχέστερος τοῦ 35
ἐλάττονος καὶ μὴ συνεχεστέρου, δῆλον. λέγω δὲ πλείονα καὶ συνεχέστερον
10 χρόνον αὐτὰς τὰς ἐνεργείας καὶ πράξεις διὰ τὸ κρίνεσθαι τὸ μῆκος αὐτῶν
καὶ τὴν βραχύτητα καὶ τὴν συνέχειαν καὶ τὸ μὴ τοιοῦτον χρόνῳ. εἰ δὴ
θεωρητικὴ εὐδαιμονία ἐστὶν ἡ τῶν θείων γνῶσις, αὕτη δὲ χρονικοῖς μέ-
τροις ὁρίζεται ὡς αἱ πράξεις (λέγομεν γὰρ πρᾶξιν ὡριαίαν καὶ μηνιαίαν
καὶ ἐνιαυσιαίαν), ἔστι δὲ βελτίων ἡ κατ' ἀρετὴν χρονιωτέρα πρᾶξις, οἷον
15 ἡ μηνιαία τῆς ὡριαίας καὶ ἡ θεωρητικὴ ἄρα εὐδαιμονία τελειοτέρα ἐστὶ 40
τῆς πρακτικῆς, ὅτι καὶ πρὸς μείζονα μέτρα χρόνου θεωρεῖν δύναται καὶ
θεωρεῖ. ὅτι μὲν οὖν τὸ συνεχέστερον τῶν καλῶν βέλτιον τοῦ μὴ τοιού-
του, φανερὸν καὶ διὰ τούτων δῆλον. ὅτι δὲ καὶ συνεχέστερον μᾶλλον ἡ ὁ
θεωρητικὸς εὐδαίμων δύναται τοῦ πολιτικῶς ἐνεργοῦντος δῆλον ἔσται διὰ
20 τούτων. ἴσμεν ὅτι πᾶσα πρᾶξις καὶ ἐνέργεια ἀγαθοῦ τινος ἐφίεται καὶ πᾶς
ὁ πράττων καὶ ἐνεργῶν ὀρεκτῷ τινι καὶ ἐφετῷ κινούμενος καὶ ἑλκόμενος
κινεῖται καὶ πράττει χάριν τοῦ τυχεῖν οὗ τὴν ἔφεσιν ἔχει. εἰ οὖν πᾶν 45
ὀρεκτὸν ἕλκει πρὸς ἑαυτὸ τὸ ἐφιέμενον, ὡς ἡ μαγνῆτις τὸν σίδηρον, τὸ
μᾶλλον ὀρεκτὸν καὶ τῇ ἑαυτοῦ φύσει μᾶλλον ἂν κινήσῃ τὸ ἐφιέμενον αὐ-
25 τοῦ πρὸς ἑαυτὸ καὶ τὴν αὐτοῦ τεῦξιν. ἔστι δὲ τῇ ἑαυτοῦ φύσει ὀρεκτὸν
τὸ πρῶτον, ὃς φησιν οὗτος, τῶν πάντων αἴτιον καὶ ἐρασμιώτερον καὶ ποθετι-
νότερον καὶ οὗ κόρον λαβεῖν οὐ δύναται ὁ τοῦτο θεάσασθαι δυνηθείς. τῶν
μὲν γὰρ ἄλλων ἀγαθῶν καὶ τῶν ὀρεκτῶν καὶ τῶν φαινομένων ἀγαθῶν ἔστι
κόρος, καὶ μέχρις ἐκείνου διώκομεν αὐτά, μέχρις ἂν τύχωμεν αὐτῶν καὶ 50
30 κόρον σχῶμεν αὐτῶν. ἐπὰν δὲ τύχωμεν καὶ πλησθῶμεν αὐτῶν, παυόμεθα
καὶ οὐκέτι περὶ ταῦτα ἐνεργεῖν βουλόμεθα· καὶ δῆλον ὅτι ὧν μὲν ἡ τεῦξις
ῥᾳδία καὶ ἡ ἀπόλαυσις καὶ ἡ ἀπ' αὐτῶν πλήρωσις τάχιον γίνεται, βραχὺς
καὶ ὁ περὶ αὐτὰ χρόνος ἡμῶν τῆς ἐνεργείας, καὶ οὐδὲ συνεχῶς ἀλλ' ἐκ
διαλειμμάτων μακρῶν ἐπ' αὐτὰ φερόμεθα, ὧν δὲ ἐργωδέστερον καὶ κόρος
35 αὐτῶν τάχιον οὐ γίνεται. ἀλλ' ὅσον μᾶλλον ἀπολαύομεν, τοσοῦτον μᾶλλον 55
ποθοῦμεν, ἡ περὶ αὐτὰ ἐνέργεια ἡμῶν καὶ χρόνοις μακροῖς μετρεῖται, 178ᵇ
καὶ ἡ ἐπ' αὐτὰ ῥοπὴ κατὰ βραχέα γίνεται καὶ ἐκ διαλειμμάτων. οὗ δὲ
μηδέποτε κόρος, ἀλλ' ὅσον ἀπολαύει τις αὐτοῦ τοσοῦτον ποθεῖ καὶ ὀρέγεται,
περὶ τοῦτο δηλονότι συνεχῶς ἐνεργήσει καὶ ἀεί, κἂν συμβῇ διά τινα περί-
40 πτωσιν ἀποκλῖναι τῆς πρὸς ἐκεῖνο διατριβῆς, οὐκ ἐπὶ πολὺ ἂν ἀνάσχοιτο

13 ὡς B: ὡς καὶ a 16 μείζονα μέτρα B: μειζόνων μέτρων a 23 ἡ B: ὁ a
25 ἑαυτὸ B: ἑαυτοῦ a 37 βραχέα B: βραχὺ a περίπτωσιν B: περίπτωσιν a

τῇ πράξει ἀνήκουσα, τοῦ αὐτοῦ τοίνυν ἐπανήξει πρὸς ἐκεῖνο. τοιοῦτον 178v
δέ ἐστι πᾶν τὸ θεῖον καὶ ὁ δημιουργὸς ἡμῶν. συνεχὴς ἄρα ἡ περὶ αὐτὸ 5
τοῦ νοῦ ἐνέργεια. ἥτις ἐστὶν ἡ θεωρητικὴ εὐδαιμονία, ἔστι πρὸς τοῖς εἰρη-
μένοις, ὥστε καὶ διὰ τὴν συνέχειαν κρατίστη καὶ ἀκροτάτη καὶ τελειοτάτη
5 ἐστίν, οὐ μόνον δὲ ὡς αὐταρκεστάτη καὶ ὡς συνεχὴς ἐστι τελειοτάτη καὶ
ἀκροτάτη, ἀλλὰ καὶ ὡς ἡδίστη· τὰ γὰρ ἡδιστα συνέχειν λίαν ἐπὶ πολὺ
δύναται τοὺς χαίροντας αὐτοῖς. ὅ τε γὰρ τοῖς μέλεσι σφόδρα χαίρων δι'
ὅλης, ὡς εἰπεῖν, ἡμέρας καὶ νυκτὸς ἐκείνων ἀκούει, ὅ τε τοῖς κατὰ γεω-
μετρίαν ἢ τῇ μεγάλῃ συντάξει μόγις ἀφίσταται τούτων καὶ μετὰ βραχὺ 10
10 πάλιν ἀνατρέχει πρὸς ἐκεῖνα. εἰ δὲ ταῦθ' οὕτως ἔχειν δύναται τοὺς χαί-
ροντας αὐτοῖς, τί δεῖ λέγειν περὶ τοῦ καλλίστου καὶ ἀρίστου καὶ ἡδίστου
καὶ τῇ ἑαυτοῦ φύσει ὀρεκτοῦς ἔστι τοίνυν ἡ θεωρητικὴ εὐδαιμονία καὶ
ὡς ἡδίστη τελειοτάτη· ἡδίστη δὲ ἡ τοιαύτη ἐνέργεια, ὅτι καὶ τὸ ὀρεκτὸν
καὶ ἐφετὸν αὐτῆς ἡδύτατον. τὸ δὲ ἡδίστην εἶναι τὴν θεωρητικὴν ἐνέρ-
15 γειαν ἐδήλωσεν εἰπὼν οἰόμεθά τε δεῖν ἡδονὴν παραμεμῖχθαι τῇ 15
εὐδαιμονίᾳ. πᾶσι γὰρ ἡδὺς εἶναι δοκεῖ ὁ εὐδαίμων βίος. ἡ γὰρ τελεία
ζωὴ καὶ ἀνελλιπὴς καὶ αὐτάρκης ἀρίστη καὶ ἀκροτάτη, ὥστε καὶ ἡδίστη·
ἔστι δὲ τοιαύτη ζωὴ ἡ νοερά. ἔστι μὲν γὰρ καὶ ἡ πολιτικὴ εὐδαιμονία
αὐτάρκης καὶ τελεία καὶ ἡδεῖα· ἀλλὰ τὸ ὄντως τέλειον ἐν τῷ πρωτίστῳ
20 εἴδει τῆς ζωῆς ἐστι καὶ τὸ ὄντως ἡδύ· πρώτιστον δὲ εἶδος ζωῆς ἡ θεω- 20
ρητικὴ εὐδαιμονία. εἰπὼν δὴ ἀρίστην εἶναι τὴν ἐν θεωρίᾳ καὶ γνώσει
τῶν ἀρίστων εὐδαιμονίαν, ἐπήγαγε δοκεῖ γοῦν ἡ φιλοσοφία θαυμα-
στὰς ἔχειν ἡδονὰς καθαριότητι καὶ τῷ τιμίῳ. ἡ δὲ φιλοσοφία, 20
ὅτι θεωρία ἐστὶ καὶ ζωὴ νοερά, οὐδεὶς ἀγνοεῖ, ὥστε ἡδίστη. τὸ δὲ καθα-
25 ριότητι πρόσκειται διὰ τὰ πρὸ ὀλίγου εἰρημένα. εἴρηται γὰρ ὅτι τῶν
καθαριωτέρων καὶ αὐλοτέρων αἰσθήσεων αἱ ἐνέργειαι καθαριώτεραι. εἰ δὲ
τοῦτο, ὅσον ὁ νοῦς αὐλότερον καὶ τιμιώτερον τῶν αἰσθήσεων, τοσοῦτον καὶ
ἡ ἐνέργεια αὐτοῦ τῶν ἐνεργειῶν τῆς αἰσθήσεως. καὶ ἐκ τῶν ὑποκειμένων
ὅσον ὑπερφέρει τῇ καθαριότητι καὶ τῷ τιμίῳ τὰ νοητὰ τῶν αἰσθητῶν, 25
30 τοσοῦτον καὶ ἡ νόησις τῶν αἰσθήσεων καὶ θεωρία πράξεως. ἔτι ἐπεὶ ὁ
πολιτικὸς εὐδαίμων τοῖς πολίταις περιποιεῖται τὸ εὐδαιμονεῖν (τοῦτο δὲ αὐ-
τοῖς ὑπαρξάντων ὁλοκλήρων τῶν χορῶν τῆς πρωτευούσης ἑκάστοις τάξεως καὶ
εὐκοσμίας· αὗτη δὲ γίνεται τῷ τοὺς μὲν τιμᾶν, τοὺς δὲ καὶ κολάζειν),
ἐνδέχεται ποτε μετάμελον λαμβάνειν καὶ μετάνοιαν, ὅτι τόνδε ἐκόλασεν ἢ
35 τῷδέ τινι ἐχαρίσατο. ὁ δὲ θεωρῶν καὶ τὴν φύσιν τῶν ὄντων ἐπισκεπτό- 30
μενος οὐδέποτε ἐν μετανοίᾳ γίνεται, ὅτι τοῦδέ τινος τὴν φύσιν ἔγνω, ὅτι
τοιόνδε ζῷον. ἄμικτος μὲν οὖν καὶ καθαρὰ ἡ ἐπὶ τῷ θεωρεῖν ἡδονὴ διὰ
ταῦτα. ἄμικτος δηλονότι λύπῃ καὶ μεταμελείᾳ, τιμία δέ, διότι καὶ περὶ ἃ
ἐνεργεῖ καὶ ὧν ἀντιλαμβάνεται νοῶν ὁ θεωρητικὸς εὐδαίμων τιμιώτατα.

1 τὸ πᾶν, τὸ θεῖον a 3. 4 fort. ἔτι δὲ πρὸς τ. εἰρ. καὶ διὰ κτλ. 20 πρώ-
23 ἡδονὰς ἔχειν Arist. τιμίῳ Ba: βεβαίῳ Aristoteles 26 καθα-
ριοτέρων B et similiter plerumque 27 ὅσον a: ὅσων B 31 τοῦτο B: τοῦτ' a 31 ποτὲ B: δήποτε καὶ a τόνδε B: τόδε a 35 τωδὲ B: τὸ δέ a 39 τιμιώτατα B: τιμιωτάτη a

p. 1177a26 Εὔλογον δὴ τοῖς εἰδόσι τῶν ζητούντων ἡδίω τὴν 178ᵃ διαγωγὴν εἶναι.

Τὰ πρακτά, περὶ ἃ ὁ πολιτικὸς εὐδαίμων ἐνδιατρίβει, ἄστατα καὶ ἀόριστα τυγχάνει καὶ ἄλλοτε ἄλλως ἔχει. οὐ γὰρ εἰ σήμερον συμφέρει φιλίαν ἔχειν τούσδε τινὰς καὶ συμμαχεῖν αὐτοῖς ἢ συμμαχεῖσθαι πρὸς αὐτῶν, καὶ ἀεὶ ὠφέλιμόν ἐστιν, οὐδ' εἰ χρὴ νῦν πρὸς τούσδε πόλεμον [illegible] καὶ ἀεὶ πολεμητέον αὐτοῖς. εἰ οὖν ἀόριστα ταῦτα, τὰ δ' ἀόριστα ἄγνωστα. ἐν ἀγνοίᾳ ἄρα καὶ ζητήσει ὁ πολιτικὸς εὐδαίμων ἐστί. ζητεῖ γὰρ πότερον δεῖ πόλεμον ἆραι κατὰ τῶνδε ἢ σπείσασθαι καὶ συμμαχῆσαι τοῖσδε ἢ παριδεῖν κινδυνεύοντας καὶ πεζῇ πολεμῆσαι ἢ ναυμαχῆσαι καὶ τόνδε κολάσαι ἢ ἀφεῖναι καὶ ὅλως ἀεὶ σχεδὸν ἐν ἀγνοίᾳ καὶ ζητήσει καθέστηκεν. ὁ δὲ κατὰ νοῦν ἐνεργῶν ἐν κατοχῇ καὶ ἀπταίστῳ γνώσει τοῦ συστοίχου γνωστοῦ ἐστιν. ἡδίων ἄρα ἡ διαγωγὴ καὶ ὁ θεωρητικὸς βίος τοῦ πολιτικοῦ. ὁ γὰρ ζητῶν ἀγνοεῖ, ὁ δ' ἀγνοῶν οὐχ ἥδεται. τελειοτέρα οὖν ἡ θεωρητικὴ εὐδαιμονία τῆς πολιτικῆς καὶ ὡς αὐτάρκης καὶ ὡς ἡδίστη καὶ ὡς συνεχής. τοῦ γὰρ κρατίστου τέλους ἡ ὄρεξις κόρον οὐκ ἔχουσα συνεχής ἐστι καὶ ἐπ[illegible] τῶν ὅλων γὰρ πρὸς τὸ ὂν ἀναγκαίων καὶ ὁ [illegible] ὁ δίκαιος καὶ οἱ λοιποὶ δέονται. εἰπὼν τὸν θεωρητικὸν βίον ἀνενδεῆ καὶ αὐτάρκη (ἔστι γὰρ ὡς ἀληθῶς ἡ νοερὰ ζωὴ αὐταρκεστάτη καὶ ἀπροσδεής· ἔχων γὰρ ὁ θεωρητικὸς εὐδαίμων τὸ ὅλον τῆς [illegible] μέρους ἀριθῶν καὶ τούτου ἀπαιτοῦντος ὑπερορᾷ τῶν ἐκτὸς παρ[illegible] ἀναγκαίων· ταῦτα γὰρ ἐπιζητεῖ, οὐχ ὡς αὔξειν δὲ μέλλοντα τὴν νοερὰν αὐτοῦ ζωὴν δεῖται αὐτῶν, ἀλλ' ἐπεὶ παρὰ τοῦ τῶν ὅλων θεοῦ σώματος ἐπιτροπείαν ἔλαχε, δεῖται τῶν ἀναγκαίων εἰς συντήρησιν αὐτοῦ καὶ ποιεῖται δι' αὐτῶν τὴν αὐτοῦ πρόνοιαν ἀπροσπαθῶς· ἡ μὲν γὰρ τοῦ [illegible] τέλειος ζωὴ ἀνενδεής ἐστιν, ἡ δὲ δεομένη τῶν ἀναγκαίων ἡ τοῦ σώματός ἐστι ζωὴ διὰ τὸ οἰκεῖων ἀγαθῶν καὶ τὴν σφετέραν τελειότητα· ἀναγκαία οὖν ἐστι τῷ εὐδαίμονι ἡ τοῦ σώματος τελειότης καὶ οὐχὶ προηγούμενον 179ᵃ ἀγαθόν.) εἰπὼν δὲ τὸν μὲν θεωρητικὸν βίον αὐτάρκη, τὸν δὲ πολιτικὸν βίον ἐνδεῆ, φησὶν ὅτι τῶν μὲν ἀναγκαίων πάντες δέονται καὶ ὁ σοφὸς καὶ ὁ δίκαιος, λέγων δίκαιον τὸν πολιτικὸν εὐδαίμονα, ὥσπερ σοφὸν τὸν θεωρητικόν. ἀλλ' οἱ μὲν ἄλλοι δέονται ὡς προηγουμένων ἀγαθῶν, ὁ δὲ θεωρητικὸς ὡς ὀργάνων. ὡς ἀναγκαίων [illegible] γοητικῶς νοσοῦν παρεμποδίσει τῇ θεωρίᾳ, ἀλλ' ὁ μὲν τοιοῦτος ὑπερορᾷ, καθάπερ [illegible] τῶν ἐκτός. τοῖς δὲ τοιούτοις, ἤτοι τοῖς ἀγαθοῖς, ἤτοι τοῖς πολιτικοῖς εὐδαίμοσιν [illegible]

1 δὴ B: δὲ a et Aristoteles διαγωγὴν B et Arist. vulg.: ἀγωγὴν a et Arist. cod. Lb [illegible] p. 1177[illegible] 7 [illegible]

8 ζητεῖ B: ζητήσει a 16 συνεχής B: συνέχεια a 17 τῶν μὲν γάρ — δέονται (18) B: om. a 17. 18 σοφὸς καὶ δίκαιος Arist. 21 ἀγαθὸν B: ἀγαθῶν a 30 βίον B: om. a ἐνδεῆ a: ἐνδεᾶ B 31 παρεμποδίσει B: παρεμποδίζει a 36 an εὐδαίμοσιν?

[illegible] 179
κης οὔτε ἡ ἀρετὴ μόνη πρὸς εὐδαιμονίαν (καὶ δέδεικται τοῦτο τῷ ἐξῆ-
γησθαι Ἀλ[illegible]ν ὅτι τῶν αὐτοῦ ἐνεργήσει) οὔτε ἡ τῶν ἐκτὸς ἀγαθῶν
παρουσία, ἀλλ' εἰσὶ καὶ τούτων παρόντων ἐνδεεῖς. δέονται γάρ, ἐπειδὴ 10
ἐνέργειαν καὶ τὴν πολιτικὴν εὐδαιμονίαν τίθενται, τῶν ἰδίων ὑποκειμένων
περὶ ἃ ἐνεργήσουσιν. εἰ γὰρ πᾶσα ἐνέργεια πρός τι καὶ περί τι, δεῖ τῶν
περὶ ἃ ἐνεργήσουσιν. ἀνάγκη γὰρ ἀναιρεῖσθαι τὰς πράξεις καὶ ἐνεργείας
τοῦ πολιτικοῦ εὐδαίμονος, μὴ ὄντων τῶν κινούντων καὶ ἐπισπώντων αὐτὸν
πρὸς τὸ ἐνεργεῖν. ὥσπερ γὰρ χρήζει ὀργάνων, δι' ὧν ἂν ἐνεργήσῃ, οὕτω
[illegible] καὶ πρώτων τῶν ἐναρέτων. ὅ τε γὰρ δίκαιος δεῖται, πρὸς οὓς δικαιοπρα- 15
γήσει (εἰ γὰρ ἡ δικαιοσύνη τοῦ ἴσου τοῦ κατὰ ἀναλογίαν ἑκάστῳ ἐστὶ δια-
νεμητική, δεῖται οἷς τὸ κατ' ἀξίαν ἀποδώσει· μὴ παρόντων οὖν τούτων
ἀνῄρηται ἡ ἐνέργεια αὐτοῦ καὶ ἡ δικαιοπραγία) ὅ τε ἀνδρεῖος δεῖται τῆς
τῶν πολεμίων παρουσίας (οὐ δύναται γὰρ πολεμίων μὴ παρόντων ἐνεργῆσαι
τὰ ἀνδρικά). ὅ τε σώφρων ὡσαύτως δεῖταί τινων, πρὸς οὓς τὰ σωφρονικὰ
διαπράξεται (τούτων τε οὖν αὐτοῖς χρεία, καὶ ἔτι ὀργάνων· τῷ μὲν γὰρ 20
ἐλευθερίῳ χρημάτων, τῷ δ' ἀνδρείῳ ὅπλων καὶ τῷ δικαίῳ ἐκείνων, ἃ
μέλλει διανέμειν) καὶ ὁ φρόνιμος τέλους ἤ τινων τελῶν, ἵνα τὰ πρὸς τὴν
λῆψιν αὐτῶν καὶ κατάσχεσιν συντελοῦντα εὑρήσει. ὁ δὲ θεωρητικὸς οὐδε-
νὸς χρήζει· ἔχων γάρ, ὡς εἴρηται, τὸ ὅλον τῆς οἰκείας ἐνεργείας ἀγαθὸν
ἀπροσδεὴς καὶ ὅλως οὐ δεῖταί τινος ἄλλου πρὸς τὸ ἐνεργεῖν περὶ αὐτό,
καὶ ὅσῳ ἂν σοφώτερος καὶ βελτίων τὴν ἕξιν ᾖ, τοσούτῳ μᾶλλον ἐνεργήσει.
εἰ οὖν ὁ πολιτικὸς δεῖται τινων πρὸς τὸ ἐνεργεῖν, ὁ δὲ θεωρητικὸς οὐ
[illegible] θεωρητικὴ ἄρα εὐδαιμονία αὐταρκεστάτη καὶ ἥδιστη δι' αὐτὸ 25
τοῦτο τὸ μὴ δεῖσθαι καὶ τελειοτάτη.

p. 1177ª34 Βέλτιον δ' ἴσως συνεργοὺς ἔχειν, ἀλλ' ὅμως αὐταρ-
[illegible]τατος.

Συνεργοὺς οὐ πρὸς τὴν κατὰ νοῦν ἐνεργειαν, ἀλλὰ πρὸς τὸ ἀνενόχλη-
τον τῆς θεωρίας· χρήζει γὰρ τοῦ ἐφήσοντος τὰ λάχανα καὶ ὕδωρ κομί- 30
σοντος καὶ τὸ χιτώνιον ἀπορρύφοντος καὶ ὅλως τοῦ τὰ ἀναγκαῖα ποιήσον-
τος. ὅμως, φησί, κἂν τούτου ἀπορήσῃ, αὐταρκέστατός ἐστι διὰ τὸ πάμπαν
[illegible] ἀντλήσει γὰρ αὐτὸς ὕδωρ καὶ λάχανον εὑρήσει. εἰ μὲν
γὰρ περὶτκαὶ φασιανῶν ἐφήσατο [illegible] πραγμάτων, τότ
ἂν ἦν ἀσχόλως κα[illegible]ἐπεὶ οὐ νῦνγε καὶ ταῦτα καὶ τῶν τοῦτα

3 Μεξάνδρῳ] de anima qui fertur libro II p. 159 Br. 8 τῶν B: καὶ a 9 ἐνεργήσῃ B: ἐνεργήσει a 11 πρώτων B: πρώτῃ a 12 ἀναλογίαν B: ἀνάλογον a 13 οἷς B: ἑκάστων οἷς a 15 πολεμίων B: πολέμων a 17 διαπράξεται Vat. 320: διαπράττεται Ba 23 βελτίων B: βελτίω a 24 οὐ B: om. a 27 ἔχειν B et Arist. cod. Mb ἔχων a et Arist. vulg. 28 thesis usque ad τὴν πρᾶξιν (p. 1177ᵇ4) a 32 αὐταρκέστατός B: αὐταρκεστάτη a 34 φασιανῶν B

παρασκευασάντων ἀπορῶν αὐταρκέστατος ἔσται. ἢ συνεργοὺς λέγοι ἂν τοὺς 179c
οἰκείους αὐτῷ φίλους. δεῖται γὰρ τούτων, ὅτι οἱ φίλοι παραθήγουσιν
ἀλλήλοις τὴν ἀρετήν, καὶ χρόνον πλείονα καὶ συνεχέστερον ἢ κατὰ μόνας
ἐνεργοῦσι κατ' αὐτήν. τὸ δὲ ἴσως πρόσκειται πρὸς μὲν τὸ πρότερον, ὅτι
οἱ περὶ τὰ ἀναγκαῖα ἐπιτήδειοι οὐ πρὸς τὴν εὐδαιμονίαν αὐτὴν καθ' αὐτὴν
οὐδὲ πρὸς ἀνέρων αὐτὴν εἶσι συνεργοί, ἀλλὰ πρὸς τὴν τοῦ σώματος τε-
λειότητα· ὅπερ σῶμα εἰ μὲν ταὐτὸν ἦν τῷ ἀληθεῖ ἀνθρώπῳ, ἦσαν ἂν
συνεργοὶ τῷ εὐδαίμονι· ἐπεὶ δὲ οὐ ταὐτόν, ἴσως ἄν, ἧττον κατὸ συμβεβη-
κὸς ἂν εἴποιμεν συνεργούς, καὶ οὐχ ἁπλῶς· πρὸς δὲ τὸ δεύτερον διά τινα
εὐλάβειαν καὶ τὴν πρὸς τὸν διδάσκαλον Πλάτωνα φίλον. ἀμφοῖν λέγειν
δεῖσθαι συνεργοῦ τὸν ὄντως ἄνθρωπον. αὐτοῦ γὰρ ἐν τῇ ψυχῇ τοῦ νοῦ
ἐλλάμποντος καὶ ὅλης ἐκείνου οὔσης, τὸ ἡ χρεία τοῦ ἄλλου πρὸς τὸ εὖ
δαιμόνως ζῆν· καὶ λέγει περὶ τούτων ὁ Πλάτων καὶ ἐν ταῖς Πολιτείαις
καὶ ἐν τοῖς Νόμοις. ὅτι δὲ μετὰ τῶν φίλων καὶ μᾶλλον καὶ συνεχέστερον
ἐνεργοῦσιν οἱ εὐδαίμονες, εἴρηται ἐν τῷ πρὸ τούτου βιβλίῳ, ὅτε ἐδείκνυεν
ὅτι ὁ εὐδαίμων δεῖται φίλου. ὁόξειε δ' ἂν αὕτη μόνη δι' ἑαυτὴν
ἀγαπᾶσθαι. εἰ τὸ δ' αὐτὸ αἱρετὸν τοῦ δι' ἄλλο, ὡς εἴρηται, αἱρετώτερον
ἡ μὲν γὰρ ὑγίεια δι' αὐτὴν οὖσα αἱρετὴ φαρμακείας καὶ φλεβοτομίας τῶν μὴ
δι' ἑαυτὰς ἀλλὰ διὰ τὴν ὑγίειαν οὐσῶν αἱρετώτερον καὶ τελειότερον), ἔστι
δὲ ἡ μὲν πολιτικὴ εὐδαιμονία τῶν δι' ἄλλο τι αἱρετῶν (διὰ γὰρ τὴν θεωρη-
τικὴν εὐδαιμονίαν καὶ ὅτι τοὺς πολίτας καὶ τὴν πόλιν εὐδαίμονας ποιοῦ-
σιν ἢ νοερὰ ζωὴ δι' ἑαυτὴν καὶ οὐ δι' ἄλλο τί ἐστιν αἱρετή, αὕτη 50
ἂν εἴη ἡ τελεία εὐδαιμονία. τέλειος μὲν γὰρ καὶ ἡ ὑγίεια καὶ τελείου
εἶδος, ἀλλ' ὡς πρὸς τὴν ἀρετὴν ἀτελὴς ἐστι. πάλιν τέλειον ὄντα εἶδος
ἡ ἀρετή, ἀλλὰ πρὸς τὴν πολιτικὴν εὐδαιμονίαν ἀτελὴς ἐστι. καὶ ὅλως τὰ
ὠφελιμένα ὅσον πρὸς τὴν οἰκείαν φύσιν καὶ τὸ σφέτερον εἶδος τέλεια μέν
εἰσιν, ἀτελῆ δὲ λέγονται ὡς πρὸς τὰ ὑπέρτερα καὶ σεμνότερα. εἰ οὖν
τοῦθ' οὕτως ἔχει (καὶ παντὸς μᾶλλον ἀληθέστατον), ἔστι δὲ ἡ θεωρητικὴ
εὐδαιμονία τὸ ἔσχατον εἶδος καὶ τὸ δι' ἑαυτὸ καὶ μὴ δι' ἄλλο τι | αἱρε- 179v
τόν. αὕτη ἂν εἴη ἡ τελεία εὐδαιμονία. ὅτι δὲ τὸ ἔσχατον τέλος καὶ τε-
λειότατόν ἐστι καὶ μόνον δι' ἑαυτὴν καὶ οὐ δι' ἄλλο τι ἀγαπᾶται, δῆλον
ἐκ τοῦ μηδὲν ἄλλο τι παρ' αὐτὴν ἡμῖν παραγενέσθαι. ἀπὸ μὲν γὰρ τῆς
ἀνδρείας ἐπιγίνεται νίκη, ἀπὸ δὲ σωφροσύνης ἀσχλησία, ἀπὸ δὲ φρονήσεως
τοιῶνδε τῶν πρὸς τέλος τι συντεινόντων, ἀπὸ δὲ πασῶν ὁμοῦ ἡ πολιτικὴ
εὐδαιμονία· καὶ ἀπὸ τῶν ἄλλων πράξεων καὶ ποιήσεων ὁμοίως, ἀπὸ μὲν
τῆσδε πλέον, ἀπὸ δὲ τῆσδε ἔλαττον, οἷον ἀπὸ μὲν τῆς ἐμπορίας πλοῦτος,
ἀπὸ δὲ τῆς ὑφαντικῆς ὕφασμα καὶ ἀπὸ τῆς ἰατρικῆς ἢ ἰατρεύσεως ὑγίεια

1 παρασκευασάντων a λέγοι B: λέγει a 2 παραθήγουσιν scripsi: παραθήσουσιν Ba 3 ἀλλήλοις B: ἀλλήλους a 10 λέγοντα Vat. 320: λέγοντος Ba 13 quos locos voluerit hau scio, cf. de Rep. X p. 613a 15 ἐν τῷ πρὸ τούτου βιβλίῳ] c. 9 p. 1169b3 16 ὁόξειε δ' ἂν Ba et Arist. codd. LbMbOb: ὁόξει τ' ἂν Arist. vulg. 17 ὡς εἴρηται] c. 2 p. 1172b20 21 ἔστι B: ἔστι a 22 τι B: τοι a 31 μόνον scripsi: μὴ Ba

καὶ ἀπὸ τῆς οἰκοδομήσεως οἰκία· ἀπὸ δὲ τῆς θεωρίας οὐδέν τι ἀλλ' αὐτή 179v
ἐστιν ἡ θεωρία καὶ ἐνέργεια καὶ τέλος.

p. 1177b4 Δοκεῖ τε ἡ εὐδαιμονία ἐν τῇ σχολῇ.

Τοὺς σχολάζοντας (καὶ) ἐκτὸς παντὸς ὄχλου ὄντας εὐδαίμονας λέγουσι καὶ 10
καὶ' ἑκάστην ἀκούομεν πάντας λέγοντας ὑπ' αὐτῆς τῆς φύσεως ἀγομένους
"ὁ δεῖνα μακάριός ἐστι καὶ εὐδαίμων"· ἐρωτώμενοι δὲ διὰ τί, λέγουσι
"διότι ἀνενόχλητος διατελεῖ σχολάζων καὶ δίχα θορύβου διαβιῶν". εἰ οὖν
τοὺς σχολάζοντας εὐδαιμονίζομεν, ἐν σχολῇ δὲ μᾶλλόν εἰσιν οἱ νοερῶς
ζῶντες, οὗτοι μᾶλλόν εἰσι εὐδαίμονες, καὶ μᾶλλον καὶ ὄντως ἀκροτάτη καὶ
τελεία εὐδαιμονία ἐστὶν ἡ κατὰ νοῦν ζωὴ καὶ γνῶσις τῶν θείων καὶ ἐπα- 15
φὴ καὶ οὐχ ἡ ἐν ἀσχολίᾳ παντοίᾳ πολιτικὴ εὐδαιμονία. πάντα τοίνυν,
ὅσα περὶ εὐδαιμονίας ἐδόξασαν οἱ πρὸ αὐτοῦ καὶ σὺν αὐτῷ, ἔδειξεν ὑπάρ-
χοντα τῇ θεωρητικῇ εὐδαιμονίᾳ. εἴτε γὰρ εὐδαιμονία ἐστίν, ὡς τινες
εἶπον, τὸ δι' ἑαυτὸ αἱρετὸν καὶ μὴ δι' ἄλλο τι, τῇ νοερᾷ μόνῃ ζωῇ
τοῦθ' ὑπάρχει καὶ οὐκ ἄλλῳ τινί, εἴτε ψυχῆς ἐνέργεια, ὡς ἄλλοι ἀπεφή- 20
ναντο, τὸ κατὰ τὸ ἀγαθὸ τὸ ἀπὸ τῶν νοητῶν εἰς αὐτὴν ἀφιγμένον. ὃ
δὴ ἀγαθά ἐστιν, ἥ τε ἐκεῖθεν ἐλλαμψις ἡ πρὸς τὸν θεωρητικὸν εὐδαίμονα
καὶ ἡ δι' αὐτὸν γνῶσις τῶν τε πρώτων καὶ δευτέρων καὶ τῶν ἐφεξῆς καὶ
τῆς κοινωνίας αὐτῶν καὶ διαφορᾶς καὶ τῆς ἑκάστων ἰδιότητος, καὶ τοῦτο
τὸ ταύτῃ ἐξαίρετόν ἐστι καὶ ἰδιαίτατον, εἴτε εὐζωία καὶ εὐπάθεια, καὶ ταύ- 25
της εὐμοιρεῖ, εἴτε σχολὴ καὶ ἀπραξία, ὡς ὁ Ἐπίκουρος βούλεται, καὶ τοῦτο
ταύτῃς ὂν διὰ τῶν προκειμένων δείκνυσι λέξεων. λέγων δοκεῖ τε ἡ εὐ-
δαιμονία ἐν τῇ σχολῇ. εἰ γὰρ ἡ εὐδαιμονία τέλος ἐστὶ τὸ ἔσχατον,
ἐστι δὲ καὶ ἡ σχολὴ τέλος ἔσχατον, ἡ εὐδαιμονία ἐν σχολῇ ἂν εἴη. ὅτι 25
δὲ ἡ σχολὴ τέλος ἐστὶν ἔσχατον, πρηβιβάζει ἀπὸ τῆς πολιτικῆς εὐδαιμο-
νίας, ἥτις εὐδαιμονία ἁπλῶς μὲν ἐν σχολῇ οὐκ ἔστι, πῇ δὲ καὶ κατά τι.
ἐν σχολῇ μὲν γάρ ἐστι, καθόσον ὑπείκουσιν αὐτῷ πᾶσαι αἱ πλησιάζουσαι
πόλεις, καθόσον δὲ τὰ τῆς πόλεως ὀσημέραι περισκοπεῖ καὶ τὰ κοινῇ καὶ
χωρὶς ἑκάστῳ καλὰ καὶ συμφέροντα βέβαια καὶ μόνιμα διαμένειν φροντί- 30
ζει. ἄσχολός ἐστι καὶ πεθορυβημένος. πόθεν δὲ δῆλον, ὅτι ἡ σχολὴ τέλος
ἐστὶν ἔσχατον; ἐκ τοῦ τόξα μὲν γλύφεσθαι καὶ ὡράκκας πλέκεσθαι καὶ 30
ὁπλοις συναρμόζεσθαι διὰ τὸν πόλεμον, τὸν δὲ πόλεμον αἱρεῖσθαι διὰ
τὴν εἰρήνην, ἥτις ἐστὶ σχολή. ὥστε ἐπεὶ ἡ εἰρήνη σχολή, τέλος δὲ ἡ
εἰρήνη, καὶ ἡ σχολὴ ἄρα τέλος τῆς ἀσχολίας, ἥτοι τῆς τῶν ὅπλων κατα-
σκευῆς καὶ τῆς λοιπῆς ἄλλης τῆς πρὸς τὸν πόλεμον παρασκευῆς. ἀλλ 35
ἐπεὶ καὶ αὕτη ἡ σχολὴ ἀσχολία τίς ἐστιν, ὡς εἴρηται, πᾶσα δὲ ἀσχολία
τέλους τινὸς καὶ σχολῆς ἐφίεται, εἴη ἂν τὸ τῆς ἀσχολίας ταύτης τέλος

3 thesis usque ad εἰρήνην ἄγωμεν (p. 1177b6) a 4 καὶ ἐκτὸς a: ἐκτὸς B 17 εὐ-
δαίμονα B: εὐδαιμονία a 19 ἑκάστων a: ἑκάστω B 25 ἐστὶν B: om. a
29 διαμένειν Vat. 320: διαφέρειν Ba 36 ἀσχολία (priore loco) B: σχολή a

σχολή· καὶ τὸ ἔσχατον τέλος (τοῦτο δέ ἐστιν ἡ θεωρητικὴ εὐδαιμονία) ἐν 179ᵃ
σχολῇ ἄρα. 35

p. 1177b6 Τῶν μὲν οὖν πρακτικῶν ἀρετῶν ἐν τοῖς πολιτικοῖς ἢ ἐν τοῖς πολεμικοῖς αἱ ἐνέργειαι.

Εἰπὼν ὅτι ἐν σχολῇ δοκεῖ εἶναι ἡ εὐδαιμονία, δείκνυσι διὰ τούτων, ὅτι οὐδεμία ἄλλη τις ἐνέργεια οὔτε πολεμικὴ οὔτε πολιτικὴ οὔθ' ἡ πολιτικὴ αὐτὴ εὐδαιμονία ἐν σχολῇ ἐστιν, ἀλλὰ μόνη ἡ κατὰ νοῦν ἐνέργεια, ἡ θεωρητικὴ εὐδαιμονία. τοῦτο δεικνὺς λέγει, ὅτι τῶν μὲν πρακτικῶν ἀρετῶν, ἤτοι τῶν ἠθικῶν, αἱ ἐνέργειαι ἢ ἐν τοῖς πολιτικοῖς πράγμασίν εἰσιν ἢ ἐν τοῖς πολεμικοῖς, αἵτινες, καὶ αἱ κατὰ τὸν πόλεμον καὶ αἱ κατὰ τὴν πόλιν, ὅτι ἄσχολοί εἰσι καὶ μεσταὶ φροντίδος καὶ ταραχῆς, οὐδεὶς ἀγνοεῖ τῶν ἐν πολέμοις καὶ πολιτικοῖς πράγμασι διατριβόντων. οἵ τε γὰρ τῶν χρημάτων τῆς πόλεως ταμίαι ἀναπλεῖν εἰσι θορύβων, φροντίζοντες ὡς λόγον ἀποδώσοντες τῶν τεθησαυρισμένων καὶ ἀποθησαυριζομένων, οἵ τε τοὺς ἀδικεῖν πειρωμένους ἀναστέλλοντες ἐν παντοίᾳ ταραχῇ καθεστήκασιν ὄντες, οἵ τε τὰς ἀμοιβὰς καὶ ἀνταλλαγὰς ἐπισκεπτόμενοι, ὅπως ἂν ὅτι μάλιστα κατ' ἀξίαν γίνοιντο. τέλεόν εἰσιν ἄσχολοι. τί δ' ἂν εἴποι τις περὶ τῶν πολιαρχόντων, οὓς ὑπάρχους καλοῦσιν; οὐκ ἔστιν οὐδεὶς τούτων ἄσχολος. λέγομεν δὲ τοὺς ὄντας ταμίας καὶ πολιάρχους καὶ τοὺς ἄλλους ὁμοίως. ἀλλ' οὐχὶ τοὺς καθ' ἡμᾶς κόρακας. εἰπὼν δὴ ὅτι καὶ αἱ πολιτικαὶ καὶ αἱ πολεμικαὶ ἐνέργειαι ἀσχολοί εἰσι, δείκνυσι πρῶτον, ὅπως αἱ πολεμικαὶ τοιαῦταί εἰσι· καὶ φησιν οὐδεὶς γὰρ τὸ πολεμεῖν αἱρεῖται χάριν τοῦ πολεμεῖν, ἀλλὰ πολεμοῦμεν, ἵνα εἰρήνην ἄγωμεν. εἰ οὖν πολεμοῦμεν, ἵνα εἰρη- 180ᵃ
νεύωμεν, ἡ δ' εἰρήνη σχολή τίς ἐστι, πολεμοῦμεν ἄρα ἵνα σχολάζωμεν. πᾶν δὲ τὸ γινόμενον ἐκ τοῦ ἀντικειμένου ἢ τοῦ ἐναντίου γίνεται, ὡς ἐν τῷ πρώτῳ τῶν Φυσικῶν δέδεικται. εἰ οὖν καὶ ἡ εἰρήνη ἐκ τοῦ πολέμου γίνεται, ἔστι δὲ ἡ εἰρήνη σχολή, ὁ πόλεμος ἄρα ἀσχολία καὶ αἱ ἐν αὐτῷ πράξεις. ὅτι δὲ χάριν τοῦ σχολάζειν πολεμοῦμεν, πιστούμενος ἐπήγαγεν οὐθεὶς γὰρ αἱρεῖται τὸ πολεμεῖν χάριν τοῦ πολεμεῖν, ὃ ταὐτόν ἐστι τῷ οὐθεὶς γὰρ αἱρεῖται τὸ ἀσχολεῖσθαι χάριν τοῦ ἀσχολεῖσθαι, ἀλλ' ἵνα σχολάζῃ. μαιτρόνος γὰρ καὶ ἀσεβὴς καὶ παντάπασιν ἀδικώτατος ὁ πολεμῶν ἵνα πολέμους ἔχῃ. εἰ γὰρ τὸν πόλεμον αἱρεῖται, ἵνα πολεμῇ, κρατήσας πάντων τῶν πολεμίων καὶ ὑπὸ χεῖρα ποιήσας, τίσι πολεμήσει; ἐπεὶ τὸ πολεμεῖν αἱρεῖται ἕνεκα τοῦ πολεμεῖν, δῆλον δή, ὅτι κατὰ τῶν φίλων ἐπά-

1 ἐν B et Arist. vulg.: om. a et Arist. cod. Lᵇ αἱ ἐνέργειαι Ba et Arist. cod. Lᵇ: ἡ ἐνέργεια Arist. vulg. rhesis usque ad ἑτέραν οὖσαν (p. 1177b15) a 5 δοκεῖ εἶναι B: εἶναι δοκεῖ a 12 πολέμοις B: πολέμῳ a 15 καταστήκασιν Ba 17 γίνοιντο a: γίνοιτο B εἴποι B: εἴπῃ a 17. 18 πολιαρχόντων a 19 πολιάρχους a: πολιάρχας B 20 κόρακας Ba: κόλακας Diels 24 ἡ B: εἰ a 25. 26 ἐν τῷ πρώτῳ τῶν Φυσικῶν] c. 5 27 ἀσχολία B: σχολή a 29 et 30 οὐθεὶς B: οὐδεὶς a

ξει τὸν πόλεμον. ὅπερ ἐσχάτης ἐστὶν ἀδικίας καὶ μιαιφονίας. οὐκ ἄρα 180r
πολεμοῦμεν, ἵνα πολεμῶμεν, ἀλλ' ἵνα ἡσυχίαν ἄγωμεν, ὅπερ ταὐτόν ἐστιν, 10
ὡς εἴρηται, τῷ ἀσχολούμεθα. ἵνα σχολάζωμεν. ἄσχολοι ἄρα αἱ πολεμικαὶ
πράξεις, ἐπειδὴ τὸ τέλος αὐτῶν, ἡ εἰρήνη, σχολή. ἔστι δὲ καὶ ἡ τοῦ
5 πολιτικοῦ ἄσχολος, καὶ παρ' αὐτὸ τὸ πολιτεύεσθαι. ὁ καί σύν-
δεσμος ὁ ἐν τῇ λέξει τῇ καὶ παρ' αὐτὸ τὸ πολιτεύεσθαι οὐ παρέλκει,
ἀλλ' ἐνδείκνυται, ὅτι οὐ μόνον ὅτε τὰ πολιτικὰ πράττει καὶ περὶ ταῦτα
ἀσχολεῖται, ἀλλὰ καὶ ὅτε μὴ ἐνεργεῖ σκοπούμενος τί μὲν πέ-
πραχε, τί δὲ τῶν ἀναγκαίων παρέλιπε, καὶ τί δεῖ ἐς νέωτα πρᾶξαι καὶ τί 15
10 μὴ πρᾶξαι. καὶ ἡ ἂν μόνον καταμήσῃ ἡ λέξις καὶ τοῖς ἑξῆς
συμφωνοτέρα, εἰ οὕτω πως εἶχε 'καὶ ἐν αὐτῷ τῷ μὴ πολιτεύεσθαι ἀσχο-
λός ἐστιν.' ἀλλὰ ταῦτα μὲν ἴσως τοιαῦτα. δείξας δὲ τὰς πολεμικὰς ἐνερ-
γείας ἀσχόλους, δείκνυσιν ὅτι οὐδὲ αἱ πολιτικαὶ ἀπηλλαγμέναι εἰσὶ θορύ-
βου καὶ ταραχῆς, ἀλλὰ καὶ αὐταὶ ἄσχολοι τυγχάνουσιν οὖσαι. τὸν γὰρ
15 περιποιούμενον τιμὰς καὶ δυναστείας ἑαυτῷ καὶ τῇ πόλει καὶ σπουδάζοντα 20
καὶ μεριμνοῦντα κυριεύειν τῶν πέριξ πόλεων καὶ τιμᾶσθαι καὶ αὐτὸν καὶ
τοὺς πολίτας πρὸς ἁπάντων, ἐν ἀφθονίᾳ τε τυγχάνειν πάντων τῶν πρὸς
ζωήν, πῶς ἂν τὸν οὕτως ἔχοντα φήσειεν ἄν τις ἄσχολον εἶναι; ἡ μὲν διά-
νοια τῶν προκειμένων συλλαβῶν αὕτη. τὴν δὲ λέξιν τὴν ἑτέραν τῆς
20 πολιτικῆς, ἣν καὶ ζητοῦμεν ὑπερβατῶς ἀναγνωστέον 'ἑτέραν οὖσαν
ἣν καὶ ζητοῦμεν τῆς πολιτικῆς' λέγει δὲ ὅτι ὁ εὐδαίμων ἑαυτῷ καὶ τοῖς
πόλεσι δυναστεύειν προαιρούμενος, καὶ ἡ τοιαύτη εὐδαιμονία ἑτέρα ἐστὶ 25
τῆς θεωρητικῆς εὐδαιμονίας, ἣν θεωρητικὴν εὐδαιμονίαν ζητοῦμεν νῦν. ὁ
δὲ καὶ σύνδεσμος ἐκ περιττοῦ κεῖται νῦν. ἔστι γὰρ τὸ ὁρίζον τοιοῦτον
25 'ἑτέραν οὖσαν, ἣν ζητοῦμεν, τῆς πολιτικῆς.'

p. 1177b16 Εἰ δὴ τῶν κατὰ τὰς ἀρετὰς πράξεων αἱ πολιτικαὶ καὶ
πολεμικαί.

Ταῦτα οἷον συμπέρασμά εἰσι τῶν περὶ τῆς θεωρητικῆς εὐδαιμονίας
εἰρημένων. ὃ δὲ λέγει, τοιοῦτον ἂν εἴη δυνάμει. εἰ τὰ στοιχεῖα τῆς τε-
30 λείας εὐδαιμονίας εἰσὶ τὸ δι' ἑαυτὸ καὶ μὴ δι' ἄλλο τι αἱρετόν, τὸ ἥδι- 35
στον, τὸ αὔταρκες, τὸ σχολαστικόν, τὸ ἄτρυτον καὶ ἀνένδοτον καὶ μόνιμον
τῆς ἐνεργείας, ὡς ἀνθρώπῳ δυνατόν. εἰ οὖν ταῦτά ἐστι τὰ συστατικὰ τῆς
εὐδαιμονίας στοιχεῖα. ταῦτα δὲ μόνῃ τῇ θεωρητικῇ ὑπάρχει εὐδαιμονίᾳ,
ἡ πρώτη καὶ τελεία εὐδαιμονία καὶ τῶν ἀνθρώπων οἰκειοτάτη [ἐστὶν] αὕτη
35 ἂν εἴη. ἡ δὲ πολιτικὴ δευτέρα καὶ μετ' αὐτὴν οἰκεία οὐ τῷ ἀληθινῷ
καὶ ὄντως ἀνθρώπῳ, ἀλλὰ τῷ συγκειμένῳ ἐκ νοῦ καὶ σώματος. εἰ γὰρ

1 ἐσχάτης B: ἔσχατον a 11 συμφωνοτέρα B: συμφωνότερον a 16 πόλεων B: πολέμων a 26 τῶν κατὰ B: τῶν μὲν κατὰ a et Aristoteles 26, 27 πολεμικαὶ καὶ πολιτικαὶ a 27 thesis usque ad φαίνεται ὄντα (p. 1177b24) a 28 συμπέρασμα B: συμπεράσματά a 31 ἐστὶν B: om. a 35 μετ' αὐτὴν οἰκεία B: μετὰ τὴν οἰκείαν a

καὶ ἑκάστου φύσις αὐτὸ τοῦθ' ὅπερ ἐστὶ τελεία ὑπάρχει, ἀλλὰ τῶν ὑπερ- 180r
κειμένων ὑφεῖται καὶ ἀτελής ἐστι πρὸς τὰ ὑπέρτερα, ὥστε καὶ ἡ πολιτικὴ
κατ' αὐτὸ τοῦτο ἀτελής ἐστιν, ὡς πρὸς τὴν θεωρητικήν, εἰ καὶ τελεία 10
κατά γε τὴν οἰκείαν φύσιν ἐστίν. ὃ μὲν βούλεται λέγειν τοῦτό ἐστι. περὶ
δὲ τῶν λέξεων ἐκεῖνο πρῶτον ῥητέον, ὅτι ἡ τούτων ἀπόδοσίς ἐστιν ἐν τῷ
ἡ τελεία εὐδαιμονία αὕτη ἂν εἴη ἀνθρώπῳ λαβοῦσα μῆκος βίου
τέλειον· τὸ δὲ λοιπὰ μεταξὺ παρεμβέβληται, ἀνάμνησις ὄντα τῶν εἰρη-
μένων περὶ εὐδαιμονίας. ἔπειτα ῥητέον, ὅσον διαφέρει πόλις ἑνὸς ἀνδρός,
τοσοῦτον καὶ αἱ κατ' ἀρετὴν πολιτικαὶ πράξεις ἅπασαι, αἵτινές εἰσιν ἡ
πολιτικὴ εὐδαιμονία, διαφέρει μεγέθει καὶ κάλλει μιᾶς κατ' ἀρετὴν πρά- 15
ξεως. τὰ γὰρ ἀπὸ ἀρετῆς καὶ κατ' ἀρετὴν πᾶσι τοῖς πολίταις προσόντα
τε καὶ πραττόμενα μεγάλα καὶ καλὰ τυγχάνει. καὶ πολὺ προύχουσι τῆς
ἑνὸς ἀνδρὸς ἀρετῆς καὶ πράξεων. ὁμοίως δὴ καὶ ἐπὶ τῶν πολεμικῶν ἔχει
πράξεων· πολὺ ὑπερέχουσιν αἱ τοῦ στρατεύματος ὅλου κατ' ἀρετὴν πράξεις
καὶ ἀνδραγαθίαι τῶν ἑνὸς στρατιώτου κατορθωμάτων, ὅμως δ' οὖν, καίτοι 20
μεγάλων καὶ καλῶν οὐσῶν, τὸ σχολαστικὸν οὐ πάρεστιν αὐταῖς ἀλλὰ πρὸς
τῷ ἀσχόλους εἶναι καὶ οὐ δι' ἑαυτὰς ἀλλὰ δι' ἄλλο τι τυγχάνουσιν οὖσαι
αἱρεταί, διὰ νίκην, διὰ χρημάτων συλλογὴν καὶ χώρας ἐπίκτησιν. τὸ δὲ
δι' ἄλλο τι αἱρετὸν ἀτελὲς καὶ οὐδ' αὔταρκες. ἡ δὲ τοῦ νοῦ ἐνέργεια, ἡ
τῶν θείων κατάληψις καὶ ἐπαφή, σπουδῇ διαφέρειν δοκεῖ, τουτέστιν τῇ 25
ἀκρότητι καὶ τῷ τιμίῳ. ἡ τιμιωτάτη γὰρ καὶ ἀκροτάτη ἡμῶν ἐνέργεια καὶ
θεοφιλεστάτη ἡ νοερά ἐστι ζωή. αἱ γὰρ ἠθικαὶ καὶ πρακτικαὶ δεύτεραί
τε καὶ μετ' ἐκείνην. καὶ πρὸς | τούτῳ ἡδίστη τέ ἐστι· τὸ γὰρ τέλειον 180v
ἥδιστον. ἡ δὲ τοιαύτη ἡδονὴ τελεία ὡς ἀμεταμέλητος καὶ μετανοίας ἄδεκτος.
τελεία δὲ οὖσα καὶ ἡδίστη συναύξει καὶ τὴν ἐνέργειαν. ἔστι δὲ καὶ 30
αὐτάρκης· δι' ἑαυτὴν γὰρ ἐστιν αἱρετὴ καὶ ἄτρυτος καὶ ἀνένδοτος καὶ πρὸς
ἄνεσιν ἀμείλικτος. οὐδεὶς γὰρ οὕτω δύναται πλεῖστον χρόνον ἐγκαρτερεῖν
ταῖς οἰκείαις ἐνεργείαις καὶ πράξεσιν ὡς ὁ θεωρίᾳ σχολάζων.

p. 1177b25 Λαβοῦσα μῆκος βίου τέλειον· οὐδὲν γὰρ ἀτελὲς ἔστι
τῶν τῆς εὐδαιμονίας.

Ἐν τῷ ἀΐδιον τέλειον. τὸ ἐμμονέστερον τῷ ἀϊδίῳ τελειότερον τοῦ παρομο-
τέρου. ἐμμονέστερος δὲ ὁ μακροτέρους χρόνους τοῦ βραχυτέρου. ὥστε καὶ ἡ
πολυχρονιωτέρα εὐδαιμονία τῆς βραχυχρονιωτέρας τελειοτέρα. εἰπὼν δὲ
ὅτι τὸ ὄντως καὶ μάλιστα καὶ πρώτως ἀνθρώπῳ τὸ παντέλειον τῆς εὐδαι-
μονίας ἡ κατὰ νοῦν ἐστι ζωή, ἐπήγαγε λαβοῦσα μῆκος βίου τέλειον, ἵν
ἀκόλουθα λέγων οἷς αὐτὸς ἀρέσκεται. βούλεται γὰρ οὗτος ὁ δαιμόνιος
ἀνὴρ τὴν εὐδαιμονίαν συμπεπληρῶσθαι μὲν ἐκ τῆς ὅλης ἀρετῆς, τῆς τε

1 καὶ ἑκάστου B: ἑκάστου a 6 ἀνθρώπῳ Ba et Arist. cod. Kb: ἀνθρώπου Arist. vulg.
13 πράξεων B: πράξεως a 20 ἐπαφὴ B: ἐπιφανὴ a 25 τούτῳ B: τοῦτο a 26 ἑαυ-
τὴν B: ἑαυτόν a 29 thesis inde ab ἡ τελεία — τῆς εὐδαιμονίας (p. 1177b24—26) a:
cf. lectionem cod. Arist. Mb

ἠθικῆς καὶ θεωρητικῆς, δεῖσθαι δὲ τὴν πολιτικὴν καὶ τῆς ἐκτὸς χορηγίας, 180v
ἐκείνης οὔσης ὑπερτεθείσης καὶ ἀρετὴν ἐνεργείας. δεῖσθαι δὲ καὶ βίου
τελείου πρὸς τὴν σύμπασαν εὐθυμοσύνην ἢ εὐζωΐαν καὶ εὐπραγίαν. πολλαὶ
γὰρ μεταβολαὶ γίνονται καὶ παντοῖαι τύχαι κατὰ τὸν βίον καὶ ὁ χρόνος προϊὼν 15
ἐλεγκτικὸς γίνεται τῶν τε ὡς ἀληθῶς εὐδαιμόνων καὶ τῶν ὑποχρινομένων εὐ-
δαιμόνως ζῆν. τῶν γὰρ φύσιν ἐχόντων εὖ μεταβάλλειν ἢ καὶ δοκούντων μὲν
εἶναι τόδε τι, μὴ ὄντων δέ, ὁ χρόνος ἐλεγκτικός ἐστιν. ἔτι εἰ τέλειον ἡ
εὐδαιμονία, τελειότερον δὲ τὸ μονιμώτερον, μονιμώτερον δὲ τὸ πλείω χρό-
νον εὐδαιμονῆσαν, τοῦτο δὲ εὐδαιμονέστερον, παντί που δῆλον ὅτι τὸ βρα-
χύτατον χρόνον εὐδαιμονῆσαν ἐγγύς πώς ἐστι τῷ μὴ εὐδαιμονηκότι, ὥστε 20
καὶ ἀτελὴς ἡ τοιαύτη εὐδαιμονία. δεῖται ἄρα καὶ βίου τελείου. ἀλλὰ καὶ
ὅτι τὸ μακρὸν χρόνον νοερῶς ἐνεργῆσαν θεοπρεπέστερόν ἐστι τοῦ τὸν βρα-
χὺν χρόνον ὡσαύτως ἐνεργήσαντος τῶν ὁμολογημένων ἐστίν, ὥστε καὶ
τελειότερον. δεῖται ἄρα τελείου καὶ μακροχρονίου βίου. εἰ δέ τις ἐνίστα-
ται λέγων, ὅτι τὸ εὐδαιμονεῖν ἐν τῷ νῦν ὅλον πάρεστι καὶ παντελὲς ὑπάρ- 25
χει καὶ οὐδὲν ἐκ τῆς τοῦ χρόνου προσλαμβάνει παρατάσεως, ὁ ταῦτα λέγων
πρῶτον μὲν παρὰ τὴν συναίσθησιν ἡμῶν λέγει, εἶτα καὶ τὴν τῶν πλείστων
ἢ καὶ σχεδὸν πάντων δόξαν. πάντες γὰρ τὸν ὅτι πολὺν χρόνον εὐδαιμο-
νήσαντα ἀμείνονα πολλῷ φασι τοῦ ὡσαύτως μὲν ἐν ὀλίγῳ δὲ χρόνῳ ζή-
σαντος· ὥστε καὶ ἡ τοῦ χρόνου παράτασις συναύξει τὴν εὐδαίμονα ζωήν. 30
κἂν ἐν τῷ νῦν τῷ ἐνεστηκότι ὡσαύτως ἀμφότεραι ἐνεργῶσιν. ἔτι εἰ τὸν
διὰ πολλῶν τῶν καλῶν ἔργων ἠγωνισμένον μᾶλλον εὐδαιμονίζομεν, ἐν δὲ
τῷ πλείονι χρόνῳ καὶ πλείονα καλὰ πρᾶξαι δυνατόν, παντί που δῆλον ὡς
συντελεῖ πρὸς εὐδαιμονίαν ὁ μακρὸς χρόνος καὶ τὸ τέλειον μῆκος τοῦ βίου.
οὐ γὰρ ἔστιν ἐν ὀλίγῳ πάμπολλα καὶ μέγιστα πράττειν ἢ θεωρεῖν, ἅπερ 35
ἡ τῆς εὐδαιμονίας ἐστὶν ὑπεροχή. δῆλον οὖν ἐκ τούτων καὶ ἄλλων πολ-
λῶν, ἃ παρόντα παρεῖται δι' ὀλίγ, ὡς δεῖται καὶ μήκους βίου τελείου. ὅπου
οὖν τέλειός ἐστιν ἡ εὐδαιμονία καὶ οὐδὲν τῶν αὐτῆς ἀτελὲς ὑπάρχει, ἀνάγκη
καὶ τὸν χρόνον τέλειον εἶναι, ἵνα μὴ κατὰ τοῦτον ἀτελὴς ὑπάρχῃ.

30 p. 1177b26 Ὁ δὲ τοιοῦτος ἂν εἴη βίος κρείττων ἢ κατὰ ἄνθρωπον.

Ἄνθρωπον νῦν τὸν σύνθετον λέγει τὸν ἐκ ψυχῆς καὶ σώματος. λέγει
δὲ ὁ παρὼν λόγος, ὅτι ὁ θεωρητικὸς βίος καὶ ἡ νοερὰ ζωὴ ὑπὲρ τὴν
πολιτικήν ἐστιν εὐδαιμονίαν καὶ τὸν πολιτικὸν εὐδαίμονα, τὸν ἐν σχέσει 40
[illegible] καὶ συμπαθείαις οὔσαις καὶ ἀσχολουμένων
περὶ αὐτά. ὁ γὰρ νοερῶς ζῶν οὐχ ἡ ἄνθρωπος, ὁ ἀπὸ λόγου καὶ τοῦ
πολυκεφάλου τῆς ἐπιθυμίας θηρίου καὶ τοῦ λεοντώδους τοῦ θυμοῦ μετὰ

1 τὴν B: om. a 3 ἢ B: καὶ a 9 εὐδαιμονῆσαν a, ubique fere 9 παντὶ B: πάντη a 12. 13 τὸν βραχὺν B: τὸ βραχὺ a 13 ὁμολογημένων B: ὁμολογουμένων a 18 τὸν B: τὸ a ὅτι secluserim 25 ἅπερ B: ὥσπερ a 29 ὑπάρχῃ B: ὑπάρχει a 30 βίος κρείττων B et Arist. vulg.: κρείττων βίος a et Arist. cod. L^b lacuna usque ad ἀνθρώπινον βίον (p. 1177b31) a 34 ἀσχολουμένων B: ἀνασχολούμενον a

τοῦ σώματος ὤν, οὕτω βιώσεται, ἀλλ' οὕτω διαβιοῖ, ᾗ θεῖόν τι ἐν αὐτῷ 1805
ὑπάρχει, τουτέστιν ἀλλ' ὡς χωρίσας αὑτὸν ἀπὸ τοῦ συνηρτημένου ζώου
καὶ ἑνώσας ἑαυτὸν πρὸς τὸ πρῶτον ἀγαθὸν καὶ τὴν ἀπ' ἐκείνου κατιοῦσαν
εἰς αὐτὸν ἔλλαμψιν. τοῦτο γάρ ἐστι τὸ νοερῶς ζῆν. τὸ ἀναφυγεῖν ἀπὸ 15
τῆς περὶ τὴν ὕλην πτοίας ἐπὶ τὴν νοερὰν ἀρώρειαν. καὶ ὅσον, φησί, δια-
φέρει ὁ ἐν ἡμῖν νοῦς τοῦ συνθέτου τούτου, τοῦ ἐκ ψυχῆς καὶ σώματος,
τοσοῦτον καὶ ἡ νοερὰ ἐνέργεια αὐτοῦ τῆς πολιτικῆς εὐδαιμονίας. ἄλλην
γὰρ ἀρετὴν τὴν πολιτικὴν εἶπεν εὐδαιμονίαν. εἰ δὴ θεῖον ὁ νοῦς πρὸς
τὸν ἄνθρωπον, τουτέστιν εἰ ὁ ἄσχετος νοῦς καὶ ἀνεπίστροφος θειότερός
ἐστι τοῦ ἐν σχέσει καὶ πρὸς τὴν ὕλην βρέποντος καὶ ὁ βίος αὐτοῦ, ἡ κατὰ
νοῦν ἐνέργεια, θειοτέρα τῆς ἀνθρωπίνης ζωῆς, τῆς πολιτικῆς εὐδαιμονίας.

p. 1177b31 Οὐ χρὴ δὲ κατὰ τοὺς παραινοῦντας ἀνθρώπινα φρο- 30
νεῖν ὄντα ἄνθρωπον ὄντα.

Τινὲς μὲν Θεόγνιδός φασιν εἶναι τὴν γνώμην ταύτην, οἱ δὲ Σόλωνος.
ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· εἰ μὲν ὁ κυρίως καὶ μάλιστα καὶ ὄντως ἄν-
θρωπος ἦν ὁ συμπεπλεγμένος ὑπὸ λόγου καὶ τῶν προειρημένων αὐτῷ, 181
δίκαιον ἦν πείθεσθαι τοῖς λέγουσι δεῖν ἀνθρώπινα φρονεῖν καὶ ἐν τῇ πολι-
τικῇ ἐμμένειν εὐδαιμονίᾳ. ἐπεὶ δ' οὐ τοῦτο τὸ σύνθετόν ἐστιν ὁ ἀληθὴς
ἄνθρωπος ἀλλὰ τὸ ἐν ἡμῖν θειότατον, ὁ νοῦς, δεῖ μὴ πείθεσθαι ἀλλ'
ἀπαθανατίζειν ἑαυτούς, ἤτοι χωρίζειν ἀπὸ τῆς πρὸς τὸ θνητὸν ζῷον ἐμ- 5
παθείας καὶ ἀπαθανατίζειν καὶ ἐξομοιοῦν ἑαυτοὺς τοῖς ἀθανάτοις, ταῖς νοη-
ταῖς δηλαδὴ καὶ νοεραῖς ὑπάρξεσιν. ᾗ γὰρ τῷ ὄντως ἀνθρώπῳ πρέπουσα
εὐδαιμονία ἡ πρὸς θεόν ἐστιν ὁμοίωσις. ὁμοιοῦται δὲ θεῷ ὁ τῶν ἐνταῦθα
ἀποστὰς καὶ τοῖς νοεροῖς ἐνδιατρίβων. ὥστε δεῖ πάντα ποιεῖν ὅσα συντελεῖ
πρὸς τὸ ζῆν κατὰ νοῦν, ὃς ἐστι τὸ ἀκρότατον καὶ κράτιστον καὶ θειότατον
τῶν ἐν ἡμῖν. ζῇ οὖν κατ' αὐτόν, ὡς εἴρηται, ὁ περιλαμπόμενος ὑπὸ τῆς
θείας αὐγῆς ὑπερφρονήσας τῶν ἔξω καὶ ἀπολύσας καὶ ἐλευθερώσας ⟨ἑαυ-
τὸν⟩ ἀπὸ τῆς ἀσχέτου καὶ ἀκαθέκτου πρὸς τὸ σῶμα ῥοπῆς. εἰ γὰρ τῷ 10
ὄγκῳ σμικρόν ἐστι, δυνάμει καὶ τελειότητι πολὺ μᾶλλον ὑπερ-
έχει. τὸ σμικρὸν τῷ ὄγκῳ ταὐτόν ἐστι τῷ ἀμεγέθει. τὸ δὲ λεγόμενον
τοιοῦτον ἂν εἴη· οὐ χρὴ τὸ ἐν ἡμῖν θειότατον ὥς τι τῶν τυχόντων νομί-
ζειν οὐδ' εἰς τὴν ἀμέρειαν αὐτοῦ ἀφορᾶν καὶ παρορᾶν καὶ καταφρονεῖν
ὡς εὐτελοῦς αὐτοῦ. οὐ γὰρ ὄγκῳ καὶ μεγέθεσιν ὁρίζειν χρὴ τὸ τίμιον καὶ

5 ὅσον et 7 τοσοῦτον Ba, ut Arist. cod. Kb: ὅσῳ et τοσούτῳ Arist. vulg. 6 τούτου B: om. a 7 αὐτοῦ ἐνέργεια a 12 οὐ χρὴ δὲ B et Arist. vulg.: χρὴ δὲ οὐ a et Arist. codd. LbOb 13 rhesis usque ad ὑπερέχει πάντων (p. 1178a2) a 15 εἰ μὲν οὖν a 18 ἀληθὴς B: ἀληθινός a 20. 21 ἐμπαθείας B: συμπα-θείας a 21. 22 ταῖς νοηταῖς B: τοῖς νοητοῖς a 27. 28 ἑαυτὸν a: om. B 28 εἰ γὰρ B: [illegible] Arist. 29 [illegible] Arist. [illegible] B [illegible] Arist. cod. Ob: τιμιότητι Arist. vulg. 29. 30 μᾶλλον ὑπερέχει Ba et Arist. cod. Lb: μᾶλλον πάντων ὑπερέχει Arist. vulg. 33 ὄγκῳ B: ὄγκοις a

τὸ δυνατόν, ἀλλ' ἐν τῇ ἀμερείᾳ μᾶλλον καὶ τῷ ἀσωμάτῳ. τιμιώτεραι γὰρ 181r
καὶ δυνατώτεραι ἀσυγκρίτως αἱ νοεραὶ καὶ ἀσώματοι οὐσίαι πάσης σωμα-
τικῆς οὐσίας.

p. 1178ª2 Δόξειε δ' ἂν εἶναι καὶ ἕκαστον εἶναι τοῦτο.

Ὥσπερ πόλις κυρίως ἐστὶ καὶ λέγεται τὸ κρατοῦν καὶ ἄρχον, οἷον ἐν
μὲν τῇ δημοκρατουμένῃ ὁ δῆμος (οὗτος γὰρ ἐν αὐτῇ τὸ κύριον) καὶ ἐν
τῇ βασιλευομένῃ πόλις πάλιν ὁ βασιλεύς ἐστι καὶ λέγεται καὶ ἐν τῇ τυ-
ραννουμένῃ ὁ τύραννος, οὕτω καὶ ἄνθρωπος κυρίως ἐστὶν ὁ ἐν ἡμῖν νοῦς
καὶ ἔστι κυρίως ὁ Ἀριστοτέλης καὶ Πλάτων ὁ τοῦ Ἀριστοτέλους νοῦς καὶ
ὁ τοῦ Πλάτωνος, ὅτι τὸ ἐν ἑκάστῳ κύριον ὁ ἐν ἑκάστῳ νοῦς ἐστι καὶ
τὸ ἄμεινον καὶ βέλτιστον. εἰ οὖν τοῦτο ἀληθὲς καὶ τὸ μακάριον ἡμῶν
ἵδρυται ἐν τῷ νῷ [βίῳ] καὶ τῇ ζωῇ αὐτοῦ, τῇ θεωρίᾳ, τί δεῖ παρέντας
τὸν κυρίως βίον, τὸν κυρίως ἡμῶν, ἐπιβάλλειν τινὶ ἄλλῳ βίῳ, οἷον τῷ
τοῦ πολιτικοῦ ἢ τοῦ ἀπολαυστικοῦ; τὸ λεχθέν τε πρότερον ἁρμόσει καὶ
νῦν· τὸ γὰρ κυρίως τῇ φύσει κράτιστον, ὅτι τὸ ᾠκειωμένον ἑκάστῳ
τῇ φύσει κράτιστον καὶ ἄριστον καὶ ἥδιστόν ἐστιν ἐκείνῃ, εἴρηται πρότερον,
ὅτε περὶ ἡδονῆς ἔλεγεν ἐν τῷ παρόντι βιβλίῳ, καὶ ἡμεῖς ἐκεῖσε περὶ
τούτου εἴπομεν τὰ δυνατὰ ἡμῖν. δῆλον δὲ πάντως, ὅτι τὸ οἰκεῖον τῇ
τοῦ ἵππου φύσει κράτιστόν ἐστι τῇ ἱππείᾳ φύσει καὶ φίλον· ὁμοίως καὶ
τὸ τῇ τοῦ βοὸς φύσει ἥδιστόν ἐστι καὶ σωστικὸν τῇ τοῦ βοὸς φύσει καὶ
τελειωτικόν. ἀλλὰ περὶ τούτων εἴρηταί μοι ἐν ἐκείνοις καὶ οὐ δεῖ παλιλ-
λογεῖν. δῆλον δ' ὡς καὶ τὸ οἰκεῖον τῇ τοῦ ἀληθινοῦ ἀνθρώπου φύσει,
κράτιστόν ἐστιν αὐτῇ καὶ ἄριστον καὶ ἥδιστον, καὶ τοῦτο προσήκει ζητεῖν
καὶ εὑρίσκειν. καὶ εὑρόντα σταθηρῶς καὶ ἀκλινῶς ἐμμένειν αὐτῷ, τὰ δ'
ἄλλα χαίρειν ἐᾶν. ὅτι δὲ τῷ ἀληθινῷ, τῷ νοῖ ἡμῶν, ἡ νοερὰ ζωὴ καὶ
ὁ θεωρητικὸς βίος ἐστὶν οἰκειότατον, πολλάκις ἠκούσαμεν. εἰ δὲ ὁ οἰκειό-
τατος αὐτῷ βίος ὁ θεωρητικός ἐστιν, ὁ ἄρα κατ' αὐτὸν ζῶν εὐδαιμονέστα-
τός ἐστιν, ὁ δὲ κατὰ τὴν ἠθικὴν καὶ πραγματικὴν δεύτερος καὶ μετ' ἐκεῖ-
νον. διότι καὶ αἱ κατὰ τὴν ἠθικὴν ἀρετὴν ἐνέργειαι ἀνθρωπικαί εἰσι καὶ
τοῦ πολιτικοῦ εὐδαίμονος.

p. 1178ª10 Δίκαια γὰρ καὶ ἀνδρεῖα καὶ τὰ ἄλλα τὰ κατὰ τὰς ἀρε-
τὰς πρὸς ἀλλήλους πράττομεν.

Εἰπὼν ὅτι αἱ κατὰ τὰς ἠθικὰς ἐνέργειαι ἀνθρωπικαί εἰσι (τοῦ συν- 11

1 εἶναι post ἂν B: post ἕκαστος a: post καὶ Aristot. vulg. ἕκαστον B et Aristot. codd. MbOb: ἕκαστος a et Aristot. vulg. rhesis usque ad ἐνέργειαι ἀνθρωπικαί (p. 1178ª10) a 5 ἐστὶ κυρίως a 6 μὲν B: om. a 7 πόλις B: πόλει a 10 ἑκάστῳ κύριον B: ἑκάστῃ κυρίως a 11 καὶ βέλτιστον B: καὶ τὸ βέλτιστον a 12 βίῳ delevi 14 τὲ B et Aristoteles: δὲ a 17 παρόντι B: πρώτῳ a: cf. c. 5 p. 1176ª25 sqq. 19 φίλον a: φιλία B 21. 22 παλιλλογεῖν B: πολυλογεῖν a 31 τὰ ἄλλα Ba et Arist. cod. Lb: ἄλλα Aristot. vulg. 32 rhesis usque ad πάντα ἀνθρωπικά (p. 1178ª14)

θέτου γάρ εἰσιν ἀνθρώπου ἐκ ψυχῆς καὶ σώματος) τοῦτο διὰ τούτων 181r
συνίστησι, λέγων ὅτι καὶ τὰ δίκαια καὶ τὰ ἀνδρεῖα καὶ τὰ ἄλλα τὰ ἐν
συναλλάγμασι καὶ χρείαις πρὸς ἀλλήλους πράττομεν, διατηροῦντες ἐν
τοῖς πάθεσι τὸ πρέπον. τὰ δὲ πάθη, οἷον ἡδοναὶ καὶ λῦπαι, τοῦ συνθέτου
ἐκ ψυχῆς καὶ σώματος, ὥστε καὶ αἱ κατὰ τὰς ἠθικὰς ἀρετὰς ἐνέργειαι περὶ
ἡδονὰς καὶ λύπας, ὡς μεμαθήκαμεν, οὖσαι τὸ πρέπον αὐταῖς ἐπάγουσαι
καὶ ὅρον αὐταῖς ἐπιτιθεῖσαι τοῦ συνθέτου ἂν εἶεν, ὥστε καὶ ἀνθρωπικαί.
ὅτι δὲ αἱ ἠθικαὶ ἀρεταὶ μετροῦσι τὰ πάθη, καὶ τοῦτο ἔμπροσθεν ἐμάθο-
μεν. ἀπὸ μὲν γὰρ τῆς ἀνδρείας ὁρμῶμεν ἐπὶ τὰ ἀνδρεῖα καὶ θαρροῦμεν
ὅπου δεῖ, καὶ φεύγομεν τὰ φοβερὰ ὅτε δεῖ καὶ ὅπως δεῖ, καὶ ὅλως με-
τροῦμεν δι' αὐτῆς τοὺς φόβους καὶ τὰ θάρρη, ἀπὸ δὲ τῆς σωφροσύνης
τὰς δ' ἀφῆς λύπας καὶ ἡδονάς, καὶ τὰς μὲν αἱρούμεθα καὶ διώκομεν,
τὰς δὲ φεύγομεν. ὅτι δὲ καὶ ἡ ἐλευθεριότης καὶ ἡ μεγαλοπρέπεια μετρεῖ
τὰς πράξεις, οὐ δὲ λύπας καὶ ἡδονὰς μεμαθήκαμεν. οἷον ἀρού-
σθωμεν, εἴ τι μεμνήμεθα τῶν περὶ ἐλευθεριότητος καὶ μεγαλοπρεπείας εἰρη-
μένων τῷ συντόμῳ τούτῳ. εἰρήκαμεν δὲ καὶ τὴν μεγαλοψυχίαν καὶ
φιλίαν καὶ τὴν σωφροσύνην καὶ τὰς λοιπὰς ἀρετὰς τὸ εἶναι
ἕξεις, πρὸς δὲ τούτοις ὅτι καὶ ἡ μὲν πραότης ἐστὶν ἐπὶ τῷ τῆς ὀργῆς
συμμέτρῳ, ἡ δὲ δικαιοσύνη σωστικὴ τῆς κοινωνίας ἡμῖν, φύσει οὖσι 181v
πολιτικοῖς. εἰ δὲ ταῦθ' οὕτως ἔχει, πᾶσαι αἱ κατ' ἀρετὴν ἐνέργειαι καὶ
ποιήσεις ἀνθρωπικαί εἰσι παὶ δεύτεραι τῶν λογικῶν ἀρετῶν. ἔτι εἰ ἀγα-
θὸς ἄνθρωπος λέγεται καὶ ἔστιν ὁ μήτε ἐν τοῖς πάθεσιν ἄμετρος μήτ' ἐν
τοῖς περὶ ταῦτα πράξεσιν ἄρματος, εἴη ἂν καὶ οὗτος κατορθωτὴς τῆς
ἠθικῆς ἀρετῆς, ἧς ἀγαθοὶ λεγόμεθα, καὶ τὰς κατ' αὐτὴν πράξεις ἀνθρω-
πικὰς ὑπάρχειν, εἴ γε τὰ πάθη, ὡς εἴρηται, τοῦ συνθέτου εἰσίν.

p. 1178ª14 Ἕνια δὲ καὶ συμβαίνειν ἀπὸ τοῦ σώματος δοκεῖ, καὶ πολλὰ συνωκειῶσθαι τοῖς πάθεσιν ἡ τοῦ ἤθους ἀρετή.

Καὶ διὰ τούτων τὸ αὐτὸ δεικνύει, λέγων δὴ τὸ τὰς ἠθικὰς ἀρετὰς καὶ τὰς κατ' αὐτὰς ἐνεργείας ἀνθρωπικὰς εἶναι. εἰσὶ γάρ, φησί, τινὲς φύσει
σώφρονες καὶ ἀνδρεῖοι καὶ δίκαιοι· τοῦτο δ' αὐτοῖς ὑπάρχει ἀπὸ τοῦ σώ- 10
ματος, ἤτοι ἀπὸ τῆς ποιᾶς τοῦ σώματος κράσεως καὶ τῆς τῶν στοιχείων
τοῦ σώματος συναρμογῆς καὶ συμπλοκῆς. ὥστε τοῦ συνθέτου ἐστὶ καὶ τὰ
ἀπ' αὐτῶν ἐνέργειαι. ἐπεὶ δὲ ἔνια δοκεῖ καὶ συμβαίνειν ἀπὸ τοῦ
σώματος δοκεῖ, ἐπήγαγε καὶ πολλὰ συνωκειῶσθαι τοῖς πάθεσιν
ἡ τοῦ ἤθους ἀρετή. ὥσπερ γὰρ οὐ πᾶσα ἡδονὴ ὡς δέδεικται, πρό-
τερον δὲ πασῶν ἐνεργεῖν φαίνεται ἀλλὰ τῶν ἀναγκαίων καὶ ὅσων τῷ σῶ- 15
ματι καὶ οἷς ἐν αὐτοῖς γίνεται ἔστιν ἡ ἐνέργεια, οὕτω καὶ τοῖς πάθεσι, ταῖς ἡδοναῖς καὶ λύπαις, ἄλλοις ἄλλαι τῶν ἀρετῶν

7 ἀνθρωπικαί B: ἀνθρωπικήν a 10 ὅπως B: ὅπου a 13 ὅτι scripsi: ὅτε Ba
18 πράότης Vat. 320: πρώτη Ba 36 ὡκείωτο B: ὡκείωται a 37 αὐταῖς a: αὐτὰς B

συνφκείωνται. τῇ μὲν γὰρ ἑπομένῃ ἡδονῇ ταῖς δόσεσιν οἷς δεῖ οὐ πᾶσα 181r
ἀρετὴ φκείωται, ἀλλ' ἡ ἐλευθεριότης. καὶ τῇ ἑπομένῃ ἡδονῇ ταῖς κατὰ
τὴν γεωμετρίαν ἀναλόγοις διανομαῖς οἰκεία ἀρετή ἐστιν ἡ δικαιοσύνη, ἀλλ'
οὐχὶ ἡ σωφροσύνη ἢ ἀνδρεία. εἰ δὴ αἱ ἠθικαὶ ἀρεταὶ τοῖς πάθεσιν φκεί-
5 ωνται, τὰ δὲ πάθη ἀνθρωπικά, καὶ αἱ ἠθικαὶ ἄρα ἀρεταὶ τοῦ συνθέτου
εἰσὶ καὶ οὐ τοῦ ὄντως ἀνθρώπου.

p. 1178ª16 Συνέζευκται δὲ καὶ ἡ φρόνησις τῇ τοῦ ἤθους ἀρετῇ 20
καὶ αὕτη τῇ φρονήσει.

Δείξας τὰς ἠθικὰς ἀρετὰς ἀνθρωπικὰς οὔσας, δείκνυσι καὶ τὴν φρό- 25
10 νησιν (αὕτη γὰρ ἀρετὴ οὖσα τοῦ λογιστικοῦ μέρους τῆς ψυχῆς δόξειεν ἂν
εἶναι τοῦ νοῦ ἀρετὴ καὶ οὐ τοῦ συνθέτου), δείκνυσι δὴ καὶ ταύτην ὅτι μὴ
τοῦ ὄντως ἀνθρώπου ἐστὶν ἀρετή, ἀλλὰ τοῦ συνθέτου. ὃ δὲ λέγει, δῆλον
ὅτι ἀναμνησθεὶς ἡμᾶς αὐτοὺς τῶν ἐν ἄλλοις ἀποδεδειγμένων. δείκνυσι
δὲ ὅτι ἀντακολουθοῦσιν αἱ ἀρεταί, καὶ ἐν ᾧ ἂν μία τις ἐξ αὐτῶν ἐστιν, 30
15 ἐξ ἀνάγκης ἐκείνῳ καὶ αἱ λοιπαὶ ἕπονται καὶ οὐκ ἐνδέχεται ἀνδρεῖον ὄντα
τὴν ἠθικὴν ἀνδρείαν μὴ καὶ σώφρονα εἶναι καὶ φρόνιμον καὶ δίκαιον, ἢ
σώφρονα ὄντα μὴ εἶναι καὶ δίκαιον καὶ ἀνδρεῖον καὶ φρόνιμον, ἢ φρόνιμον
ὄντα μὴ τὰ δίκαια βούλεσθαι καὶ αἱρεῖσθαι καὶ τὰ σωφρονικὰ καὶ ἀνδρεῖα·
ἀλλ' ὃς ἂν ᾖ φρόνιμος, οὗτος εὐθὺς καὶ δίκαιός ἐστι καὶ σώφρων, καὶ ὁ 35
20 δίκαιος φρόνιμος καὶ ἀνδρεῖος καὶ σώφρων. ἐπεὶ τοίνυν ἀντακολουθεῖν δέ-
δειχται τὰς ἀρετὰς καὶ συνεζευγμένη ἐστὶν ἡ φρόνησις τῇ τοῦ ἤθους
ἀρετῇ, τουτέστιν τῇ ἠθικῇ ἀρετῇ, καὶ ἡ ἠθικὴ ἀρετὴ τῇ φρονήσει καὶ
ἀλλήλαις, καὶ οὐκ ἐνδέχεται χωρίζεσθαι ἀπ' ἀλλήλων, εἰσὶ δὲ αἱ ἠθικαὶ
ἀρεταὶ ἀνθρωπικαί, εἴη ἂν καὶ ἡ φρόνησις τοῦ συνθέτου. ἡ μὲν τῶν λε- 40
25 γομένων διάνοια αὕτη· κατὰ δὲ τὴν λέξιν εἰπὼν ὅτι συνέζευκται δὲ
καὶ ἡ φρόνησις τῇ τοῦ ἤθους ἀρετῇ καὶ αὕτη τῇ φρονήσει, τὴν
αἰτίαν τούτου ἐπήγαγεν εἰπὼν εἴπερ αἱ μὲν τῆς φρονήσεως ἀρχαὶ
κατὰ τὰς ἠθικάς εἰσιν ἀρετάς. λέγει δὲ ἀρχὰς τὰ τελικὰ αἴτια, ὧν
ἕνεκα πράττομέν τινα καὶ ποιοῦμεν. ὡς γὰρ ἰατροῦ τελικόν αἴτιον καὶ τὸ
30 οὗ ἕνεκα πάντα ποιεῖ καὶ πράττει, ὅσα ποιεῖ καὶ πράττει, ὑγίεια, καὶ οἰ- 45
κοδόμου ἀρχὴ τελική ἡ οἰκία καὶ στρατηγοῦ νίκη, σώφρονός τε ἡ τῶν
παθῶν συμμετρία, οὕτω καὶ τῆς φρονήσεως, ὡς δέδεικται ὅτε περὶ ταύτης
ἔλεγεν, οἱ κατὰ τὰς ἠθικὰς ἀρετὰς ὀρθοὶ σκοποὶ τέλη μέν εἰσι καὶ αἴτια τῶν
πραττομένων ἐκείνων ἕνεκα. ἔστι γὰρ ἡμῖν ἀπὸ τῆς ἠθικῆς ἀρετῆς τὸ
35 ὀρθοδοξεῖν περὶ τὰ τέλη· τὸ γὰρ ὀρθῶς δοξάζειν ὅτι τόδε τι ἀγαθόν ἐστιν,
οὐκ ἔστι μὴ ὄντος τοῦ τινὸς τόδε τινός, τὸ ποιεῖν τὰ συμφέροντα τῇ πό-

3 τὴν B: om. a 8 rhesis usque ad προκειμένου ἐστίν (p. 1178ª23) a 10 δόξειεν ἂν a: δόξειαν B 12 ὄντως a: ὄντος B 13 ἀναμνήσαντες scripsi: ἀναμνήσας B: ἀναμνήσαντες a ἐν inserui: om. Ba δέδεικται] Z 13 p. 1144ᵇ33 29 ἰατροῦ B: ἰατρικῆς a 30 ὅσα ποιεῖ καὶ πράττει B: ὅσα ἂν ποιῇ καὶ πράττῃ a 30. 31 οἰκοδόμου B: οἰκοδομίας a

λει, καὶ τόδε μέν ἐστι συμφέρον καὶ τόδε δίκαιον καὶ ποιητέον, τόδε δὲ 181v
ὀτιοῦμφορον καὶ ἄδικον καὶ φευκτέον· τὰ μὲν οὖν ὀρθὸς περὶ τούτου ὀρίζεται καὶ 46
μὴ ἀπατᾶσθαι μηδὲ νομίζειν τὸ μὴ ἀγαθὸν ὡς ἀγαθὸν ἀπὸ τῶν ἠθικῶν
ἡμῖν ἀρετῶν πρόσεστιν, ἀπὸ δὲ τῆς φρονήσεως ἡ εὕρεσις τῆς ὕλης καὶ τῶν
ὀργάνων καὶ πράξεων καὶ ποιήσεων, δι' ὧν ὁ ὀρθὸς σκοπὸς καὶ τὸ τέλος
γενήσεται. ἐπεὶ οὖν ἡ μὲν ἠθικὴ ἀρετὴ τοὺς ὀρθοὺς σκοποὺς ὑποδεικνύει,
ἡ δὲ φρόνησις τὰ συντελοῦντα πρὸς τὴν τούτων λῆψιν καὶ ἐπιτυχίαν
ἀνευρίσκει, συνεζευγμέναι ἂν εἶεν. ταῦτα μὲν οὕτως. ἔχει δὲ ἀσάφειαν 50
⟨ἡ λέξις⟩ διὰ τὸ ἐλλιπὲς εἶναι, ἡ λέγουσα τὸ δ' ὀρθὸν τῶν ἠθικῶν
κατὰ τὴν φρόνησιν. εἴη δ' ἂν τὸ πλῆρες τοιοῦτον· τὸ δ' ὀρθὸν τέλος,
ὅπερ ἡμῖν ὅτι ὀρθὸν καὶ ἀγαθὸν γνώριμόν ἐστιν ἀπὸ τῆς ἠθικῆς ἀρετῆς
(ἀπὸ γὰρ ταύτης γνωρίζομεν, ὅτι ὀρθόν ἐστι), τοῦτο δὲ τὸ ὀρθὸν τέλος
κατὰ τὴν φρόνησιν, τουτέστιν ἀπὸ τῆς φρονήσεως, ἐπικτώμεθα. ἡ φρό-
νησις γὰρ ἡμῖν δεικνύει τὰ πρὸς ἐκεῖνο φέροντα. ἀλλὰ καὶ τὸ τῆς λέξεως
τὸ συνηρτημένον δὲ | αὐταῖς καὶ τοῖς πάθεσι τοιοῦτόν ἐστι· συνε- 182r
ζευγμέναι οὖσαι αἱ ἀρεταὶ τῇ φρονήσει καὶ ἡ φρόνησις ταῖς ἀρεταῖς καὶ
οὐ μόνον ἀλλήλαις συνεζευγμέναι ἀλλὰ καὶ τοῖς πάθεσιν, ἃ δὴ πάθη ἀν-
θρωπικὰ καὶ τοῦ συνθέτου εἰσίν, ἀνθρώπιναι καὶ αὐταὶ ἂν εἶεν. ἡ τε φρό-
νησις καὶ αἱ ἀρεταί, καὶ ὁ βίος δὴ καὶ ἡ ζωὴ ἡ κατὰ τὰς ἠθικὰς ἀρετὰς
καὶ τὴν φρόνησιν ἀνθρωπικὴ ἐστι· τοῦ συνθέτου γάρ. ὁ δὲ τοῦ νοῦ
βίος τοῦ ἀληθινοῦ καὶ ὄντως ἀνθρώπου καὶ ἡ νοερὰ ζωὴ κεχωρισμένη
ἐστὶ τῶν τοῦ συνθέτου παθῶν, ὥστε ἡ κατὰ τὴν νοερὰν ζωὴν τοῦ ἀλη-
θινοῦ ἀνθρώπου εὐδαιμονία ἑτέρα ἂν εἴη τῆς πολιτικῆς εὐδαιμονίας. τὸ
δὲ διακριβῶσαι δὲ μεῖζον τοῦ προκειμένου εἴρηκεν αἰνιττόμενος,
ὅτι τῷ θεολόγῳ προσήκει περὶ αὐτῶν λέγειν. τῶν πρός τι γὰρ ὁ νοῦς
(τῶν νοητῶν γάρ), ὡς καὶ ἡ αἴσθησις τῶν αἰσθητῶν, τῶν δὲ πρός τι ἡ
αὐτὴ ἐπιστήμη, τὸ δὲ περὶ νοητῶν λέγειν θεολογίας ἐστίν, ὥστε καὶ περὶ
νοῦ ἐκείνης.

p. 1178a23 Δόξειε γὰρ καὶ τῆς ἐκτὸς χορηγίας ἐπὶ μικρὸν ἢ ἔλατ- 10
τον δεῖσθαι τῆς ἠθικῆς.

Τὴν πολιτικὴν εὐδαιμονίαν διὰ τῆς ἠθικῆς ἐδήλωσε. τὸ δ' ἐπὶ μι-
κρὸν ταὐτόν ἐστι τῷ παντάπασιν ὀλίγης δεῖσθαι τῆς ἐκτὸς χορηγίας. εἰ
δὲ μὴ πάντῃ, φησί, παντελῶς σμικρᾶς, ἀλλ' οὖν οὐκ ἐπίσης τῷ πολιτικῷ
εὐδαίμονι χρῄζει τῶν ἐκτός· τούτου γάρ ἐστι ὀγλωτικὸν τὸ ἢ ἐπ' ἔλαττον
δεῖσθαι τῆς πολιτικῆς. οὐ γὰρ ὥσπερ ἡ πολιτικὴ πολλῶν χρῄζει τῶν 20
ἐκτός, οὕτω καὶ ἡ θεωρητικὴ εὐδαιμονία. ἀλλ' ἧττον πολὺ δεῖται τῶν τοι-

2 φευκτέον B: φευκτόν a 9 ἡ λέξις a: om. B ἐλλιπὲς videtur esse scribendum 15 αὐταῖς Ba: αὐται Aristoteles 17 ἀλλήλαις Vat. 320: ἀλλήλοις Ba 24 δὲ μεῖζον B et Arist. cod. Mb: γὰρ μεῖζον a et Arist. vulg. 27 θεολογίας B: θεολόγου a 29 γὰρ B: δ' ἂν a et Aristoteles 29. 30 ἢ ἔλαττον B (sed cf. v. 31): ἢ ἐπ' ἔλαττον a et Aristoteles 30 rhesis usque ad ἄλλων τίς (p. 1178a31) a

οὑτων. τῶν μὲν γὰρ ἀναγκαίων, ὡς πρότερον εἴρηται (καὶ εἴρηταί 182r
μοι ἐκεῖ τὸ διὰ τί), ἐπίσης ἀμφότεροι χρήζουσιν, εἰ καὶ μᾶλλον τοῦ θεω-
ρητικοῦ ὁ πολιτικὸς ἀναπείσειν περὶ τὰ ἀναγκαῖα καὶ ὅσα τοῦ ἀναγκαίου
ὄμοια μηδὲ πόρρω καθέστηκε. μικρόν τι γὰρ ἐπὶ τὸ πλέον τῶν ἀναγκαίων
[illegible] τοῦ πολιτικοῦ. πρὸς μὲν τὴν τῶν ἀναγκαίων χρείαν οὐδὲν τι διαφέ-
τουσιν οὗτοι, πρὸς δὲ τὰς οἰκείας ἐνεργείας πολὺ καὶ ὅσον σχεδὸν τὸ ὂν
τοῦ μὴ ὄντος. ὁ μὲν γὰρ θεωρητικός, ὡς πρὸς τὸ κατὰ νοῦν ἐνεργεῖν καὶ
τοῖς νοητοῖς ἐνδιατρίβειν οὐδενὸς χρῄζει, ὥσπερ οὐδὲ τῇ ὑγιαινούσῃ ὄψει
πρὸς τὸ ὁρᾶν τάδε τὰ γράμματα φωτὸς παρόντος χρεία τινός ἐστιν ἀλλ'
ἢ μόνον ἀραι τὰ βλέφαρα, εἰ τύχοι κεκλεισμένα ὄντα, οὕτως οὐδὲ τοῦ θεω-
ρητικοῦ τινος ἔστι χρεία πρὸς ἐπίβλεψιν καὶ ἐπαφὴν τῆς νοητῆς διακοσμή-
σεως. τῷ δὲ πολιτικῷ ὡς μὲν ἐλευθερίῳ χρεία χρημάτων, εἰ μέλλει
πράττειν τὰ ἐλευθέρια· ὁμοίως καὶ ὁ δίκαιος χρημάτων δεῖται, ὅπως ἀπο-
δοίη τὸ κατ' ἀξίαν ἑκάστῳ. ἀπὸ γὰρ τῶν πράξεων γνωρίζεται ὁ δίκαιος
καὶ ὁ ἐλευθέριος, οὐ μὴν ἐκ τοῦ λέγειν, ὅτι 'βούλομαι τὰ δίκαια πράττειν
καὶ τὰ ἐλευθέρια.' πράττειν δὲ χωρὶς τῶν οἰκείων ταῖς πράξεσιν ὀργά-
νων ἀμήχανον. ὄργανα δὲ οἰκεῖα τῷ δικαίῳ καὶ ἐλευθερίῳ ὡς δικαίῳ
καὶ ἐλευθερίῳ τὰ χρήματα. ὡς ὁ' ἀνδρεῖος δεῖται παρουσίας πολεμίων,
ὡς δὲ φρόνιμος πάλιν ἑτέρων. εἰπὼν δὲ αἱ γὰρ βουλήσεις ἀδηλοι,
τὴν αἰτίαν τούτου ἐπήγαγεν εἰπὼν προσποιοῦνται δὲ καὶ οἱ μὴ δίκαιοι
βούλεσθαι δικαιοπραγεῖν, οὓς οὐκ ἂν εἴποιμεν δικαίους διὰ τὴν τοῦ
βούλεσθαι προσποίησιν. ὅτι δὲ καὶ ὁ σώφρων τινῶν δεῖται, δῆλον· ἐλευ-
θέριος γὰρ μάλιστα. ὁ γὰρ σωφρονῶν ὑπὸ παιδαγωγῷ τεταγμένος ἢ ἄλλῳ
τινί, ὃν φοβούμενος ἢ αἰδούμενος ἀπέχεται τῶν ἐκ τῆς ἁφῆς ἡδονῶν, οὐ-
πω δῆλός ἐστιν, εἰ σώφρων ὄντως ἐστίν.

p. 1178a34 Ἀμφισβητεῖται δὲ πότερον κυριώτερον τῆς ἀρετῆς ἡ
προαίρεσις ἢ αἱ πράξεις.

Εἰπὼν ὅτι ἀπὸ τῶν πράξεων γνωρίζονται ὁ σώφρων, ὁ ἀνδρεῖος, ὁ
δίκαιος, ὁ φρόνιμος, ἐπειδὴ πολλοὶ σωφρονοῦσιν ἵνα τύχωσι, φέρε εἰπεῖν,
ἀρχιερωσύνης, ἄλλοι δὲ δικαιοπραγοῦσιν, ἵνα τύχωσιν ἀρχῆς πολιτικῆς, καὶ
ἕτεροι δι' ἄλλο τι μὴ ὄντες κατὰ ἀλήθειαν σώφρονες ἢ δίκαιοι, ἐλείπετο
δὲ ἐναρέτους εἶναι τοὺς βουλομένους τὰ ἀνδρεῖα καὶ σωφρονικά, ὅπερ μό-
νον τοῦτο οὐκ ἀρκεῖ, ἠμφισβητεῖτο δικαίως. καὶ οἱ μὲν τῇ βουλήσει
ὡρίζον τὴν ⟨ἀρετὴν⟩ καὶ σπουδαῖον ἔλεγον τὸν βουλόμενον, οἱ δὲ τῇ πρά-

1 πρότερον] c. 7 p. 1177a29 2 διατί B: διότι a 11 ἐπαφὴν B: ἐπιφανὴν a
12 ἐλευθερίῳ Vat. 320: ἐλευθέρῳ Ba 13 et 16 ἐλευθέρια B: ἐλεύθερα a ὁ B:
ὡς a 13. 14 ἀποδοίη B: ἀποδόσει a 15 βούλομαι B: βούλεται a
18 ἐλευθέρῳ a 23 ὑπὸ B: ἐπὶ a 26 ἀμφισβητεῖται B et Arist. vulg.: ζητεῖται a
et Arist. cod. Lb 27 rhesis usque ad τὸ ἀνθρωπεύεσθαι (p. 1178b7) a
31 ἐλείπετο B: ἐλλείπεται a 33 ἠμφισβητεῖτο B: ἀμφισβητεῖτο a 34 ἀρετὴν

ξει, δέον ἀμφότερα συμμῖξαι, ὡς ἐν ἀμφοῖν οὔσης τῆς ἀρετῆς. δίκαιος 182r
γὰρ ὄντως ἐστὶν ὁ βουλόμενος καὶ πράττων τὰ δίκαια, καὶ σώφρων ὡσαύ-
πως καὶ ἀνδρεῖος. εἰ οὖν ἐν ἀμφοῖν ἡ ἀρετή, πρὸς δὲ τὸ πράττειν χρη-
μάτων χρεία, δεήσει ἄρα καὶ τῷ δικαίῳ καὶ τῷ ἐλευθερίῳ χρημάτων,
καὶ ὅτῳ ἂν μείζους αἱ πράξεις ὦσι καὶ καλλίους, τοσούτῳ χρεία
πλειόνων αὐτῷ. τῷ δὲ θεωρητικῷ οὐ μόνον οὐ συντελοῦσι πρὸς τὸ
ἐνεργεῖν ἀλλὰ καὶ μᾶλλον ἐμπόδιον τυγχάνουσιν ὄντα. πρὸς μὲν γὰρ τὴν
κατὰ τὸν ἐνέργειαν ἀναγκαῖς ἐστιν, ἐπεὶ καὶ ἄνθρωπός ἐστιν. ἧττον δ' ἐπειδὴ
ἔτι συνήρτηται αὐτῷ τὸ σῶμα καὶ ἀνθρώπους συζῇ, δεήσεται καὶ τούτων 182v
πρὸς τὸ ἀνθρωποπρεπέσθαι, ἤτοι τὰ καθήκοντα πράττειν πρὸς τοὺς φοι-
τῶντας εἰς αὐτόν.

p. 1178b7 Ἡ δὲ τελεία εὐδαιμονία ὅτι θεωρητική τίς ἐστιν ἐνέρ-
γεια. καὶ ἐντεῦθεν ἂν φανείη.

Καὶ ταῦτα δεικτικά ἐστι τοῦ ὅτι ἡ τελεία εὐδαιμονία ἐν τῇ τῶν ἀρί-
στων ἕξαται γνώσει. ἄριστα δὲ ὅτι τὰ θεῖά ἐστι, πρὸς ἁπάντων ἀνωμο-
λόγηται. εἰ οὖν τὸ μέγιστον καὶ τελειότατον ἀγαθὸν τοῖς ἀνθρώποις τὸ
εὐδαιμόνως ζῆν ἐστι (τοῦτο δὲ ἐν θεωρίᾳ ὃν δέδεικται καὶ διὰ τῶν προ-
κειμένων λέξεων δειχθήσεται), ἡ τελεία εὐδαιμονία ἐν γνώσει καὶ θεωρίᾳ
τῶν ἀρίστων εἴη ἄν, ἀλλ' οὐκ ἐν πράξει καὶ ποιήσει ὡς ἡ πολιτική.
δείκνυσι δὲ τοῦτο τὸν τρόπον τοῦτον· ἐν ᾧ τῷ θείῳ τὸ εὐδαιμονεῖν καί ἡ
μακαριότης ἐστίν, ἐν τούτῳ καὶ ἡμῖν, ὡς δυνατὸν τοῦτο. τῷ δὲ θεῷ τὸ
εὐδαιμονεῖν καὶ ἡ μακαριότης ἐν θεωρίᾳ, καὶ ἡμῖν ἄρα τὸ κυρίως εὐδαι-
μονεῖν ἐν θεωρίᾳ. ὅτι δὲ ἐνέργεια θεοῦ καὶ μακαριότης ἐν θεωρίᾳ καὶ
οὐ πράξει ἢ ποιήσει, δέδεικται μὲν φιλοσόφως ἐν τῷ Λ τῶν Μετὰ τὰ
φυσικά, δείκνυσι δὲ καὶ νῦν ἐνδόξως λέγων 'πάντες ὑπειλήφαμεν καὶ
πιστεύομεν τὸ θεῖον ζῆν καὶ ἐνεργεῖν'. πάσα δὲ ἐνέργεια ἡ πρακτική ἡ
ποιητικὴ ἢ θεωρητική. εἰ οὖν μήτε πράττει μήτε ποιεῖ τὸ θεῖον ἐνερ-
γοῦν, λείπεται τὸ τρίτον ἡ θεωρία. ἀλλὰ μὴν κρατίστη καὶ ἀρίστη καὶ
ἀκροτάτη ἡ τοῦ θεοῦ ἐνέργεια καὶ ἡ συγγενὴς ἄρα ἡμῶν ἐνέργεια τῇ τοῦ
θεοῦ ἐνεργείᾳ φύσει καὶ ἀκροτάτη καὶ τελεία ἡ θεωρία ἐστίν. ὅτι δὲ ἡ
τοῦ θεοῦ ἐνέργεια οὐκ ἐν πράξει οὐδὲ ἐν ποιήσει ἢ ἐν πολιτικῇ εὐδαιμο-
νίᾳ ἀλλὰ θεωρίᾳ ἐστί, δείκνυσι λέγων· αἱ ἡδοναὶ ἀρεταὶ πᾶσαι τῶν πα-
θῶν εἰσιν, ὡς δέδεικται, ἀστρηταί· τὰ δὲ πάθη οὔκ εἰσιν ἐν θεῷ. ὥστε
οὐδὲ αἱ ἡδοναὶ ἀρεταί· οὐδὲ δεῖται αὐτῶν, ὥστε οὐδὲ κατὰ τὴν πολιτικὴν
εὐδαιμονίαν εὐδαίμων ἐστί. τί γὰρ ἂν δέοιτο τὸ θεῖον ἀναπαυμάτων; τὸ γὰρ
ἀναπαύειν ἐστὶ τὸ κατὰ ἀναλογίαν ἀναλίσκεσθαι καὶ συνήθως ποιεῖσθαι
τάς τε παρακαταθήκας ἀποδιδόναι, γελοῖον ἂν φανείημεν ἡμεῖς τε καὶ ἐκεῖ-
νοι. ἡμεῖς μέν, εἰ τοιαῦτα περὶ θεοῦ ὑπολαμβάνομεν. ἐκεῖνος δ', εἰ τοι-

4 ἐλευθέρῳ a 14 rhesis usque ad συγγενεστάτη, εὐδαιμονικωτάτη (p. 1178b23) a
24. 25 ἐν τῷ Λ τῶν Μετὰ τὰ φυσικά] c. 7 p. 1072b24

οὐτοις ἐνασχολεῖται. τί δ' ἂν δέοιτο ἀνδρείας, ᾧ μηδὲν ἐστι δεινὸν μηδὲ 182v
φοβερόν; τί δὲ ἐλευθεριότητος; ἄτοπον γὰρ εἴ τις αὐτῷ παρεῖναι νομίζοι
χρήματα καὶ νόμισμα καὶ δόσεις τούτων καὶ λήψεις, οἷς δεῖ διδόναι καὶ
ἀφ' ὧν λαμβάνειν. τί δὲ σώφρων ἐστίν; ἢ βαρὺς καὶ φορτικὸς ὁ ἔπαι-
νος, τὸ λέγειν ὡς ἐπιθυμεῖ μέν, κρατεῖ δὲ καὶ οὐκ ἄγεται πρὸς τῆς ἐπι-
θυμίας· μῶμος γὰρ αὐτῷ μᾶλλον καὶ οὐκ ἔπαινος τοῦτο. τί γὰρ ἂν
οὕτως ἔχων διαφέρει τῶν ἐγκρατῶν καὶ καρτερικῶν; διαιροῦσιν οὖν ἡμῖν 35
πάσας τὰς ἀρετὰς καὶ τὰς κατ' αὐτὰς ἐνεργείας μικρὰ καὶ ἀνάξιοι φαί-
νονται τῆς θείας φύσεως. ἀλλὰ μὴν ζῆν φαμεν τὸ θεῖον καὶ ἐνεργεῖν·
οὐ γὰρ δὴ καθεύδειν ὡς τὸν Ἐνδυμίωνα. θεωρία ἄρα ἡ τούτου ἐστὶν
ἐνέργεια μακαριότητι καὶ τιμιότητι καὶ κάλλει διαφέρουσα τῶν ἀνθρωπι-
κῶν, ἤτοι τῶν τῆς πολιτικῆς εὐδαιμονίας ἐνεργειῶν. καὶ ἡ τοῦ ἀνθρώπου
ἄρα ἐνέργεια τοῦ ἀληθινοῦ καὶ ὄντως ἀνθρώπου ἡ συγγενεστάτη τῇ τοῦ
θεοῦ ἐνεργείᾳ μακαριωτάτη καὶ τελειοτάτη καὶ εὐδαιμονικωτάτη· δευτέρα 40
δὲ ταύτης καὶ πολλοστὴ ἡ ἀνθρωπικὴ ἡ πολιτική.

p. 1178b24 Σημεῖον δὲ καὶ τὸ μὴ μετέχειν τὰ λοιπὰ ζῷα εὐδαιμο-
νίας, τῆς τοιαύτης ἐνεργείας ἐστερημένα.

Τοιαύτην ἐνέργειαν τὴν θεωρίαν λέγει, ἤτοι τὴν νοερὰν ζωὴν καὶ
γνῶσιν τῶν ἀρίστων καὶ θείων. λέγει δὲ ὡς συλλεξαμένους τὰ παραλε-
λειμμένα καὶ ὧν προσυπακούειν ἔξωθεν χρή, ὅτι κατὰ μὲν τὰς τῶν ἄλλων 45
φιλοσόφων Ἐπικουρείων τε καὶ τῶν ὕστερον Στωικῶν περὶ εὐδαιμονίας ὑπο-
λήψεις δύναταί τις εὐδαιμονίαν μεταδιδόναι καὶ τοῖς ἀλόγοις ζῴοις, κατ'
ἐμὲ δὲ καὶ Πλάτωνα καὶ τοὺς ἄλλους ὅσοι τὴν εὐδαιμονίαν ἐν νοερᾷ ζωῇ
ἱστῶμεν, ἀδύνατον κατὰ ταύτην εὐδαιμονεῖν τὰ ἄλογα τῶν ζῴων, ἐστερη-
μένα νοῦ καὶ ζωῆς λογικῆς. ὅτι δὲ δυνατὸν κατὰ τοὺς Ἐπικούρου τροφί-
μους καὶ τοὺς Στωικοὺς μετέχειν εὐδαιμονίας καὶ τὰ ἄλογα ζῷα, διὰ τού-
των ἂν τις παραστήσειεν· εἰ τὸ εὐπαθεῖν εὖ ζῆν ἐστι κατ' Ἐπίκουρον, 50
τὸ δὲ εὖ ζῆν ταὐτόν ἐστι κατ' Ἐπίκουρον καὶ τοὺς Στωικοὺς τῷ εὐδαιμο-
νεῖν, τὸ εὐπαθεῖν ἄρα εὐδαιμονεῖν ἐστιν· ὑπάρχει δὲ τοῖς ἀλόγοις ζῴοις
τὸ εὐπαθεῖν, ὥστε καὶ τὸ εὐδαιμονεῖν. πάλιν, εἰ τὸ κατὰ φύσιν διάγειν
κατὰ τοὺς Στωικοὺς εὖ ζῆν ἐστι, τὸ δὲ εὖ ζῆν καὶ κατ' αὐτοὺς καὶ κατ'
Ἐπίκουρον εὐδαιμονεῖν ἐστι, τὸ κατὰ φύσιν ἄρα διάγειν εὐδαιμονεῖν ἐστιν·
ἀλλὰ μὴν ὑπάρχει τοῖς ἀλόγοις ζῴοις τὸ κατὰ φύσιν διάγειν ἀπὸ γενέσεως
μέχρι τῆς ἀκμῆς· εὐδαιμονεῖν ἔστι ἄρα τὰ ἄλογα ζῷα. ὅτι δὲ τὸ εὐπα-
θεῖν καὶ | διὰ τὸ εὐπαθεῖν τὸ εὖ ζῆν ὑπάρχει τοῖς ἀλόγοις ζῴοις, δῆλον 183r
ἀπὸ τῶν μουσικῶν ζῴων. εἰ γὰρ μὴ κατὰ φύσιν ἔζη, οὐκ ἂν ἀπεπλήρου
τὸ οἰκεῖον ἔργον ᾄδοντα συνεχέστατα. μουσικοῖς γὰρ αὐτοῖς οὖσι τὸ κατὰ

1 δέοιτο B: δέητο a 2 ἐλευθεριότητος B: ἐλευθεριότητι a νομίζοι B: νομίζει a
7 ἔχων a: ἔχειν B 10 ὡς Ba: ὥσπερ Aristoteles 17 in rhesis fine addit τελείως
(p. 1178a25) a 18 θεωρίαν B: θεωρητικὴν a 26 ἄλογα a: ἄλλα B 34 εὐδαιμο-
νεῖν ἐστι B: εὐδαιμονεῖ a 36 ἀπεπλήρου B: ἀνεπεπλήρου a

φύσιν ἔργον ἐστὶν ᾠδή· τοῦτο δὲ ποιοῦντα καὶ ᾄδοντα κατὰ φύσιν ζῇ. 183r
τοῦτο δὲ ἦν τὸ εὖ ζῆν καὶ εὐδαιμονεῖν κατὰ τὴν Στοάν. ὅτι δὲ καὶ αὐτὸ
τὸ ᾄδειν εὐπαθούντων ἐστί, δείκνυσιν ἡ συνεχεστάτη ἐνέργεια. οὐδὲν γὰρ
τῶν ζῴων λυπούμενον οὐχ ὅτι συνεχῶς ἀλλ' οὐδαμῶς ὅλως ᾄδει. τὸ
γὰρ ᾄδειν οὐ λυπουμένων ἀλλ' εὐπαθούντων ἤ κατὰ φύσιν διαγόντων ἐστί.
πάλιν, εἰ τὸ εὐδαιμονεῖν ἐστι κατὰ τοὺς Στωικούς τὸ ἔσχατον τῆς φυσικῆς
ὁρέξεως, ἐφ' ὃ ἐλθοῦσα ἡ φύσις τὸ οὗ ἕνεκα καὶ τὸ τέλος ἔχει, οὗ τυ-
χοῦσα πλέον οὐδὲν ἐπιποθεῖ πλὴν τοῦ κατέχειν αὐτὸ τὸ οἰκεῖον ἀγαθὸν
αὐτῇ καὶ μὴ ἀπολλύναι, τοῦτο δὲ ὑπάρχει καὶ τοῖς ἀλόγοις, μετέχει ἄρα
καὶ τὰ ἄλογα ζῷα εὐδαιμονίας. τί δ' ἐστὶ τὸ τέλος τῆς φυσικῆς ὁρέξεως; 10
ἢ δηλονότι ἡ ἀκμὴ οὖσα τῆς ἐπιδόσεως καὶ τῆς παρακμῆς, κινήσεων οὐσῶν
ἀντικειμένων καὶ τῆς ἐπιδόσεως καὶ τῆς παρακμῆς καὶ ἀντικειμένων ἀλλή-
λαις, τῆς μὲν ἐπιδόσεως ὡς ἀρχῆς, τῆς δὲ παρακμῆς ὡς τέλους καὶ ὡς
τῆς μὲν ἐπιδόσεως ἀγούσης εἰς τὸ ὄν, τῆς δὲ παρακμῆς ἐπὶ τὸ μὴ ὄν.
ἀλλὰ μὴν δεῖ τῶν ἐναντίων κινήσεων εἶναί τι μεταξύ, τὴν στάσιν ἀνο- 15
μοίαν οὖσαν ταῖς ἐφ' ἑκάτερα κινήσεσι. τὸ γὰρ ἀνόμοιον τῶν κινήσεων
στάσις. αὕτη δὲ ἡ στάσις ἡ μεταξὺ τῆς ἐπιδόσεως καὶ τῆς παρακμῆς
λέγεται τῶν φυσικῶν γεννημάτων ἀκμὴ καὶ τέλος εἶναι τῆς φύσεως, ὃ 15
καὶ λαβοῦσα ἡ παράγουσα φύσις τὰ φυσικὰ σώζειν πειρᾶται καὶ κατέχειν
ὡς οἰκεῖον ἀγαθόν. ἡ δ' ὑποκειμένη φύσις, ἡ ὕλη, ἀπόλλυσι τὸ ὅλον, οὐ
στέγουσα τὴν φύσιν τὸ εἶδος. ἔστι γὰρ φύσις καὶ ἡ ὑποκειμένη ὕλη, ὡς
ἐν τῇ Φυσικῇ ἀκροάσει ἐμάθομεν, ἔστι δὲ φύσις καὶ τὸ εἶδος, ἔστι δὲ
φύσις καὶ ἡ τὴν ὕλην ἀλλοιοῦσα καὶ κινοῦσα ἐπὶ τὴν τοῦ εἴδους λῆψιν.
τῆς μὲν οὖν τοιαύτης εὐδαιμονίας, ὡς λέγομεν, μετέχει καὶ τὰ ἄλογα ζῷα,
τῆς δὲ ἐν νοερᾷ ζωῇ καὶ τῇ τῶν θειοτάτων γνώσει ἀρίστῃ οὐδαμῶς· 20
μόνος γὰρ τῶν ἐπὶ γῆς ἁπάντων ζῴων ὁ ἄνθρωπος ἔχει τὸ ζητεῖν περ'
ἑαυτοῦ περὶ τῆς τῶν θείων φύσεως καὶ διαλαμβάνειν καὶ λέγειν, ὁποία
τις ἐστὶν ἡ τούτων οὐσία, καί τινα διὰ τῆς νοήσεως αὐτῶν ὁμοιότητα πρὸς
αὐτὰ λαμβάνει. καὶ ταῦτα μὲν περὶ τῶν πραγμάτων. κατίδωμεν δὲ καὶ
τὴν λέξιν. δείξας ὅτι θεοῦ ἐνέργεια θεωρία ἐστίν (οὐδὲν γάρ ἐστι τὸ νοοῦν· 25
αὐτὸς τὸ νοούμενόν φησιν ἐν τῷ Λ τῶν Μετὰ τὰ φυσικά·) καὶ ἐπαγαγὼν ὅτι
καὶ τῷ ὄντως δὴ καὶ ἀληθινῷ ἀνθρώπῳ ἡ ταύτῃ συγγενεστάτη', ἐπι-
φέρει σημεῖον δὲ τοῦ τὴν νοερὰν ζωὴν εὐδαιμονίαν οὖσαν μὴ εἶναι τοῦ
συνθέτου, τοῦ πολιτικοῦ, ἀλλὰ τοῦ ὄντως καὶ ἀληθινοῦ ἀνθρώπου· ση-
μεῖον δὲ τούτου τὸ μὴ μετέχειν τῆς τοιαύτης εὐδαιμονίας μηδὲν τῶν ἀλό-
γων ζῴων. οὐ μετέχει δέ, διότι μηδὲ τῆς τοιαύτης, ἤτοι τῆς νοερᾶς,
ἐνεργείας. οὐκ ἐνεργεῖ δὲ νοερῶς, ὅτι ἀμοιρεῖ νοῦ, ὃς ἐστιν ὁ ἀληθινὸς
ἄνθρωπος.

2 τὴν στοάν B: τοὺς στωϊκούς a 15. 16 ἀνομοίαν B: ἀνομίαν a 15 ἑκάτερα B: ἑκατέραις a 22 ἐν τῇ Φυσικῇ ἀκροάσει] B 1 p. 193a28 25 ἐν νοερᾷ ζωῇ B: ἐν νοεραῖς ζωῆς a 26 γῆς B: τῆς a 31 ἐν τῷ Λ τῶν Μετὰ τὰ φυσικα] c. 9 p. 1074b34

p. 1178b25 Τοῖς μὲν γὰρ θεοῖς ἅπας ὁ βίος μακάριος, τοῖς δ' 183r
ἀνθρώποις, ἐφ' ὅσον ὁμοίωμά τι. 30

Εἰ τὸ μακάριον ἐν θεωρίᾳ καὶ γνώσει τῶν ἀρίστων ἐστὶ τοῖς μὲν [illegible]
[illegible] ὁ βίος, τοῖς δ' ἀνθρώποις,
5 ποις, οτε μὲν ἐνεργοῦσι, μακάριος ἐνεργείᾳ, ὅτε δὲ μὴ θεωροῦσι δυναμει μακάριος. τὸ δὲ ἐφ' ὅσον ὁμοίωμά τι τῆς τοιαύτης ἐνεργείας τοιοῦτον ἂν εἴη. νοεῖ τὸ θεῖον ἑαυτὸ καὶ ἔχει ἑαυτό· τὸ γὰρ νοούμενον ἔχεται ὑπὸ τοῦ νοοῦντος καὶ ἔστιν αὐτὸ τὸ νοῦν καὶ νοούμενος καὶ ἔχων καὶ ἐχόμενον. νοεῖ δ' αὐτὸ καὶ ἔχει καὶ ὁ θεωρητικὸς εὐδαίμων, ὁ ἤδη
10 θεωρῶν καὶ ἤδη ἐνεργῶν, ἀλλ' οὐχ ὡσαύτως. οὐ γὰρ ὥσπερ νοεῖ τὸ θεῖον ἑαυτὸ οὕτω καὶ ὁ θεωρητικὸς ἀντιλαμβάνεται αὐτοῦ καὶ νοεῖ αὐτό, ὥστε ἡ νόησις καὶ ἡ κατάληψις τοῦ θεωρητικοῦ εὐδαίμονος ὁμοίωμά τι καὶ ὕδαλμά ἐστι τῆς τοῦ θεοῦ νοήσεως, καθ' ἣν νοεῖ ἑαυτόν. εἰ δὲ τοῦτο, δῆλον ὅτι καὶ τὸ μακάριον τοῦ θεωρητικοῦ εὐδαίμονος ὅμοιόν τι τῇ τοῦ
15 θεοῦ μακαριότητι, ἀλλ' οὐ ταὐτόν. ἐφ' ὅσον δὴ διατείνει ἡ θεωρία, καὶ εὐδαιμονία. ἢ τὸ λεγόμενόν ἐστιν, ὅτι ὅσα τῶν ζῴων ἄλογά ἐστι καὶ νοῦς ἐστιν ἐν αὐτοῖς δυνάμενος νοερῶς ζῆν, ταῦτα καὶ εὐδαιμονεῖν δύναται τὴν θεωρητικὴν εὐδαιμονίαν, ὅσα δὲ τοῦ τοιούτου νοῦ ἐστέρηται, ἀδύνατον τὴν θεωρητικὴν εὐδαιμονίαν εὐδαιμονεῖν, ἢ λέγει ἂν ὅτι ἐπίσης
20 ἐστὶν ἡ θεωρία καὶ ἡ εὐδαιμονία, καὶ διὰ τοῦτο ἐφ' ὅσον ἂν χρόνον διατείνῃ ἡ ἐνέργεια, τοσοῦτον καὶ ἡ εὐδαιμονία. εἰ γὰρ σύνδρομός ἐστιν ἡ εὐδαιμονία τῇ ἐνεργείᾳ, εἰ ἐξ ὡρῶν, εἰ τύχοι, ἐστὶν ἡ ἐνέργεια, τοσούτων ἔσται καὶ ἡ εὐδαιμονία καὶ οὔτε πλειόνων οὔτε ἐλαττόνων. ὥστε τοῖς μὲν ἀεὶ ἐνεργοῦσι συναΐδιον ἔσται καὶ τὸ εὐδαιμονεῖν τῇ ἀϊδίῳ ἐνεργείᾳ,
25 τοῖς δ' ἄλλοις, ὅσος ἂν εἴη ὁ χρόνος ἐν ᾧ ἐνεργοῦσι, τοσαύτη ἔσται καὶ ἡ εὐδαιμονία, οὐ κατὰ συμβεβηκὸς ἀλλὰ κατὰ θεωρίαν, ἄλλο τι σημαινόμενον τοῦ κατὰ συμβεβηκὸς διὰ τούτων ἡμῖν παραδούς. σημαίνοι δ' ἂν τὸ συμβεβηκὸς τοῦτο τὸ ἀτελές· καὶ εἴη ἂν τὸ λεγόμενον, οὐ κατὰ τὴν ἀτελῆ εὐδαιμονίαν, τὴν πολιτικὴν ἢ τὴν ἐν παιδιᾷ τοῖς δυνάσταις καὶ
30 τυράννοις καὶ τοῖς τοιούτοις εὐδαιμονιζομένοις ὁριζομένην ἀλλὰ κατὰ τὴν θεωρίαν, ἤτοι τὴν ἁπλῶς καὶ κυρίως εὐδαιμονίαν. ἢ λέγοι ἂν οὐ κατὰ
[illegible] ὅτι [illegible] ὁ ἀνὴρ [illegible] κατὰ δὲ αὐτὴν
τὴν θεωρίαν καὶ τὴν περὶ τὰ αἰεὶ ὡσαύτως ἐχοντα διατριβήν. ὡς γὰρ 183v
[illegible] διὰ τὴν [illegible] ἡ θρόνου τυχὼν τοῦτο πρᾶξαι οὐ
35 δι' ἑαυτὸν ἔτυχε τῆς τιμῆς, ἀλλὰ διὰ τὸν πατέρα καὶ κατὰ συμβεβηκός, ὁ δὲ ἀριστεύσας καὶ στεφάνου τυχὼν δι' ἑαυτὸν ἐστεφάνωται καὶ οὐ κατὰ συμβεβηκός, οἷον διὰ τὸ οἷόν εἶναι ἀριστεύσαντα, οὕτω καὶ ἡ θεωρία καθ'

1 ἅπας B et Arist: πᾶς a thesis usque ad θεωρία τίς (p. 1178b32) a 13 καὶ ὕδαλμα B: ἢ ὕδαλμα a 16 εὐδαιμονία Ba: ἡ εὐδαιμονία Arist. 20 θεωρία καὶ ἡ B: θεωρητικὴ a ἐφ' ὅσον B: καὶ ἐφ' ὅσον a 22 τύχοι a: τύχῃ B 26 κατὰ τὴν θεωρίαν Aristoteles 30 τοῖς τοιούτοις B: τοιούτοις a 37 τὸ B: τὸν a, an τὸ τόν?

αὐτήν ἐστιν εὐδαιμονία καὶ ὁ θεωρητικὸς κατὰ ταύτην εὐδαίμων, ἀλλ' οὐ 183ᵉ
δι' εὐγένειαν ἢ πλοῦτον ἤ τι τοιοῦτον.

p. 1178b33 Δεήσει δὲ καὶ τῆς ἐκτὸς εὐμηχανίας ἀνθρώπῳ ὄντι.

Πολλάκις ἐπισημαίνεται τοῦτο διά τε τὸν Πλάτωνα μὴ δεῖσθαι ὅλως 16
λέγοντά τινος τὸν ὡς ἀληθῶς καὶ μὴ κατὰ συμβεβηκὸς εὐδαίμονα καὶ διὰ
τὸ χρήσιμον καὶ εὐπορίας τοῦ σώματος ἡμῖν· δεῖται γὰρ σχολῆς· ἐκ γὰρ
νοσῶν καὶ ὑπὸ τῆς νόσου σφόδρα ἐνοχλούμενος δύναται σχολάζειν; δεῖται
δὲ καὶ τροφῆς. οὐ γάρ ἐστιν ἁπλοῦν ἡμῶν τὸ σῶμα. καὶ εἴρηταί μοι
περὶ τούτων τὰ δέοντα πρότερον, καὶ οὐ δεῖ πάλιν μηκύνειν. λέγει δ' ὅτι 20
ἐκτὸς εὐημερίας οὐ τὸ πλῆθος τῶν δούλων καὶ χρημάτων καὶ κτημά-
των πολλοὺς ἀριθμούς, ἀλλ' εὐημερίαν λέγει τὴν ὑγείαν καὶ τὴν τῶν ἀναγ-
καίων εὐπορίαν καὶ τούτων τοσούτῳ, ὅσῳ ἀνθρωπεύεσθαι. οὐ μήν, φησί,
πολλῶν καὶ μεγάλων. εἰ μὲν γὰρ ἀδύνατον ἦν εὐδαιμόνως ζῆν δίχα
τοῦ πλήθους καὶ μεγέθους τῶν ἐκτὸς ἀγαθῶν, ἔδει ἂν αὐτῷ τῶν τοιούτων 25
ἐπεὶ δὲ καὶ χωρὶς τῆς τούτων ὑπερβολῆς δύναται μακαρίως ζῆν, οὐ πολ-
λῶν αὐτῷ τούτων χρεία. οὐ γὰρ ἐν τῇ ὑπερβολῇ τὸ αὐτάρκες οὐδ' 25
ἡ κρίσις, τουτέστιν οὐδὲ τὴν αὐτάρκειαν δεῖ κρίνειν ἐκ τῆς τῶν χρημά-
των ὑπερβολῆς. ἐπισφαλῶς γὰρ καὶ ἡμαρτημένως κρίνει ὁ λέγων, ὅτι
αὐτάρκης ἐστὶν ὁ πάνυ πολὺν πλοῦτον περιβεβλημένος. οὐδ' εὐδαιμονικὰς
πράξεις δεῖ λέγειν τὰς ἀπὸ τῶν πλῆθος ἐχόντων πλούτου πραττομένας· 30
δυνατὸν γὰρ καὶ τοῖς ὀλίγοις καλῶς χρῆσθαι καὶ ἀπὸ ὀλίγων πράττειν τὰ
καλά, καὶ μᾶλιστα τὰς ἀρίστας ἐνεργεῖν ἐνεργείας τοῦ νοῦ. ὅτι δὲ καὶ ἀπὸ
τῶν μετρίων δύναταί τις πράττειν τὰ καλά, ὅλον· οἱ γὰρ ἰδιῶται (οὗτοι 30
δ' εἰσὶν οἱ τὰ μέτρια κεκτημένοι καὶ μὴ δυναστεύοντες μηδ' ἄρχοι ἔχον-
τες) μᾶλλον πράττουσι τὰ ἐπιεικῆ τῶν δυναστῶν καὶ πλουσίων. μᾶλλον
γὰρ ξενοδοχοῦσι καὶ πενήτων ἐπιμελοῦνται καὶ ναοῖς ἐνασχολοῦνται καὶ μᾶλ-
λον τὰ τῶν ἐλευθερίων ἐνεργοῦσιν. εἰ δὲ οὗτοι, πολλῷ μᾶλλον ὁ θεω-
ρητικὸς εὐδαίμων καὶ νοερῶς ζήσεται μέτρια κεκτημένος καὶ τὰ κατ' ἀρε-
τὴν ἀπὸ τούτων πράξει, ἐπειδὰν ἀνθρωπεύηται. ἱκανὸν οὖν, φησί, τοσαῦθ' 35
ὑπάρχειν. τουτέστιν ἱκανὸν ἵστι τῷ εὐδαίμονι τοσαῦτα ὑπάρχειν αὐτῷ. καὶ
ἀρκεῖ γὰρ αὐτῷ ἡ τῶν μετρίων ὕπαρξις. δύναται γὰρ πράττειν τὰ κάλ-
λιστα καὶ ἀπ' αὐτῶν οὐκ ἀφαιρεθήσεται διὰ τὴν ὀλιγότητα τὸ μακάριον,
ὅτι μηδ' ἐν πλήθει ἡ μακαριότης ὁρίζεται. ὅτι δὲ οὐκ ἐν πλήθει καὶ
μεγέθει τῶν ἐκτὸς ἀγαθῶν τὸ εὐδαιμόνως ζῆν ἐστιν ἀλλ' ἐν τῇ ἐπιεικεῖ 40
τούτων χρήσει, καὶ πολλῶν καὶ ὀλίγων ὄντων, μαρτύρεται καὶ τὸν Σόλωνα

1 κατὰ ταύτην B: κατ' αὐτὴν a 3 rhesis usque ad ἃ δεῖ (p. 1179a13) a
15 κρίσις Ba et Arist. codd. MbOb: ἡ πρᾶξις Arist. vulg. 22 ἀρίστας B: ἀρί-
στους a 27 ἐλευθερίων Vat. 320: ἐλευθέρων Ba 28 τὰ B: τὰς a 29 πράξει
B: πράξεις a 31 μετρίων B: μετρίως a αὐτῶν B: αὐτοῦ a 32 οὐκ Ba:
Arist. οὐδ' 35 Σόλωνα] cf. Herodot. A 32

λέγοντα εὐδαίμονα οὐ τὸν πολλῶν καὶ μεγάλων εὐπορούντα ἀλλὰ τὸν ἐν 183v
ἀμφοτέροις ὄντα, τῷ τε μέτρια κεκτῆσθαι καὶ πράττειν τὰ κάλλιστα καὶ 10
ζῶντα σωφρόνως. εἰτα δὲ τὸ σωφρόνως ἀντὶ τοῦ καὶ κατὰ πάσας ζῶντα
τὰς ἀρετάς.

· p. 1179a13 Ἔοικε δὲ καὶ Ἀναξαγόρας οὐ πλούσιον οὐδὲ δυναστὴν
ὑπολαμβάνειν τὸν εὐδαίμονα.

Ἔθος Ἀριστοτέλει μετὰ τὰς ἀποδείξεις εἰς πλείονα πίστιν τῶν πραγ-
μάτων ἐπάγειν καὶ τὰς τῶν σοφῶν δόξας καὶ τὰς τῶν πολλῶν αὐτοφυεῖς
συγκαταθέσεις. ὅταν γὰρ ταῖς περί τινων ἐπιχειρήσεσι συμφωνῶσι καὶ 50
10 αἱ τῶν σοφῶν περὶ ἐκεῖνα δόξαι καὶ αἱ τῶν πολλῶν ψῆμαι, παναληθῆ τὰ
συναγόμενα ὑπὲρ τῆς ἐκείνων συστάσεως εἶσι. δείξας οὖν ὅτι οὐκ ἐν
πλούτῳ καὶ μεγέθει τῶν ἐκτὸς ἀγαθῶν ἐστι τὸ εὐδαιμονεῖν, ἀλλ' ἐν τῇ
πρὸς θεὸν ἐγγύτητι, ἐπήγαγε πρὸς πλείω πειθῶ καὶ τὰς τῶν σοφῶν δόξας,
τόν τε Σόλωνα καὶ τὸν Ἀναξαγόραν. λέγει δὲ ὁ Ἀναξαγόρας μηδὲν εἶναι
1 θαυμαστόν, εἰ τοῖς πολλοῖς ἄτοπος καὶ κακοδαίμων νομίζομαι. κακοδαί-
μονα γὰρ τὸν Ἀναξαγόραν οἱ πολλοὶ ἐκάλουν ὡς μὴ πολλῶν εὐπορούντα, 184r
καίτοι πλουσιώτατον ὄντα τὴν θεωρίαν καὶ τῷ ὄντι εὐδαιμονέστατον. ἀλλ'
οἱ πολλοὶ ἐπισφαλῶς ⟨τὴν εὐδαιμονίαν⟩ ἐν τῷ πλήθει τῶν χρημάτων τι-
θέμενοι. τὸν δ' Ἀναξαγόραν ὁρῶντες μέτρια κεκτημένον, κακοδαίμονα καὶ
20 ἄτοπόν τινα ἐδυσφήμουν. οὐ δεῖ, φησίν, ὁ Ἀναξαγόρας, θαυμάζειν, ὅτι με
οἱ πολλοὶ κακοδαίμονα κρίνουσι. κρίνουσι γὰρ τοὺς εὐδαίμονας τοῖς ἐκτὸς
ἀγαθοῖς, ἀνεπαίσθητοι τῶν ὄντως ἀγαθῶν ὄντες. ταῦτα εἰπὼν λέγει, ὅτι 5
οἱ τῶν σοφῶν περὶ εὐδαιμονίας ὅροι τοῦ τε Σόλωνος καὶ Ἀναξαγόρου σύ-
μφωνοί εἰσι τοῖς ἐμοῖς λόγοις, τοῖς λέγουσι μὴ ἐν πλήθει καὶ μεγέθει τῶν
[illegible] τὸ εὐδαιμονεῖν μηδ' ἀπὸ τούτων δεῖν κρίνειν τὸν εὐδαίμονα
ἀλλ' ἀπὸ τῆς ὅλης ἀρετῆς χαρακτηρίζειν αὐτόν. πίστιν μὲν οὖν καὶ
τὰ τοιαῦτα ἔχει τινά. τοιαῦτα λέγει τούς τε κατασκευάζοντας λόγους,
ὅτι οὐκ ἔστιν εὐδαιμόνως ζῆν ἐν τῷ ἄρχειν ἐθνῶν καὶ πόλεων πολλῶν καὶ
θαλάσσης ἁπλέτου, ἀλλ' ἐν τῷ μέτρια κεκτῆσθαι, πράττειν δὲ τὰ κάλλιστα 10
καὶ βέλτιστα. τούς τε οὖν λόγους τούτους λέγει τοιαῦτα καὶ τὰς τῶν
σοφῶν δόξας. ἔχουσι μὲν δή, φησί, καὶ οἱ λόγοι καὶ αἱ δόξαι τῶν σοφῶν
τὸ πιθανόν, τὸ δ' ἀληθὲς ἀπὸ τῶν ἔργων ἐν τοῖς πρακτοῖς κρίνεται. εἰ γάρ
[illegible] εὐδαίμονα τὸν μέτρια κεκτημένον καὶ τὰ ἄριστα μεταδιώκοντα
καὶ λέγων μηδέν τι πλέον ἔχει τῶν ἀναγκαίων, πράττει τε τὰ κάλλιστα
καὶ βέλτιστα καὶ τῆς θεωρίας ὁλικῶς ἀντέχεται, πειθεσθαι δεῖ τούτῳ καὶ 15
ὁληθέστατον καὶ αὐτὸν καὶ τοὺς λόγους αὐτοῦ λέγειν· εἰ δὲ λέγει μὲν
οὕτω, πράττει δὲ τἀναντία ὧν λέγει, συνάγων πάντοθεν χρυσὸν καὶ ἄργυ-

6 ὑπολαμβάνειν B: ὑπολαβεῖν a et Aristoteles rhesis usque ad ὑποληπτέον (p. 1179a22) a 9 ἐπιχειρήσεσι B: ἐπιχειρήσεις a 13 ἐπήγαγε B: ἐπάγει a 18 τὴν εὐδαιμονίαν a: om. B 20 δεῖ a: δή B 32 ἐν B: καὶ a 34 ἔχει B: ἔχειν a πράττει a: πράττειν B τε B: δὲ a

ρον καὶ λοιπὴν ἄλλην κτῆσιν. ψεύστην τὸν τοιοῦτον καὶ γόητα ἀποφαίνεσθαι 181r
ὡς μὴ συμφωνούντων ὧν λέγει οἷς πράττει. ἡ μὲν οὖν τῶν λεγομένων
δύναμις αὕτη· τὸ δὲ λόγους ὑπολαπτέον ταὐτόν ἐστι τῷ φωνὰς ὑπολη-
πτέον κενὰς εἰς ἀέρα χεῖσθαι, μᾶλλον δὲ εἰ χρὴ σαφέστερον εἰπεῖν, ψό-
φους ἀνάρθρους καὶ παντάπασιν ἀσήμους.

p. 1179a22 Ὁ δὲ κατὰ νοῦν ἐνεργῶν καὶ τοῦτον θεραπεύων καὶ
διακείμενος ἄριστα καὶ θεοφιλέστατος ἔοικεν εἶναι.

Θεοφιλέστατός ἐστιν ὃν φιλεῖ ὁ θεός· θεοφιλὴς γὰρ ὁ φίλος θεῷ. δεί-
ξας τὸν θεωρητικὸν εὐδαίμονα ἄριστον καὶ βέλτιστον καὶ αὐταρκέστατον
καὶ τἄλλα ὅσα εἴρηται, δείκνυσιν αὐτὸν καὶ θεοφιλέστατον λέγων, εἰ ἐπι-
μελεῖται ἀνθρώπων τὸ θεῖον καὶ προνοεῖται τούτων, ὥσπερ δοκεῖ τοῖς
ἄριστον κατὰ φιλοσοφίαν, καὶ δοκεῖ ἀληθεύειν. εἰκὸς γὰρ ὑπὸ χάριτος μά-
λιστα τῷ ἀρίστῳ καὶ συγγενεστάτῳ. τὸ δ' ἄριστον καὶ συγγενέστατον τῷ
θεῷ ὁ νοῦς ἡμῶν ἐστιν. ἐπιγηθεῖ μὲν γὰρ τὸ θεῖον πᾶσι τοῖς αὐτοῦ
ποιήμασι κατὰς οὐσίαν, μάλιστα δὲ τῷ νῷ ὡς συγγενεστάτῳ. συγγνώμη
δ' ὃ τὴν οὐσίαν ἀλλ' ὡς ἐνεργείας εἰς ἑαυτὸν νοεραν καὶ ἀρὰν ἑαυτὸν
καὶ διὰ τῆς εἰς ἑαυτὸν ἐπιστροφῆς καὶ συνεύσεως ἀνατείνεσθαι πρὸς τὸ
θεῖον τὸ φιλοῦν αὐτὸν καὶ ἐκθεοῦσθαι καὶ ὡς δυνατὸν ἐξομοιοῦσθαι. συγ-
γενὴς τοίνυν ἐστὶν ὁ νοῦς ἑκάστου ἡμῶν τῷ θεῷ κατὰ τὴν τῆς ἐνεργείας
ὁμοιότητα. κἀκεῖνος γὰρ ἑαυτὸν νοεῖ καὶ ἡμεῖς ἑαυτούς, ὅταν ὑπεράνω
τῆς φαντασίας γενώμεθα. εἰ οὖν συγγενὴς ἡμῶν ὁ νοῦς τῷ θεῷ, εὔλογον
ἀγαπᾶν τὸν θεὸν τοὺς ἀγαπῶντας καὶ τιμῶντας τὸ συγγενὲς αὐτοῦ καὶ
ἀντευποιεῖν. ἀγαπᾷ δὲ τὸν συγγενῆ τοῦ θεοῦ νοῦν ὁ τὴν ὅλην ἀρετὴν
ἐγκολπωσάμενος, φυγὼν τὰς πολυειδεῖς ὀρέξεις καὶ τὰς συντρόφους αἰσθή-
σεις ὡς τὴν διάνοιαν ἀπατώσας καὶ τὰς φαντασίας ὡς μορφωτικὰς καὶ ὡς
μεριστὰς καὶ ὡς ποικιλίαν ἀμήχανον ὅσην ἐπεισαγούσας, ἀποστραφεὶς τε
τὰς δόξας ὡς ποικίλας καὶ αὐτὰς καὶ εἰς τὰ ἐκτὸς φερομένας καὶ τῇ
αἰσθήσει καὶ τῇ φαντασίᾳ συμμεμιγμένας (πᾶσα γὰρ δόξα μετ' αἰσθήσεως
ἀλόγου καὶ φαντασίας ἐνεργεῖ) ἀναδραμών τε εἰς ἐπιστήμην καὶ νοῦν, μετὸ
δὲ ταύτην ἐπὶ τὴν νοερὰν ζωὴν καὶ τὰς ἁπλᾶς ἐπιβολάς, ἐν ᾧ γενόμενος
τὰς ἐκεῖθεν ἐλλάμψεις εἰσδέχεται καὶ φωτὸς ἀχράντου πληροῦται. τίς
δὲ ἡ ἀντευποιία, ἣν τὸ θεῖον ἀντευποιεῖ τοὺς θεραπεύοντας τὸν συγγενῆ
νοῦν αὐτῷ; ἡ τρανοτέρα τοῦ φωτὸς ἔλλαμψις τῆς γνώσεως αὐτοῦ καὶ ἡ
τελειοτέρα συναφὴ πρὸς αὐτὸ καὶ ἡ ἐποπτεία τῶν νοερῶν διακόσμων. ⟨θεο-
φιλὴς ἄρα ὁ σοφός.⟩ εἰ γὰρ ἡμεῖς φιλοῦμεν τοὺς ἀγαπῶντας τοὺς ἡμῶν
παῖδας ἢ συγγενεῖς, πῶς οὐ δεῖ τὸν πανάγαθον θεὸν φιλεῖν τοὺς ἀγαπῶν-
τας τὸ συγγενὲς αὐτῷ; εἰπὼν δὲ ὅτι θεοφιλής ἐστιν ὁ σοφὸς διὰ τὸ ἀγα-

1 γόητα B: γόητον a 7 καὶ θεοφιλέστατος B et Aristoteles: θεοφιλέστατος a
rhesis usque ad μάλιστ' εὐδαίμων (p. 1179a32) a 16 ἑαυτὸν B: αὐτὸν a 26 ποικι-
λίαν ἀμήχανον B: ποικιλίας ἀμηχανίαν a 31 αὐτὸ B: αὐτὸν a διακόσμων B:
κόσμων a 34. 35 θεοφιλὴς — σοφός a: om. B

παν το συγγενὲς αὐτοῦ, σαφηνίζων, τίς ἐστιν ἡ τιμὴ αὕτη καὶ ἀγάπη. 184r
ἐπήγαγε καὶ ὀρθῶς καὶ καλῶς πράττοντας, ὡς εἰ ἔλεγε 'τὸ ἀγαπᾶν
τὸν νοῦν οὐδέν ἐστιν ἕτερον εἰ μὴ τὸ εὐπραγεῖν καὶ κατὰ πάσας ἐνεργεῖν
τὰς ἀρετάς, τὰς ἐν πράξει καὶ λόγῳ.' ὅτι δὲ ταῦτα πάντα τῷ σοφῷ 30
ὑπάρχει, οὐκ ἄδηλον. ταῦτα πάντα λέγει ὅσα περὶ εὐδαιμονίας εἶπε,
τὸ αὐτάρκες, τὸ ἄρρυτον, τὸ ἐπιμελεῖσθαι τοῦ οἰκείου νοῦ, τὸ θεοφιλὲς καὶ
τἄλλα ὅσα εἴρηκε. ταῦτα δὴ ὑπάρξει ἂν ἴσως καὶ τῷ πολιτικῷ εὐδαίμονι
ζῶντι κατὰ τὴν ἠθικὴν ἀρετήν, ἀλλὰ μάλιστα καὶ ἀναντιρρήτως ὑπάρχει
τῷ ζῶντι νοερῶς, ὥστε ὁ μὲν πολιτικὸς εἴη ἂν θεοφιλὴς καὶ εὐδαίμων,
ὁ δὲ θεωρητικὸς θεοφιλέστατος καὶ εὐδαιμονέστατος.

p. 1179a33 Ἆρ' οὖν εἰ περὶ τούτων καὶ τῶν ἀρετῶν, ἔτι δὲ περὶ 184v
φιλίας καὶ ἡδονῆς ἱκανῶς εἴρηται.

Πληρώσας τὸν περὶ τὰς ἠθικὰς καὶ λογικὰς ἀρετὰς σύμπαντα λόγον 5
διὰ τῶν προκειμένων λέξεων καὶ τῶν ἐχομένων αὐτοῦ, ἀναπείθειν ἡμᾶς
πειρᾶται πρὸς τὴν κατ' αὐτὰς ἐνέργειαν. οἱ γὰρ λόγοι μόνοι καὶ ἡ διὰ τῶν
λεγομένων αὐτῶν γνῶσις μόνη οὔτε εὐδαίμονας οὔτε πολιτικοὺς οὔτε θεω-
ρητικοὺς ἀποτελεῖν δύναται, ἀλλὰ πάντων οὗτος εἶσι καὶ ἀνεπίγρα-
προτρέψασθαι μὲν γὰρ πρὸς τὰς πράξεις τοὺς ἐλευθερίους καὶ καλῶς τρα- 10
φέντας καὶ ἀναχθέντας τῶν νέων ἰσχύουσιν, εἰς εὐδαιμονίαν δὲ ἀγαγεῖν
καὶ τὴν ταύτης τεῦξιν ἀδυνατοῦσι. καλῶς δὲ τρέφονται καὶ ἀνάγονται οἱ
ἐν ἀρίστῃ πόλει διάγοντες. τοιαύτη δ' ἐστὶν ἡ νόμοις σπουδαιοτάτοις
χρωμένη καὶ ἔθεσιν ἐπιεικέσι πολιτευομένη. εἰ δὲ τὸ τέλος τῶν ἀνθρω-
πίνων ἀγαθῶν τὸ ἄριστον τὸ εὐδαιμόνως ζῆν ἐστι, τοῦτο δὲ δίχα τῆς τῶν
ἀρετῶν κτήσεως λαβεῖν ἀδύνατον, κτήσασθαι δὲ ταύτας καὶ ὅλως σπου-
δαῖον γενέσθαι οὐκ ἐνδέχεται τὸν ἐν πόλει διατρίβοντα μοχθηροῖς νόμοις
καὶ ἔθεσι χρωμένη, δῆλον ἐστιν, ὅτι μὴ λέγωμεν ἀναγκαῖον, τὸν περὶ
πολιτειῶν, τίνες τε ἡμάρτηνται καὶ τίνες ὀρθῶς πολιτεύονται καὶ τίς τῶν
ὀρθῶς πολιτευομένων ἡ ἀρίστη καὶ τίνας ἔχειν νόμους δεῖ. ὁ μὲν οὖν
σύμπας τῶν ἐντεῦθεν μέχρι τέλους τοῦ βιβλίου σκοπὸς καὶ ἡ προαίρεσις
αὕτη, λέγω δὲ δεῖξαι, ὅτι ἀναγκαῖόν ἐστι μετὰ τὴν τῶν πασῶν ἀρετῶν πραγμα-
τείαν, ⟨ἥτις ἐστὶν ἡ προκειμένη⟩, πολιτείας τε γράψαι καὶ περὶ νόμων
εἰπεῖν, ποῖοι ποῖα ἁρμόζουσι καὶ ποῖοι σώζειν αὐτὴν δύνανται καὶ ποῖοι
φθείρειν, ὥστε δεῖ τὸν βουλόμενον τέλειον ἔσεσθαι τὴν ἀνθρωπίνην φιλο-
σοφίαν, ἤτοι πολιτικὸν εὐδαίμονα, μετὰ τὰ βιβλία ταῦτα τὰς πολιτείας αὐ-
τοῦ δεῖξαι τούτοις οὕτως ἀναγνώσεσιν. λοιπὸν περὶ μὲν οὖν τούτων τοῦτο.

1 πράττοντες a 3 εἰ μὴ B: ἢ a 4 ταῦτα πάντα Ba et Arist. codd. LbMb: πάντα ταῦτα Arist. vulg. 5 εἶπε] c. 7 p. 1177b22 11 περὶ τούτων B et Arist. vulg.: περί τε τούτων a et Arist. codd. LbOb 11. 12 περὶ φιλίας B: καὶ φιλίας a et Arist. vulg.: φιλίας Arist. codd. LbOb 12 rhesis usque ad ἀγαθοῦ γινόμεθα (p. 1179b4) a 18 ἐλευθερίους a: ἐλευθέρους B 24. 25 σπουδαῖον B: σπουδὴν a 29 βιβλίου σκοπὸς B: βίου a τὴν Vat. 320: om. Ba 31 ἥτις—προκειμένη a: om. B

τὰ δὲ τῶν λέξεων οὕτως ἂν ἔχοι. ἆρα, φησίν, ἐπειδὴ περὶ τῶν ἀρετῶν ἱκανῶς εἴρηται τοῖς τύποις, τουτέστι καθόλου καὶ ὡς ἀρχόμενος τοῦ βιβλίου εἶπε, παχυλῶς (ἐκ γὰρ τῶν ἐνδεχομένων καὶ ὡς ἐπὶ τὸ πολὺ τοὺς λόγους συνεπεραίνετο), ὑποληπτέον τέλος ἔχειν καὶ οὐδενὸς ἄλλου χρήζομεν πρὸς τὸ εὐδαιμονῆσαι πλὴν τοῦ ἀναγνῶναι τὸ βιβλίον, ἢ καθάπερ λέγεται, ὧν λόγων τὸ τέλος οὐκ ἔστι γνῶσις ψιλή, ὥσπερ τοῦ δεικνύντος ὅτι ὁ ἥλιος μείζων τῆς γῆς, ἀλλὰ πρᾶξις καὶ ποίησις, οὐκ ἀρκεῖ συνιέναι τῶν λεγομένων, ἀλλὰ καὶ τῶν πράξεων ἀντέχεσθαι καὶ τῶν ἔργων ἀνάγκη. εἰ οὖν καὶ ἐπὶ τῶν ἄλλων, ὧν τὸ τέλος οὐκ ἔστι ψιλὴ γνῶσις, ἀλλὰ πρᾶξις τοὺς λόγους αἱρούμεθα διὰ τὴν πρᾶξιν, τῶν δὲ περὶ ἀρετῆς λόγων τὸ τέλος πρᾶξίς ἐστι, πειρατέον πράττειν ὅσα ἡμῖν ὑφηγεῖται. τί γὰρ σεμνὸν τὸ γνῶναι, τί ἐστιν ἀνδρεία ἢ δικαιοσύνη, τῷ μὴ μέλλοντι τὰ ἀνδρεῖα καὶ δίκαια πράττειν; τὸ μὲν λεγόμενον τοιοῦτον, τὸ δὲ τῆς λέξεως, τὸ ἢ εἴπερ ἄλλως ἀγαθοὶ γινόμεθα, οὕτως ἐπῆκται, ὡς εἰ ἔλεγεν· εἰ μὲν ἀπὸ τῆς τῶν ἀρετῶν χρήσεως γινόμεθα ἀγαθοί, χρηστέον αὐταῖς, εἰ δέ τινα ἄλλον τρόπον, ἐκεῖνον ζητητέον· πάντως δὲ χρηστέον ἐκείνοις, δι' ὧν ἀγαθοὶ γινόμεθα.

p. 1179b4 Εἰ μὲν οὖν ἦσαν οἱ λόγοι αὐτάρκεις ποιῆσαι ἐπιεικεῖς.

Εἰ μὲν οὖν ἤρκει μόνη ἡ τῶν λόγων ἀκρόασις καὶ ἡ σύνεσις τῶν λεγομένων πρὸς καλοκαγαθίαν, μισθοὺς πολλοὺς καὶ μεγάλους, ὥς φησι Θέογνις, ἔφερον καὶ ἐδίδουν τοῖς γράφουσιν ἡθικὰς πραγματείας ἐξωνούμενοι αὐτάς. νῦν δὲ προτρέψαι μέν, ὡς εἴρηται, καὶ ῥοπήν τινα ποιῆσαι πρὸς καλοκαγαθίαν δύνανται, * * * ἐπάγει καὶ τίνας δύνανται κινῆσαι πρὸς τὰς κατ' ἀρετὴν πράξεις, ὅτι μὴ πάντας ἀλλὰ τοὺς ἐλευθερίους τῶν νέων. λέγει δὲ νῦν ἐλευθερίους τοὺς μὴ δεδουλωμένους τρυφαῖς καὶ σκληρίαις ἀλλὰ τοὺς καλῶς ἀχθέντας ὑπὸ παιδαγωγῶν ἢ συγγενῶν καὶ διὰ τῆς ἐπιεικοῦς τούτης ἀγωγῆς εὐπειθεῖς ὄντας καὶ εὐκινήτους ἐπὶ τὰς κατ' ἀρετὴν πράξεις. τοὺς μὲν δὴ τοιούτους τῶν νέων δύνανται προτρέψασθαι καὶ ἦθος αὐτῶν μετὰ τῶν πρώτων σύρσεων καὶ ἁπλῶς φύσεως κατακώχιμον ὑπάρχον ἐκ τῆς ἀρετῆς. λέγει δὲ νῦν ἀρετὴν οὐ τὰς κυρίως ἀρετάς, σωφροσύνην ἀνδρίαν δικαιοσύνην, ἀλλὰ τὴν γινομένην ἀνάπτυσιν ἢ ἕξιν αὐτοῖς ἀπὸ τῆς βασιστρίας ἀγωγῆς καὶ ἐπιεικοῦς ἀναστροφῆς, καὶ ἣν ἀνήγμασαν παρὰ τῶν παιδαγωγῶν ἢ τῶν πατέρων ἢ τινος τῶν συγγενῶν. τὸ δὲ κατακώχιμον σημαίνει καὶ τὸ πλῆρες, οἷον ὁ δεῖνα κατακώχιμός ἐστι σοφίας, καὶ τὸ ἐχόμενον καὶ κεκρατημένον, οἷον ὁ δεῖνα κατακώχιμός ἐστι ταῖς

1 τῶν (alterum) B: om. a 2. 3 ἀρχόμενος τοῦ βιβλίου] A 1 p. 1094b20 5 ἀναγνῶναι B: ἀναγνῶσαι a 13. 14 εἴπερ Ba: εἴ πως Aristot. 14 γινόμεθα B et Arist. vulg.: γενοίμεθα a: γινόμεθα Arist. cod. Kb 15 γινόμεθα B: γενόμεθα a 18 αὐτάρκεις ποιῆσαι B: αὐτάρκεις πρὸς τὸ ποιῆσαι a et Aristoteles rhesis usque ad τῆς ἀρετῆς (p. 1179b20) a 20 μισθοὺς a: φασὶ B 20. 21 Θέογνις] 434 21 ἔφερον B: ἔφερε a ἐξωνούμενοι scripsi: ἐξωνούμενος Ba 23 lacunam indicavi

ἁρμοὶ καὶ τὸ ὑπεῖκον καὶ εὐπειθές. ὃ οὖν σημαινόμενον ἔλαχε 185
τοῦ κατακωχίμου, καὶ λέγει ὅτι τὸ γεγονὸς ἦθος εὐάγωγον καὶ εὐπειθὲς
ἕπεσθαι τοῖς καλῶς λεγομένοις· γεγονὸς δὲ τοιοῦτον ἐκ τῆς ἀρετῆς, ἤτοι
τῆς καλλίστης ἀγωγῆς, δύνανται οἱ λόγοι παρορμῆσαι ἐπὶ τὰς πράξεις καὶ 5
σὺν ταῖς πράξεσιν εὐγενὲς καὶ φιλόκαλον ἀποτελέσαι καὶ ποιῆσαι φιλεῖν τὰ
καλὰ καὶ σπεύδειν ἐπὶ τὴν κτῆσιν αὐτῶν. οἱ γὰρ πεπαιδευμένοι καὶ ἐθι-
σθέντες ἀπέχεσθαι τῶν κακῶν ἅμα τε τῶν εἰσηγουμένων τὰ χρηστὰ λόγων
ἀκούουσι καὶ τρέχουσιν ἐπ' αὐτά, τοὺς δὲ πολλοὺς ἀδυνατεῖ πρὸς καλο-
καγαθίαν προτρέψασθαι· δυσπειθεῖς γὰρ οὗτοι. φαύλως γὰρ ἀναχθέντες
10 καὶ μηδεμίαν ἔννοιαν ἔχοντες τοῦ καλοῦ οὐδ' ἀκούειν ὑπομένουσι τῶν ἐπὶ 10
τὸ καλὸ παρακαλούντων, μὴ ὅτι γε πείθεσθαι. πρὸς γὰρ τὰ πάμπαν ἡμῖν
ἄγνωστα ἢ οὐδ' ὅλως ἀγόμεθα ἢ σὺν βίᾳ. διὸ οἱ μὲν καλῶς ἀναχθέντες
⟨πρὸς τῆς καλῆς ἀγωγῆς αἰδήμονες ὄντες πειθαρχοῦσιν⟩ (αἰσχύνονται γὰρ
μὴ τοῖς καλῶς λεγομένοις ἕπεσθαι καὶ τῶν κακῶς ἀπέχεσθαι), οἱ δὲ πολ-
15 λοὶ κἂν ἀπιστῶσί ποτε τῶν κακῶν, νεύσωσι δὲ πρὸς τὰ καλά, οὐ δι' αἰδῶ 15
τοῦτο πράττουσιν, ἀλλὰ διὰ φόβον ἢ τιμωρίας τὰς ἀπὸ τοῦ νόμου. οἱ γὰρ
πάθει συζῶντες οὐκ αἰδοῦνται· ἀναισχύντως δὲ διώκουσι τὰς ἐμπαθεῖς καὶ
ζωώδεις ἡδονάς, φεύγουσι δέ, ὡς πολλάκις εἴρηται, τὰς ἐναντίας λύπας.
οἱ γὰρ φίλοινοι διώκουσι μὲν τὰς ἀπὸ τοῦ πίνειν ἡδονάς, φεύγουσι δὲ τὰς
20 ἀπὸ τοῦ μὴ πίνειν λύπας. καὶ ἁπλῶς οἱ φαῦλοι πάντες δι' ἄγνοιαν τοῦ 20
καλοῦ καὶ τοῦ ὡς ἀληθῶς ἡδέος τὰς σωματικὰς ἀκρατῶς διώκουσιν ἡδονάς,
ὅτι δὲ ὡς ἀληθῶς ἡδοναὶ αἱ κατ' ἀρετὴν ἐνέργειαι, μυριάκις εἴρηται.
τοὺς οὖν οὕτω, φησί, κακῶς διακειμένους καὶ τὰς ἐμπαθεῖς ἡδονὰς ἀκράτως
διώκοντας οὐδεὶς ἂν λόγῳ μεταρρυθμίσειε καὶ τῆς πρὸς τὰ φαῦλα ῥοπῆς
25 ἀπάξειεν. ἀδύνατον γὰρ ἢ χαλεπὸν τοὺς ἐκ μακροῦ χρόνου φαύλοις ἔθε- 25
σι κατειλημμένους μεταστῆσαι τῆς κακίας. ὅπου γὰρ καὶ πάντων ὑπαρχόν-
των, οἷον ἀνατροφῆς σπουδαίας, ἀγωγῆς σεμνῆς, αἰδοῦς, πειθοῦς, οὐ πάντη
ῥᾴδιον ἡ τυχοῦσα τῆς ἀρετῆς ἁφὴ παρέμεινεν ἂν ἐν τῇ ἀρετῇ τύχοντας· καὶ
τίς μηχανὴ πάντων τῶν ἐναντίων προσόντων μετασχεῖν αὐτῆς;

30 p. 1179b20 Γίνεσθαι δ' ἀγαθοὺς οἴονται οἱ μὲν φύσει, οἱ δὲ ἔθει, 30
οἱ δὲ διδαχῇ.

Τὸ μὲν οὖν μαθεῖν τὰς τῶν ἀρετῶν φύσεις καὶ κοινωνίας αὐτῶν καὶ
διαφοράς, ἔτι τε κτήσασθαι τῷ ἔθει, ἐφ' ἡμῖν ὄντως ἐστὶ καὶ τῆς ἡμετέ-
ρας βουλήσεως καὶ προαιρέσεως, τὸ δὲ φύσει γενέσθαι σώφρονας, δικαίους, 35
φρονίμους οὐχ ἡμῶν ἀλλὰ δῶρον θεοῦ κάλλιστον καὶ τιμιώτατον. τὸ μὲν
οὖν τῆς φύσεως οὐχ ἡμῶν, δῶρον δὲ θεῖον, τὸ δ' ἐθίζειν ἑαυτοὺς
ᾤδεσθαι οἷς δεῖ καὶ λυπεῖσθαι ἡμῶν. καὶ ἰσχύει τὸ τοιοῦτον ἔθος ἀγαθοὺς
ποιῆσαι ἡμᾶς. ὁ δὲ λόγος καὶ ἡ διδαχὴ οὐκ ἐν ἅπασιν, ὡς εἴρηται, ἰσχύει,

10 οὐδ' B: οὐκ a 13 πρὸς τῆς—πειθαρχοῦσιν a: om. B 22 ἡδοναὶ B: ἡδεῖαι a 24 λόγῳ B: λόγος a 27 σπουδαίας B: σπουδῆς a πάντη B: πάντως a 31 rhesis usque ad συνήθη γενόμενα (p. 1180a1) a

ἀλλ' ἐν τοῖς προειργασμένοις τοῦ ἤθους τοιούτοις τοῖς προπεπαιδευμένοις 185
ὑπὸ τῆς ἐπιεικοῦς ἀγωγῆς. δεῖ οὖν ἡμᾶς προευτρεπίσαι πρὸς ὑποδοχὴν
τῶν λεγομένων ὥσπερ γῆν. ὡς γὰρ αὕτη προεργασθεῖσα καρποφορεῖ, μὴ
προεργασθεῖσα δὲ ἀκανθοφορεῖ καὶ φθείρει τὸν καταβεβλημένον καρπόν, οὕτω 10
καὶ ἡ ψυχὴ ἡμῶν, εἰ μὴ προδιεσκευασμένη καὶ ἀπορρίπτει τὴν φιλοσοφίαν, ἢ
οὐ προσδέξεται τὴν ἀλήθειαν, ἢ εἴπερ ἄρα καὶ συμβῇ τοῦτο, ματαίως γε-
νήσεται. λόγῳ οὖν μοχθηρὸς οὐχ ὑπείκει, μόνῃ δὲ βίᾳ καὶ ἀνάγκῃ. καὶ
ὁρᾷς ὅπως διὰ τούτων ἃ φθάσας προεῖπον αἰνίττεται, λέγω δὴ τὸ δεῖν
πολιτείας ἐκδοῦναι διαλαμβανούσας, πῶς ἂν οἱ πολῖται διάγοντες ἀγαθοὶ 15
10 γένοιντο. δεῖ δὴ τὸ ἦθος προϋπάρχειν πως οἰκεῖον ταῖς ἀρεταῖς, 45
ἤγουν ἐπιτήδειον δέξασθαι τοὺς τῶν ἀρετῶν λόγους, καὶ συνῳδὸν τρέφειν.
ὥσπερ τις προειργασμένη γῆ καὶ καρπὸν πολὺν ἀνενεγκεῖν. ἔσται δὲ τοιοῦτον
τὸ ἦθος ἐκ τῆς ὀρθῆς ἀγωγῆς. ὀρθῶς δ' ἀχθῆναι χαλεπόν ἐστι τὸν μὴ
ὑπὸ νόμοις ὀρθῶς ἔχουσι καὶ πολιτείᾳ τοιαύτῃ τραφέντα. τὸ γὰρ σωφρό- 20
15 νως ζῆν μὴ ἡττᾶσθαί τε ἡδοναῖς, αἷς μὴ δεῖ, οὐχ ἡδὺ τοῖς πολλοῖς, ἐπί-
λυπον δέ. ἄχθονται γὰρ ἀποτυγχάνοντες τῶν ἡδέων. διὸ δεῖ νόμους τετάχθαι
προστάττοντας τὴν ἀγωγὴν εὐθὺς ἐκ βρέφους τὴν ἐπιτήδεια ποιήσουσαν 50
τὰ ἤθη αὐτῶν μὴ δυσχεραίνειν ἐν ταῖς τῶν φαύλων ἡδονῶν ἀποτυχίαις.
εἰ δὲ τοῦτο δεῖ, ἀναγκαῖόν ἐστι πολιτείας ἐκδοῦναι καὶ νόμους. εἰπὼν δὲ 25
20 'διὰ νόμους χρὴ τετάχθαι', ἐπήγαγεν οὐκ ἔσται γὰρ λυπηρὰ συνήθη
γινόμενα. ἀναγκαζομένων γὰρ ὑπὸ τῶν νόμων καὶ τῶν νομοφυλάκων
πράττειν τὰ καλὰ καὶ ἀντέχειν πρὸς τὰς ἡδονάς, οὐκ ἔσται τὸ καρτερεῖν
αὐτοῖς ἐπίλυπον ἤδη ἐθισθεῖσι φέρειν γενναίως. οὐδὲν γὰρ σύνηθες
λυπηρόν. |

25 p. 1180a1 Οὐχ ἱκανὸν δ' ἴσως νέους ὄντας τροφῆς καὶ ἐπιμελείας 185
τυγχάνειν.

Ὃ λέγει τοιοῦτόν ἐστιν· οὐ χρεία νόμων ἐστὶν ἐκείνων μόνον τῶν 10
διακελευομένων περὶ παίδων ἀγωγῆς, ἀλλὰ καὶ τῶν διαγορευόντων, τίνα
δεῖ πράττειν ἀνδρωθέντας. δῆλον γὰρ ὡς ἄλλα μὲν ἐπιτηδευτὰ νέοις οὖσι
30 καὶ ἄλλα ἀνδράσι καὶ ἕτερα παρακμάσασι. τοιούτων τε οὖν χρεία νόμων,
καὶ ἔτι πῶς τὸν ἅπαντα βίον διοδευτέον. οἱ πολλοὶ γὰρ ἀνάγκῃ μᾶλλον
καὶ ζημίᾳ πειθαρχοῦσιν ἢ λόγῳ. διὸ δεῖ νόμων τῶν ἀναγκαζόντων ζημίαις
εὐπραγεῖν καὶ φεύγειν τὰς κακοπραγίας. καὶ διὰ τὸ τοὺς πολλούς, φησί, 15
πειθαρχεῖν ζημιουμένους καὶ κολαζομένους, ἀρέσκει, φησί, τὸ τοὺς νομοθέτας

4 καρπὸν] σῖτον suprascripto καρπὸν B: καρπὸν σῖτον a 8 δεῖν B: δεῖ a
9 προεσκευασμένη B: προπαιδευμένη a ἀπορρίπτει B: ἀπορρίπτειν a 15 [illegible]
Vat. 320: ἐπιπολὺ δὲ Ba 17 ἐκ βρέφους B: ἐκτρέφους a ποιήσου-
σαν B: ποιοῦσαν a 18 ἤθη B: ἔθη a 19 νόμους Ba: νόμοις Aristo-
teles 20 ἔσται B et Aristoteles: ἔστι a 26 rhesis usque ad ἀγα-
πωμένας ἡδονάς (p. 1180a14) a 28 ἀγωγῆς B: διαγωγῆς a 30 οὖν B:
om. a

προστάξαι ἐν τῷ νόμῳ· ταῦτα μὲν παρακελευόμενον τοὺς πολίτας πράττειν διὰ τοῦ καλοῦ χάριν καὶ τοῦ γενέσθαι σπουδαίους, εἰ δὲ ἀπειθοῖεν, κολαζέσθωσαν διὰ μὲν τήνδε τὴν ἀπείθειαν τήνδε τὴν κόλασιν. διὰ τήνδε δὲ τήνδε. ὃς δ' ἂν καὶ τιμωρούμενος ἀνίατος μένῃ, φευγέτω ⟨ἐκ⟩ τῆς πόλεως.' δεῖ οὖν, φησί, τοὺς φαύλους μαστίζειν ὡς ὄνους (τούτους γὰρ εἶπεν ὑποζύγια· ὃν γὰρ μὴ παιδεύει λόγος, παιδευέτω μάστιξ) καὶ λυπεῖν τοὺς φαύλους λύπας, αἳ ἐναντιοῦνται ταῖς ἀγαπωμέναις ἡδοναῖς. τὰ γὰρ ἐναντία τῶν ἐναντίων ἰάματα, οἷον εἴ τις χαίρει ὑβρίζων, μὴ λυπεῖν αὐτὸν ζημίᾳ ἀλλὰ τῷ κωλύειν μὴ ὑβρίζειν, ὁμοίως καὶ τὸν ταῖς μέθαις χαίροντα τῷ ἀπείργειν οἴνου.

p. 1180ª14 Εἰ δ' οὖν, καθάπερ εἴρηται, τὸν ἐσόμενον ἀγαθὸν τραφῆναι καλῶς δεῖ.

Καὶ ταῦτα περὶ τοῦ δεῖν νόμους κεῖσθαι λέγει παρακαλοῦντας τοὺς μὲν εὐπειθεῖς πρὸς ἀρετήν, ἀναγκάζοντας δὲ τὰ σκληρὰ καὶ ἀντιβαίνοντα τῶν ἠθῶν ἀπέχεσθαι τῶν φαύλων, ἀντέχεσθαι δὲ τῶν βελτίστων. ἔστι δὲ ἡ τοῦ λόγου ἀπόδοσις ἐν τῷ ὁ δὲ νόμος ἀναγκαστικὴν ἔχει δύναμιν. λόγος ὢν ἀπὸ φρονήσεως καὶ νοῦ· τὰ δ' ἄλλα ἐν μέσῳ κεῖται, συνάγοντα τὸ δεῖν κεῖσθαι νόμους περὶ τῆς τῶν παίδων ἀγωγῆς καὶ τῶν ἄλλων ἁπάντων. ἔστι δ' ὡς συλλαβοῦσιν εἰπεῖν, ὃ λέγει διὰ τῶν κειμένων λέξεων τοιοῦτον· ἐπεὶ τῆς ἀνθρωπίνης καὶ πολιτικῆς σοφίας τὸ σκοπιμώτατον τέλος ἐστὶ γενέσθαι τοὺς πολίτας ἀγαθοὺς καὶ εὐδαιμόνως ζῆν, τοῦτο δὲ γίνεται ἐκ τοῦ τραφῆναι καὶ ἀναχθῆναι καλῶς καὶ μὴ πράττειν φαῦλον μηδὲν μήθ' ἑκόντα μήτ' ἄκοντα (ἄκοντες γὰρ πράττουσι τὰ κακὰ οἱ πεπαιδευμένοι πρὸς τὰ τῶν φαύλων ἀναιδῶς καὶ πρὸς τὸ χεῖρον παρασυρέντες), τὸ δ' οὕτω καλῶς τρέφεσθαι γίνεται τοῖς κατὰ νοῦν τὸν βίον διανύουσι, δεόμεθα νοῦ, ὅπως ταῖς ἐκείνου ὑποθήκαις καὶ προστάγμασιν ἑπόμενοι κάλλιστα διάγοιμεν. ἔθος δὲ τῷ Ἀριστοτέλει πάντα τὸν ὑπερέχοντα ἢ κατὰ τέχνην ἢ φρόνησιν ἢ ἐμπειρίαν ἢ πρόγνωσιν ἢ εὕρεσιν τῶν καλῶν καὶ συμφερόντων ὀνομάζειν νοῦν. δεόμεθα οὖν πρὸς τὸ καλοὶ κἀγαθοὶ γενέσθαι νοῦ. ἀλλ' ὁ μὲν πατρικὸς νοῦς, ἤτοι ὁ πατὴρ ἑκάστου, δύναται μὲν ὑφηγεῖσθαι τὰ καλά, εἰ μήπου φαῦλός ἐστι καὶ τῶν ἀγελήδην ὄντων, καὶ παίδευειν τοὺς καλῶς ἀγομένους ὑγιεῖς ἐπὶ τὴν πρᾶξιν ἴέναι, εἰς δὲ τὰ φαῦλα τῶν ἠθῶν ἀναλκίς ἐστι καὶ σαθρὸς καὶ οὐκ ἔχει τὸ ἀναγκαῖον, ἤτοι τὸ βίαιον, ὡς ὁ νόμος. τὸ γὰρ φυσικὸν φίλτρον ἀφαιρεῖται τὴν πρὸς τὸν υἱὸν βίαν. καὶ τί δεῖ λέγειν τὸν πατέρα; ὅλως γὰρ εἰς ἀνὴρ ἀναγκάζειν οὐ δύναται πόλεως ὅλης παῖδας ὅλους, εἰ μήπου βασιλεὺς ἢ

1 παρακελεύομαι B: παρακελεύομεν a 4 ἐκ Diels: om. Ba 5 ὑποζύγια B: ὑποζύγους a 6 παιδεύει B: παιδεύῃ a λύπας B: λύπαις a 8 αὐτὸν ζημίᾳ B: αὐτῶν ζημίαις a 9 κωλύειν B: κώλῳ a 12 rhesis usque ad καὶ νοῦ (p. 1180ª22) a 17 λόγος B: λόγον a ἀπὸ τινος φρονήσεως Aristot. 18 δεῖν B: δεῖ a 19 κειμένων B: προκειμένων a 24 ἡλικιωτῶν καὶ a: om. B

τύραννός ἐστι. καὶ οὗτοι τοῦτο δύνανται ποιεῖν διὰ περιουσίαν δυνάμεως. 185v
ἀλλ' ἐπεὶ οὐ πᾶσαι αἱ πόλεις βασιλεύονται ἢ τυραννοῦνται, δεῖ νόμων.
πῶς γὰρ νόμος ἔχει δύναμιν ἀναγκαστικήν, λόγος ὢν ἀπό τινος φρονή-
σεως καὶ νοῦ καὶ παράλληλα θεὶς τὴν φρόνησιν καὶ τὸν νοῦν. ἐξ ἐμπει-
ρίας γὰρ μακρᾶς συλλέγεται ἡ φρόνησις καὶ ὁ νοῦς ὁ περὶ τὰ πρακτά.
καὶ εἶπεν ὅτε περὶ φρονήσεως ἔλεγε, ὅτι δεῖ τοὺς τῶν ἐμπείρων καὶ γη-
ραιῶν λόγους ὡς ἀρχὰς ἀποδέχεσθαι. ἔχουσι γὰρ ἐκ τῆς πείρας ὅμμα, 50
λέγων ὅμμα τὴν φρόνησιν, ἐξ ἧς προορᾶν δύνανται τὸ συμφέρον. πείθονται
οὖν τοῖς νόμοις οἱ ἄνθρωποι πιστεύοντες, ὡς οἱ νομοθετήσαντες ἐξ ὅμμα-
τος τὰ καλὰ καὶ συμφέροντα δυναμένου προορᾶν τοὺς νόμους τεθείκασι.

p. 1180a22 Καὶ τῶν μὲν ἀνθρώπων ἐχθραίνουσι τοὺς ἐναντιου-
μένους ταῖς ὁρμαῖς.

Εἰπὼν ὅτι ἑνὸς ἀνθρώπου πρόσταξις τὸ βίαιον οὐκ ἔχει οὐδ' ἀναγκά- 55
ζειν δύναται, ὡς ὁλονότι τῶν | πολλῶν τοῦτο ποιεῖν ἰσχυόντων, διὰ 186r
πειθοῦς ἄγειν ἐπὶ τὰς βελτίους τῶν ἐνεργειῶν. τὸ γὰρ κυρίως βιάζεσθαι
τὸ λόγοις πείθειν ἐστὶν ἀλλ' οὐ μάστιξι καὶ παντοίαις κακώσεσιν· οἱ γὰρ
κολαζόμενοι καὶ ποικίλως κακούμενοι φάλλον ἀντιπίπτουσι καὶ ἀντιβαίνουσιν.
οὐ μὴν ὑπείκουσι· τοῦτό τε καὶ ὅτι οὐδεὶς ἄκων καὶ λυπούμενος πράττων
τι κατορθοῖ τὸ πρακτόν, ὥστε οὐδ' ἀγαθὸς γένοιτ' ἄν ποτε ὁ τὰ καλὰ
βίᾳ πράττων, ἀλλ' ὁ λόγῳ πεισθεὶς ὅτι δεῖ τὴν ἀρετὴν διώκειν καὶ τὰ κατ' 5
ἀρετὴν πράττειν καὶ φεύγειν τὴν κάκωσιν, οὗτος δηλαδὴ καὶ ἑκὼν πράξει
τὰ καλὰ καὶ πράττων ἀγαθὸς ἔσται. ἀλλὰ διὰ τί ἐχθραίνουσι τοὺς ἐναν-
τιουμένους ταῖς ὁρμαῖς καὶ κωλύοντας ἐπὶ τὰ σφίσιν ἡδέα φέρεσθαι; ἢ
ὅτι καλῶς ἀναγιθέντες καὶ τὰ φαῦλα διὰ τὴν ψυχικὴν ἀνατροφὴν ἀγαθὰ
νομίζοντες ὑπολαμβάνουσι φθόνῳ καὶ μίσει κωλύεσθαι παρὰ τῶν ἐναντιου-
μένων ἀλλ' οὐ στοργῇ τινι καὶ ἀγάπῃ. οὐδεὶς γὰρ φιλῶν κωλύει τὸν
φιλούμενον καὶ ἀπάγει τῶν ἀγαθῶν. τοὺς μὲν κωλύοντας ἀνθρώπους καὶ 10
ἀναχαιτίζοντας ἀπὸ τῆς πρὸς τὰ φαῦλα φορᾶς μισοῦσιν ὡς φθονοῦντας.
ὁ δὲ νόμος ἀνεπαχθής ἐστιν αὐτοῖς διὰ τἀναντία. οὔτε γὰρ ὅτι ὡς φθο-
νῶν οὔτε ὅτι ὡς μισῶν αὐτοὺς ὁ νόμος ταῦτα προστάττει ὑπονοεῖν δύνανται.
πῶς γὰρ ὁ πρὸ πεντακοσίων χρόνων, ὃ ἐστι, τεθνεώς, δύναται φθονῶν ἢ μισῶν
δύνανται συλλογίζεσθαι καὶ λέγειν 'ἢ γὰρ φθονῶν ἢ μισῶν ἡμᾶς ὁ νομο-
θέτης ταῦτα γέγραφεν, ἢ τὸ συμφέρον ἡμῖν πραγματευόμενος; ἀλλὰ μὴν 15
οὐ φθονῶν. πῶς γὰρ τοὺς μήπω γεννηθέντας μηδ' ὅτι γεννηθήσονται
γινώσκων; ὥστε τὸ συμφέρον σκοπούμενος καὶ τῶν τότε ὄντων καὶ τῶν
ἐφεξῆς ἐσομένων πάντων τοὺς νόμους τούτους γέγραφε.' διὰ ταῦτ' οὖν
ἀνεπαχθής ἐστιν ὁ νόμος.

6 ἔλεγε] Z 12 p. 1143b11 11 ἐχθραίνουσι Ba et Arist. codd. LbMbOb: ἐχθαίρουσι Arist. vulg. 12 rhesis usque ad τὸ ἐπιεικές (p. 1180a21) a 15 ἄγειν B: ἄγει a 19 πρακτόν a: πρακτικὸν B 22 ἔσται B: ἐστι a διατί B: διότι a 30 ὡς a: ὁ B

p. 1180a24 Ἐν μόνῃ δὴ τῇ Λακεδαιμονίων πόλει μετ' ὀλίγων ὁ 1861
νομοθέτης ἐπιμέλειαν ἔοικεῖ ποιεῖσθαι.

Ὃ λέγει δυνάμει τοιοῦτόν ἐστιν· εἰ μὲν ἔκειντο νόμοι ἐν ταῖς πόλεσι προστάσσοντες, πῶς δεῖ τῶν νέων ἐπιμελεῖσθαι, ὅπως καλοὶ κἀγαθοὶ γέ- 5
νωντο, καὶ κείμενοι ὀρθῶς εἶχον καὶ μὴ ὅλως ἢ κατά τι διημαρτημένως, 25
οὐδὲν ἂν ἔδει πλέον ἐπιζητεῖν ἀλλ' ἐκείνοις ὀρκεῖσθαι. ἐπεὶ δὲ τοῦτο οὐκ ἔστιν, ἀλλ' ἐν μόνῃ τῇ Λακεδαιμονίων πολιτείᾳ καί τισιν ὀλίγαις ἄλλαις πόλεσι (καὶ ἐρεῖ τίνες αὗται, ἐν τῷ τρίτῳ καὶ τετάρτῳ τῶν Πολιτειῶν ὑπομνήματι, ὅπου οὖν ἐν μόνῃ τῇ τῶν Λακεδαιμονίων πολιτείᾳ μετ' ὀλίγων 10
ἄλλων πόλεων ὁ νομοθέτης προστάττει, πῶς ἂν οἱ παῖδες ἐπιμεληθεῖεν, 30
τουτέστι παιδείας τύχοιεν, ἐν δὲ ταῖς ἄλλαις ἐξημέληται, ὡς καὶ ἐν ταύτῃ τῇ τοῦ μεγάλου Κωνσταντίνου, καὶ ζῇ ἕκαστος ὡς βούλεται καὶ τὸν οἰκεῖον ἀνάγει παῖδα, ὡς θέλει, νόμων μηδένα λόγον ἔχοντες, ὡς οἱ παρ' Ὁμήρῳ ἐν τῇ Ὀδυσσείᾳ Κύκλωπες, θεμιστεύων, ἤτοι βασιλεύων, παίδων 15
καὶ γυναικός (νόμος γὰρ ἐκείνοις ἦν τὸ οἰκεῖον βούλημα). ἐπεὶ οὖν ταῦθ' 35
οὕτως ἔχει, δεῖ ἡμᾶς περὶ τούτων εἰπεῖν καὶ γράψαι πολιτείας. ἡ γὰρ τῶν Λακεδαιμονίων καὶ Κρητῶν καὶ τῶν ἄλλων, ὡς ὄεῖξει ἐν ταῖς Πολιτείαις, ἡμαρτημέναι πᾶσαί εἰσι καὶ οἱ κείμενοι ἐν ταύταις νόμοι οὐ σμικρᾶς δέονται τῆς διορθώσεως. ταῦτα εἰπὼν ἐπιφέρει κράτιστον μὲν καὶ βέλ- 20
τιστόν ἐστι νόμους κεῖσθαι ὀρθῶς ἔχοντας (καὶ) κοινὴν ἐπιμέλειαν ποιεῖσθαι 40
τῶν παίδων, ἀμεληθείσης δὲ τῆς κοινῆς ἐπιμελείας ἢ τῷ μὴ κεῖσθαι τοὺς τοῦτο πράττοντας νόμους ἢ κεῖσθαι μέν, παρορᾶσθαι δὲ ἀμελείᾳ τῶν ἀρχόντων τῆς πόλεως, προσήκει προθύμως ἕκαστον ἐπιμελεῖσθαι τῶν σφε- τέρων παίδων καὶ φίλων, ὅπως καλοὶ κἀγαθοὶ ἀπεργασθείεν. τοῦτο γὰρ 25
ἐδήλωσε διὰ τοῦ εἰς ἀρετὴν συμβάλλεσθαι. συμβάλλεται δ' εἰς ἀρετὴν καὶ συνεργεῖ ὁ τὰ καλὰ τιθεὶς ὑπ' ὄψιν καὶ διδάσκων, ὅτι τόδε μὲν 45
βλάπτει διὰ τόδε, τόδε δὲ ὠφέλιμόν ἐστι, κἂν μὴ δοκῇ, διὰ τόδε· καὶ πρὸς τούτοις εἰς ἀρετὴν συνεργεῖ ὁ διδοὺς ἔχων τῷ μὴ ἔχοντι ὧν χρῄζει εἰς τὴν τῆς ἀρετῆς καὶ τῆς ἠθικῆς καὶ τῆς λογικῆς κτῆσιν. δεῖ οὖν, φησί, 30
συνεργεῖν, εἰ δὲ μὴ δύναται, προαιρεῖσθαι δ' οὖν καὶ βούλεσθαι βοηθῆσειν καὶ συνεργήσειν, εἰ δυνήσεταί ποτε.

p. 1180a32 Μάλιστα δ' ἂν τοῦτο δύνασθαι δόξειεν ἐκ τῶν εἰρη-
μένων νομοθετικὸν γενόμενον.

Νομοθετικὸν λέγει τὸν ἔχοντα νοῦν ἐκ λόγων καὶ πείρας, προβλεπτι- 50

1 δὴ B: δὲ a et Aristoteles 2 ποιεῖσθαι B: πεποιῆσθαι a et Aristoteles rhesis usque ad προαιρεῖσθαί γε (p. 1180a32) a 5 διημαρτημένως B: διημαρτημένοι a 13 ἀνάγει B: ἀνάγων a ἔχοντες B: ἔχοντα a 14 ἐν τῇ Ὀδυσσείᾳ] s. 115 15 γυναικός B: γυναικῶν a 17 ἐν ταῖς Πολιτείαις] B 2 sqq. 20 καὶ inserui 24 ἀπεργασθεῖεν B: ἀπεργασθείεν a 32 δόξειεν ἂν ἐκ a 33 rhesis usque ad τῇ φύσει (p. 1180b7) a

κὸν τῶν καλῶν καὶ δικαίων καὶ συμφερόντων τῇ τε πόλει πάσῃ καὶ χωρὶς 186r
ἑκάστῳ. ὃ δὲ λέγει ἐστίν, ἐκ τῶν εἰρημένων καὶ ἐξ ὧν εἴπομεν ὅῆλον
γέγονε τοῖς νοεῖν δυναμένοις τὰ ῥηθέντα, ὅτι ἐκεῖνος δύναται τοῖς ἰδίοις
παισὶ συμβαλλεσθαι, ὅστις ἐστὶ νομοθετικός. ἢ εἴη ἂν λέγων, ὅτι ἐκ
τῶν εἰρημένων ὅῆλόν ἐστιν, ὅτι ὃς ἐστὶ νομοθετικὸς δύναται γινώσκειν πο-
δαποὺς μὲν νόμους δεῖ θέσθαι περὶ τῆς κοινῆς τῶν | παίδων ἐπιμελείας 186v
καὶ παιδεύσεως καὶ ποίους περὶ τῶν εἰς ἄνδρας φθασάντων ἐπιτηδευμάτων
καὶ ποίους ἐν ἅπαντι τῷ βίῳ καὶ τίνας πρὸς τὸ συμφέρον ἰδίως ἑκάστῳ
καὶ τίνας πρὸς τὸ ὠφέλιμον πάντων τῶν πολιτῶν, ἀνδρῶν καὶ γυναικῶν.
ὅτι δὲ ἄλλοι μὲν ἁρμόζουσι τῇ δημοκρατουμένῃ πόλει καὶ ἕτεροι τῇ ἀρι-
στοκρατουμένῃ καὶ ἄλλοι τῇ τιμοκρατουμένῃ καὶ ἄλλοι τῇ βασιλευομένῃ, 5
καὶ τίνες ἕκαστοι τούτων εἰσίν, ἐρεῖ ἐν ταῖς Πολιτείαις. ὅτι δὲ καὶ ἐκ μὲν
τῶν ἐπιεικῶν νόμων ἀγαθοὶ γίνονται οἱ κατ' αὐτοὺς ζῶντες, ἐκ δὲ τῶν
φαύλων φαῦλοι, καὶ τοῦτο ὅῆλον. τὸ δὲ διακρίνειν δύνασθαι, τίνες τῶν
νόμων ἐπιεικεῖς καὶ τίνες φαῦλοι, τοῦ νομοθετικοῦ ἐστιν, ὡς καὶ ἰατροῦ
τὸ χωρίζειν τὰ νοσώδη ἀπὸ τῶν ὑγιεινῶν. ταῦτα εἰπὼν λέγει δυνάμει, 10
πρὸς μὲν τὸ ἀγαθοὺς ἢ φαύλους γενέσθαι τοὺς πολίτας μεγάλα συντελοῦσιν
οἱ νόμοι· τὸ δὲ γεγράφθαι ἢ ἀγράφους ὑπάρχειν, οὐδέν τι συμβάλλεται. 10
αἱ γὰρ πράξεις δύνανται πρὸς καλοκαγαθίαν ἢ κακίαν, ἀλλ' οὐ τὸ γεγρά-
φθαι ἢ ζμὴ γεγράφθαι τὰ ποιητέα ἢ μὴ ποιητέα. ἄγραφοι δ' ἂν εἶεν
νόμοι τὰ κοινὰ ἔθη. οὐδὲ δὴ δι' ὧν εἷς ἢ πολλοὶ παιδευθήσονται.
πρὸς μὲν τὸ σπουδαίους γενέσθαι τοὺς πολίτας μέγα τι συμβάλλεται ἡ τῶν
νόμων ἐπιείκεια ζκαὶ ὀρθότης, καὶ τοῦτο δεῖ σκοπεῖν τὸ ἀναμαρτήτους τυγ-
χάνειν. τὸ δὲ σκοπεῖσθαι, φησί, πότερον ὁ δυνάμενος νόμος ἕνα ποιῆσαι 15
ἀγαθὸν δύναται καὶ πολλοὺς τοιούτους ἀποτελέσαι. καὶ πότερον ὁ πολλοῖς
ὠφέλιμος καὶ ἐνὶ τοιοῦτός ἐστι, τοῦτο οὐδὲν διαφέρει. ὀρθὸς γὰρ ὢν καὶ
πάντῃ ἄπταιστος ταὐτὸν ποιήσει ταῖς ἄλλαις τέχναις καὶ ἐπιστήμαις καὶ
τοῖς τεχνίταις καὶ ἐπιστήμοσιν. ὡς γὰρ ἐκείνων ὁ δυνάμενος ἕνα διδάξαι
καὶ ἀπαρτίσαι μουσικὸν ἢ ἰατρὸν δύναται καὶ πολλούς, καὶ ἔμπαλιν ὁ πολ-
λοὺς καὶ ἕνα, οὕτω καὶ νόμος ὁ δυνάμενος ἕνα σπουδαῖον ἀποτελέσαι δύ-
ναται καὶ πολλούς, καὶ ἔμπαλιν. ὥσπερ γὰρ ἐν ταῖς πόλεσιν ἰσχύει 20
τὰ νόμιμα καὶ τὰ ἔθη, οὕτω καὶ ἐν οἰκίαις οἱ πατρικοὶ λόγοι. 20
ζητητέον πῶς πρὸ ὀλίγου εἰπὼν μηδὲν ἰσχύειν τὰς πατρικὰς προστάξεις,
νῦν φησιν ἐπίσης τοῖς νόμοις καὶ τοῖς ἔθεσιν ἰσχύειν. καὶ ῥητέον ὅτι περὶ
τῶν πολλῶν καὶ μοχθήρως ζώντων εἶπεν ἐκεῖ μηδὲν ἰσχύειν. ἐνταῦθα δὲ
περὶ τῶν καλῶς ἀναγομένων τοῦτο λέγει. ἢ ῥητέον ὅτι οὐκ εἶπεν ἐκεῖ
μηδαμῶς ἰσχύειν, ἀλλ' ὅτι οὐκ ἔχουσιν ἰσχυρόν, λέγων ἰσχυρὸν τὸ ἀναγ-
καστικὸν καὶ βίαιον. οὐδεὶς γὰρ τὸν υἱὸν διὰ τὴν φυσικὴν στοργὴν βιά-
ζεται καὶ κολάζειν ἐπιχειρεῖ ὡς ὁ νόμος, ἀλλὰ πολὺ ἔλαττον τὰς ἐπιτιμήσεις 25
ἐπιφέρει. οὐδ' αὖ τὸν πατέρα τις ὡς τὸν νόμον ὑποπτήσσει καὶ δέδοικε.

16 τὸ B: τοῦ a 18 ἀγράφους B: ἀγράφθαι a 21 δὴ Ba: om. Aristoteles
27 πάντῃ Vat. 320: παντὶ Ba 32 καὶ τὰ B: om. a 33 ἰσχύει Ba: ἐνισχύει
Aristoteles 33 πρὸ ὀλίγου] p. 1180a19

ὥστε οὐκ ἰσχύει τοῦ πατρὸς ἡ πρόσταξις, ὡς νόμος ἰσχύει μέντοι. καὶ 186v
τοῦτο μὲν τοιοῦτον. παραινοῦσι δ' αἱ προκειμέναι συλλαβαὶ μὴ τὸ πᾶν
τῆς τῶν οἰκείων παίδων ἀγωγῆς ἀναρτᾶν τῇ κοινῇ τῶν παίδων ἐπιμελείᾳ,
ἀλλὰ καὶ ἡμᾶς αὐτοὺς περὶ ταύτην σπουδάζειν καὶ ποιεῖν ἐπιτηδειο-
τάτους καὶ δεκτικοὺς καὶ τῶν κοινῶν παιδευμάτων. ὡς οὖν ἐν ταῖς πό-
λεσιν ἰσχύουσιν οἱ νόμοι καὶ τὰ ἔθη, οὕτω καὶ οἱ πατρικοὶ λόγοι ἐν οἰκίᾳ 30
πρὸς τὴν τῶν καλῶν ἀντίληψιν. αἰδεῖται γὰρ ὁ υἱὸς μὴ πείθεσθαι τῷ
πατρὶ καὶ ταῦτα σπουδαίῳ ὄντι καὶ τῶν καλῶν ἐργάτῃ. διά τε οὖν
τοῦτο ὀφείλει ὁ υἱὸς τῷ πατρὶ πείθεσθαι καὶ διὰ τὴν συγγένειαν καὶ διὰ
τὰς εὐεργεσίας. πᾶς γὰρ τὸν εὐεργέτην αἰδεῖται· οὐδεὶς γὰρ εὐεργετού-
μενος ὑποπτεύσειεν ἂν τὸν εὐεργέτην, ὡς φίλων ἢ μισῶν ἄπεσθαι αὐτὸν
ἐκ τῶν ἀναγκαίων αὐτῷ καλῶν, μὴ ὄντων δὲ καλῶν. παιδόμεθα οὖν
τοῖς συγγενέσι καὶ εὐεργέταις ὡς φιλοῦσιν ἡμᾶς. συγγενέστατος δὲ πάντων
ὁ πατήρ, ἀλλὰ καὶ εὐεργετικώτατος. τὸ γὰρ τῶν ἀγαθῶν μέγιστον τὸ
εἶναι παρὰ τῶν πατέρων ἡμῖν.

p. 1180b7 Ἔτι δὲ καὶ διαφέρουσιν αἱ καθ' ἕκαστον παιδεῖαι τῶν κοινῶν.

Καὶ διὰ τούτων τοὺς πατέρας προτρέπει μὴ ἀρκεῖσθαι ταῖς κοιναῖς 40
ἐπιμελείαις ἀλλὰ καὶ αὐτοὺς συνεισφέρειν τὸ οἰκεῖον. καὶ εἴη ἂν τῶν λεγο-
μένων ἡ δύναμις· δεῖ τοὺς πατέρας τὸ τοῦ νόμου ἔλλειμα ἀναπληροῦν· ὁ
μὲν γὰρ νόμος τῶν καθόλου, αἱ δὲ πράξεις τῶν καθ' ἕκαστα πολὺ τὸ
ἄριστον ἐχόντων. ὡς γὰρ ἐπὶ τῆς ἰατρικῆς οὐκ ἀεὶ ἕπεται τοῖς καθόλου,
ἀλλ' ἔστιν ἐφ' ὧν παρορᾷ καὶ ἄλλα μὲν λέγει ὁ καθόλου λόγος, ἄλλα δ'
ὁ ἰατρὸς ποιεῖ διά τινα περίπτωσιν, οὕτως οὐδὲ τὸ τοῦ νόμου δεῖ πρόστα-
γμα δι' ὅλου γίνεσθαι. ὁ μὲν γὰρ νόμος λέγει, 'ξένος εἰ ἀνέλθοι ἐπὶ τὸ 45
τεῖχος, πελεμίων κύκλῳ τὴν πόλιν τηρούντων, θανάτῳ τελευτάτω.' ἀλλ'
οὐδεὶς εὖ φρονῶν ἀνελεῖ τὸν ἀνελθόντα ξένον καὶ ἀριστεύσαντα. πάλιν
ὁ νόμος φησί, δεῖν τὸν κλέψαντα τιμωρεῖν, ἀλλ' οὐ τὸν τοῦτο ποιήσαντα
διὰ μεγάλην ὑπόχρεω καὶ ἐχόντων ὑπόνοιαν καὶ οὐκ ἐπιτρεπόντων δοῦλον
μήτε πρός τινων ἐλεούμενον, οὐδεὶς ἂν κολάσειεν, εἰ μὴ μαίνεται. ἀλλὰ 50
καὶ ὁ λόγος τῆς ἰατρικῆς καθόλου φησὶ παντὶ τῷ ἐπὶ σήψει πυρέττοντι
ἡσυχίαν καὶ ἀσιτίαν συμφέρειν, ἀλλ' ὅμως εὑρίσκεταί τις, ᾧ τὸ ἀσιτεῖν
οὐ συμφέρει. τί οὖν θαυμαστὸν καὶ τὸν νόμον λέγειν, δεῖν πάντα παῖδα
οὕτωσὶ ἀνάγειν καὶ παιδεύειν, εὑρεθῆναι δέ τινας μὴ φέροντας τὴν τοι-
αύτην ἀγωγήν, ἀλλ' ἐν τοῖς τοιούτοις ἐπιτιμωμένους συναισθέσεις, οἷον αἱ τῶν
ἀκατασκεύων ἐπιμηνίαι, μανίαι, μαχαῖραι καταπεντοῦντες ἀλλήλους;
τούτους οὖν τίς ἂν ἐπιχειρήσειεν οὕτωσὶ τὰ πολεμικὰ ἐκπαιδεύειν; οὐδεὶς
οἶμαι. ἀλλὰ τὸν κοινὸν νόμον καὶ τὴν κοινὴν ἐπιμέλειαν ἀφείς, ἐπὶ τὴν σύμ- 187r
μετρον καὶ κατάλληλον αὐτῶν τῇ φύσει βαδιεῖται. πρὸς ταύτην δὲ ἀφί-

3 cf. Θ 13 p. 1161a10 17 rhesis usque ad μάχην περιτίθησιν (p. 1180b11) a
ἀνέλθοι B: ἀνέλθῃ a 33 παῖδα B: σπουδαῖον a 36 an κατακεντούντων?

ξεται ὁ τὴν φύσιν αὐτοῦ ἐπιστάμενος. ἐπίσταται δὲ ὁ πατὴρ σπουδαῖος 187r
ὤν, τίνων μὲν ἀντέχεσθαι δύναται καὶ πρὸς ποῖα τῶν μαθημάτων εὐφυῶς
ἔχει, πρὸς ποῖα δὲ ἀνεπιτήδειός ἐστι καὶ πόσον ἀνεπιτήδειος, οἷον εἰ τριά-
κοντα Ὁμηρικοὺς ἀποστοματίζειν δύναται καὶ μηδὲν πλέον, μὴ ἀναγκάζειν 5
5 αὐτὸν ἐπέκεινα τῶν τριάκοντα ἀποδιδόναι, εἰ δὲ πεντήκοντα, μὴ πλέον
τούτων. διαφέρουσιν οὖν αἱ καθ' ἕκαστα παιδεῖαι τῶν κοινῶν. καὶ δεῖ
μὴ μόνον τὸ καθόλου γινώσκειν, ὅτι συμφέρει παντὶ παιδὶ τόδε τι καὶ
πάντα παῖδα διδακτέον τόδε τι, ἀλλὰ καὶ τὸ πρέπον ἑκάστου φύσει καὶ
πρός τι ἐπιτήδειον εἶναι, καν πρὸς ἕκαστον τῶν μὴ δυνάμενον κατὰ τὴν
10 καθόλου τοῦ νόμου προστάξιν ἐκπαιδεύεσθαι. τοῦτο δὲ τίς ἂν τοῦ πατρὸς 10
μᾶλλον δυνήσεται ποιεῖν; ὅτι δὲ οὐ πάντα ὑπὸ τὸ καθόλου τάττειν δεῖ, 10
δηλοῦσιν οἱ πυκτικοί. οὐδὲ γὰρ ὁ πυκτικὸς πᾶσι τοῖς πυκτεύουσι τὴν
αὐτὴν περιτίθησι μάχην, ἀλλὰ τῷ μὲν μείζονα καὶ χαλεπωτέραν καὶ ἐν
πλείονι χρόνῳ, τῷ δὲ ἐλάττονα καὶ ἐν ἐλάττονι χρόνῳ.

15 p. 1180b11 Ἐξακριβοῦσθαι δὲ δύσειεν ἂν μάλιστα τὸ καθ' ἕκαστον
ἐξ ἕξεως τῆς ἐπιμελείας γινομένης.

Τὸ καθ' ἕκαστον ἀντὶ τοῦ εἷς ἕκαστος εἴρηται. λέγει δὲ ὅτι ἀκρι- 15
βέστερος ἂν γένοιτο, φέρε εἰπεῖν, πύκτης ὁ συγγράμμασι ἰδίας ἐπιμελείας,
ἤτοι ὁ τὰς συμμέτρους αὐτῷ μάχας καὶ τῇ οἰκείᾳ φύσει πρεπούσας μαχό-
20 μενος. καὶ γὰρ καὶ γυμναστὴς μᾶλλον ἂν ὑγιῆ φυλάξειεν ὃν συμμέτρως
γυμνάζει τοῦ πολὺ πλέον ἢ ἔλαττον τὰ γυμνάσια προστάττοντος, καὶ γραμ-
ματικὸν μᾶλλον ἂν ἀκριβῆ ποήσειεν ὁ προστάττων ἀποστοματίζειν ὃ δύ-
ναται τοῦ πλείονα κατὰ πολὺ ἢ ἧττονα προστάττοντος· καὶ ἀγαθὸν δὴ
καὶ σπουδαῖον μᾶλλον ἂν ἀποτελέσειεν ὁ τὰς συμμέτρους κατ' ἀρετὴν 20
25 ἐνεργείας ἑκάστῳ ἐνεργεῖν ἐπιτάττων. ὁ δ' ἁπλῶς πάντας τοὺς αὐτοὺς νόμους
περιτιθεὶς ἢ τὰ αὐτὰ γυμνάσια γυμνάζων ἢ ἀπαγγέλλειν ἀναγκάζων οὐκ
ἄν ποτε πάντας ἢ τοὺς πυκτεύοντας ἢ τοὺς γυμναζομένους ἢ μανθάνοντας
ἀκριβεῖς περὶ τὴν πυκτικὴν ἢ τὴν γραμματικὴν ἀποτελέσειε. καὶ οὐ τοῦτο
λέγει Ἀριστοτέλης, οἷον ἔστω ἐπὶ τῶν γραμματικῶν ὅτι καὶ οἱ εὐφυεῖς
30 καὶ οἱ ἄφυεις τὰ σύμμετρα τοῖς οἰκείοις φύσεσι μανθάνοντες ἐπίσης ἀκρι- 25
βεῖς γενήσονται γραμματικοὶ καὶ ἐν ἴσῳ χρόνῳ. δῆλον γὰρ ὅτι οἱ εὐφυέ-
στεροι καὶ θᾶττον ἂν φθάσουσι εἰς τὴν ἀκρίβειαν καὶ ἀκριβέστεροι γενή-
σονται. ἀλλ' ὃ λέγει τοιοῦτόν ἐστιν· ὁ ἀφυοῦς δεόντως ἐπιμελούμενος ἔλ-
θοι ἂν εἰς τὴν ἀκρίβειαν καὶ τὴν τελειότητα ὅσης ἐστὶν ἡ φύσις αὐτοῦ
35 χωρητική, εἰ δὲ μὴ τύχοι τῆς προσηκούσης ἐπιμελείας, οὐκ ἂν τύχῃ τῆς

12 πυκτικὸς Vat. 320: πολιτικὸς Ba 15 ἐξακριβοῦσθαι B et Aristoteles: ἐξακριβῶ-
σαι a δὲ Ba et Arist. cod. Lb: δὴ Arist. vulg. μάλιστα B: μᾶλλον a et
Aristoteles 16 rhesis usque ad συγχάνει ἕκαστος (p. 1180b13) a 21 προστάτ-
τοντος B: προστάττοντα a 26 γυμνάζων B: γυμνάζειν a 30 οἱ ἄφυεῖς B: ἄφυεῖς a
33. 34 ἔλθοι B: ἔλθῃ a

τοιαύτης ἀκριβείας ἢ τελειότητος. δεῖ ἄρα τὴν ἑκάστου φύσιν γινώσκειν 187r
καὶ ἐπάγειν τὸ οἰκεῖον αὐτῇ.

p. 1180b 13 Ἀλλ' ἐπιμεληθείη μὲν τοῦ καθ' ἕνα ἄριστα καὶ ἰατρὸς καὶ γυμναστής.

Διττὴ φέρεται ἡ γραφή, ἡ μὲν ἔχουσα τοῦ καθ' ἕνα, ἡ δὲ τοῦ καθ' ὅλου. εἰπὼν δὲ ὅτι ἐκάτερος μὲν ὁ τὸ καθόλου εἰδὼς λέγει ὅτι μάλιστα ἂν ἐπιμεληθείη ἂν ἑνὸς ἑκάστου ὁ τὸ καθόλου εἰδώς, ἀπὸ γὰρ τοῦ καθόλου δύναται μάλιστα γνωρίζειν, ὡς ἐπὶ τὸ πολὺ καὶ τὸ καθ' ἕκαστον. ὁ γὰρ εἰδὼς τί συμφέρει πάσῃ θερμῇ καὶ ξηρᾷ φύσει, οἶδε καὶ τί ταύτῃ τῇ μερικῇ. καὶ ὁ εἰδὼς τί πάσῃ παιδικῇ ἡλικίᾳ συμφέρει ἐπιστήσεται ὡς ἐπὶ τὸ πολὺ οἶδε καὶ τί ἑκάστῳ παιδί. καὶ ὃ μὲν λέγει ἂν διὰ τῆς ἐχούσης γραφῆς ἀλλ' ἐπιμεληθείη ἂν τοῦ καθ' ἕνα, τοῦτό ἐστιν. ἡ δὲ λέξις ἡ τὸ καθόλου εἰδὼς τί πᾶσιν ἐλλιπής ἐστι· λείπει γὰρ τὸ συμφέρει. καὶ δεῖ προσυπακούσαντας αὐτοῦ ποιῆσαι τὸ ὅλον τοιοῦτον 'ὁ τὸ καθόλου εἰδὼς τί πᾶσι συμφέρει.' ὅτι δὲ αἱ ἐπιστῆμαι τὰ κοινὰ διδάσκουσιν, ἴσμεν ἅπαντες οἱ ταύτας μετιόντες. ἡ γὰρ ἰατρικὴ οὐ διδάσκει τί συμφέρει Σωκράτει, ἀλλὰ τί πάσῃ κράσει ὁποία ἡ Σωκράτους, οἷον πάσῃ θερμῇ καὶ ξηρᾷ. καὶ τί παντὶ γέροντι, ἀλλ' οὐ τί Παρμενίδῃ. ὁ μὲν οὖν τὸ καθόλου εἰδὼς ἐπιμεληθείη ἂν καὶ τοῦ καθ' ἕνα. ἀλλὰ καὶ ἕνα τινὰ τοῦ καθόλου ἀγνοοῦντα οὐδὲν κωλύει ἐπιμεληθῆναί τινος ἑνὸς ἐκ πείρας εἰδώς, τίνα τε τὰ ὠφελοῦντα αὐτὸν καὶ τίνα τὰ βλάπτοντα. καὶ εἰσί τινες μᾶλλον ὠφελοῦντες αὑτοὺς τῶν ἰατρῶν ἐκ πείρας γινώσκοντες τὰ σώζοντα αὑτούς, ὥστε καὶ ὁ πατὴρ ὁ γινώσκων ἐκ πείρας τὸν υἱὸν ποῖα τῶν γυμνασίων ὠφελοῦσι, μᾶλλον ἂν γυμνάσειε τοῦ γυμναστοῦ. διοίσει δὲ ὁ τοιοῦτος τοῦ τὸ καθόλου εἰδότος, ὅτι ὁ τὸ καθόλου εἰδὼς πολλοὺς ἂν ἰάσαιτο καὶ πολλοὺς ἂν ἀμέμπτως γυμνάσειεν, οὗτος δὲ ἐκεῖνον μόνον ὃν ἐκ πείρας οἶδεν, ὅτι πρὸς τῶν τοιούτων ὠφελεῖται. βλάπτεται δὲ παρὰ τῶν τοιούτων. ὡς οὖν ἐπὶ τούτων, οὕτω καὶ ἐπὶ τῆς τῶν παίδων ἀγωγῆς ὁ τὸ καθόλου, ἤτοι τὸν νόμον, εἰδὼς ἐπιμεληθείη ἂν πολλῶν, ὁ δὲ λοιπὸς ἑνὸς ὃν οἶδε τίσι τε παιθήνιός ἐστι καὶ πρὸς τίνα ἀνεπαχθῶς ἄγεται καὶ τίσιν ἐπιτηδεῖ καὶ ὁπηχθῶς ἄγεται καὶ διὰ τίνων νόμων καὶ πράξεων ἐπ- 187v
αὐτὰ πέφυκε φέρεσθαι. πρὸς μὲν οὖν τὴν ἔχουσαν γραφὴν τοῦ καθ' ἕνα ταῦτα. πρὸς δὲ τὴν τοῦ καθόλου λέγοι ἂν 'ὁ εἰδὼς τὸ καθόλου περὶ παίδων ἢ ἀκμαζόντων ἢ καὶ πάντων τῶν πολιτῶν νόμον ἐπιμεληθείη ἂν καθόλου πάντων.' ὥστε δεῖ τὸν βουλόμενον θεωρητὴν ἤτοι τεχνικὸν

3 τοῦ καθ' ἕνα ἄριστα B: ἄριστα τοῦ καθ' ἕν a et Aristoteles nisi quod om. τοῦ 4 rhesis usque ad αἱ ἐπιστῆμαι (p. 1180b25) a 5 τοῦ καθ' ἕνα libri Aristotelici non exhibent, τοῦ καθ' ὅλου Ob 12 τοῦτό B: τοιοῦτόν a 13 τι Ba et Arist. cod. Kb: ὅτι Arist. vulg. 13 et 15 συμφέρει B: συμφέρον a 29 ὃν scripsi: ὧν Ba 33 τὸ a: τὸν B 34 πολιτῶν νόμον B: πολιτικῶν νόμων a

γενέσθαι ἐπὶ τὸ καθόλου βαδίζειν, ἤτοι τοὺς τὸ καθόλου διδάσκοντας λό- 187v
γους, οἷον ὅτι παντὶ πυρέττοντι ἐπὶ σήψει τόδε τι συμφέρει. ἐπὶ τούτους δ
τε οὖν τοὺς καθόλου λόγους βαδιστέον καὶ ἐπὶ τοὺς νόμους τῷ βουλομένῳ
ἐπιμέλειαν ποιεῖσθαι τῆς ὅλης πόλεως. τὸ δὲ καὶ γνωριστέον ὡς
δ ἐνδέχεται λέγει ἂν ὅτι δεῖ οὕτως αὐτὰ γνώσκειν, ὡς οὐκ ἀεὶ κατὰ τὰ
ὑπ' αὐτῶν λεγόμενα χρὴ πράττειν, ἀλλ' ὡς ἐπὶ τὸ πολύ, ὅτι μηδὲ τὰ
ὑποκείμενα ἀεὶ ὡσαύτως ἔχουσι.

p. 1180b25 Ταχὺ δ' ἂν καὶ τῷ βουλομένῳ βελτίους δι' ἐπιμε- 10
λείας ποιεῖν εἴτε πολλοὺς εἴτε ὀλίγους.

10 Ὥσπερ γὰρ ὁ γραμματικὸς τὴν τέχνην καὶ ὁ πύκτης καὶ ὁ ἰατρὸς
δύναται πολλοὺς καὶ ὀλίγους, ὁ μὲν γραμματικοὺς ἀποτελεῖν, ὁ δὲ πύκτας, 15
ὁ δὲ ὑγιεῖς, οὕτω καὶ ἀγαθοὺς πολίτας καὶ πολλοὺς καὶ ὀλίγους ποιεῖν
ἰσχύει ὁ τὸ καθόλου, ἤτοι τοὺς νόμους, εἰδὼς τοὺς ὀρθῶς κειμένους, ὥστε
τῷ βουλομένῳ ἀγαθοὺς πολίτας ἀποτελεῖν πειρατέον νομοθετικῷ γενέσθαι.
15 λέγει δὲ νομοθετικὸν τὸν δυνάμενον τιθέναι νόμους ὀρθοὺς καὶ ἀπταίστους.
ὅτι δὲ ὁ τοῦτο ποιεῖν δυνάμενος δύναται καὶ τῶν κειμένων νόμων διακρί- 20
νειν τοὺς ἀρίστους καὶ μὴ τοιούτους, οὐκ ἄδηλον. οὐ γάρ ἐστι τοῦ τυχόν-
τος διαθεῖναι, ἤτοι κρῖναι, εἰ καλῶς ἢ μὴ καλῶς οὗτος ὁ νόμος ἔχει,
ἀλλὰ τοῦ εἰδότος. λέγει δὲ εἰδότα τὸν πολιτικὸν σοφὸν καὶ τὴν ἀνθρω-
20 πίνην σοφίαν σοφόν. τοιοῦτος δ' ἐστίν, ὡς ἐν ταῖς Πολιτείαις ἐρεῖ, ὁ
εἰδὼς πόσαι εἰσὶ πολιτεῖαι, καὶ τί τὸ διημαρτημένον καὶ τίς ἡ ἀρίστη
πολιτεία καὶ τίνα τὰ σώζοντα ἑκάστην καὶ τίνα τὰ φθείροντα, καὶ ποία
φθειρομένη εἰς ποίαν μεταβάλλει, οἷον ἡ τῆς δημοκρατίας φθορὰ πότερον 25
εἰς τιμοκρατίαν μεταβαίνει ἢ εἰς ἀριστοκρατίαν. οὗτος οὖν ἐστιν ὁ πολι-
25 τικός· ὁ δ' αὐτὸς καὶ νομοθετικός. μέρος γὰρ ἡ νομοθετικὴ τῆς πολιτικῆς.
τὸ δὲ ὥσπερ ἐπὶ ἱππικῆς τοιοῦτόν ἐστιν· ὥσπερ ὁ ἔχων τὴν ἱππικὴν
τέχνην δύναται καλοὺς καὶ ἀγαθοὺς τοὺς ἵππους ἀποτελεῖν, οὕτω καὶ ἀγαθοὺς
ποιεῖν δύναται ὁ νομοθετικός.

p. 1180b28 Ἆρ' οὖν μετὰ τοῦτο ἐπισκεπτέον πόθεν ἢ πῶς νομο- 30
θετικὸς γένοιτ' ἄν.

Τὸ ἆρ' οὖν ἀποφαντικόν ἐστι. λέγει δέ, ὅτι ἐπεὶ τοῦ νομοθετικοῦ
ἐστι τὸ καλοὺς καὶ ἀγαθοὺς ἀποτελεῖν πολίτας, δεῖ ἰδεῖν τίσι διδασκάλοις χρη- 35
στέον εἰς τὸ νομοθετικοὺς γενέσθαι, καὶ πῶς, ἤτοι ἐκ ποίων ἐπιτηδευμά-
των γενοίμεθα ἂν νομοθετικοί. καὶ τοῦτο ἐπήγαγεν εἰπών, ὅτι καθάπερ
35 ἐπὶ τῶν ἄλλων, οὕτως ἔξει καὶ ἐπὶ τῆς νομοθετικῆς. ὡς γὰρ γραμματικοὶ

